que summam cum iis statuit experiri. commissa utraque acie, aequo aliquamdiu Marte pugnatum, ipseque imperator iaculo in crure percussus est. tandem Romanis acriter certantibus superantur Scythae, quorum alii in ipso praelio interiere, alii vivi capti sunt. pars vero quaedam non ignobilior ad castra reversa, fugae se dare nequaquam voluit: quin potius cum coniugibus et liberis quicquid restaret periculi sustinere decrevere, compositisque et apte inter se connexis plaustris, quae desuper bovinis contexerant pellibus, positisque in iis uxoribus et liberis, praelium instaurant. rursum igitur atrox conseritur pugna et utrimque fit multa caedes. Scythae quippe curribus veluti munimento usi non minimum Romanis damnum intulerunt. quae cum adverteret imperator, statuit equo descendere pedesque cum ceteris militibus dimicare. verum nequaquam id probantibus suis, praecipit bipenniferis qui sibi adstabant (gens ea est Britannorum, quae a multis retro seculis Romanis militat), ut instarent securibusque suis currus dissecarent. iussa iis statim exequentibus, Scytharum castris potitus est imperator. tunc plerique ex iis qui fuga sibi consuluerant, popularium desiderio adducti, ultro ad eum confluxere, Romanorumque sedibus illati et numeris inserti militaribus diutissime in fide perseverarunt.

4. Ἡ μὲν οὖν τῶν Σκυθικῶν ἐθνῶν ἐς Ῥωμαίων διάβασις ταύτῃ πῃ ἔσχε· βασιλεὺς δὲ καὶ αὖθις τῶν κατὰ τὴν Ἀσίαν εἴχετο πραγμάτων. ἀπροσδόκητος γὰρ τοῖς τῇδε βαρβάροις χειμῶνος μάλιστα ἐπιτιθέμενος ἄρδην ἠνδραποδίζετο, πλείστους τε αὐτῶν ἐπὶ τὴν εὐσεβῆ μεταφέρων δόξαν αὔξην στρατευμάτων ἐντεῦθεν Ῥωμαίοις πεποίητο. οὔπω γὰρ γεηπονικοῖς ἐνησκημένοι ἔργοις γάλακτός τε ἀπερρόφουν καὶ κρεῶν ἐσιτοῦντο, κατὰ τοὺς Σκύθας, D ἀεὶ σποράδες τε ἀνὰ τὸ πεδίον ἐσκηνημένοι ταύτῃ τοῖς βουλομένοις αὐτοῖς ἐγχειρεῖν προχειρότατοι ἐγίνοντο. Πέρσαις μὲν δὴ V 4 οὕτω συνέβαινε βιοῦν πρότερον· Ῥωμαίοις δὲ καὶ Οὔννοις, οἳ ἐπὶ τῆς ὑπὲρ τὸν Ἴστρον χώρας οἰκοῦσι, πόλεμος ἀπ' αἰτίας ἐνερράγη τοιᾶσδε. Λαδισθλάβῳ τῷ Παννονίας ῥηγὶ παῖδες ἄρρενες ἤστην δύο, Ἀλμούζης καὶ Στέφανος. ἀλλὰ Στέφανος μέν, ἐπειδήπερ ὁ πατὴρ αὐτοῖς ἀποθάνοι, τὴν ἀρχὴν αὐτὸς ἀναλαμβάνει πρεσβύτερος ὤν, ἅτερος δὲ φυγὰς ἐπὶ βασιλέα παραγίνεται. ἔθος γὰρ Οὔννοις ἐστί, τοῦ ἐν σφίσιν ἄρχοντος ἐπὶ παισὶ τετελευτηκότος, P 5 ἕως μὲν ὁ τὴν ἡγεμονίαν ἐκ τούτων παραλαβὼν ἄρρενος οὐκ εἴη πατὴρ παιδός, ξυνεῖναί τε ἀλλήλοις τοὺς ἀδελφοὺς καὶ τῆς παρ' ἀλλήλων τυγχάνειν εὐνοίας, ἐπειδὰν δὲ ἤδη παῖς αὐτῷ γένηται, οὐκέτι ἄλλως τὴν ἐπὶ τῆς χώρας ξυγχωρεῖν αὐτοῖς διατριβὴν ἀλλ' ἢ τὰς ὄψεις ἐκκεντηθεῖσιν. Ἀλμούζης μὲν οὖν τούτου δὴ ἕνεκα παρὰ βασιλέα ἦλθεν. ὃ δὲ ἄσμενός τε τὸν ἄνθρωπον εἶδε καὶ ξὺν φιλοφροσύνῃ ἐδέξατο. ἐτύγχανε γὰρ δὴ βασιλεὺς Ἰωάννης Εἰρήνην τὴν Βλαδισλάβου παῖδα γυναῖκα γαμετὴν ἤδη πε-

1. ἐς Ῥωμαίων] Fort. ἐς τὴν Ῥωμαίων. 8. ἀεὶ σποράδες τε] Fort. ἀεί τε σποράδες.

4. Atque isto quidem modo sese habuit Scytharum ad Romanos transitio. imperatorem autem rursus detinuere res Asiae. ubi barbaris inexspectatus, sub hiemis maxime tempus, aliis in servitutem redactis, pluribus ad Christianam fidem perductis, non modicam Romano exercitui accessionem fecit. agriculturae enim prorsus imperiti, lac sorbebant carnibusque vescebantur, atque vagi Scytharum more in campis sub tentoriis degentes facili opera cuiuslibet impetu expugnari poterant. eam igitur Persae olim vivendi rationem sequuti sunt. inter Romanos vero et qui trans Istrum regiones incolunt Hungaros bellum hac de causa exarsit. Vladislao Hungariae regi filii duo erant, Almus et Stephanus. horum alter Stephanus extincto parente ut natu maior regnum accepit, alter patria elapsus adiit imperatorem. moris quippe est apud Hungaros, ut cum princeps superstitibus liberis vita fungitur, quamdiu prolis masculae exsors est qui in imperium succedit, conveniant inter se fratres mutuamque benevolentiam exerceant: simul ac vero natus illi filius, non alias iis intra regni fines nisi excoecatis oculis habitare concedatur. eapropter ad imperatorem confugit Almus, a quo et visus lubenter et benigne exceptus est. quippe iam uxorem duxerat Ioannes imperator Ire-

ποιημένος, σωφρονεστάτην τε εἴπερ τινὰ καὶ ἀρετῆς ἐς τὰ μάλι-
B στα μεταποιουμένην. ὅσα γοῦν ἐκ βασιλέως τε ξυνοίκου καὶ τῆς βασιλείας ἐπεπόριστο, οὔτε τοῖς παισὶν εἰς κλήρους ἀφώρισεν οὔτε περιττότητι κόσμων ἠνάλωσε καὶ τρυφῇ. εὖ δὲ ποιοῦσα διετέλει τὸν πάντα τῆς ζωῆς αἰῶνα τοὺς ὅσοι ἐφ' ὁτῳοῦν ἐκείνης δεόμενοι ἦσαν. ἣ δὲ καὶ φροντιστήριον ἐπ' ὀνόματι τοῦ παντοκράτορος ἐν Βυζαντίῳ συνεστήσατο, ἐς κάλλος καὶ μέγεθος ἐν τοῖς μάλιστα τῶν ἐπισημοτάτων ὄν. ἡ μὲν δὴ Αὐγοῦστα τοιάδε τις ἦν. ὁ δὲ τῶν Οὔννων ῥὴξ ἐπειδὴ τὰ κατὰ τὸν ἀδελφὸν ἤκουσε, πρέσβεις ἐς βασιλέα πέμψας γῆς τῆς Ῥωμαίων ἀπελαύνεσθαι τοῦτον ἠξίου. ὡς δ' οὐκ εἶχε πείθειν, ποταμὸν Ἴστρον περαιωθεὶς Βελεγράδα πόλιν παρ' αὐτῷ κειμένην ἐκπολιορκήσας εἷλεν, εἰς ἔδαφός τε αὐ-
C τὴν καθελὼν ναυσὶ τοὺς λίθους ἐκεῖθεν μετήνεγκε, δι' ὧν Ζεύγμην ἐν Σιρμίῳ πόλιν ἀνήγειρεν, ἣ πολλαῖς μὲν ἔκτοτε διήρκεσε χρόνοις, ἐπὶ δὲ τῆς Μανουὴλ βασιλέως αὐτοκρατορίας ἐκ βάθρων κατενεχθεῖσα ὥς ἐκ περιτροπῆς τινος ὅλη πρὸς τειχοδομίαν πόλεως τῆς Βελεγράδων ἐγένετο. ἀλλὰ ταῦτα μὲν εἰσέπειτά μοι λελέξεται, ἐπειδὰν ὁ λόγος βαδίζων ἐπ' ἐκείνους ἔλθῃ τοὺς χρόνους. βασιλεὺς δὲ τούτων ἀκούσας πανστρατὶ ἐπὶ τὸν Ἴστρον ἐφέρετο, συμμαχικὸν ἐπαγόμενος ἔκ τε Λιγούρων ἱππέων, οὓς Λωμπάρδους ἡμῖν ὀνομάζουσιν ἄνθρωποι, καὶ Περσῶν. καὶ ὁ μὲν αὐτοῦ που ἐπὶ ταῖς ὄχθαις ηὐλίζετο τὰ πρὸς τὴν μάχην εὐτρεπιζόμενος· Στε-

16. πρὸς τειχοδομίαν] Ita Tollius. Cod. πρὸ τειχοδομία. *ibid.* πόλεως] Cod. πόλει.

nem, Vladislai filiam, modestia singulari cumprimis feminam et virtutibus decoratam. quidquid illa sive ex coniugis Augusti liberalitate comparavit sive ex imperii reditibus, non transmisit in liberos, aut in superfluos sumptus luxumque immodicum expendit: sed observata semper eadem vivendi ratione indigentioribus erogavit. eadem monasterium CP. exstruxit dicavitque Omnipotenti, opus structurae elegantia et amplitudine nulli secundum. huiusmodi quidem moribus fuit Augusta. rex Hungariae interim, perceptis iis quae de fratre ferebantur, per legatos imperatorem rogavit ut finibus expelleretur Romanorum. renuente idque denegante Ioanne, transmisso Istro Belegradam, civitatem fluvio adiacentem, expugnat, dirutaque illa a fundamentis ipsis lapides inde navigio avexit et ex iis urbem Zeugmen condidit in Sirmio, quae exinde multis annis substitit: donec imperante Manuēle a fundamentis perinde eversa, tanquam vicissitudine quadam, murorum Belegradensium instaurationi tota inserviit. verum ista deinceps commemorabuntur, cum ad ea tempora historia pertigerit. haec postquam comperit imperator, Istrum versus cum universo exercitu profectus est, ex Ligurinis equitibus, quos nostri Lombardos vulgo appellant, et Persis, ascitis in societatem copiis, sedit aliquandiu ad fluvii ripas sese comparans ad praelium. interea

φάνῳ δὲ ξυνέπεσε τὸ σῶμα μαλακισθέντι περί που τὰ τῆς χώρας D αὐτῷ μέσα νοσοκομεῖσθαι. οὐ μέντοι οὐδὲ ὣς καταμελεῖν ἤθελεν, ἀλλὰ δυνάμεις ὅπως εἶχε τάχους ἐξέπεμπεν ἐμποδὼν βασιλεῖ ἐς τὴν περαίαν στήσεσθαι σφίσιν ἐγκελευσάμενος. Οὖννοι μὲν οὖν κατὰ τὸ κελευσθὲν ἐποίουν· βασιλεὺς δὲ ὅπως αὐτῷ μὴ ξὺν βίᾳ τὰ τῆς ἀποφάσεως γίνοιτο, ἐνενόει τοιάδε. τὸ ξυμμαχικὸν ἀποτεμόμενος ἅπαν ἐκέλευε τοῦ ποταμοῦ κατόπιν ὡς ἐπὶ χωρίον Τέμπον οὕτω καλούμενον ἐλθόντας, ἔνθα βουνός τις ἐκ τῆς τῶν Οὔννων φυόμενος χώρας ἄχρι ἐς τὸν ποταμὸν διήκει, ἐντεῦθεν περαιοῦσθαι· ὁ δὲ σὺν τῷ ἄλλῳ Ῥωμαίων στρατῷ ἀντικρὺ φρουρίου Χράμου ἑστὼς δόκησιν παρεῖχεν ὡς ἐκεῖθεν αὐτίκα μάλα P 6 περαιωθησόμενος. οὗ δὴ γεγονότος ἀμογητὶ Ῥωμαῖοι διέβαινον, Οὖννοί τε μηδὲ τὴν πρώτην αὐτοὺς ὑποστάντες ἀνὰ κράτος λοιπὸν ἔφευγον, καὶ ἡ δίωξις ἄχρι ἐς ποταμὸν ἐγένετο, ἔνθα τῶν Οὔννων τῇ γεφύρᾳ ἀθρόον ᾗ τὸν ποταμὸν ἐζεύγνυ ξυμπεπτωκότων, αὐτὴν μὲν κατασπασθῆναι ξυνέβη, τῶν δὲ πλείστους μὲν τῷ ποταμῷ V 5 παρασυρέντας ἐνταῦθα δὴ τὰς ψυχὰς ἀπερεύξασθαι, πολλοὺς δὲ καὶ χερσὶν ἁλῶναι Ῥωμαϊκαῖς, ἐν οἷς Ἀκούσης καὶ Κελαδῆς ἤστην, ἄνδρες ὀνομαστότατοι παρ᾽ Οὔννοισι. ταῦτα κατωρθωκὼς ὁ βασιλεὺς τὸ Χράμον τε αὐτοβοεὶ παραστησάμενος φρούριον αὐτίκα ἐπὶ τὴν Ῥωμαίων αὖθις μετέβαινε, πόλιν τε Βρανιτζοβὰν στρα- B τιωτῶν ἀσφαλείᾳ κρατηνάμενος, ὧν Κουρτίκιος ἦρχεν, ἐς Βυ-

5. κελευσθὲν] Cod. κελευθέν. 6. ἀποφάσεως] ἀποβάσεως? 17. παρασυρέντας] Cod. παρασυρρέντας. ibid. ἀπερεύξασθαι] Cod. ἀπερρεύξασθαι. 19. Οὔννοισι] Οὔννοις? ibid. κατωρθωκὼς] Cod. κατορθωκώς.

Stephanus etsi corpore invalidus in interioribus regni partibus aegritudine detineretur, nulla interposita mora, vires quam potest maximas contrahit, quibus imperatorem progredi ultra prohiberet, suis hoc dans in mandatis ut in transistriana regione manerent. iussis paruerunt Hungari. imperator vero, ut quae negari videbantur absque vi ulla exequeretur, haec comminiscitur. separata sociorum auxilia iubet retro a flumine veluti ad Tempum locum sic dictum progredi et qua collis quidam ex Hungarorum terra exsurgens ad fluvium usque protenditur, amnem superare: dum ipse cum reliqua parte exercitus ex adverso Chrami castelli consistens, fingit eo sese confestim suos transmissurum. quo facto nullo negotio Romani transiverunt: ac ne primum quidem Hungari sustinentes impetum totis viribus in fugam se coniecere. insequentibus ad flumen usque Romanis, universaque Hungarorum turba in pontem qui Istrum iungit confluente, pons ipse disruptus complures in amnem praecipitat et extinguit: plurimi in manus Romanorum veniunt, quos inter viri fuere magni apud Hungaros nominis, Acuses et Celapes. his feliciter gestis imperator, Chramoque castello primo impetu expugnato, confestim in Romanorum regionem rursum transvolat, urbeque Branizova militari praesidio, cui Curticium praeposuit, munita Constanti-

ζάντιον ἦλθεν. Οὖννοι δὲ οὐ πολλῷ ὕστερον Βρανιτζοβάν τε περικαθίσαντες εἷλον, καὶ τῶν ἐν αὐτῇ Ῥωμαίων οὓς μὲν ἔκτειναν οὓς δὲ ἐζώγρησαν· ἦσαν δὲ οἳ καὶ φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσαντο. ἐφ' οἷς χαλεπήνας βασιλεὺς Κουρτίκιον μὲν προδοσίας ἐγκλήματι ὑποδικάζει καὶ πολλὰς αὐτῷ ξαίνει κατὰ τῶν νώτων, καίτοι οὐ πρότερον ἐκεῖνος τειχέων ἀφίστατο πρὶν ἢ (φασὶν) οἱ πολέμιοι εἰσερρέοντο πανστρατὶ ἐπὶ τὴν πόλιν καὶ πυρὶ τὰς οἰκοδομὰς ἔφλεγον.

C 5. Ὑπὸ τοῦτον τὸν χρόνον καὶ Σέρβιοι, ἔθνος Δαλματικόν, ἐς ἀποστασίαν ἰδόντες τὸ Ῥάσον κατεστρέψαντο φρούριον. οὗ δὴ ἕνεκα καὶ Κριτόπλον βασιλεὺς ἀμυνόμενος, ὃς τὴν τοῦ φυλακτηρίου τοῦδε ἐπετρέψατο τήρησιν, γυναικείαν ἐνδεδυκότα στολὴν διὰ τῆς ἀγορᾶς ἦγεν ὄνῳ ἔποχον. ὁ δὲ ἐν Βρανιτζόβῃ τὸ δεύτερον γεγονὼς ἀνοικοδομεῖν αὐτὴν σπουδῇ ἐποιεῖτο. χρόνου γοῦν ἐς τὸ ἔργον τριβομένου ξυνέβαινε χειμῶνι καὶ σπάνει τῶν ἀναγκαίων δυσπαθοῦν τὸ στρατιωτικὸν ἐς ἄγαν ταλαιπωρεῖσθαι. ὃ πυθόμενος ὁ τῶν Παιόνων ῥὴξ ἔγνω τὴν ταχίστην τὸν Ἴστρον δια-
D βὰς οὐδὲν προειδομένοις ἐπιθήσεσθαι τούτοις. ἦν δέ τις ἐν τῇ τῶν Οὔννων χώρᾳ γυνὴ Λατίνα μὲν γένος, πλούτῳ δὲ καὶ τῇ ἄλλῃ περιφανείᾳ διαφέρουσα. αὕτη παρὰ βασιλέα πέμψασα δῆλα καθίστη τὰ μελετώμενα. ὁ δὲ ἐπειδὴ μὴ εἶχεν ἐξ ἀντιπάλου δυνάμεως αὐτοῖς ξυμπλακήσεσθαι, ἅτε νόσῳ καὶ σπάνει τῶν ἀναγκαίων ἧπερ εἴρηται προκατεργασθέντος αὐτῷ τοῦ στρατεύματος,

7. εἰσερρέοντο] Fort. εἰσέρρεόν τε. 11. ὃς] Fort. ᾧ. 13. Βρανιτζόβῃ] Supra bis fuit Βρανιτζοβά. 14. σπουδῇ] Malim σπουδήν.

nopolim revertitur. at non multo post obsessam Branizovam occuparunt Hungari, caesis partim, qui in ea reperti sunt Romanis, captis aliis, aliquot etiam fuga elapsis. id factum graviter accipiens imperator Curticium die indicta proditionis reum condemnat tergumque illius flagris caedi imperat, licet ille non prius, quam hostes cum universo exercitu urbem irrupissent incendissentque aedificia, cessisset moenibus.

5. Eadem ferme tempestate Servii, Dalmatica gens, a fide deficientes Rasum castellum everterunt. qua de causa imperator in Critoplum, cui demandata fuerat loci custodia, animadvertit, indutumque muliebri stola et asino impositum per forum traduxit. Branizovam deinde versus expeditione iterum sumpta, instaurari urbem quantocius curat. diebus vero compluribus in hoc opere consumptis, prae hieme et rerum necessariarum penuria exercitum vehementer laborare contigit. quod ut comperit Hungariae rex, statuit Istro quam citissime superato inopinantes ac nihil metuentes tale invadere. erat autem apud Hungaros mulier natione Latina, quae divitiis et generis nobilitate ceteris antistabat. illa hostium consilia per legatos aperuit imperatori. at ille cum viribus longe impar signa conferre cum hoste non auderet

τὴν πόλιν ὅποι δυνατὰ τειχισάμενος ὀπίσω ἐχώρει. ὅπως μέν-
τοι μὴ τῶν Οὔννων στράτευμα συμμῖξαι αὐτῷ γένοιτο, διά τι-
νων ἐρυμνῶν καὶ ἀποκρήμνων χωρίων τὴν πορείαν ἐτίθετο·
ἀμέλει καὶ Κακὴ σκάλα ἐγχωρίως ὁ τόπος ὠνόμασται. ἔνθα ὁ
τῶν Οὔννων στρατὸς αἰφνίδιος ταῖς οὐραγούσαις ἐπεισπεσὼν φά-
λαγξιν, ἄλλῳ μὲν οὐδενὶ Ῥωμαίους ἐζημίωσαν, τεμάχια δὲ τῶν P 7
τὴν βασιλικὴν ξυμπληρούντων αὐλὴν παραπετασμάτων ὑποζυγίων
ἀπορίᾳ περιορασθέντα ἀνελόμενοι ἀνεχώρησαν, καὶ τὸ Ῥωμαίων
στράτευμα ἀσινὲς ἐκεῖθεν διαγέγονεν. ὀλίγῳ δὲ ὕστερον ἐπὶ τὴν
Ἀσίαν βασιλεὺς διέβη, πόλιν Κασταμονα Παφλαγόσι πρόσοικον
ἐξελεῖν ἐπειγόμενος. Πέρσαι γὰρ οἱ ἐνταῦθα ᾠκημένοι ἐπὶ τὴν
πλησιόχωρον καὶ βασιλεῖ κατήκοον ἐξορμώμενοι ἐκεῖθεν ἀεὶ κακῶς
τοὺς τῇδε Ῥωμαίους διετίθεσαν. ἐκπλήξας τοίνυν αὐτοὺς τῷ με-
γέθει τῆς ἐς τὸν πόλεμον παρασκευῆς, τήν τε πόλιν καὶ σφᾶς
αὐτοὺς προδοῦναι Ῥωμαίοις ἠνάγκασεν, οὕτω τε ἐς Βυζάντιον
ἐπανιὼν μεγαλοπρεπέστερα ἐπόμπευσεν. ὅτε καὶ ἅρμα ἀργύρου
μὲν πεπηγμένον, χρυσῷ δὲ κατακόρως ἀληλιμμένον ἡτοίμησε μὲν B
ὡς ἐπιβησόμενος, οὐ μέντοι καὶ ὠχήσατο τούτῳ δι' ὑπεροψίας
ἴσως παραίτησιν· ἀμέλει καὶ εἰκόνα τῆς θεοτόκου ἐνθέμενος αὐ-
τῷ, ὃ μὲν σὺν τῷ σταυρικῷ προῆλθε σημείῳ, τὸ δὲ ἐχώρει,
θαῦμά τε ἦν Βυζαντίοις ὁρᾶν, ὅπερ οἶμαι οὔπω μέχρι καὶ τότε V 6

1. ὅποι] Malim ὅπη. 6. τεμάχια] Cod. τεμμάχια. 16. μεγαλοπρεπέστερα] Fort. μεγαλοπρεπέστατα. 17. ἀληλιμμένον] Cod. ἀληλειμμένον. cfr. supra p. 63. a. et Leon. Diac. Hist. 9, 5. *ibid.* ἡτοίμησε] ἡτοίμασε?

(morbi quippe et rerum necessariarum inopia, uti ante dictum est, exercitum illius non modice imminuerant), urbe utcumque munita retro cessit: neve cum Hungarorum copiis congredi necesse haberet, per loca impedita ac praerupta iter instituit, unde et Mala scala ab incolis locus iste appellatur. ibi in novissimi agminis cohortes de improviso irruentes Hungari, cetera quidem nihil Romanis nocuerunt, raptisque tantum aulaeorum, quibus insterni solet imperatoris tabernaculum, fragmentis, quae inopia iumentorum relicta neglectaque erant, redierunt: sicque Romanorum exercitus nullo periculo inde excessit. haud multo post in Asiam contendit imperator, urbem Castamonem Paphlagonibus finitimam expugnare statuens. Persae enim qui eam incolebant, regiones vicinas et imperatori subditas excursibus variis fatigabant, indeque Romanos non paucis afficiebant incommodis. hos magnitudine apparatus bellici exterritos et se et urbem dedere compulit, ac Byzantium deinde reversus magnificum egit triumphum. carpentum enim argento compactum, obductumque auro undique, tamquam in eo sessurus, parari iussit. non ascendit illud tamen, fortasse ne in superbiae crimen incurreret; sed imagine dei genitricis imposita, ipse crucis signum prae manibus gestans antecessit. sic processit carpentum, resque miraculi instar a Byzantinis

κατεῖδον ἐξ ὅτου Ἡράκλειοι καὶ Ἰουστινιανοὶ τὴν Ῥωμαίων διεῖπον ἀρχήν.

6. Ῥωμαίων οὖν ὁ δῆμος ἐν τούτοις ἦν. Τανισμὰν δὲ ὃς Καππαδοκίας ὑπὸ τοῦτον ἦρχε τὸν χρόνον Κασταμόνα στρατεύματι περιλαβὼν ἐπολιόρκει. ἐπειδή τε βασιλεῖ ἐς τὸν πόλεμον ἤδη καθισταμένῳ τύχη τις ἐμποδὼν ἐγένετο (ἥ τε γὰρ ξύνοικος Εἰρήνη ἐξ ἀνθρώπων ἠφάνιστο, ὁ δὲ νόσῳ ἁλοὺς ἐς Βυζάντιον ἀνεκομίσθη), C λιμῷ τὸ πρότερον αὐτὴν κατατρίψας εἶτα καὶ τειχομαχήσας εἷλεν. ὃ δὴ ξυνενεχθὲν μεγάλα τῆς βασιλέως καθίκετο ψυχῆς. ἐπειδὴ γοῦν τύχῃ τινὶ Τανισμὰν μεταξὺ τὸν βίον καταστρέψαντος Μαχούμετ ἐπὶ τῆς ἀρχῆς καταστὰς διάφορος τῷ φυλάρχῳ τῆς Ἰκονίου γένοιτο πόλεως, ὃν δὴ Σουλτὰν τῶν ἄλλων ὑπερτιθέντες ὀνομάζουσι Πέρσαι, πρέσβεις εἰς Ἰκόνιον στείλας, ἐπειδήπερ ἐς τὸ φίλιον αὐτῷ ξυνεγένετο, Ῥωμαίοις ξυμμαχήσειν κατὰ Μαχούμετ ἀνέπεισεν. ἧκε τοίνυν οὐκ ἐς μακρὰν τῶν παρ' αὐτῷ τις ἐπιφανῶν ἅμα στρατεύματι ὁμηρεύσων τε ἅμα καὶ τοῦ D πολέμου συνεφαψόμενος. βασιλεὺς μὲν οὖν οὕτω ξὺν τοῖς εἰρημένοις ἐπὶ Γάγγραν ἐλθὼν πρὸ τοῦ ταύτης περιβόλου τὴν στρατοπεδείαν ἐπήξατο, ἐν παρασκευῇ ὢν ὡς ἐς νέωτα τειχομαχήσων. ἀλλὰ Μαχούμετ οὔκουν ἀξιόμαχον ἑαυτὸν βασιλεῖ ἐπιστάμενος δεῖν ἔγνωκε τὸν Σουλτὰν ἑταιρίσασθαι ἄλλως τε καὶ κατὰ γένος αὐτῷ προσήκοντα. καὶ τοίνυν τὰ διάφορα λύσαντες κατὰ Ῥωμαίων καὶ ἄμφω ξυνεπνευσάτην, οἵ τε ξύμμαχοι Πέρσαι μετάπεμπτοι πρὸς

visa, quod a nemine, ut opinor, factitatum noverant, ex quo Heraclii et Iustiniani imperium obtinuere.

6. Dum haec apud Romanos gererentur, Tanisman, qui ea tempestate Cappadociae imperabat, Castamonem obsidione cingit et oppugnat. imperatorem autem bellicis iam consiliis occupatum acerbus casus afflixit, quippe Irene Augusta excesserat e vivis, ipseque acri conflictatus morbo Byzantium fuerat relatus. urbem igitur fame prius attritam, deinde et vi expugnando cepit Tanisman: quae res principis animum graviter afflixit. interea nescio quo casu extincto Tanismane, cum inter Machumetum qui imperium erat adeptus et Iconii phylarchum, quem Sultanum ceteris anteponentes principibus vocant Persae, simultas intercederet, imperator missis Iconium legatis, ut secum amicitiam et societatem adversus Machumetum contraheret, illi persuasit. venit itaque non multo post quidam ex primatibus ab illo submissus cum exercitu, et obses et belli pariter socius futurus. imperator igitur cum iis copiis Gangram profectus, castra fixit ante urbis moenia, seque hac ratione composuit, tamquam oppugnationem sequenti anno suscepturus: at Machumet, cum se Romano principi cerneret imparem, necessarium censuit Sultanum ad suas partes allicere, cui ceteroquin affinitate iunctus erat. diremptis igitur simultatibus in Romanos una conspirant, ac

τοῦ Σουλτὰν γεγονότες νυκτὸς ᾤχοντο φεύγοντες. γνοὺς οὖν τὴν
ἐπιβουλὴν βασιλεὺς ἐν ἀθυμίᾳ πολλῇ ἦν καὶ βεβούλευται παρ' P 8
αὐτὰ ἐκεῖθεν ἀναζευγνύειν. ἀλλά τινες μοναχοὶ κατά τινα τύχην
ἐνταῦθα παρόντες ἀπέλεγον πρὸς τὴν ἐγχείρησιν, μονονουχὶ θαρ-
σεῖν αὐτῷ τὰ ἐπὶ τῆς Γάγγρας ἁλώσει διατεινόμενοι. οἷς ἀνα-
πεισθεὶς τῇ ὑστεραίᾳ τῷ περιβόλῳ προσέβαλεν, ἐκεῖθεν δὲ ἀπο-
κρουσθεὶς ἐπὶ Ῥυνδακηνὴν μετέβη, ἐνταῦθά τε παντὶ τῷ στρατῷ
διεχείμαζεν. ἔνθα Ῥωμαίοις πολύν τινα διατρίβουσι χρόνον,
ἐπειδὴ μὴ εἶχον ὅθεν χειμῶνος ἐσκομίσονται τὰ ἐπιτήδεια, ξυνέ-
βαινεν ἤδη λιμῷ πιέζεσθαι. ἄρας τοίνυν ἐκεῖθεν ἐπὶ Κασταμόνα
ἦλθεν, ὁμολογίᾳ τε ταύτην ἑλὼν ἐπὶ Γάγγραν μετῆγε τὸ στράτευ- B
μα. Πέρσαι τοίνυν οἱ τὴν πόλιν κατεῖχον δυνάμεις ἐπὶ Ῥυνδα-
κηνῆς ἀθροιζομένας καὶ πάλιν μεμαθηκότες, τὸ μὲν πρῶτον
ὤκνουν βασιλεῖ τὴν πόλιν ἐνδοῦναι, ἐλπίσιν ἐπικουρίας εἰς τοῦτο
φερόμενοι. ἐπεὶ δὲ αἱ μὲν εἰρημέναι δυνάμεις οὔπω ἔτι ἐς ταὐτὸν
ξυνελθοῦσαι διελύοντο αὖθις (χειμῶνος γὰρ ὥρᾳ στρατεύειν ἀδύ-
νατα εἶχον, καθάπερ ἐν τοῖς ἔμπροσθέν μοι δεδιήγηται), ὑπ'
ἀνάγκης ἀπειρηκότες τὴν πόλιν αὐτῷ παρέδοσαν ἐπὶ ὁμολογίᾳ τοῦ
αὐτούς τε καὶ τοὺς ὅσοι Τανισμὰν ἔτι περιόντος δορυάλωτοι Ῥω-
μαίοις ἐγένοντο ἀθώους τῆς Ῥωμαϊκῆς ἀπαλλάξαι χειρός. ἀλλὰ
Πέρσαι ἀντὶ τῆς ἐν χερσὶν ἐλευθερίας αὐθαίρετον προελόμενοι C
δουλείαν εὐνοίας τε τῆς παρὰ βασιλέως ἔτυχον καὶ προσθήκη δυ-
νάμεως οὐκ ἀγενὴς Ῥωμαίοις ἐγένοντο.

Persae auxiliares revocati a Sultano noctu fuga dilabuntur. dolo cognito, imperator non mediocri animi anxietate perculsus, castra inde movere confestim statuerat, nisi quidam monachi, qui tum forte aderant, a consilio avocassent, persuasissentque ut coeptis insisteret et Gangrensis urbis expugnationem cum fiducia aggrederetur. his obsecutus moenia postridie adoritur: verum inde repulsus ad Rhyndacum recedit, exercitumque in hibernis locat. Romani longo istic tempore commorati, atque abs re frumentaria, cuius propter hiemem haud facilis erat transvectio, non modice laborarunt, adeo ut fames complures oppresserit. Castamone itaque inde repetita et certis recuperata conditionibus, Gangram exercitum reduxit. at Persae, qui civitatem tenebant, cum resciissent congregatas rursum ad Rhyndacum militares copias, urbem imperatori tradere primo quidem detrectarunt, auxilium inde sibi submittendum rati. verum ut hae copiae, antequam in unum convenirent, rursum dissipatae sunt (instante quippe hiemali tempore, ut supra commemoravimus, bellum geri non posse putant), necessitate adacti, hac urbem conditione dediderunt, ut et ipsi et qui superstite adhuc Tanismane, bello capti erant a Romanis, ex eorum manibus et potestate innoxii dimitterentur. sed enim Persae concessae sibi libertati spontaneam praeferentes servitutem, imperatoris gratiam promeruere, et non ignobilem copiis Romanis fecere accessionem.

7. Τὸ δ' ἐντεῦθεν τὰ τῶν Ἰσαυρικῶν πολέμων ἀρχὴν Ῥω-
μαίοις εὕρατο. Λεβούνης γὰρ ἀνὴρ Ἀρμένιος ἄλλας τε ὡς πλεί-
V 7 στας τῶν Ῥωμαίοις κατηκόων πόλεις εἷλεν Ἰσαυρικὰς καὶ δὴ καὶ
τὴν Σελεύκου πολιορκεῖν ἐπεβάλετο. ὃ πυθόμενος βασιλεὺς, τὰς
δυνάμεις ἀγείρας τάχει πολλῷ ἐπ' ἐκεῖνον ἵετο. τούτου δὴ ἕνεκα
βασιλεὺς ἐπὶ τὴν Κιλίκων ἐστέλλετο καὶ οὗπερ ἄρτι δηλώσω. Βαϊ-
μούνδου ὃς Ἀντιοχέων ἦρχεν ἐξ ἀνθρώπων ἠφανισμένου, οἱ τῆς
D χώρας προὔχοντες ἐπὶ βασιλέα πέμψαντες ἔφασαν, ὡς εἴτε βουλο-
μένῳ αὐτῷ εἴη θυγατέρα τὴν Βαϊμούνδου τῷ ὑστάτῳ τῶν παίδων
ξυνοικεῖν τῷ Μανουὴλ, αὐτίκα μετὰ κῆδος τὰ Ἀντιοχέων ὑπ' αὐ-
τῷ πράγματα ἔσται. ἀλλ' οὔπω ἔφθη τῇ Κιλίκων αὐτὸς ἐπιβῆ-
ναι, καὶ τοῦ σκοποῦ μεταθέμενοι ἀντὶ φίλων τε καὶ ξυμμάχων
πολεμιώτατοι τούτῳ κατέστησαν. οὐκ ἀξιομάχους γε μὴν ἑαυ-
τοὺς τῇ Ῥωμαίων εἰδότες στρατιᾷ δεῖν ἔγνωσαν καὶ Λεβούνην σφί-
σιν ἐπιστήσασθαι. ἀμέλει καὶ τῆς φρουρᾶς τὸν ἄνθρωπον ἐξε-
λόντες, ἔνθα ἐπειδὴ πολέμῳ περιγεγόνασι καθείρξαντες αὐτὸν
ἐτήρουν, τὰ πιστά τε παρ' αὐτοῦ λαβόντες ἐφ' ᾧ φίλον καὶ ξύμ-
P 9 μαχον κατὰ βασιλέως αὐτοῖς ἔσεσθαι, ξὺν φιλοφροσύνῃ ἀπέλυσαν.
βασιλεὺς δὲ ἐς τὴν Κιλίκων παρελθὼν Μοψουεστίαν τε εἷλε, καὶ
Ταρσοῦ καὶ Ἀδάνης περιγεγονὼς πρὸ Ἀναζάρβου τὸν χάρακα πή-
γνυται. ἐν ᾧ δὲ ταῦτα ἐγίνετο ξυνέπεσέ τι τοιοῦτον. τῷ κόμητι
Πετούης, ἣ περὶ κόλπον ἵδρυται τὸν Ἰόνιον, παῖδες γίνονται δύο.
ὧν ὁ μὲν τοῦ πατρὸς τετελευτηκότος εἰς τὴν πατρῴαν καθίσταται

8. εἴτε] Fort. εἴγε. 13. γε μὴν] Cod. γε μέν.

7. Exinde res Isauricae initium belli dederunt. nam Livo, vir Armenius, complura oppida ex iis quae Romanis parebant subegerat, ipsamque Seleuciam statuerat obsidere. quae postquam imperatori comperta sunt, contractis confestim copiis, obviam proficiscitur. cum hac igitur tum alia de causa, quam nunc ipsam dicam, imperator in Ciliciam contendit. Boemundo, qui Antiochiae praeerat, extincto, regionis primores ad imperatorem mittunt nuntiantque, si Boemundi filiam cum Manuële, ultimo ex liberis, matrimonio copulari pateretur, Antiochenum principatum in sua potestate fore. at nondum ille in Ciliciam venerat, cum Antiocheni mutato consilio e sociis et amicis Manuëli facti sunt hostes infensissimi. viribus autem inferiores se Romanis videntes, Livonem in suas partes perducendum putarunt. eductum igitur carcere hominem, quem bello captum in vinculis habebant, libertate donant, hac conditione fideque in id interposita, ipsum amicum et socium fore in posterum, et contra Romanos una secum militaturum. imperator vero Ciliciam ingressus, Mopsuestiaque et Tarso et Adana potitus ad Anazarbum castra ponit. interea dum haec aguntur hoc accidit. Pictavorum, quae regio est ad sinum Ionium, comes filios habebat duos, quorum alter extincto parente paternum adeptus est principatum, alter mendici as-

ἀρχήν, ὕστερος δὲ ἐν πένητος σχήματι ἐς τὸν ἐν Ἱεροσολύμοις νεὼν παραγίνεται. ἐπειδή τε αὐτὸν ὁ νεωκόρος ἴδοι, κάλλους τε καὶ μεγέθους ἐκπεπληγμένος ἐπυνθάνετο προσιὼν ὅστις εἴη δηλῶσαι αὐτῷ, ὁ δὲ συνεῖρε μὲν ἐξ ὧν ἥκιστα δηλωθήσεσθαι ᾤετο, πείθειν δ᾽ οὐκ ἔχων ἔκφορα λοιπὸν τὰ περὶ ἑαυτοῦ καθιστᾷ. ὁ δὲ B τούτων ἀκούσας, δρομαῖος ἐς τὸν ῥῆγα παρελθὼν παρ᾽ αὐτὰ τὸν ἄνδρα ἐμήνυσε, καὶ ὃς ὡς ἑαυτὸν τὸν Ῥαϊμοῦνδον μεταπεμψάμενος (τοῦτο γὰρ αὐτῷ ὄνομα ἔκειτο) τῇ Βαϊμούνδου ξυνοικήσειν ἀνέπειθε θυγατρὶ οὔπω ἔτι εἰς ἡλικίαν ἀφιγμένῃ. ὁ μὲν οὖν ἀπῄει ὡς τῇ Ἀντιόχου λοιπὸν ἐπιβησόμενος, καὶ τύχῃ τινὶ τοῖς Ῥωμαϊκοῖς σκοποῖς ἐμπεσὼν ἐγγὺς μὲν ἁλῶναι ἐγίνετο· τῶν γάρ τις στρατιωτῶν ἐπιόντα τοῦτον ἐπιστὰς παίει κατὰ τοῦ κράνους, καὶ εἰ μὴ ἀμφοτέραις τοῦ ἱππείου ἐπιλαβόμενος αὐχένος ἐπίσχε τὸν ὄλισθον πλεῖστοί τε ἤδη τῶν ἑπομένων συνέστησαν, ὕπτιος ἂν παρ᾽ αὐτὰ ἐξεκυλίσθη. ὁ μὲν οὕτω τὸν κίνδυνον διαφυγὼν ἐς C Ἀντιοχείαν ἦλθε, βασιλεὺς δὲ Ἀνάζαρβον ἐνέκειτο πολιορκῶν. ἀλλ᾽ οἱ ἔνδον ἀπρακτῆσαί οἱ μηχανώμενοι τὴν ἐγχείρησιν, σιδήρια ἱκανῶς τῷ πυρὶ διακαίοντες ἐπὶ τὰ πετροβόλα τῶν μηχανημάτων ἠφίεσαν, τὰ δὲ ταῖς ἐμπροσθίοις αὐτῶν ξυλίναις πελάζοντα κίοσιν ἐνεπίπρων αὐτίκα. τοῦτο πολλάκις γινόμενον εἰς ἀθυμίαν ἐνῆγε τὸν βασιλέα. ὀψὲ γοῦν ἀλύοντι προσελθὼν Ἰσαάκιος "ἀλλὰ ἄγε ὦ πάτερ πλίνθοις" ἔφη "περιειλῆφθαι κέλευε τὰ ξυλώματα" οὐ

4. συνεῖρε] Cod. συνεῖρμα.

sumpto habitu templum adiit Hierosolymitanum. eum simul ac conspicatus est aedituus, miratus staturam viri et formam, accessit et percontatus est quis esset. ille vero ea respondit primum, e quibus minime se agnitum iri arbitraretur. verum ubi persuaderi non posse aedituo perspexit, quae vera essent tandem omnia de se retulit. quibus cognitis aedituus confestim ad regem perrexit virumque prodidit. rex vero accito Raimundo (id enim ipsi nomen) suasit, ut uxorem duceret Boëmundi filiam, quae nondum pubertatis annos attigerat. atque ille dum iter instituit versus Antiochiam, forte incidit in speculatores Romanos, nec multum abfuit quin captus fuerit. aggredienti enim miles quidam obversus galeam percussit, ut, nisi utraque manu comprehensa equi cervice praecavisset lapsum subvenissentque non pauci comitum, pronus haud dubie ad terram decidisset. ita vitato periculo Antiochiam pervenit. imperator interea Anazarbi oppugnationi totus incumbebat. oppidani contra irritos facere impetus hostiles conantes, candentia igne ferramenta in machinas quibus emittuntur lapides iaculantur, quae anteriores earum e ligno columnas extemplo incenderunt. res illa saepius repetita animum imperatoris graviter pupugit. anxium tandem et sollicitum sic adorsus est Isaacius filius: „quin iubes pater lignamenta obduci tegminibus limo

γεγονότος οὐκ ἔτι ταῖς συχναῖς προσβολαῖς οἱ ἔνδον ἀντέχειν δεδυνημένοι τὰς πύλας ἀναπετάσαντες τὸν Ῥωμαίων εἰσεδέχοντο στρατηγόν.

D 8. Ἀνάζαρβος μὲν οὖν τοῦτον τὸν τρόπον ὑπὸ Ῥωμαίους ἐγένετο. Ῥαϊμοῦνδος δὲ καὶ Βαλδουῖνος, ὃς Μαρανσίου κατ' ἐκεῖνον τὸν χρόνον ἡγεμονεύων ἦν, ἕως μὲν οὔπω ἐπὶ θύραις ὁ κίνδυνος ἵστατο, στράτευμα ἀγείραντες ἱκανὸν ἐπὶ Παλαιστίνην ἠπείγοντο τὸν τῇδε ῥῆγα τοῦ κινδύνου ἐξαιρησόμενοι. Σαρακηνοὶ γὰρ οἱ Παλαιστίνοις προσοικοῦσι πολέμῳ περιγεγονότες αὐτοῦ, ἐς τὸ V 8 Μουντάφαρας φρούριον ἀνασωθέντα ἐπολιόρκουν. ἐπεὶ δὲ βασιλεὺς Ἀνάζαρβον ἤδη παραστησάμενος ἐπὶ τὸ Βακᾶ ἐχώρει P 10 κρησφύγετον, δείσαντες περὶ τῇ Ἀντιόχου σπουδῇ καὶ πάλιν ἐπ' ἐκείνην ᾔεσαν. ἐν τούτῳ δὲ καὶ ὁ Ῥωμαίων στρατὸς τὴν Βακᾶ ὑπερθέμενος πολιορκίαν περὶ ποταμὸν ὃς τὴν πόλιν αὐτοῖς παραρρεῖ τὸν χάρακα ἐπήξατο. Ἀντιοχεῖς δὲ τὸ μὲν πρῶτον ἄτρεστοι ἦσαν, τειχέων τε καρτερότητι καὶ τῇ ἄλλῃ ἀσφαλείᾳ πιστεύοντες. ὅθεν καὶ ἐπειδή ποτε τῆς πολιορκίας ἐφ' ἱκανὸν παρατεινομένης τῶν ἐκ καταλόγου τινές, ὁποῖα ἐν πολλῷ στρατεύματι γίνεσθαι εἴωθεν, ἐς τοὺς πρὸ τῆς πόλεως ἐκδραμόντες κήπους ἐδρέποντο τῶν ὀπωρῶν, αἰφνίδιοι κατ' αὐτῶν ἐπελάσαντες πολλοὺς ἔκτειναν. συναισθήσεως δὲ γενομένης καὶ τῶν Ῥωμαίων στρατιωτῶν σπουδῇ βεβοηθηκότων, ταῖς πύλαις ἐνέπεσον φεύγοντες πολλοὺς τῶν B σφετέρων ἐν τῷ φεύγειν ἀποβαλόντες. ἐπεὶ δὲ Ῥωμαῖοι τειχομαχίας ἤδη ἥπτοντο, εἰς πολλήν τινα ἐνέπεσον ὀρρωδίαν. ὅθεν καὶ συ-

9. τὸ Μουντάφαρας] Tollius τὰ Μουντάφαρα.

confectia." quod ubi factum, ad frequentem depellendam vim non amplius idonei oppidani, portis apertis copias Romanorum recepere.

8. Sic in Romanorum ius concessit Anazarbus. Raimundus interea et Balduinus, qui ea tempestate Maresiae praeerat, cum nondum praesens adesset discrimen, cum exercitu propero itinere in Palaestinam contendunt, quo regi, qui istic periclitabatur, subvenirent. hunc enim Saraceni Palaestinis conterminí, praelio facti superiores in castello Montisferrandi, quo se fuga contulerat, oppugnabant. imperator Anazarbo potitus ad castrum Bacam progreditur, cuius praesidiarii milites Antiochiae metuentes, eo se denuo receperunt. Romanorum interea exercitus, postposita Bacae obsidione, ad flumen quod urbem allambit, castra locat. Antiocheni primo quidem apparuere intrepidi, murorum robori ceterisque confisi munimentis: unde protracta in longum tempus obsidione, dum quidam ex numeris militaribus, ut fieri solet in numeroso exercitu, in vicina et urbi adiacentia prorumpunt pomaria decerpuntque fructus, improviso eos adorti, complures ceciderunt. verum re percepta Romanisque militibus aliis subvenientibus, portas tumultuario repetunt, multis suorum in fuga amissis. at instituentibus oppugnationem Romanis in magnam trepidationem venere, adeo ut

χνὰ ἐπὶ βασιλέα Ῥαϊμοῦνδος ἐξιὼν θερμῶς ἐλιπάρει τὴν πόλιν αὐτῷ παραδιδοὺς ἐφ᾽ ᾧ βασιλέα μὲν κύριον εἶναι καὶ λέγεσθαι, τὸν δὲ δικαίῳ τῷ ἐξ αὐτοῦ ταύτης ἐπιτροπεύειν. ἀποτυγχάνων δὲ ὧν ἐδεῖτο ἄπρακτος ἀνεκομίζετο· ἡμέραις δὲ ὀλίγαις ὕστερον τῆς Ῥωμαίων βουλῆς περὶ τούτου ψηφισαμένης, αὐτός τε προσεδέχθη ἐφ᾽ οἷς εἴρηται καὶ αἱ λοιπαὶ Λατίνων δυνάμεις βασιλεῖ προσεχώρησαν, οἵ τε παρ᾽ αὐτοῖς Φρέριοι λεγόμενοι καὶ οἱ τὴν χώραν περιοικοῦσι. ταῦτα μὲν ὧδε ἐγένετο. βασιλεὺς δὲ Ἰωάννης τηλικαύτην καιροῦ ξυντυχίαν μηδαμῇ καταπροήσεσθαι θέλων ξὺν δυνάμεσι ταῖς εἰρημέναις εἰς τὴν ἀνωτάτω ἐμβάλλει Συρίαν, τὸ C Πιζᾶ τε φρούριον πολέμου νόμῳ λαβὼν καὶ λαφύρων μέγα τι χρῆμα ἐντεῦθεν περιβαλόμενος, τὰ μὲν ἅμα τῷ πλήθει τῶν ἀνδραποδισθέντων ἀνθρώπων ἐπὶ Ἀντιοχείας ἔπεμψε Θωμᾶν ἐπιστήσας αὐτοῖς, ἄνδρα ἐξ ἀσήμων μὲν γεγονότα τοῖς δὲ βασιλέως ὑπογραμματεῦσιν ἐκ παίδων οἶμαι κατειλεγμένον· ὃ δὲ ἐπὶ Βέρροιαν ἐχώρει πόλιν ἀρχαίαν καὶ λόγου πολλοῦ ἀξίαν. ἀλλὰ Θωμᾶς μὲν οὐκ εἰς μακρὰν πολεμίων αἴφνης ἐπιθεμένων αὐτῷ ἅ τε ἐπήγετο λάφυρα καὶ τῶν αἰχμαλωτῶν τὸν ὅμιλον ἀποβεβληκὼς μόγις αὐτὸς τὸν κίνδυνον ἔφυγε· βασιλεὺς δὲ πρὸς Βέρροιαν γεγονὼς ἐπειδὴ παντάπασιν ἄνυδρον χώρᾳ τῇ ἐκτὸς αὐτὴν κατενόει, τὴν D μὲν παρῆλθε, Χαμᾶ δὲ καὶ Χαβαρδᾶ ἐξ ἐφόδου παραστησάμενος φρούρια ἐπὶ Σέσερ μετέβη, πόλιν εὐδαίμονά τε καὶ πολυάνθρω-

5 αὐτός τε] Cod. αὐτὸς δέ. 7. Φρέριοι] Cod. Φαίριοι. correxit Duc. 12. περιβαλόμενος] Cod. περιβαλλόμενος.

Raimundus ad imperatorem accederet crebrius supplexque deprecaretur, urbem acciperet hac conditione, ut imperator quidem illius esset dominus et diceretur, ipse autem iure illam regeret vicario: sed nihil horum impetrato re infecta ad suos rediit. paucis postea interiectis diebus, relato ad Romanorum consilium negotio, Raimundus petita tandem obtinuit. exindeque reliquae Latinorum copiae in partes transierunt imperatoris, atque adeo ipsi qui Fratres ab iis vocantur, et qui regiones istas incolunt. ea sic se habuerunt. Ioannes imperator tam opportunam minime dimittendam occasionem ratus, cum iisdem copiis in superiorem irrumpit Syriam, Pizam castrum belli iure ac lege capit, multiplicique istic potitur praeda, quam cum multitudine captivorum Antiochiam praemittit, praefecto iis Thoma, viro genere quidem ignobili, sed a pueris inter imperatoris scribas allecto. ipse interea ad Berrhoeam pergit, urbem antiquam et celebrem; sed enim Thomas initio statim itineris ab hostibus oppressus, et praeda et spoliis quibus praeerat ereptis, amissaque captivorum, quam abducebat, turba, aegre ac vix tandem periculum effugit. Berrhoeae cum appropinquaret imperator et aquarum penuria laborare circumiacentem videret regionem, hanc praeteriit. Chama autem et Chabarda castellis in transitu expugnatis, Seserim adortus est, civitatem tum aliarum rerum tum hominum copia florentem. hanc qui-

πον. ἀλλὰ τὴν μὲν πόλιν τειχομαχήσας εἷλεν, ἐν δὲ τῇ ἀκρο-
πόλει γεγονὼς ἀπεκρούσθη. μέλλοντι δὲ καὶ δευτέραν προσάγειν
πεῖραν αὐτῇ πρέσβεις ἀφίκοντο χρήματα ἃ μὲν αὐτίκα παρέχειν
ἐπαγγελλόμενοι τὰ δὲ καὶ ἀνὰ πᾶν ἐκεῖθεν Ῥωμαίοις κομίζεσθαι
ἔτος τακτόν τινα φόρον. τοιοῦτος μὲν τῆς πρεσβείας αὐτοῖς νοῦς
P 11 ἦν· βασιλεὺς δὲ τότε μὲν ἀπεπέμψατο τούτους ἐλπίδα ἔχων πολέ-
μῳ περιγεγονέναι καὶ αὐτῶν. ἐπεὶ δὲ πολλάκις αὖθις προσβαλὼν
ἀνηνύτοις ἐπιχειρεῖν ἔγνω, δεξάμενος τὴν πρεσβείαν ἐπὶ συμβά-
σεις ἐχώρει· κομίζονται γοῦν αὐτῷ μεγάλα μὲν χρήματα, προσά-
γεται δὲ καὶ σταυρός, ἐξαίσιόν τι χρῆμα καὶ βασιλεῦσι δῶρον
ἀντάξιον. λίθος ἦν λυχνίτης μεγέθους μὲν ἱκανῶς ἔχων, ἐς
σταυρικὸν δὲ διαλαξευθεὶς σχῆμα ὀλίγον τῆς φυσικῆς ἐν τῷ λα-
ξεύεσθαι ἀποβεβλήκει χροιᾶς. οὗ ὁ ἐν βασιλεῦσί φασιν ἀπόστο-
λος ἐφιλοτεχνήσατο Κωνσταντῖνος, τρόπῳ δὲ ὅτῳ δὴ Σαρακη-
V 9 νοῖς εἰς χεῖρας ἦλθε. ταῦτά τε οὖν δεξάμενος, τὰ πιστὰ δὲ καὶ
περὶ τῶν ἑξῆς φόρων λαβὼν ὡς ἐπὶ τὴν Κιλίκων αὖθις ἐχώρει.
B τὸ Βακᾶ τε τὸ Καπνισκέρτι φρούρια παραστησάμενος ὀχυρὰ ὃ μὲν
ἐπὶ χώρας ἔμενε, μοῖραν δὲ τοῦ στρατεύματος ἀποτεμόμενος ἐπὶ
καταδρομῇ τῶν λοιπῶν ἔστελλεν. ἀλλὰ ταῦτα μὲν πρὸς ἀκρί-
βειαν ἱστορεῖν ὑπόσχεσιν οἶμαι ὑπερβαίνει τὴν ἡμετέραν. ὡς γὰρ
ἐν κεφαλαίῳ προὔκειτό μοι περὶ τῶν παρόντων εἰπεῖν, ἅτε μηδὲ
αὐτοπτήσαντι ταῦτα μηδὲ τὸ πιστὸν ἐντεῦθεν λαβόντι. τοσαῦτα

13. οὗ] Fort. ὃν. 14. τρόπῳ δὲ] Cod. δή. Nihil igitur excidit; neque in Cod. lacunae vestigium. ὅτῳ δὴ i. q. ὁτῳοῦν.

dem oppugnando cepit, sed ab arce repulsus cum denuo tentare vellet, supervenere legati, qui et praesentem pecuniae vim offerrent, et in futurum annuam stati tributi nomine soluturos sese Romanis pollicerentur. eiuscemodi fuit legationis summa; sed oblata respuit imperator, sperans fore ut et ipsos tandem expugnaret. verum cum variis factis impressionibus urbem tentasset frustra, admissis iterum legatis, in propositas conditiones concessit. magna igitur obtulere illi munera, atque in iis crucem, rem sane mirandam, donumque quod imperatorem deceret. lapis erat lychnites iustae magnitudinis, qui cum in crucis speciem efformaretur, paululum nativi splendoris in ipsa elaboratione perdiderat. haec a Constantino, inter imperatores apostolo, adornata nescio quo modo in manus venerat Saracenorum. his itaque omnibus acceptis, fide etiam solvendi deinceps tributi interposita, Ciliciam versus iterum proficiscitur: et Baca et Capnisserti validis munitionibus captis, ipse in ea regione manet, partem vero exercitus mittit ad ceteras incursandas. sed enim accuratius illa tractari videtur a proposito nostro prorsus alienum; cum id nobis consilii potissimum fuerit, historiam rerum praesentium, quas aut ipsi non usurpavimus oculis,

δ' οὖν ὅμως τῆς τύχης εὐμενῶς προσβλεψάσης αὐτῷ ἐνιαυτοῖς οἶμαι δυσὶν εἴργαστο.

9. Οὕτω δὴ βασιλεῖ Ἰωάννῃ τάς γε ἐν Ἀσίᾳ εὐδοκιμεῖν ξυνέβαινε μάχας, πλήν γε δὴ ὅτι μὴ τὰ ἀμφὶ τῇ νέᾳ Καισαρείᾳ κατὰ σκοπὸν τούτῳ ξυνέπεσον. ἦν μὲν γὰρ ἀμφὶ τροπὰς ἤδη C χειμερινάς, ὁ δὲ οὐ μακρὰν ἄποθεν αὐτῆς αὐλισάμενος πολιορκίᾳ παραστήσεσθαι ᾤετο. ἐπεὶ δὲ Πέρσαι τε οἳ τὴν πόλιν εἶχον ἰσχυρότατα τούτῳ ἐνέκειντο πολεμοῦντες καὶ χειμὼν ἐξαίσιος οἷος ἐπιγεγονὼς ἐπίεζε τὸ στρατιωτικόν, τῆς μὲν πόλεως ἀπῆρεν, ἐς δὲ τὴν παρακειμένην Περσῶν εἰσελάσας χώραν λείαν ἐκεῖθεν πολλὴν ἤλασε καὶ ἀνθρώπων ὅμιλον μακροῦ τοῦ χρόνου Πέρσαις δουλεύοντα τῇ Ῥωμαίων ἀπέδωκεν. ἐν ταύτῃ δὴ τῇ ἐκστρατείᾳ, λέγω δὲ ὁπηνίκα ἔτι αἱ νέας Καισαρείας ἐπαύλεις εἶχον αὐτόν, ξυνέπεσέ τι λόγου καὶ ἀκοῆς ἄξιον. ἐπειδή ποτε ξυμβολῆς μεταξὺ Ῥωμαίων καὶ Περσῶν καρτερᾶς γενομένης τύχῃ τινὶ τὰ Περσῶν D καθυπέρτερα ἦσαν, τὰ πρασσόμενα Μανουὴλ κατιδών, ὃς ὕστατος ὥς μοι πολλάκις ἐρρέθη παίδων βασιλεῖ ἐγένετο Ἰωάννῃ, τοῦ πατρὸς οὐδὲν αὐτῷ ξυνειδότος ἐς μέσους σὺν τοῖς ἀμφ' αὐτὸν ἐμπίπτει τοὺς πολεμίους, καὶ αὐτοὺς μὲν ἀπεώσατο, τὸ δὲ τῶν Ῥωμαίων στρατιωτῶν ἤδη ἐκλελοιπὸς ἀνέρρωσε φρόνημα. ἐφ' οἷς ἐδυσχέραινε μὲν ὁποῖα εἰκὸς ὁ πατὴρ καὶ ἐν δεινῷ τὴν τόλμαν ἐποιεῖτο, θαῦμα δὲ αὐτὸν ἔνδον ἐπεῖχε καὶ ἐξεπέπληκτο μονονουχί, εἰ ὀκτωκαίδεκα οὔπω γεγονὼς ἔτη τηλίκοις ἑαυτὸν παραβάλλειν κινδύνοις τολμᾷ, ῥύστην τε αὐτὸν δημοσίᾳ τοῦ Ῥωμαίων

aut quarum propterea fides non adeo certa, summatim enarrare. haec quantumvis multa, tamen favente fortuna biennio ut opinor gesta sunt.

9. Asiatico igitur bello ingentem consecutus est gloriam Ioannes imperator, praeterquam in ea quam ad Neocaesaream suscepit expeditione, in qua non pro votis cessere omnia. nam positis circa solstitium hibernum non procul ab urbe castris, haud aegre expugnari illam posse in animum induxerat. sed cum Persae oppidani crebris ipsum eruptionibus impeterent acrius, attereretque exercitum hiems validior, castra movit et in circumiectam regionem effusus, praedas inde abstulit ingentes turbamque non modicam hominum, qui diu sub Persarum iugo servierant, Romanis asseruit. in expeditione illa, cum adhuc scilicet circa Neocaesaream castra haberet, accidit relatu res digna perinde ac auditu. cum enim Romanos inter et Persas conflictu habito, superiores forte evasissent Persae, Manuël, qui ut non semel monui liberorum Ioannis minimus erat, haec advertens, patre inscio, cum iis qui tum sibi aderant, in medios sese hostes intulit: quibus validius repulsis, Romanorum demissos ante animos plurimum erexit. id facinus aegre tulit parens, nec filii probavit audaciam: etsi rem miraculi instar esse secum animo reputaret, adolescentem duodeviginti annos vix natum tanta fiducia praesentibus sese obiecisse periculis, palamque exercitus servatorem

P 12 ἀπεκάλει στρατοῦ. οὕτως οὐκ οἶδε παντάπασιν ἡλικίαις ἀρετὴ περιγράφεσθαι. ἐκ τούτου δὲ πολέμου σχεδὸν οὐδενὶ Ῥωμαίων ἐφ' ἵππῳ ἐπανιόντι ξυνέπεσε.

10. Τὰ μὲν δὴ νέας Καισαρείας ἐνταῦθα ἐτελεύτα. βασιλεὺς δὲ Πέρσας ἐς αὖθις Σωζόπολιν πυθόμενος πολεμεῖν, πασίρρωμος ἐνταῦθα ἐφέρετο. ἐπειδή τε οὐδενὶ πολεμίων ἐντετυχηκέναι αὐτῷ ἐγένετο (ἤδη γὰρ ἐπιέναι σφίσι Ῥωμαίους πυθόμενοι ᾤχοντο ἀπιόντες), ἐπὶ τὴν Πασγούση καλουμένην λίμνην διεβίβαζε τὸν στρατόν. αὕτη γὰρ δὴ ἐς ἄφατόν τι μῆκος καὶ εὖρος ἐκτεινομένη νήσους κατὰ μέσον παρέχεται διακριδὸν ἀλλήλαις τοῦ ὕδατος ἀνεχούσαις, ἐν αἷς φρούρια ἐκ παλαιῶν ἀνῳκοδόμηται χρόνων. οἰκοῦσί τε ἐν αὐτοῖς ἄνθρωποι τὸ ὕδωρ ἀντὶ τα-
B φρείας πεποιημένοι· ἔξεστι δ' αὐτοῖς ἐς Ἰκόνιον ἀνιοῦσιν αὐθημερὸν ἐκεῖθεν ἐπανελθεῖν. οὗ δὴ ἕνεκα μάλιστα βασιλεὺς περὶ πλείστου τὴν τῆς λίμνης ἐπικράτησιν ἐποιεῖτο. τῶν δ' ἐν αὐτῇ Ῥωμαίων οὐκ ἐνδιδόντων ταύτην αὐτῷ (χρόνῳ γὰρ δὴ καὶ ἔθει μακρῷ Πέρσαις τὰς γνώμας ἀνακραθέντες ἦσαν), τοιάδε τινὰ ἐνενόει. λέμβους ὡς πλείστους καὶ ἀκάτια ξυναγαγὼν ξύλοις ἄνωθεν ἐπεζεύγνυ· ἐπὶ τούτων δὲ τὰς μηχανὰς θέμενος εὐθὺ τῶν εἰρημένων ἦγε φρουρίων. ἔνθα ξυνέβη πνεύματι ξηρῷ τῆς λίμνης
V 10 ἐκταραχθείσης πολλοὺς τῶν Ῥωμαίων ἀπολωλέναι στρατιωτῶν· μόγις δ' ὅμως καὶ ξὺν βίᾳ πολλῇ καὶ ταῦτα εἷλεν. ἐπειδή τε Ῥαϊμοῦνδον τὸν Ἀντιοχείας πρίγκιπα νεωτερίζειν ἐπύθετο, εὐθὺ

2. ἐκ τούτου — ξυνέπεσε] Haec corrupta videntur. 11. ἀνεχούσαις] Fort. ἀνεχούσας. ibid. ἀνῳκοδόμηται] Cod. ἀνοικοδόμητα.

profiteretur. ita non semper virtus aetatibus circumscribitur. ex eo praelio, nihil fere equitatui Romano accidit.

10. His ad Neocaesaream gestis, imperator, cum Sozopolim a Persis iterum oppugnari accepisset, propero illuc agmine contendit. sed cum nullus adesset hostis (iam enim adventu Romanorum percepto inde excesserat), copias ad Pasgusam paludem traduxit, quae longitudine et latitudine supra quam dici potest protenditur, circa medium paribus ferme intervallis eminentibus supra aquas insulis interstincta, in quibus antiquitus exstructa sunt valida castella. qui eas inhabitant homines munitionum loco aquis utuntur, facileque illis Iconium venientibus eadem die domum redire. hac maxime de causa necessarium duxit imperator paludem expugnare: quam cum ultro non dederent Romani, ut qui iam olim Persis permixti eorum ut plurimum mores amplexati erant, id tandem excogitavit. lembis et actuariis coactis compluribus, iisque lignis desuper invicem connexis, machinas imponit ac recta ad castella progreditur. agitata tum ventis vehementioribus palude, non pauci interiere Romanis ex militibus: tandem, nec sine labore, iis potitur. ac cum Raimundum Antiochenorum principem percepisset res novas

καὶ πάλιν Κιλίκων ἐχώρει, κατὰ νοῦν ἔχων τὴν Κιλίκων καὶ C Ἀντιοχέων ξὺν Ἀττάλου καὶ Κύπρῳ εἰς κλῆρον ἀποδώσεσθαι τῷ Μανουήλ. ὅθεν δὲ ἐπὶ ταυτηνὶ τὴν ἔννοιαν ἦλθεν ἐρῶν ἔρχομαι. φθάνει μὲν Ἀλεξίῳ, ὃς πρεσβύτατος αὐτῷ παίδων ἐγένετο, τὰ Ῥωμαίων ἐκ πολλοῦ μνηστευσάμενος σκῆπτρα. ἐπεὶ δὲ καὶ Μανουὴλ ἔσχατος αὐτῷ γένοιτο, φάσεις αὐτίκα ἐφοίτων καὶ ξύμβολα βασιλείας εἰς τὸν παῖδα ἐγνωρίζετο, ὧν ἑνὸς ἢ δυοῖν ἐπιμνησθῆναι οὔ μοι ἔδοξεν ἄπο εἶναι καιροῦ. ἐπειδή ποτε πρὸς ὕπνον κατέδαρθεν ὁ Μανουήλ, γυνή τις ὄναρ ἐφίσταται τούτῳ, ὄψις σεμνή, μέλαινα ἐσθής, ἐν δὲ χερσὶ πέδιλα ὁποῖα βασιλεῦσιν ὑποδεδέσθαι νόμος. καὶ παρείχετο τῷ Μανουὴλ χρῆσθαι κελεύουσα ἀποσεισαμένῳ ταυτί· ἐδείκνυε δὲ τὰ συνήθη κυανᾶ. D ὁ δὲ θορύβου μεστὸς ἀνεγρόμενος ἐπειδὴ μὴ ἐντυγχάνειν τοῖς ὀραθεῖσιν εἶχεν, ἐκλανθμυρίζετο κατὰ τοὺς παῖδας καὶ ἀφῃρῆσθαι ταῦτα παρά του τῶν περὶ τὴν ἑστίαν ᾤετο. τοῦτο μὲν δὴ τοιοῦτον, ἕτερον δὲ οὐδὲν αὐτῷ ἔλασσον. ἦν τις μοναχῶν· πατρὶς αὐτῷ Γαλιλαία, βίος ἀναχωρητικός τε καὶ ὄρειος· οὗτος ἐπειδή ποτε ἐς ὁμιλίαν βασιλεῖ καθίστατο Ἰωάννῃ, τοὺς παῖδας ἐς αὐτὸν παρελθόντας ἰδὼν τοῖς μὲν ἄλλοις ὅσα καὶ ἰδιωτικοῖς προσηνέχθη, Μανουὴλ δὲ τοῦτον σὺν εὐλαβείᾳ προσιὼν ἐπευλόγει. πυνθανομένου δὲ βασιλέως ὅτου ἕνεκα ταῦτα ποιοίη, ὑπολαβὼν P 13 ὁ μοναχὸς "ὅτι" ἔφη, "μόνος ἐξ ἁπάντων Μανουὴλ βασιλεὺς ἐμοὶ φαίνεται." ἐκ δὲ τούτων καὶ τοιούτων ἄλλων ἐς ἀπεράν-

2. ξὺν Ἀττάλου] Fort. ξὺν τῇ Ἀττάλου. 15. ἑστίαν] Ita I. Vossius. Cod. εὐθίαν.

moliri, continuo Ciliciam repetit, eo animo ut non Ciliciam duntaxat, sed et Antiochiam, Attaliam et Cyprum Manuëli filio in haereditatem daret. unde vero id ei venerit in mentem, paucis expediam. Alexio primogenito Romanum imperium iam pridem tradere decreverat: sed nato Manuële liberorum postremo, de eo statim praedictiones in vulgus sparsae, et in puero non pauca imperii agnita sunt auguria, quorum unum atque alterum recensere haud abs re erit. dormienti aliquando Manuëli apparuit mulier, vultu severo, nigra induta veste, manibus tenens calceamenta, quibus imperatores indui moris est. ea Manuëli obtulit indueretque praecepit, reiectis, quibus uti consueverat et quae monstrabat mulier, caeruleis. excitatus cum ingenti perturbatione, ubi quae viderat non reperit, puerorum more plorabat, eaque e domesticis aliquem credebat abstulisse. eiusmodi fuit augurium, cui haud istud cedit. monachus gente Galilaeus, qui vitam monasticam in silvis ac montibus agebat, dum forte una cum imperatore colloqueretur, videretque accedentes ad se illius liberos, ceteros veluti privatos habuit, Manuëli vero humaniter accepto benedictionem impertiit. rogatus a principe quorsum haec egisset, respondit monachus, unum ex omnibus Manuëlem sibi imperatorem videri. haec et similia etsi varie imperatoris

τους ὁ βασιλεὺς ἐννοίας ἐξέπιπτεν, ἀναλύειν δ' οὐκ ἔχων ἅπερ αὐτῷ δόξειεν ἀρχῆθεν ἐς τὸν εἰρημένον σκοπὸν ἔβλεψεν. ἀλλ' ἔοικεν ἀνθρωπίνης ἄρα ἐπινοίας τῶν πάντων πραγμάτων ἠρτῆσθαι μηδέν. οὔπω γὰρ τῆς Κιλίκων ἐφίστατο, καὶ δυεῖν μὲν ἀφῄρητο παίδων οἳ χρόνῳ προῆκον, ἅτερος δὲ τοῖν ἀπολελειμμένοιν, ἐπεὶ μηδ' αὐτῷ ξυνέβαινεν ἐς τὸ σῶμα καλῶς ἔχειν, ἀπῄει
B τοὺς νεκροὺς ἐς Βυζάντιον ἀνακομίζων. βασιλεὺς δὲ ἐπὶ τῆς Κιλίκων τὸν βίον ξυνεμερίσατο, καὶ Μανουὴλ λοιπὸν εἰς τὸν βασιλείας ἄνεισι θρόνον. ἄξιον δὲ καὶ τὸν τῆς τελευτῆς αὐτοῦ τρόπον διηγήσασθαι. ἐξιόντι πρὸς θήραν αὐτῷ σῦς ἀπήντα, μέγα τι χρῆμα, ὁποῖα πολλὰ ἡ Κιλίκων τρέφει γῆ καὶ ὄρη τὰ Ταυρικά. ὁ μὲν οὖν ἀκόντιον ὥς φασι χειρισάμενος ἐπιόντα τοῦτον ὑφίστατο· ὁ δὲ τῆς αἰχμῆς τῷ στέρνῳ ἐγκρυφθείσης θυμαίνων ἐπὶ τῇ πληγῇ ὠθισμῷ μᾶλλον ἐχρῆτο, ὡς ἐντεῦθεν τὴν βασιλέως χεῖρα διὰ σφοδρὰν τὴν ἀντέρεισιν τοῦ εὐθέως ἐκτραπεῖσαν ἐφ' ἣν παρήρτητο παρενεχθῆναι φαρέτραν πλήρη βελῶν οὖσαν. εὐθὺς οὖν τραῦμα ἐπηκολούθει ταῖς ἀκίσι ξυσθέντος αὐτοῦ τοῦ ἐπικαρπίου· καὶ ἀφρὸς μὲν ἐντεῦθεν ἐξεμύσατο ὕφαι-
C μος, ὑμὴν δέ τις λεπτός, ὃν ἐκδηρὰν οἱ πολλοὶ ἰδιωτικῶς ὀνομάζουσι, προσήγετο δῆθεν συνάξων τὸ διεστηκὸς καὶ συνουλώσων τὸ τραῦμα, ὡς μὴ φλεγμῆναν ὀδύνας ἐγείρῃ. ἀλλ' ἦν ἐκεῖνο τῆς εἰσέπειτα φλεγμονῆς αἴτιον. τὸν γὰρ τῆς ἀκίδος ἰὸν ἔνδον τῇ στυφότητι ἐναπολαβὸν ἐπὶ τὸ ἄλλο μετέφερε σῶμα. ἀλλὰ ταῦτα μὲν ὕστερον· τότε δὲ μηδεμίαν ἔτι ὀδύνης συναίσθησιν

8. ξυνεμερίσατο] Fort. ξυνεμετρήσατο. 18. ἐξεμύσατο] Bekker ἐξεμυζᾶτο.

animum versarent: cum tamen quae antea decreverat nollet rescindi, priori proposito stetit. sed ita comparatum est, ut rerum exitus ex humanis non pendeant consiliis. nondum enim attigerat Ciliciam, cum duobus filiis natu maioribus orbatur: superstitum vero alter, qui nec ipse admodum corpore valebat, Byzantium mittitur fratrum cadavera deducturus. moritur etiam in Cilicia imperator, imperiumque adipiscitur Manuël. quo pacto autem vitam finierit, enarrare videtur operae pretium. ad venationem egresso obvius fit aper ingentis magnitudinis, quales in Cilicia multi et montibus Tauricis; advenientem, ut fert fama, telo quod manu tenebat excipit: contra ille mucrone in pectus adacto ex plaga furibundus vehementius instat, adeo ut inde manus imperatoris, quae dum fortius obnititur a recto deflexa in pharetram sagittis plenam, quam ex humero suspensam gerebat, impegerit, quarum cuspidibus vulnerata perstrictaque est pars carpo proxima. ex eo vulnere cruenta sanie effluente, tenuis membrana, quam vulgo ecderam vocant, imponitur, quae divisam cogeret carnem, et cicatricem contraheret, ne inflammata dolores concitaret; sed haec fuit postea inflammationis causa: nam venenum quo telum infectum erat, ipsa adstrictione

ἔχοντι τράπεζά τε αὐτῷ παρετίθετο, καὶ ἡ κλίνη τοῦτον εἶχεν ὡς ἀριστήσοντα. προβαίνοντος δὲ τοῦ ἀρίστου παῖδες ἰατρῶν ἐνταῦθα περιεστηκότες ὡς τὸ ἐπίθεμα εἶδον, ἐπυνθάνοντό τε τὴν τοῦ τραύματος αἰτίαν καὶ μαθόντες τῇ τε τραπέζῃ ἐπεμέμφοντο V 11 καὶ ἠξίουν αὐτίκα τῆς χειρὸς ἀπεῶσθαι τοῦτο· ὁ δὲ προσφῦναί τε τὸ τραῦμα ἐνταῦθα διετείνετο καὶ τοῦ λοιποῦ μηδὲν ὄγκου καὶ D φλεγμονῆς πέρι δεινὸν ὑφορᾶσθαι. ἀλλ' ἄρτι πρὸς ὕπνον κατέδαρθεν ἀριστήσας, καὶ ὀδύναι δριμεῖαι ἀνέβαινον αἴφνης καὶ ὄγκος ἀνίστατο τῆς χειρός. συνῄει τε πᾶς ὁ τῶν ἰατρῶν κύκλος καὶ ἀγὼν προὔκειτο περὶ τοῦ πρακτέου. τοῖς μὲν οὖν τέμνειν ἐδόκει τὸν ὄγκον, τοὺς δὲ τὸ ἀπέπαντον ἐδυσώπει καὶ ἄλλως μαλάσσεσθαι τοῦτο προὐτρέποντο. ἀλλ' ἔδει γὰρ ὡς ἔοικε γενέσθαι κακῶς, ἐκράτει τῆς χειρουργίας ἡ ψῆφος. τμηθέντος γοῦν ὄγκος ἀνέβαινε μείζων, καὶ ἡ χεὶρ ὠργανοῦτο. καὶ ὁ βασιλεὺς ἐλ- P 14 πίσιν ἤδη θανάτου τὴν ψυχὴν κατασείεσθαι ἤρχετο, καὶ μάλισθ' ὅτι μηδὲ πέρατι τὸν σκοπὸν ἔδωκε, ὃν περὶ τῆς ἐς Παλαιστίνην ἐπιδημίας πάλαι ὠδινήσας ἔφθη. οὗ δὴ ἕνεκα καὶ εἴκοσι ταλάντων ἀπὸ χρυσοῦ λυχνίαν εἰργασμένος ἔτυχεν, ἀνάθημα τῷ τῇδε ναῷ κατασκευαζόμενος. ἐπειδὴ γοῦν ἐν ἀμηχάνοις ἦν, μοναχόν τινα ἐκ Παμφυλίας ἄνδρα μεταπεμψάμενος ἱερὸν παννύχῳ δεήσει τὸ θεῖον ἱλάσκεσθαι ἠξίου. τὸν δὲ τῇ δεήσει προσεσχηκότα φωνῶν ἀκοῦσαι λέγεται ᾀδόντων τινῶν. ὡράθη ὁ λυχνὸς μετηρμέ-

12. γενέσθαι] Fort. addendum οἱ. 22. λυχνὸς] Ita I. F. Gronovius. Cod. λίθος. praeterea malim καὶ ὁ λυχνός.

arctius inclusum, in reliquum transfusum est corpus. ita cum nullus dum adesset dolor, paratur ipsi mensa, eique velut pransurus accumbit. inter prandendum, qui circumstabant medicorum filii, ut appositum emplastrum conspexere, cicatricis causam sciscitati et edocti, removendum illud a manu, et a mensa abstinendum censuerunt. contra ille hoc medicamento coisse vulnus nec quicquam mali de tumore et inflammatione sese metuere dicebat. post prandium somno se dedit, statimque acutissimi dolores suborti, totaque manus intumuit. convenit illico universa medicorum turba, quidque facto opus variis invicem disputavere sententiis. quidam enim censebant resecandum tumorem, alii nondum maturum, proindeque emolliendum prius instabant. sed enim fato constitutum videbatur ut male res gereretur, vicitque eorum sententia qui resecandum statuerant. peracta sectione quum tumor in maius augeretur, manus chirurgicis vinctis obligata est. imperatoris vero mortis iam imminentis metu non modice concutitur animus, maxime quod iam ante conceptam animo in Palaestinam peregrinationem non confecisset, cuius gratia lucernam viginti talentorum ex auro conflatam loci templo offerendam paraverat. cum iam in extremis laboraret, monachum quemdam ex Pamphylia oriundum, vitae sanctitate celebrem iubet acciri, qui continua prece deum placaret. ferunt hunc exaudisse voces canentium.

νος καὶ θεῖος νεανίας καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς. τοῦτο μὲν δὴ τοιοῦτον· βασιλεὺς δὲ αἰσθόμενος ἤδη ἐν B κακοῖς ἑαυτοῦ γεγονότος παρεῖναι τοὺς ἐν τέλει κελεύσας καὶ ὅσον ἐν μεγιστᾶσι καὶ στρατηγοῖς καὶ ἄλλως ἀπόβλεπτον ἦν, ἔλεξε τοιάδε. "ἄνδρες Ῥωμαῖοι ὅσοι ἐπὶ ταυτηνὶ ξυνελέγητέ μοι τὴν ἀκρόασιν, ὡς μὲν πολλοῖς ἤδη καὶ ἄλλοις τῶν παρ' ἡμῖν βασιλεῦσιν ἐπὶ τοὺς παῖδας τοὺς αὐτῶν ὥσπερ τινὰ κλῆρον πατρῷον τὴν ἡγεμονίαν διαβιβάζειν ἔδοξεν, αὐτὸς δὲ οἶδα πρὸς πατρὸς βασιλέως τήνδε παραλαβὼν τὴν ἀρχήν, καὶ ὑμῶν δὲ ἑκάστῳ ταὐτά μοι περὶ τούτου γινώσκειν ξυμβαίνει. ταύτῃ ἄρα καὶ οἴεσθ' ἐμὲ ἴσως ἐς πέρατα τῆς παρούσης ὡς ὁρᾶτε ἀφιγμένον ζωῆς παίδοιν ἐμοὶ ἀπολελειμμένοιν δυεῖν ἐπὶ τὸν χρόνῳ προήκοντα, ὥσπερ ἀνθρώποις νόμος ἐστίν, ἀρχὴν τήνδε καὶ θρόνον μεταγαγεῖν. C ἐμοὶ δὲ τοσοῦτον ἐμέλησεν ὑμῶν, ὡς εἰ μηδετέρῳ τοῖν εἰρημένοιν τὸ χρῆμα τοῦτο προσῆκεν ἐξ ἀρετῆς, εἱλόμην γε ἂν ὅςπερ ἂν ἐμοί τε καὶ ὑμῖν οὐκ ἄπο γνώμης εἶναι φανείη. ξυνοίσει γὰρ οἶμαι οὐδὲν οὔτε τῷ δόντι οὔτε τῷ δεξαμένῳ, ἐπειδὰν ἀμαθίᾳ κυβερνήτης τὴν ναῦν καταδύῃ, εἰ μὴ καὶ μᾶλλον προσαπολεῖται τῷ δώρῳ καὶ κατερεῖ τοῦ δεδωκότος οὐκ ἀγαθά. ἀπειροκαλίαν μὲν οὖν καὶ τοῦ δωρεῖσθαι ἀμαθίαν καὶ ξυνόλως οὐδὲν οἶμαι ὑγιές. οὕτω μὲν δὴ γνώμης αὐτὸς περὶ ὑμᾶς ἔχω. τεκμήριον δέ· καὶ γὰρ ἐπὶ ξυμφέροντι τῷ ὑμῶν δεῆσαν τάχα καὶ φύσιν ἀδικήσων ἰδοὺ πάρειμι. παῖδέ μοι ἄμφω καλῶ, ἅτερος δ' αὐτοῖν καὶ χρόνῳ

8. αὐτὸς δὲ οἶδα] Malim αὐτός τε οἶδα. 10. ταὐτά μοι] Cod. ταῦτά μοι. 16. ἄπο] Cod. ἀπό.

sed et conspecta est ex alto lucerna, visusque divinus adolescens, compescens tumultum et perturbatum illorum animum. ita res fuit. imperator vero cum se in extremis esse videret, accersitis magnatibus, ducibus, virisque praecipuis, hanc ad illos orationem habuit: „non ignoratis, viri Romani quotquot hic adestis, complures, atque adeo qui apud nos retro imperarunt, principes, ad liberos imperium paternam veluti haereditatem transmisisse. utque ego principatum hunc a parente imperatore in me translatum accepi, ita nemo vestrum facturum me aliter opinatur. idcirco fortassis existimatis me quoque in extremo vitae constitutum discrimine duorum superstitum filiorum maiori, prout apud ceteros homines fieri consuevit, imperium concessurum. verum tanta est apud me vestri cura, ut si neutri eorum deberetur ex merito virtutis, lecturus ultro alium fuerim, qui et meo et vestro iudicio eiusmodi dignitati idoneus probaretur. neque enim gloriosum esse arbitror seu danti seu accipienti, si quis navem, quam gubernandam ab alio susceperit, prae inscitia undis submergat, atque adeo ipse cum dono pereat et infelicis muneris datori haudquaquam gratiam habeat. nam prudentis non est imperito quidquam demandare, imo mera insania. eo me erga vos affectum esse animo, vel inde vobis constabit, cum si opus fuerit

προάγει. ἀλλ' ἡ γνώμη τὸ πρεσβεῖον ἀποσεισαμένη τὸ βέλτιον D ἐγκηλατεῖ καὶ πείθει ἀρετὴν ἀρετῇ παραβάλλοντα. δυσχερὲς δὴ τοῦτο τῶν ἁπάντων ἀγώνισμα τὴν κρείττω πειρᾶσθαι λαβεῖν. ἐπεὶ καὶ χρὴ τῷ βελτίστῳ προσνεῖμαι τὸ βέλτιον (βασιλείας δὲ τί ἂν τις θεῖτο σεμνότερον ἕτερον;) βουλοίμην μεντἂν, ἄνδρες συστρατιῶται, τῷ χρόνου πρεσβείῳ καὶ τὸ ἐξ ἀρετῆς μᾶλλον προσεῖναι ἐντελές. ἀλλ' ἥ γε ψῆφος ἐπὶ τὸν τελευταῖον ὁρᾷ, καὶ ὁ βασιλείας κανὼν τῷ ἐσχάτῳ μᾶλλον προσφύεται. καὶ οὐ δήπου ὀφθαλμίαν ἐμοὶ τὴν ἐξ εὐνοίας δεδιέναι ἔπεισι. παῖδε γὰρ ἄμφω καὶ φίλω πάντως ἀπὸ ταὐτοῦ, καὶ τοῦτό γε τὸ μέρος οὐδὲν ἅτερος προήκει. P 15 ψῆφον μὲν δὴ τὴν ἐπ' ἀμφοῖν ἐμοὶ καὶ μᾶλλον V 12 διὰ ταῦτα ἤπερ ὑμῖν πιστευτέον αὐτοῖς. ἐκεῖνο δὲ κοινῇ καὶ μάλιστα περιεργαστέον, λέγω δὲ μή ποτε ἀδελφοῦ μὲν κρατιστεύειν δήπου τὸν παῖδα ξυμβαίνῃ, ἐς δὲ τὸν θρόνον παραβαλλόμενος ἥσσων ἐλέγχηται. ἐμαυτῷ γὰρ οὐκέτι καὶ τοῦτο θαρρῶ, δεινῶς μονωθεῖσαν ὑπειδομένῳ τὴν εὔνοιαν· ἱκανὴ γὰρ μάλιστα ψῆφον δεκάσαι ἡνίκα μὴ παρὰ ἴσης ἐκκρούοιτο. βούλεσθε τοίνυν αὐτοὶ μὲν ὑμῖν τῶν αὐτοῦ καταλέγοιμι, ἐπιψηφιεῖσθαι δ' αὐτοί; ἰσχύος μὲν δὴ καὶ ῥώμης καὶ τοῦ ἐς τὰ πολέμια θάρσους ὁπόσον B αὐτῷ μέτεστι, παντί που δῆλόν ἐστι. καὶ μαρτυρεῖ μοι τὰ Νεοκαισαρέων τοῖς λόγοις, ἔνθα ἐπιδήλως ἐς γόνυ τὰ Ῥωμαίων κάμψαντα ὑπὸ δὴ τούτῳ ἀνωρθωκότα περισωθείη. ἃ δὲ προσμαρ-

3. τὴν κρείττω] τὰ κρείττω? 4. βέλτιον] Malim βέλτιστον.
11. τὴν] Cod. τοῖν. 17. αὐτοὶ μὲν] Malim αὐτὸς μέν.

vel postposito naturae ordine utilitati vestrae consulam. filii mihi sunt duo, uterque probis moribus, quorum alter aetate prior. sed temporis praerogativam mens mea respuit, quaerit quod optimum est, suadetque ut virtus cum virtute conferatur. ardua sane et prae ceteris difficilis contentio potiorem sententiam investigare. cum igitur quod melius est optimo debeatur, imperioque nihil quidquam videatur excellentius: optarem quidem, commilitones, adesset cumulata virtus cum aetatis praerogativa. sed haec minorem spectant, et in illum propendet calculus, qui genuina prae se fert imperandi symbola: quo in iudicio nulla me affectum protestor invidentia vel amore immoderatiori. uterque enim filii, uno caritatis gradu dilecti, proindeque nec alter alteri praeferendus. quamobrem suffragium mihi potius super iis, quam vobis ipsis concredendum videtur. id vero communi consilio studiose diligenterque explorare convenit, ne si seniori praeferatur minor, tamen ad imperium capessendum, si cum fratre comparetur, hoc minus deprehendatur idoneus. neque enim tantum mihi soli fido, cum nescio quam verear singularem propensionem, quae ut plurimum recta pervertit consilia, nisi a pari altera reprimatur. vultis igitur vobis commemorem quae illi insunt animi et corporis dotes, ut inde decernatis, quanta sit illius fortitudo, et in rebus bellicis audacia omnibus sat est compertum. testantur haec gesta ad Neocaesaream, ubi inclinatas penitus Romanorum res suapte manu erexit et ser-

τυρεῖν αὐτῷ μόνου ἂν εἴη τοῦ πατρός, ἀκούσατε δή. πολλὰ πολ-
λάκις ἐν οὐ μετρίαις ἐμοὶ πονουμένῳ πραγμάτων δυσκολίαις οὗ-
τος τῶν ἄλλων ἀπειρηκότων μέγας ἐν βουλαῖς ὤφθη, ἱκανὸς μὲν
χειμῶνα προϊδέσθαι γινόμενον, δεξιὸς δὲ ζάλην ἀποκλῖναι καὶ
βίαις πνευμάτων ἀντισχεῖν. ὃ δ' ἂν πρὸ τῶν ἄλλων ἐπ' αὐτῷ
C σκοπεῖν δίκαιοι ἂν εἴημεν, βραβεῖα θεοῦ ἐπὶ τὸν μείρακα δὴ πί-
πτει. σκοπεῖτε δ' ὅπως· ἐμοὶ μὲν Ἀλέξιος ἐπὶ τὴν βασιλείαν
ἐκλήθη, καὶ ἡ γνώμη χρόνοις τισὶν ἀποδέδεικτο πρότερον. θεὸς δὲ
καὶ πρώην ἐμοὶ τὸν ἐφ' ὃν ἀναπέπαυτο προδεικνὺς τελευταῖον δὴ
καὶ ἐκ μέσου μοι τὸν νεανίαν ἐκεῖνον πεποίηται. εἶπον ἂν ὑμῖν καὶ
τῶν ξυμβόλων τινὰ ἃ τύχην τὴν παροῦσαν αὐτῷ προὔφαινεν, εἴγε
μὴ λόγον ἄλλως αὐτὰ νομισθῆναι τοῖς πολλοῖς ἠπιστάμην· οὐδὲν
γὰρ οὕτως ἐς διαβολὴν ῥᾴδιον ἀνθρώποις ὡς ὀνείρων φάσεις καὶ
μελλόντων ὀμφαὶ γίνεται. ἃ μὲν οὖν αὐτὸς παιδὶ τῷμῷ ξυνειδέναι
εἶχον, καὶ δή μοι εἴρηται. ὑμέτερον δ' ἂν εἴη τὴν γνώμην ἐπι-
D θεῖναι λοιπὸν τὴν ἑαυτῶν". βασιλεὺς μὲν τοσαῦτα εἶπεν, οἱ δὲ
σὺν ἡδονῇ τε καὶ δάκρυσιν ἐπένευον. ὁ δὲ παῖς (ἦν γὰρ φιλοπά-
τωρ εἴπερ τις ἄλλος) καὶ φύσεως θεσμοὺς εὐλαβούμενος κάτω νε-
νευκὼς καὶ ἐπὶ στέρνα τὴν κεφαλὴν ῥίπτων δάκρυσι τὸ δάπεδον
ἔπλυνε. τὴν χλαμύδα δ' ὅμως περιδυθεὶς καὶ ταινιωθεὶς τῷ δια-
δήματι βασιλεὺς ὑπὸ παντὸς ἀνηγόρευτο τοῦ στρατεύματος. βασι-
λεὺς δὲ Ἰωάννης ὀλίγαις τὸ ἐντεῦθεν ἐπιβιοὺς ἡμέραις πρὸς τὴν

1. πατρός, ἀκούσατε δή. πολλὰ πολλάκις] Cod. πατρός. ἀκούσατε δὲ πολλὰ πολλάκις. Post πολλὰ fort. γὰρ inserendum.

vavit. quae vero nemo praeter unum parentem attestari potest, ea iam quaeso audite. non semel enim mihi haud levibus rerum difficultatibus involuto, cum ceteri animos desponderent, optima ille subministravit consilia, in praevidendis tempestatibus prudens, in declinandis vitandisque procellis industrius. quod vero prae ceteris considerare par est, deus ipse impense favet iuveni. nam Alexium quidem ad imperii fastigium evehendum decreveram, meumque iam ab aliquot annis hac de re prodideram consilium. sed enim deus quem imperio dignum praeviderat constituens, rebus tandem humanis iuvenem exemit. quaedam praeterea vobis referrem portenta, quae praesentem illi fortunam pollicita sunt: nisi talia meras nugas ab imperita multitudine haberi scirem: nihil enim aliorum obtrectationibus magis expositum est quam somniorum species et ostenta futurorum. huiusmodi sunt quae de filio meo et comperta et dicenda habui: restat ut haec calculo vestro comprobetis." postquam imperator finem loquendi fecit, gratantes illi nec sine lacrymis assensum praebuere. Manuël vero, qui singulari prae ceteris in parentem amore flagrabat, naturae leges reveritus, demissis oculis, pronoque in pectus capite, profusis lacrymis pavimentum rigavit. chlamydem tamen indutus, sumptoque diademate ab universo exercitu imperator

ἐκεῖθεν λῆξιν μεθίστατο, ἐφ' ὅλοις πέντε καὶ εἴκοσιν ἐνιαυτοῖς καὶ μησὶν ἑπτὰ Ῥωμαίων ἄρξας, ὀγδόην ἄγοντος μηνὸς ὃν Ἕλληνες μὲν Ξανθικόν, Ἀπρίλλιον δὲ Ῥωμαῖοι καλοῦσιν.

proclamatur. Ioannes vero paucis post diebus moritur, cum totos viginti quinque annos, mensesque septem Romanis imperasset, octavo die mensis, quem Xanthicum Graeci, Romani Aprilem vocant.

ΒΙΒΛΙΟΝ Β.

1. *Τὰ μὲν δὴ βασιλέως Ἰωάννου ἐνταῦθά μοι πέρας ἐχέτω.* P 16 V 13
βασιλεὺς δὲ Μανουὴλ τῶν σκήπτρων ἤδη ἐπιλαβόμενος, μειράκιον ἔτι, πρώτως ἄρτι γενειάζων, οὔτε ξυνεταράχθη πρὸς τὸν ὄγκον τῆς ἀρχῆς οὔτε τι ἀγεννὲς ἔπαθεν. Ἰσαακίου γὰρ κατ' ἐκεῖνον τὸν χρόνον ἐν Βυζαντίῳ διατρίβοντος ὑποψίας τε ἐντεῦθεν τοὺς πλείστους εἰσιούσης, ὡς οὐκ ἄν ποτε ἀνάσχοιτο μὴ αὐτίκα τι νεωτερίσαι, φύσει μὲν καὶ ἄλλως δύσερις ὢν καὶ θυμῷ τὰ πλεῖστα διοικούμενος, τότε δ' οὖν καὶ προφάσεως εἰς τοῦτο λαβόμενος, ὃ δὲ τούτου μὲν ἧττον ἐφρόντισεν, ἐφ' ὅλαις δὲ τριάκοντα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν τῷ χώρῳ ἐνδιατρίψας ἡμέραις οὐ πρότερον ἐκεῖθεν ἀπῆρε, πρὶν ἂν τῷ πατρὶ τὴν ὁσίαν ὡς τὸ εἰκὸς ἐξετέλεσε (πρὸς γὰρ τοῖς ἄλλοις καὶ φροντιστήριον ἐπὶ P 17
τοῦ τόπου ἱδρύσατο, οὗ δὴ ἐκεῖνον τὴν ψυχὴν ἀφεῖναι τετύχηκε), καὶ τὰ Κιλίκων πράγματα ἐν τῷ ἀσφαλεῖ κατεστήσατο. Ἀντιο-

6. *γενειάζων*] Cod. *γενειάσων.*

LIBER II.

1. Hunc finem habuere res a Ioanne imperatore gestae. Manuēl vero sceptro potitus, etsi adolescens vix prima aspersus lanugine, minime tamen tanta imperii mole perterritus est, nihilque egit maiestate regia indignum. Isaacio enim Constantinopoli agente, cum multos subiisset suspicio fore ut neutiquam se a rebus novandis contineret, utpote et ad turbas suopte pronus ingenio et quodam animi vehementioris impetu omnia exequi solitus, tum maxime quod id praesens suaderet occasio, haec tamen neglexit imperator. triginta autem post parentis obitum diebus illic commoratus non prius excessit, quam iusta eidem pro more peregisset (inter alia enim monasterium exstruxit eo loco, ubi pater vitam finierat), et Ciliciae res in tuto posuisset.

χεῖς δὲ καὶ πρότερον μὲν βασιλέως Ἰωάννου ἔτι περιόντος χειρὸς τῆς ἐκείνου ἀποσκιρτᾶν ἤρξαντο, τότε δὲ ἐπὶ βασιλέα πέμψαντες Μανουὴλ καὶ ὁρίων σφίσι γῆς ὑπεκστῆναι ἠξίουν, ἃ πόλει μὲν τῇ αὐτῶν ἀνήκειν ἔφασκον, βίᾳ δὲ καὶ οὐ ξὺν τῷ δικαίῳ πρὸς τῶν Ῥωμαίων τὰ νῦν ἔχεσθαι. οἱ μὲν ταῦτα ἔλεγον, βασιλεὺς δὲ εἰς ἀπολογίαν αὐτοῖς καταστὰς ἔλεξε τοιάδε· "ὡς μὲν οὐδενὸς ἔτι φλαύρου παρ' ἡμῶν Ἀντιοχεῖς πειραθῆναι ξυνέπεσεν, ὦ B ἄνδρες πρεσβευταί, παντί που δῆλόν ἐστιν. εἰ δὲ ἅ τις παρ' ἑτέρων ἀφήρηται, ταῦτα δὴ παρ' ἄλλων ἀποφέρεσθαι δίκαιον ἂν εἴη, τί μὴ καὶ ὑμεῖς Ἀντιόχειαν τήνδε Ῥωμαίοις ἀπέδοσθε πρότερον, ἀλλὰ χειρὶ καὶ βίᾳ ταύτην πρὸς πατρὸς ἀφῄρησθε τοὐμοῦ; ἢ οὐχ ἡμῖν Πέρσαι δουλεύουσαν ἀφείλοντο πρότερον; ἄλλως δὲ τίνος ὄντα ταυτὶ ἐξ ἡμῶν λαμβάνειν αἰτεῖσθε; πόλεως Ἀντιοχείας; ἡ δὲ καὶ αὐτὴ φθάνει κράτει δουλεύουσα τῷ ἡμῶν. εἰ δὲ τὰ ὑμῖν αὐτοῖς ὡμολογημένα παραβαίνειν ὑμῖν αἰσχύνη οὐδεμία, τί τῶν δικαίων παρόρασιν ἐπικαλοῦντες ἡμῖν πάριτε, οἵ γε εὐθύνας μᾶλλον ἐξ ὑμῶν δικαίως ἂν ἀπαιτοῖμεν; ἀλλὰ τὰ μὲν περὶ C τούτου καιρὸς ὁ προσήκων ἡμῖν παραστῆσαι ἱκανὸς ἔσται. τὸ δὲ V 14 νῦν ἀπόστητε τῶν οὐ προσηκόντων κελεύω. ἐμοὶ γὰρ αὐξῆσαι ἃ πρὸς πατρὸς εἰς χεῖρας ἦλθον ἐμάς, μὴ ἂν ἐλαττῶσαι γένοιτο." τοῖς πρέσβεσι μὲν ταῦτα εἶπεν· ὁ δὲ ἐπὶ τὰς ναῦς αἳ παρὰ τὸν Πύραμον ὡρμίζοντο ποταμόν, ὃς διὰ Μοψουεστίας φερόμενος

b

2. ἐπὶ βασιλέα] Ita Tollius. Cod. π. Heyse παρά. 7. ξυνέπεσεν] Cod. ξυνέπεσον. 13. αἰτεῖσθε] Cod. αἰτεῖσθαι.

Antiocheni autem, qui Ioanne adhuc superstite defectionem paraverant, per legatos Manuëlem rogant, ut agri sui finibus, quem et ad urbem pertinere contendebant, nec nisi per vim a Romanis, nulloque iure possideri, decederet: haec fuit legationis summa. quibus contra imperator in hanc sententiam respondit. "palam est omnibus, legati, nihil dum mali a nobis perpessos esse Antiochenos. si vero quae cui ablata sunt ab aliis, aequum sit prioribus dominis restitui: cur non et vos Romanis ultro reddidistis Antiochiam, sed rem eo deduxistis, ut vi et armis parenti meo repetenda esset? quid enim? nonne eam Persae, cum nobis pareret, expugnarunt? cuius autem in potestate esse creditis hos, quos a nobis repetitis, fines? scilicet Antiochiae esse dicetis, quae quidem et ipsa quondam pars imperii nostri fuit. quod si quae vos ipsi pepigistis foedera violare nihil vos pudet, quid posthabitae iustitiae crimen nobis ingeritis, qui longe aequiori iure poenas a vobis debebamus repetere? sed has forte tempus opportunius nostro pendet imperio. vos interim ab iis quae vestra non sunt abstinere iubeo: nam quae mihi a patre tradita sunt augere, non minuere est animus." ita ille legatis respondit. inde ad naves in Pyramo fluvio, qui Mopsuestiam dividens in

ἐπὶ θάλασσαν ποιεῖται τὴν ἐκβολήν, σὺν προπομπῇ τὸν νεκρὸν κατῆγεν αὐτὸς ἅμα τοῖς γνησιωτάτοις τὸν ὦμον ὑποσχὼν τῇ σορῷ. ἐπειδή τε ἐκεῖθεν οἱ δρόμωνες ἐπὶ θάλασσαν ἤδη ἀφῆκαν, λύσας καὶ οὗτος λοιπὸν τὴν στρατοπεδείαν διὰ μέσης ἐχώρει τῆς Περσῶν γῆς ἀκηρυκτὶ διαβιβάζων τὸ στράτευμα. πρὸς ὃ Πέρσαι καταπλαγέντες τῆς τόλμης τε τὸ περιὸν ἀγασάμενοι οὐδ' ἀντιβλεπτῆσαι Ῥωμαίοις ἐτόλμων· συνέβαινέ τε αὐτοὺς ὡς δι' οἰκείας D
λοιπὸν ἰέναι τῆς ἀλλοτρίας. ὁ μὲν οὖν εἰς τὴν Ῥωμαίων οὐ διὰ πολλῶν εἰσέβαλε γῆν· αἱ δὲ τριήρεις ἐς Βυζάντιον ἀναχθεῖσαι τὴν βασιλέως κόνιν τῇ χέρσῳ ἀπέδοσαν, ἣν ἡ Ῥωμαίων γερουσία μεγαλοπρεπῶς ἀπολαβοῦσα εἰς τὸ ἱερὸν παρέπεμψε φροντιστήριον, ὅπερ ἡ βασιλίς, καθάπερ ἔφην, Εἰρήνη ἐπ' ὀνόματι τοῦ παντοκράτορος ἐτύγχανεν ἤδη δομησαμένη. βασιλεῖ δὲ Μανουὴλ ἔτι περὶ τὴν ἐπάνοδον ἔχοντι, ἐπειδὴ μηδέπω τὰ κατὰ τὸν σεβαστοκράτορα πύθοιτο, καὶ ὡς ἤδη τυραννίδι ἐπιθέσθαι βουλευσάμενον δόλῳ ὑπελθόντες, οἷς τὰ βασιλέως ἐπιτέτραπτο πρότερον, ἔμφρουρον τῷ τοῦ παντοκράτορος τεμένει ἐποιήσαντο, ἔννοια γέγονε μήποτε τῶν σὺν αὐτῷ τισι καὶ μάλιστα τοῖς τὰς ὑπερηφάνους διέπουσι δυσμεναίνων ἀρχάς, δράσῃ τι καὶ ἄχαρι τοῖς ἀνὰ P 18
τὸ Βυζάντιον οἴκοις αὐτῶν. ἀμέλει καὶ ἐσκέπτετο πῶς ἂν ἀμηχάνως τῆσδε τῆς ἐγχειρήσεως ἀπαγαγεῖν αὐτὸν γένοιτο. ἐδόκει τοίνυν αὐτῷ τόμους ἐς Βυζάντιον ἐκπέμψαι καθοσιώσει δῆθεν τοὺς ἄνδρας καθυποβάλλοντας χρημάτων τε διὰ τοῦτο καὶ κτη-

6. ἀντιβλεπτῆσαι] Cod. ἀντιβληπτῆσαι. 20. ἀμηχάνως] Malim εὐμηχάνως.

mare effunditur, subsistentes parentis funus cum magna subsequentium turba deducit, ipso pariter et agnatis feretro humeros supponentibus. inde ut cursoriae mare attigerunt, movit et ipse castra copiasque per medias Persarum terras, non petito per legatos commeatu, deduxit, quo eius facto attoniti Persae licet talem mirarentur audaciam, nihil tamen contra Romanos vicissim attentare ausi sunt. ita illi per hosticum nihilo securius quam per propriam ditionem transgressi sunt. neque ita multo post imperii fines Manuël ipse attigit. triremes autem Byzantium appulsae principis cineres in terram exposuerunt, quos magnifice susceptos senatus Romanus in monasterium intulit, quod imperatrix Irene, ut supra indicatum, exstruxerat dicaratque deo omnipotenti. at cum imperator reditum instituеret, ac necdum de sebastocratore quidquam audisset, utque tyrannidem affectantem nonnulli, quibus rerum publicarum cura demandata erat, dolo aggressi in omnipotentis templo custodiendum incluserint, subiit illius animum cogitatio, ne quid temere sebastocrator in quosdam qui cum eo erant, et illustriores praesertim, ipsorumque aedes decerneret. anxius igitur quo pacto fratrem ab hoc consilio dimoveret, tandem libellos Byzantium mittere decrevit, qui homines damnationi subiicerent, eoque ipso bonorum ac possessionum iactura

μάτων ἐκπτώσεσι ζημιοῦντας. οὕτω γὰρ (ἔφασκεν) ὑπὲρ αὐτοῦ βασιλέως τὴν ἐπιβουλὴν ποιήσασθαι τοὺς ἄνδρας ὑπειληφὼς ὁ σεβαστοκράτωρ τὰ οἴκοι συντηρήσει μᾶλλον αὐτοῖς, ἵν' ἐπὶ πλέον ἔχῃ πρὸς εὔνοιαν αὐτοὺς ἐπισπᾶσθαι.

2. Ἀλλ' ἦν ἄρα τὰ τῇ προνοίᾳ καθάπαξ δεδογμένα δυσανάλυτα πάντῃ καὶ λογισμοῖς ἀνθρώπων δυσεπιβούλευτα. ὁ μὲν
B γὰρ ταῦτα ἐνενόει, καὶ τοῖς περὶ αὐτὸν δὲ ἤδη τὴν βουλὴν ἐξεκάλυπτεν· Ἰσαακίους δὲ ἀμφοτέρους τὸν μὲν τὸ σεμνεῖον ἐτήρει φθάσαν ὡς ἔφαμεν, τὸν δέ, τὸν πρὸς πατρός φημι τῷ βασιλεῖ θεῖον, σιδηροπέδαι πρὸς Ἡρακλείᾳ καθειργμένον εἶχον τῇ Ποντικῇ. ἔνθα οὐ ξὺν ἀτιμίᾳ μὲν διῆγε τὸ πρότερον πρὸς τοῦ ἀδελφοῦ καὶ βασιλέως ἔτι περιόντος ὑπερόριος γεγονώς, δι' ἃς οὐκ ἀνίει ἔρωτι βασιλείας ἄλλοτε ἄλλας ὑπορύττων ἐπιβουλάς. τότε δὲ καὶ εἰς τοῦτο τύχης ἦλθε γνώμῃ τῶν ἐν Βυζαντίῳ τὸ τηνικάδε ἐφεστώτων, ἐπειδὴ νεωτέροις αὖθις καὶ αὐτὸν ἐγχειρεῖν ἐπύθοντο πράγμασιν. ἀλλὰ τὴν μὲν εἰς τὴν βασιλείαν πάροδον οὕτω
C καθάπερ ἤδη ἔφην ἡ πρόνοια φθάνουσα εὔοδον βασιλεῖ ἐποίει. ὁ δὲ ἐπειδὴ τὰ κατὰ τοὺς σεβαστοκράτορας ἤκουσεν, ἐν Βυζαντίῳ λοιπὸν γενόμενος μετακαλεῖται μὲν παραχρῆμα τὸν ἀδελφὸν χερσί τε περιβάλλει καὶ ἀδελφικῶς περιχέεται· μεταπέμπεται δὲ καὶ τὸν θεῖον τῆς ὑπερορίας, τὰς αἰτίας τε λύσας ἐφ' αἷς φυγῇ τὸ πρότερον ὁ πατὴρ αὐτὸν ἐζημίου, συγγνώμης ἠξίωσεν. εἶτα

3. συντηρήσει] Cod. συντηρήσειν. praeterea paullo ante ἔφασκε parenthesi inclusi. sensum expressi in versione Latina. 9. ἔφαμεν] Cod. ἔφημεν. 19. παραχρῆμα] Cod. π χρῆμα.

multarent. sic enim futurum est (inquit) ut sui ipsius causa illos adversus principem insidias molitos ratus sebastocrator res eorum domesticas conservet diligentius, quo ipsos in suas partes traducat.

2. Enimvero quae semel divina providentia constituit, nullo modo convelli neque hominum argutiis everti possunt. nam ille quidem huiusmodi consilia agitabat, et iam cum suis communicabat; Isaacius autem uterque in vinculis habebatur, alter quidem, ut supra diximus, in templo: alter vero, imperatoris patruus, Heracleae Ponticae, ubi citra infamiam vixerat primum, eo a Ioanne fratre et imperatore adhuc in vivis agente in exilium actus, quod regni consilia agitans alias ex aliis insidias struere non cessaret. tunc autem ad hanc calamitatem redactus fuerat eorum, qui Constantinopoli summae rerum praeerant, decreto, quod iterum et ipse res novas moliri deprehensus erat. sed divina providentia ita, ut modo dictum est, facilem Manuëli aditum ad imperium fecit. hic autem ubi quid de sebastocratoribus factum esset rescivit, Byzantium ingressus, accersitum continuo fratrem fraterne excipit, eiusque in amplexum ruit. patruum etiam revocat ab exilio, et obliterata eius criminis memoria, cuius gratia relegatus a patre fue-

δὴ χρήμασι τὸ στρατιωτικὸν δωρησάμενος οἴκαδε ἀπέλυσεν, ἑκάστῃ γε μὴν τῶν ἀνὰ τὸ Βυζάντιον οἰκιῶν χρυσίνους παρέσχετο δύο. ἐπεὶ δὲ καὶ ποιμένος ἔδει τῇ Κωνσταντίνου, Μιχαὴλ ἐπὶ τὸν θρόνον ἀνάγει, ὃς τοῦ κατὰ τὴν νῆσον, ἣν Ὀξεῖαν ἐκ τῆς θέσεως καλοῦσιν, ἦρχε φροντιστηρίου, παιδείας μὲν τῆς ἐγκυκλίου καὶ μαθημάτων τῶν ἐκτὸς ἄκρῳ φασὶ γευσάμενον δακτύλῳ, V 15
ἠθῶν δὲ κοσμιότητι καὶ τῇ τῶν θείων μελέτῃ λογίων οὐδενὸς D
ἐλάσσω τῶν εἰς ἐκείνην τὴν ἡμέραν ἐπ᾽ ἀρετῇ μάλιστα διαφανῶν, οὗ ταῖς χερσὶν ὕστερον ἐπ᾽ ἐκκλησίας τῷ βασιλικῷ ταινιοῦται διαδήματι. ὅτε καὶ χρυσίου κεντηνάριον τραπέζῃ τῇ ἱερᾷ καταθεὶς τότε μὲν ἐξῄει τὸ ἐλευθέριον αὐτοῦ καὶ μεγαλοπρεπὲς ἐν τοῖς ἁπάντων καταλελοιπὼς στόμασιν. εἰσέπειτα δὲ καὶ ἐτησίαν τῷ κλήρῳ ἐκ παλατίου κεντηναρίων δύο προσαφώρισε δόσιν· καλοῦσι δὲ τοῦτο τὸ νόμισμα δεύτερον.

3. Τὰ μὲν οὖν ἐς τὴν βασιλείαν προοίμια τοιάδε τινὰ αὐτῷ γέγονεν. ὁ δὲ Ῥαϊμοῦνδον τὸν Ἀντιοχείας πρίγκιπα τῆς P 19
εἰς τὸν πατέρα μετελεύσεσθαι θέλων ἁμαρτάδος (οὔπω γὰρ ἔφθη ἐκεῖνος δίκην αὐτῷ ἐπιθεῖναι τὴν δέουσαν, χρέους αὐτῷ τοῦ φυσικοῦ τὴν ὁρμὴν ἀνακόψαντος), στρατὸν ἐπ᾽ ἐκεῖνον ἠπειρώτην τε καὶ ναυτικὸν ἔπεμψεν. ἦρχον δὲ τοῦ μὲν Ἀνδρόνικός τε καὶ Ἰωάννης ἐς Κοντοστεφάνους ἀναφέροντε καὶ Προσοὺχ ἱκανὸς τὰ πολέμια. τοῦ γε μὴν ναυτικοῦ Δημήτριος ἡγεῖτο ᾧ Βρανᾶς ἐπίκλησις ἔκειτο. ἀλλὰ Προσοὺχ μὲν καὶ ἄμφω τὼ Κοντοστεφάνω, ἐπειδὴ πρὸς τοῖς Κιλίκων ὅροις ἐγένοντο, ἅ τε πρὸς Ἀντιοχέων

rat, veniam concessit. militem deinde pecuniis donatum domum remisit, binos etiam aureos Byzantinis in domos singulas largitus. cumque vacaret patriarchalis sedes Constantinopoli, Michaëlem illi imponit, monasterio in insula, quam Oxiam ex situ vocant, antea praefectum, virum liberalibus disciplinis humanioribusque literis leviter quidem imbutum, at morum elegantia rerumque divinarum scientia nemine inferiorem eorum, quorum ad eam aetatem virtus fuit maxime conspicua. huius manibus cum in ecclesia imperatorio diademate fuisset insignitus, deposito tum in sacra mensa auri centenario, inde excessit, omnibus uno ore liberalitatem illius et magnificentiam praedicantibus. postea clero etiam annuam ex palatio duorum centenariorum pensionem assignavit, id numismatis vulgo secundum nuncupant.

3. Eiusmodi fuere Manuēlis imperii primordia. ulciscendam vero statuens illatam Ioanni parenti a Raimundo Antiochiae principe iniuriam, (quippe illum dignam factis poenam rependere volentem mors prohibuerat) terrestres navalesque copias in eum misit. his Demetrius cognomento Branas, illis Ioännes et Andronicus ex Contostephanorum gente, nec non Prosuchus rerum militarium usu insignis praepositi sunt. Prosuchus quidem et uterque Contostephanus, postquam in Ciliciae fines pervenerunt, castellis,

Ῥωμαῖοι ἀφαιρεθέντες ἔτυχον ἐν ὀλίγῳ ἀνεσώσαντο φρούρια, καὶ
Ῥαϊμούνδῳ ἐς χεῖρας ἐλθόντες ἐτρέψαντό τε αὐτὸν καὶ πολλοὺς
B τῶν σὺν αὐτῷ ἔκτειναν. τὸ δ' ὅπως ἄρτι δηλώσω. ἐπειδὴ τὰ
εἰρημένα Ῥωμαῖοι παρεστήσαντο φρούρια, μηδενὸς ὅθεν δήποτε
ἀντιστατοῦντος αὐτοῖς ἄχρι καὶ ἐς Ἀντιόχου ἦλθον τὴν πόλιν,
λείαν Μυσῶν καὶ τὰ ἐν ποσὶν ἐργαζόμενοι. Ῥαϊμοῦνδος δὲ ἕως
μὲν προσιόντας Ῥωμαίους ἑώρα, ἐντὸς τειχέων ἀτρέμας εἶχεν.
ἐπεὶ δ' ἐκεῖθεν συσκευασάμενοι ἀνεχώρουν (ἐπεξῄει γὰρ σφίσιν
οὐδὲ εἷς), τότε κατὰ νώτου ἐπιθήσεσθαι αὐτοῖς ἐννοησάμενος
εἵπετο ἐν τῷ ἀφανεῖ. καὶ Ῥωμαῖοι μὲν ἐπί τινα χῶρον ἐλθόν-
τες, ἔνθα σφίσι σκηνοῦν ἐδόκει, χάρακα ἐπήγνυντο. ὁ δὲ ἐν
ἐπικαίρῳ καὶ αὐτὸς τὸ στράτευμα καταθεὶς ὀλίγοις ἅμα ἐπὶ κα-
τασκοπὴν τῶν πολεμίων ἐχώρει. οὐ μὴν ἔλαθε Ῥωμαίους ἐπιών·
C τῶν γὰρ ἐπὶ χορταγωγίαν ἐξιόντων τινὲς οὐ μακρὰν ἄποθεν τῶν
χαρακωμάτων ἐντετυχηκότες αὐτῷ δρομαῖοι τοῖς στρατηγοῖς ἀπήγ-
γειλαν. οἱ δὲ τότε μέν, νὺξ γὰρ ἤδη ἦν, φυλακὰς τάξαντες ἀνε-
παύσαντο. ἑξῆς δὲ οὔπω ἡμέρας καταλαβούσης ταξάμενοι ὀπι-
σθόρμητοι ᾔεσαν, γνώμην ἔχοντες σκηνουμένοις ἔτι τοῖς ἀμφὶ
Ῥαϊμοῦνδον ἐπεισπεσεῖν. οὐ μὴν οὐδὲ Ῥαϊμοῦνδος ἠμέλει, ἀλλὰ
καὶ ὃς ὀρθριαίτερον τοῖς περὶ αὐτὸν τὰ δοκοῦντα ἐπιτείλας αὐ-
τοὺς μὲν αὐτοῦ ἔλιπεν, ὁ δὲ ἐπὶ κατασκόπησιν αὖθις ἐχώρει·
Ῥωμαίοις δὲ ἐξ ἀπροσδοκήτου συμπεσὼν αὐτός τε νῶτα δοὺς
ἔφευγε καὶ τὸ λοιπὸν στράτευμα πέμψας κατὰ τάχος ἐνθένδε

13. κατασκοπὴν] Cod. κατασκοπεῖν.

quae Romanis erepta fuerant ab Antiochenis, intra breve tempus receptis, consertis cum Raimundo manibus, ipsum verterunt in fugam, plurimosque ex eius exercitu obtruncarunt. his igitur arcibus obsistente nemine expugnatis, ad urbem usque Antiochiam, facta Mysorum, ut aiunt, praeda, et raptis quae obvia erant, penetravere. Raimundus interim ingruentes Romanos conspicatus, intra urbis moenia substitit. ut vero, collecta praeda, parant reditum, quod ne unus quidem in eos egrederetur: Raimundus clam a tergo recedentes est insecutus. ac Romani quidem idoneo reperto loco, ubi pedem figere possent, in eo tabernacula collocarunt. ipse vicissim opportune cum suis castra faciens, cum paucis ad explorandum hostem proficiscitur. non latuit eius adventus Romanos: nam pabulantium nonnulli, non procul a castris obviam facti, confestim ducibus id renuntiarunt: qui tum quidem (nox enim iam aderat) vigiliis dispositis sese continuere. sed orta vixdum luce, instructo agmine retro cesserunt, quo Raimundi copias in propriis tentoriis opprimerent. Raimundus contra nihilo segnius sese habens, primo diluculo, quae essent agenda suis praecipit, iisque ibi relictis, ipse denuo speculatum exit. sed enim in Romanos necopinatus incidens, continuo fugam capessit: missisque ad castra nuntiis suos hortatur, inde quam

ἐπαίρειν προὐτρέπετο· ἀλλὰ παρὰ πόδας αὐτοῖς ὁ Ῥωμαίων στρατὸς ἐπελθὼν ἐτρέψατό τε καὶ φόνον αὐτῶν πολὺν εἰργάσατο, καὶ μέχρι τῶν Ἀντιοχείας πυλῶν ἡ δίωξις ἐγένετο. Ῥαϊμοῦνδος D καὶ αὐτὸς μόλις τοὺς πολεμίους διαδρὰς νυκτὸς ἐπὶ τὴν πόλιν εἰσήλασεν. οἱ μὲν δὴ ἀμφὶ τὸν Προσοὺχ ταῦτα Ῥαϊμοῦνδον εἰργασμένοι ἐπὶ τὴν Κιλίκων ἀνεχώρησαν, Δημήτριος δὲ σὺν τῷ στόλῳ ἐπελθὼν τὴν περίοικον καὶ θαλάσσῃ γείτονα ἐληΐσατο, καὶ πλῆθος ἀνθρώπων ἠνδραποδίσατο, ναῦς τε τῶν ἐγχωρίων ὡς πλείστας παρὰ τὴν θαλάσσης ἀνειλκυσμένας ἀκτὴν πυρὶ ἔφλεξεν· ὅτε δὴ καὶ ὁ τὸ δημόσιον σφίσιν εἰσπραττόμενος νόμισμα αἰχμάλωτος Ῥωμαίοις ἐγένετο. Ῥαϊμοῦνδος δὲ ἐπειδὴ ταῦτα ἤκουσε P 20 θυμῷ μεγάλῳ ἐπιών, ὡς τὰς Ῥωμαϊκὰς ναῦς ἀποσχομένας ἤδη V 16 τῆς χέρσου κατενόει, ἄπρακτος ἐκεῖθεν ἀνεχώρει. Ῥωμαῖοι δὲ τῆς θαλάσσης οὐ συγχωρούσης αὐτοῖς ἡμέραις δέκα τὸν χῶρον ἐκεῖνον παραπλεύσαντες, ἐπειδὴ λειψυδροῦντες ἦσαν, τῇ χέρσῳ αὖθις αἰφνίδιοι προσοκείλαντες τούς τε πολεμίους ἐτρέψαντο καὶ δύο τῶν ἐπιθαλασσιδίων ἐκπορθήσαντες φρούρια οἴνου τε ὡς πλείστου καὶ ποταμίου τὰς ναῦς ἐμπλήσαντες ὕδατος πνεύματός τε ἐπιφόρου τυχόντες ἐς Κύπρον ἀνήχθησαν. ταῦτα δὴ συμπεσόντα Ῥαϊμοῦνδον τὴν ἐς Βυζάντιον στείλασθαι ἠνάγκασαν· ἀφικομένῳ δὲ οὐ πρότερον βασιλεὺς προσχεῖν ἠξίωσε, πρὶν ἐς τὸ τοῦ βασι- B λέως καὶ πατρὸς ἀπιὼν μνῆμα ἐντεῦθεν δὴ τὴν συμπάθειαν ἐκομίσατο καὶ λίζιον λοιπὸν αὐτὸν ἐποιήσατο.

9. ἀνειλκυσμένας] Cod. ἀνειλκομένας.

celerrime excedant. at supervenientes e vestigio Romani fugarunt fuderuntque magnam partem, ad portas usque Antiochiae fugientes persecuti. Raimundus ipse ex hostium manibus aegre dilapsus, de nocte in civitatem pervenit. ea clade affecto Raimundo, Prosuchi milites Ciliciam repetiere. interea Demetrius cum classe adveniens, loca maritima incursat, oramque totam depopulatur, captivos abducit complures, navesque ipsas incolarum magno numero in littore stantes incendit. sed et publici apud illos tributi exactor in potestatem venit Romanorum. haec postquam ad Raimundum perlata sunt, summo animi ardore, ad classem hostilem contendit, quam ubi cognovit iam a statione avectam, rebus infectis inde regressus est. Romani autem, reflante vento, diebus decem percurrere eum tractum: cumque aquarum penuria premerentur, rursum ex insperato applicatos ad terram hostes in fugam dederunt, direptisque maritimis duobus castellis, magna vini, et fluvialis aquae copia impletis navibus, ventum nacti secundum, ad Cyprum insulam appulere. quae ibi gesta sunt Raimundum coëgerunt Byzantium proficisci. advenientem vero ad colloquium admittere renuit imperator, antequam ad parentis imperatoris monumentum, venia impetrata, sibi in posterum fidem et clientelam professus esset.

Ῥωμαῖοι ἀφαιρεθέντες ἔτυχον ἐν ὀλίγῳ ἀνεσώσαντο φρούρια, καὶ Ῥαϊμούνδῳ ἐς χεῖρας ἐλθόντες ἐτρέψαντό τε αὐτὸν καὶ πολλοὺς B τῶν σὺν αὐτῷ ἔκτειναν. τὸ δ' ὅπως ἄρτι δηλώσω. ἐπειδὴ τὰ εἰρημένα Ῥωμαῖοι παρεστήσαντο φρούρια, μηδενὸς ὅθεν δήποτε ἀντιστατοῦντος αὐτοῖς ἄχρι καὶ ἐς Ἀντιόχου ἦλθον τὴν πόλιν, λείαν Μυσῶν καὶ τὰ ἐν ποσὶν ἐργαζόμενοι. Ῥαϊμοῦνδος δὲ ἕως μὲν προσιόντας Ῥωμαίους ἑώρα, ἐντὸς τειχέων ἀτρέμας εἶχεν. ἐπεὶ δ' ἐκεῖθεν συσκευασάμενοι ἀνεχώρουν (ἐπεξῄει γὰρ σφίσιν οὐδὲ εἷς), τότε κατὰ νώτου ἐπιθήσεσθαι αὐτοῖς ἐννοησάμενος εἵπετο ἐν τῷ ἀφανεῖ. καὶ Ῥωμαῖοι μὲν ἐπί τινα χῶρον ἐλθόντες, ἔνθα σφίσι σκηνοῦν ἐδόκει, χάρακα ἐπήγνυντο. ὁ δὲ ἐν ἐπικαίρῳ καὶ αὐτὸς τὸ στράτευμα καταθεὶς ὀλίγοις ἅμα ἐπὶ κατασκοπὴν τῶν πολεμίων ἐχώρει. οὐ μὴν ἔλαθε Ῥωμαίους ἐπιών· C τῶν γὰρ ἐπὶ χορταγωγίαν ἐξιόντων τινὲς οὐ μακρὰν ἄποθεν τῶν χαρακωμάτων ἐντετυχηκότες αὐτῷ δρομαῖοι τοῖς στρατηγοῖς ἀπήγγειλαν. οἱ δὲ τότε μέν, νὺξ γὰρ ἤδη ἦν, φυλακὰς τάξαντες ἀνεπαύσαντο. ἑξῆς δὲ οὔπω ἡμέρας καταλαβούσης ταξάμενοι ὀπισθόρμητοι ᾖεσαν, γνώμην ἔχοντες σκηνουμένοις ἔτι τοῖς ἀμφὶ Ῥαϊμοῦνδον ἐπεισπεσεῖν. οὐ μὴν οὐδὲ Ῥαϊμοῦνδος ἠμέλει, ἀλλὰ καὶ ὃς ὀρθριαίτερον τοῖς περὶ αὐτὸν τὰ δοκοῦντα ἐπιτείλας αὐτοὺς μὲν αὐτοῦ ἔλιπεν, ὁ δὲ ἐπὶ κατασκόπησιν αὖθις ἐχώρει· Ῥωμαίοις δὲ ἐξ ἀπροσδοκήτου συμπεσὼν αὐτός τε νῶτα δοὺς ἔφευγε καὶ τὸ λοιπὸν στράτευμα πέμψας κατὰ τάχος ἐνθένδεν

13. κατασκοπὴν] Cod. κατασκοπεῖν.

quae Romanis erepta fuerant ab Antiochenis, intra breve tempus receptis, consertis cum Raimundo manibus, ipsum verterunt in fugam, plurimosque ex eius exercitu obtruncarunt. his igitur arcibus obsistente nemine expugnatis, ad urbem usque Antiochiam, facta Mysorum, ut aiunt, praeda, et raptis quae obvia erant, penetravere. Raimundus interim ingruentes Romanos conspicatus, intra urbis moenia substitit. ut vero, collecta praeda, parant reditum, quod ne unus quidem in eos egrederetur: Raimundus clam a tergo recedentes est insecutus. ac Romani quidem idoneo reperto loco, ubi pedem figere possent, in eo tabernacula collocarunt. ipse vicissim opportune cum suis castra faciens, cum paucis ad explorandum hostem proficiscitur. non latuit eius adventus Romanos: nam pabulantium nonnulli, non procul a castris obviam facti, confestim ducibus id renuntiarunt: qui tum quidem (nox enim iam aderat) vigiliis dispositis sese continuere. sed orta vixdum luce, instructo agmine retro cesserunt, quo Raimundi copias in propriis tentoriis opprimerent. Raimundus contra nihilo segnius sese habens, primo diluculo, quae essent agenda suis praecipit, iisque ibi relictis, ipse denuo speculatum exit. sed enim in Romanos necopinatus incidens, continuo fugam capessit: missisque ad castra nuntiis suos hortatur, inde quam

ἀπαίρειν προὐτρέπετο· ἀλλὰ παρὰ πόδας αὐτοῖς ὁ Ῥωμαίων στρατὸς ἐπελθὼν ἐτρέψατό τε καὶ φόνον αὐτῶν πολὺν εἰργάσατο, καὶ μέχρι τῶν Ἀντιοχείας πυλῶν ἡ δίωξις ἐγένετο. Ῥαϊμοῦνδος D καὶ αὐτὸς μόλις τοὺς πολεμίους διαδρὰς νυκτὸς ἐπὶ τὴν πόλιν εἰσήλασεν. οἱ μὲν δὴ ἀμφὶ τὸν Προσοὺχ ταῦτα Ῥαϊμοῦνδον εἰργασμένοι ἐπὶ τὴν Κιλίκων ἀνεχώρησαν, Δημήτριος δὲ σὺν τῷ στόλῳ ἐπελθὼν τὴν περίοικον καὶ θαλάσσῃ γείτονα ἐληΐσατο, καὶ πλῆθος ἀνθρώπων ἠνδραποδίσατο, ναῦς τε τῶν ἐγχωρίων ὡς πλείστας παρὰ τὴν θαλάσσης ἀνειλκυσμένας ἀκτὴν πυρὶ ἔφλεξεν· ὅτε δὴ καὶ ὁ τὸ δημόσιον σφίσιν εἰσπραττόμενος νόμισμα αἰχμάλωτος Ῥωμαίοις ἐγένετο. Ῥαϊμοῦνδος δὲ ἐπειδὴ ταῦτα ἤκουσε P 20 θυμῷ μεγάλῳ ἐπιών, ὡς τὰς Ῥωμαϊκὰς ναῦς ἀποσχομένας ἤδη V 16 τῆς χέρσου κατενόει, ἄπρακτος ἐκεῖθεν ἀνεχώρει. Ῥωμαῖοι δὲ τῆς θαλάσσης οὐ συγχωρούσης αὐτοῖς ἡμέραις δέκα τὸν χῶρον ἐκεῖνον παραπλεύσαντες, ἐπειδὴ λειψυδροῦντες ἦσαν, τῇ χέρσῳ αὖθις αἰφνίδιοι προσοκείλαντες τούς τε πολεμίους ἐτρέψαντο καὶ δύο τῶν ἐπιθαλασσιδίων ἐκπορθήσαντες φρούρια οἴνου τε ὡς πλείστου καὶ ποταμίου τὰς ναῦς ἐμπλήσαντες ὕδατος πνεύματός τε ἐπιφόρου τυχόντες ἐς Κύπρον ἀνήχθησαν. ταῦτα δὴ συμπεσόντα Ῥαϊμοῦνδον τὴν ἐς Βυζάντιον στείλασθαι ἠνάγκασαν· ἀφικομένῳ δὲ οὐ πρότερον βασιλεὺς προσχεῖν ἠξίωσε, πρὶν ἐς τὸ τοῦ βασι- B λέως καὶ πατρὸς ἀπιὼν μνῆμα ἐντεῦθεν δὴ τὴν συμπάθειαν ἐκομίσατο καὶ λίζιον λοιπὸν αὐτὸν ἐποιήσατο.

9. ἀνειλκυσμένας] Cod. ἀνειλκομένας.

celerrime excedant. at supervenientes e vestigio Romani fugarunt fuderuntque magnam partem, ad portas usque Antiochiae fugientes persecuti. Raimundus ipse ex hostium manibus aegre dilapsus, de nocte in civitatem pervenit. ea clade affecto Raimundo, Prosuchi milites Ciliciam repetiere. interea Demetrius cum classe adveniens, loca maritima incursat, oramque totam depopulatur, captivos abducit complures, navesque ipsas incolarum magno numero in littore stantes incendit. sed et publici apud illos tributi exactor in potestatem venit Romanorum. haec postquam ad Raimundum perlata sunt, summo animi ardore, ad classem hostilem contendit, quam ubi cognovit iam a statione avectam, rebus infectis inde regressus est. Romani autem, reflante vento, diebus decem percurrere eum tractum: cumque aquarum penuria premerentur, rursum ex insperato applicatos ad terram hostes in fugam dederunt, direptisque maritimis duobus castellis, magna vini, et fluvialis aquae copia impletis navibus, ventum nacti secundum, ad Cyprum insulam appulere. quae ibi gesta sunt Raimundum coëgerunt Byzantium proficisci. advenientem vero ad colloquium admittere renuit imperator, antequam ad parentis imperatoris monumentum, venia impetrata, sibi in posterum fidem et clientelam professus esset.

4. Ὑπὸ τοῦτον τὸν χρόνον καὶ Εἰρήνην τὴν αὐτῷ οὔπω βασιλεῖ μνηστευθεῖσαν βασιλεὺς ἠγάγετο, κόρην ἐς ῥῆγας μὲν ἀναφέρουσαν ἠθῶν δὲ κοσμιότητι καὶ ψυχικαῖς ἀρεταῖς οὐδεμιᾶς ἐλάσσω τῶν τότε γεγενημένην. λέγεται δή τι περὶ ταύτης τοιοῦτον. ὁπηνίκα ἐς Βυζάντιον ἄρτι παρῄει, ἄλλαι τε τῶν ἐπ᾽ εὐγενείᾳ διαφερουσῶν ὑπήντων αὐτῇ καὶ ἡ Ἀλεξίῳ βασιλεῖ ἥρμοστο· ἠμφίεστο δὲ ἐσθῆτα μὲν ἀπὸ βύσσου, τἄλλα δὲ ἐκ χρυσοῦ
C καὶ πορφύρας κεκόσμητο. ἀλλὰ τὸ τοῦ βύσσου κυαναυγὲς μελαμφόρον ταύτην ἐποίει τῇ νεήλυδι καταφαίνεσθαι. ἀμέλει καὶ ἐπυνθάνετο τῶν παρόντων, ἥτις ποτὲ εἴη ἡ μονήρης αὕτη καὶ μεγαλοπρεπὴς λέγουσα. τοῦτο δὴ ξύμβολον τοῖς ἀκούσασιν οὐμενοῦν ἀγαθὸν ἔδοξε, καὶ τὸ τέλος οὐκ εἰς μακρὰν ἠκολούθει. βασιλέα δὲ ἡ τῆς Ἀσίας εἶχε περαία καὶ τὰ Βιθυνῶν ὅρια σκεπτόμενον ὅπως ἂν μηκέτι ἐσβατὰ τῷ Περσῶν γένει τὰ τῇδε γένοιτο. τῶν γὰρ ἐν τοῖς ἄνω χρόνοις τὰς τῶν βαρβάρων ἐπιτειχιζόντων ὁρμὰς ἀμελείᾳ περιοραθέντων, εὐέφοδα Πέρσαις τὰ τῇδε ἐγένοντο. ἀλλὰ τοῦτο μὲν χρόνοις ὕστερον φιλοτιμότατα πρὸς
D βασιλέως ἀνεπλήσθη πλείους ἀνοικισαμένου πόλεις· τότε δ᾽ οὖν ἔγνω πολίχνην ἐν τοῖς οὕτω Μελαγγείοις καλουμένοις ἀνεγεῖραι. τοῦ μέντοι ἔργου προβαίνοντος ἠγγέλη αὐτῷ, ὡς τῇ πρεσβυτάτῃ τῶν βασιλέως Ἰωάννου θυγατέρων, ἣν ὁ καῖσαρ ἠγάγετο Ῥογέριος, νόσος ἐπιγεγονυῖα ἄφυκτον ὑπογράφει τὸν κίνδυνον. εἰς

6. ὑπήντων] Ita Tollius. Cod. ἠπήντων. 16. ὁρμὰς] Addendum videtur φρουρίων. 20. ἠγγέλη] Cod. ἠγγέλει.

4. Sub idem ferme tempus Irenem, quam privatus adhuc sibi desponderat, coniugem accepit, regio ortam genere feminam, moribusque et animi dotibus nulla suae aetatis inferiorem. huic paulo ante Byzantium venienti tradunt obviam effusas, cum alias natalium splendore conspicuas matronas, tum eam maxime quae Alexio imperatori nupserat. induta erat illa byssina veste, auro ceteroquin et purpura intertexta. sed ob colorem in byssino caeruleum, cum atrata mulier novae nuptae videretur, quaenam illa esset monacha magnifico habitu, ex iis quae circumstabant percontata est. omen id parum felix visum audientibus, quod subsecutus non multo post comprobavit eventus. Manuël traiecto freto in Asia et Bithynorum finibus versabatur et ne ille terrarum tractus Persarum incursionibus pateret curabat. nam cum prioribus seculis barbarorum irruptiones munitionibus subinde exstructis propulsarent, neglectis iis, pervia omnia erant Persis finitimis, sed postmodum restitutae sunt illae imperatoris liberalitate, compluraque ab eo ibi instaurata oppida. illo autem tempore in ea quam Melangia vocant regione oppidum condere constituit. quod opus dum urgetur, nuntiatur Manuëli filiam natu maximam Ioannis imperatoris, quam Rogerius Caesar uxorem habebat gravissimo morbo ad proximum vitae periculum adductam.

ὅσον οὖν πέρατι δοῦναι τὸ ἔργον τῷ χώρῳ ἐνδιατρίψας τῆς ἐπὶ Βυζάντιον εἴχετο. ἀλλὰ μεταξὺ τὸ χρεὼν ἐκείνη ἀπέπλησε, γυνὴ μεγαλόφρων ἐν ταῖς μάλιστα καὶ πολὺ τὸ ἀρρενωπὸν ἔχουσα. ἐγὼ δ' ἐνταῦθα τοῦ λόγου γενόμενος εἰς μνήμην ἦλθον τοῦ ἔργου τῆς γυναικὸς ταυτησὶ καὶ εἰσέπειτα θαυμάζεσθαι ἄξιον. φασὶ P 21 τὸν καίσαρα Ῥογέριον τῇ βασιλείᾳ καὶ αὐτὸν κατ' ἐκεῖνον ἐποφθαλμίσαντα τὸν χρόνον, ὁπηνίκα οὔπω μετὰ τὴν βασιλέως Ἰωάννου τελευτὴν ἡ Κωνσταντίνου τὸν νέον αὐτοκράτορα εἶχε, στασιώτας ἑαυτῷ ἄλλους τε περιστῆσαι συχνούς, καὶ δὴ καὶ τῶν τινα Ἰταλιωτῶν γένους συμπατριώτην αὐτῷ τὸ πατρόθεν ὄντα σὺν τοῖς ἀμφ' αὐτὸν ἑταιρίσασθαι εἰς τετρακοσίους μάλιστα ἀγειρομένους. ἦν δὲ ὁ Ἰταλιώτης γένει μὲν περιφανὴς καὶ ἐπίδοξος, Καπύης δὲ πόλεως ἐξάρχων Ἰταλικῆς πολυανθρωποτάτης ἄγαν καὶ εὐδαίμονος. αἰτία δὲ αὐτῷ τῆς ἐν Βυζαντίῳ διατριβῆς αὕτη ἦν· ὁ τῷ τηνικάδε Σικελίας τυραννῶν Ῥογέριος, οὗ πολὺν ἐν τοῖς ὄπισθεν ποιησόμεθα λόγον ἐπειδὰν τὰς Ἰταλικὰς ἀναγράφωμεν μάχας, B ἐπὶ τὴν Καπύης λιχνευσάμενος ἀρχὴν πολὺς ἐνέκειτο τῷ ἀνδρὶ πολεμῶν. ἐφ' οἷς οὗτος ἀπειρηκὼς τὴν εἰς Βυζάντιον ἐστείλατο. V 17 καίσαρι μὲν οὖν ταῦτα ἐπράσσετο. ἡ δὲ σύνοικος ἐπειδὴ μετὰ πολλὰς παραινέσεις ἰσχυρογνώμονα τοῦτον ἑώρα καὶ δεινῶς βασιλειῶντα καὶ οὐδ' ἂν εἴ τι καὶ γένηται μεταθησόμενον τοῦ σκοποῦ, τοὺς τῶν κοινῶν ἐπιμελητὰς ὡς ἑαυτὴν μεταπεμψαμένη κοινοῦται τὸ πρᾶγμα καὶ ἢ (φησὶν) αὐτοί μοι τὸν ἄνδρα παράδοτε,

2. ἀπέπλησε] ἀνέπλησε? 3. ἐν ταῖς μάλιστα] Tollius ἐν τοῖς μάλιστα.

itaque isthic aliquamdiu, quo absolveret quae inceperat, erat commoratus, dum Byzantium festinat, fato fungitur femina ingentis spiritus, quaeque virilem omnino animum prae se ferebat. at cum illius mihi hoc loco recurrat memoria, operae videtur pretium unum quod eam spectat deinceps admiratione dignum commemorare. Rogerium Caesarem ferunt, mortuo Ioanne imperatore, necdum Byzantium ullo obtinente principe, imperium cogitantem, collectos plurimos ad suas partes allexisse, atque in his gentilem quemdam Italum, ipsique a teneris annis familiarem, qui numero ad summum quadringenti. erat autem et ille gente perinde Italus, natalium splendore illustris et conspicuus, Capuae civitatis in Italia potentissimae clarissimaeque dominus, cui Byzantii commorandi id causae potissimum fuit. Rogerius tunc temporis Siciliae tyrannus, de quo multa deinceps memoranda occurrent, cum ad bella pervenerimus Italica, Capuano inhians principatui, acri bello hominem impetiit: cui cum ille resistendo non esset, Byzantium se contulit. his igitur a Caesare tentatis, ut eum coniux post multas admonitiones obstinatiorem vidit, imperiumque validius affectantem, ni provideretur, nequicquam a proposito posse dimoveri, accersitis quibus tum summa rerum

ἢ γοῦν μελήσει πάντως ὑμῖν τοῦ τὴν βασίλειαν ἀδελφῷ συντηρῆσαι τὠμῷ. ἡ μὲν ταῦτα εἶπεν· οἱ δὲ τὸν καίσαρα παντοδαπῶς ὑπελθόντες ἐπί τινα τῶν ἀγχοῦ Βυζαντίου προαστείων ἐξῆ-
C γον χρείας δῆθέν τινος ἕνεκα. ἐπειδή τε ἐπὶ τοῦ τόπου ἐγένετο, αὐτὸν μὲν ἐνταῦθα διατρίβειν ἀφῆκαν, οἱ δὲ ἐπὶ τὴν πόλιν ἦλθον.

5. Ἡ μὲν δὴ Μαρία τοιάδε τις ἦν. βασιλεὺς δέ, τοῦ πάθους ἀγγελθέντος αὐτῷ, τότε μὲν ἐς Βυζάντιον ἦλθε· μετὰ δέ τινα χρόνον ἐς τὴν ἐπὶ Ῥυνδακοῦ αὐλισάμενος πεδιάδα, ἔνθα βασιλεῖ Ἰωάννῃ φρούριόν τι ἐκ καινῆς ἀνῳκοδομήθη, ὃ Λοπάδιον ὠνόμασται τοῖς πολλοῖς, ἐνταῦθα τὸν στρατὸν ἤγειρεν, ἐς τὴν Περσικὴν ἐμβαλεῖν διανοούμενος. Πέρσαι γὰρ τὰς μεταξὺ Ῥωμαίων σπονδὰς παραλύσαντες Πρακανάν τε πόλιν Ἰσαυρικὴν ἐκπορθήσαντες εἷλον καὶ πλεῖστα ἄλλα Ῥωμαίους προσεζημίωσαν. ἐπειδὴ γοῦν ὡς ἄριστα παρεσκεύαστο ἤδη, ἄρας ἐκεῖθεν σπουδῇ ἐπὶ τὰ πρόσω ἐχώρει, κατὰ νοῦν ἔχων ὡς ἂν ἀφυλάκτοις αὐτοῖς
D ἐξαπιναίως ἐπελθὼν ἡβηδὸν ἀπολέσειε. πλὴν ἀλλὰ τοῦ μὲν σκοποῦ οὐ πάντῃ διήμαρτεν. οὐ μὴν καὶ χεῖρας ἔχρησε τῇ μάχῃ ἐκείνῃ. ὡς γὰρ ὀξέως τὸν Μύσιον διαβὰς Ὄλυμπον ἄχρι τε ἐς τὸν Πιθηκᾶν γεγονώς, ἔνθα φρούριον αὐτὸς ἐδείματο καρτερόν, νύκτωρ διὰ τῶν ταύτῃ ὀρῶν ἐπορεύετο, ἃ τῇδε ἀποκρέμαται ὑψηλὰ καὶ δεινῶς λάσια, ξυνέβαινεν ἐκ τῶν κατὰ τὰς λόχμας ἀναγομένων ἀτμῶν ἐμπιπλαμένης αὐτῷ τῆς κεφαλῆς ἀθρόον

3. ἐπί τινα] Malim ἐπί τι. 8. Ῥυνδακοῦ] Cod. Ῥυνδακᾶ.

erat, quae agebantur, prodens, aut mihi, inquit, virum tradite, aut vobis curae sit imperatoris filiam fratri meo reservare. hi modis omnibus Caesarem adorti, in propinquum Byzantio suburbanum adduxerunt, quasi res quaepiam illic agenda instaret, tum ubi eo accessere, ibi dimisso illo, in urbem rediere.

5. Eiusmodi ingenii fuit Maria. Illius autem cognito obitu Byzantium princeps rediit. nec multo interiecto tempore, locatis ad Rhyndacenos campos castris, ubi castellum de novo exstruxerat Ioannes imperator, quod Lopadium vulgo appellant, copias cogit, et in Persidem impetum facere constituit. Persae si quidem, posthabitis foederibus, Pracanam expugnaverant, urbem Isauriae, et alia insuper damna Romanis intulerant. rebus ut par erat ad bellum compositis, castra inde movens, in ulteriora progreditur, quo incautos inopinate aggressus, puberes omnes internecione deleret. nec aberravit omnino a proposito, etsi ad manus ventum non est. superato enim Olympo Mysiae monte, ad Pithecam cum pervenisset, ubi validam ipse arcem condiderat, noctu in eos secessit montes, qua confragosi, praeruptique sunt, atque arbustis consiti: verum accidit ut ascendentes crebri e tesquis vapores caput ipsius adeo occuparent, ut subito concideret neque surgendi potestatem haberet, et ad mediam usque noctem omnis sen-

κατενηνέχθαι, ὡς μηκέτι μηδὲ ἀναστῆναι δύνασθαι. μέχρι μὲν οὖν καὶ περὶ μέσας νύκτας σχεδόν τι καὶ ἀνεπαισθήτως εἶχεν αὐτοῦ, μετὰ δὲ ὀλίγον ἀνασφήλας εἶτα ῥώων ἐς τὴν ὑστεραίαν P 22
γεγονώς, αὐτὸς μὲν ἡσυχῇ ἔμεινε, μοῖραν δὲ τοῦ στρατεύματος ἀπολεξάμενος ἱκανὴν ἅμα στρατηγοῖς ἐπὶ τὸ ἔργον διαφῆκεν, οἳ καὶ οὐκ ἐς μακρὰν δυνάμεσι περιτετυχηκότες ἐχθρῶν, ἐπειδὴ καθυπέρτεροι τῇ μάχῃ ἐγένοντο, λαφύρων τε μέγα τι περιεβάλοντο χρῆμα καὶ σὺν τροπαίοις ἐκεῖθεν ἀνέστρεψαν. βασιλεὺς μὲν ταῦτα ἔπρασσε. Πέρσαι δὲ ἐν τούτῳ συσκευασάμενοι στρατιῷ μεγάλῳ τῇ Θρακησίων ἐμβάλλουσι γῇ, οὐδενός τε σφίσιν ἀντιστρατοῦντος (Θεόδωρος γὰρ ᾧ Κοντοστέφανος ἐπίκλησις ἦν, τούτου δὴ ἕνεκα πρὸς βασιλέως πεμφθείς, οὔπω ἔφθη τὸν στρατὸν ἀγείρας τῇδε καταλαβεῖν) ἄχρι καὶ ἐπί τι τῶν οὐκ ἄπο θαλάσσης χωρίων, ὃ Κελβιανὸν ὀνομάζεται, προνομεύοντες ἦλθον, B
λείαν τε ὡς πλείστην ἐπαγόμενοι ἀνεχώρησαν. τούτων ἐπειδὴ βασιλεὺς ἤκουσεν, οὐκέτι κατέχειν ἑαυτὸν οἷός τε ἐγένετο. ταχὺ γοῦν συσκευασάμενος ὅλαις ὁρμαῖς τὴν ἐς Ἰκόνιον ἐφέρετο, γράμμασι περὶ τούτου τῷ σουλτὰν μεμηνυκὼς πρότερον. εἶχε δὲ τὰ γράμματα ὧδε. "εἰδέναι βουλόμεθά σε πράγμασιν ἐγχειρεῖν, ἃ τὴν ἡμετέραν κατὰ σοῦ διερεθίζουσιν ἔφοδον. Πρακανάν τε γὰρ οὐδέν σοι προσήκουσαν αὐτὸς ἀφελόμενος ἔχεις, καὶ πρός γε Ῥωμαίων ἔναγχος ἐπῆλθες τῇ γῇ. σὺ δὲ καὶ Ἰαγουπασὰν ἀνδρὶ Ῥωμαίοις ὑποσπόνδῳ πλείστοις τε ἄλλοις τῶν τῇδε φυλάρχων οὐκ

1. κατενηνέχθαι] Cod. κατενηνέχθη. 7. λαφύρων] Ita Tollius. Cod. λαφύροιν. 11. ἀντιστρατοῦντος] Fort. ἀντιστρατεύοντος.

sus fere expers permaneret. tum recreatus paululum, recuperataque consequente die valetudine, ipse quidem substitit; suorum vero partem dimisit, praefectis ad rem peragendam idoneis ducibus. hi confestim hostibus obviam facti, iisque profligatis, victorem exercitum cum multiplici praeda, ovantes reduxerunt. dum haec aguntur ab imperatore, Persae, rebus ad bellum paratis, cum ingenti militum multitudine in Thracesiorum terram irrumpunt, et resistente nemine (nam Theodorus cognomento Contostephanus, ad id ab imperatore missus, exercitu comparato, nondum advenerat) castellum illi non longe a mari dissitum, quod Celbianum vocant, populabundi ineunt, factaque non modica praeda, regrediuntur. his imperator cognitis, impos sui statim cum universis copiis citato impetu Iconium contendit, scriptis prius ad Sultanum literis, quibus consilium suum nuntiaret. harum haec fuit sententia. "scire te volumus nostrae huic adversus te expeditioni molimina tua causam praebuisse. neque enim tantum Pracanam haud tui iuris civitatem, a te pridem expugnatam, detines, sed et in Romanos agros nuper irrupisti. Iagonpesanem quoque socium nostrum, compluresque alios ibi phylarchos

ἀνίεις τρόπῳ τινὶ πολεμῶν. καίτοι ἔδει σε ἄνδρα ξυνετὸν ὄντα
C ἐκεῖνο κατανοεῖν ὡς οὐκ ἄν ποτε Ῥωμαῖοι τοιάδε περιφρονούμενοι καταδέξαιντο ἄν, καὶ λελείψεταί σε πολυπλασίαν ἅμα θεῷ τὴν ποινὴν ἀποδοῦναι. ἢ τοίνυν ἀπόσχου τῶν παραλόγων, ἢ μὴν ἐν παρασκευῇ ἔσο ὡς αὐτίκα Ῥωμαίους ὑποστησόμενος." τὰ μὲν δὴ γράμματα ἐν τούτοις ἦσαν. ὁ δὲ ταύτην αὐτῷ κομισθεῖσαν ἀναλεξάμενος τὴν ἐπιστολὴν ἀμείβεται ὧδε. "ἐδεξάμεθά σου τὰ
V 18 γράμματα, μέγιστε βασιλεῦ. καὶ δὴ καὶ παρεσκευάσμεθα ὥσπερ ἐκέλευες. σὸν δ' ἂν εἴη λοιπὸν ἐπιταχύνειν τὴν ἄφιξιν, μηδὲ μακραῖς ἡμᾶς ἐνταῦθα διάγειν ἐπαγγελίαις. τἄλλα δ' ὅπως ἔσται θεῷ καὶ ἡμῖν μελήσει. χῶρος δ' ἡμῖν εἰς ξυντυχίαν Φιλομίλιον τόδε ἔστω, οὗ δὴ ἐν τῷ παρόντι ἡμᾶς ἐστρατοπεδεῦσθαι ξυμ-
D βαίνει." τούτοις ὁ σουλτὰν φορτικώτατα βασιλεῖ διαμειψάμενος, ὁ μὲν αὐτοῦ που ἐν Φιλομιλίῳ, ἔνθα τὸ πρῶτον ἐνστρατοπεδευσάμενος ἔτυχε, σὺν τῷ πλείονι τοῦ Περσῶν ἔμεινε στρατοῦ, μοῖραν δέ τινα τούτων ἀποτεμόμενος ὑπαντιάζειν Ῥωμαίοις ἐπιοῦσιν ἐξέπεμπεν. οἱ καὶ οὐκ εἰς μακρὰν ἀγχοῦ πόλεως Ἀχρουνοῦ περί τινα χῶρον ᾧ Καλογραίας βουνὸς ἡ κλῆσίς ἐστι βασιλεῖ γεγονότι συμμίξαντες ἡττήθησάν τε κατὰ κράτος καὶ φυγάδαι ἐπὶ τὸν σουλτὰν ἦλθον. πολλοί τε ἄλλοι καὶ Χαιρὴς παρὰ Πέρσαις ὀνομαστὸς Ῥωμαϊκῆς ἔργον ἐγένετο μαχαίρας. ὁ δὲ τῷ συμπεσόντι καταπλαγεὶς τὴν ψυχήν, οὐδ' ὅσον ἐνσκευάσασθαί τι, οὐδ' ὅσον κομίσασθαι τῶν πρὸς τὴν χρείαν τῷ χώρῳ ἐπιμείνας
P 23 ᾤχετο φυγὰς ἐκεῖθεν ἀπιών. ὃ πυθόμενος βασιλεὺς ἀμφοτέρων

bello lacessere non desinis. tibi autem viro prudenti cogitandum fuit, nequaquam id neglecturos Romanos, multiplicemque a deo vindice istiusmodi facinoribus poenam rependendam. proinde vel abstine huiusmodi iniquitatibus, vel ad sustinendos extemplo Romanos te praepara." literarum id fuit argumentum: quas simul ac ille traditas perlegit, in hunc modum rescripsit. "literas tuas accepimus, maxime imperator, paravimusque omnia quae iussisti. reliquum tibi est accelerare adventum. nobis autem crebris identidem missis legationibus hic morari non convenit, cetera et deo et mihi curae erunt. locus vero congressui Philomelium erit, ubi modo castra posuimus." arrogantissimo hoc misso ad imperatorem responso, Sultanus Philomelii, ubi castra prius locaverat, cum maiori Persicarum copiarum parte consistit, reliquas vero mittit, qui adventantibus Romanis occurrerent. atque illi haud multo post cum imperatore qui prope Acrunum aderat, civitatem in ea sitam regione quae Calograeae collis nuncupatur, praelium conserunt, funditusque deleti ac superati, quam celerrime fugiunt ad Sultanum; complures, quos inter et Chaeres, magni vir apud Persas nominis, Romanorum gladiis interiere. ille ex accepta clade animo confusus, nec instaurare curans aciem, aut rebus loco necessariis providere, fugae et ipse se dedit. quo cognito

τε ἐπικερτομῆσαι αὐτὸν διανοηθείς, θράσους τε τοῦ πρότερον καὶ δειλίας τῆς εἰσέπειτα τοῦ μετρίου πέρα γεγενημένον, ἐπέστειλεν αὐτῷ τοιάδε. "ἔδει μέν σε, ὦ γενναῖε, ἐκεῖνο καλῶς εἰδότα, ὡς ὅσον αἰσχρόν ἐστιν ἡ δειλία τοσούτῳ μᾶλλον αἴσχιον γίνεται, ὁπηνίκα θράσος αὐτῆς προηγησάμενον τύχοι, μὴ οὕτως ἀνεπιστρόφως τῶν ἐς τὸν πόλεμον ἔχειν. ἐπεὶ δ᾽ ὥσπερ παντάπασιν ἐπιλελησμένος λήματός τε τοῦ προτέρου, ὧν τε ἔναγχος ἐς τὴν ἡμετέραν ἐπέστειλας βασιλείαν λόγον πεποιημένος οὐδένα ἀποτρέχεις οὐκ οἶδα ὅπη, ἡμεῖς ἰδού σοι τούτων ἀνάμνησιν φέρομεν. εἰ μὴ τοίνυν ἐν Φιλομιλίῳ, ὥσπερ ἤδη φθάνεις ἡμῖν ἐπηγγελμένος, τὴν ἡμετέραν ἀναμενεῖς ἄφιξιν, λείπεται πάντως ὡς τὸ B γενναῖον ἐκεῖνο καὶ μεγαλόψυχον αὐτὸ σφόδρα δειλὸν καὶ ἀγεννὲς ἀντιπεριέστι σοι." τὰ μὲν δὴ γράμματα ἐν τούτοις ἦσαν. βασιλεὺς δὲ ἐν Φιλομιλίῳ γενόμενος αὐτὸ μὲν κατὰ κράτος τε εἷλε καὶ ἐνέπρησεν ἅπαν. Ῥωμαίων δέ τινας μακροῦ τοῦ χρόνου ἐνταῦθα ὑπὸ φρουραῖς καθειργμένους εὑρὼν ἔλυέ τε τῶν δεσμῶν τοὺς ἀθλίους καὶ φῶς ὁρᾶν παρεῖχεν ἐλεύθερον. Πέρσαι γὰρ τὸ μὲν πρῶτον δυνάμει τῇ σφῶν θαρρεῖν ἔχοντες, ἄλλοθι γῆς βασιλέως ἐπιόντος μετοικίζειν αὐτοὺς οὐδαμῇ ἔγνωσαν· ἐπεὶ τὸ δέος αὐτοὺς ἤπειγεν, οὐχ ὅπως αὐτῶν κατημέλουν, ἀλλὰ καὶ τὰ σφέτερα περὶ ἐλάσσονος ἔθεντο. τῶν δὲ γραμμάτων ἀπενεχθέντων εἰς τὸν σουλτάν, εἴτε τὴν ἐντεῦθεν ἐπίπληξιν αἰδεσθείς, C εἴτε καὶ ἄλλο τι ἐννοησάμενος ὀπίσω ἐχώρει. ἐπί τινά τε χῶρον

7. λήματος] Cod. λήμματος. 21. τὰ σφέτερα] Cod. τὰ σφετέρου.

imperator, utrumque illi exprobrare gestiens, et quod audaciae primum et metus deinde excessisset fines, literas ad eum in hanc fere sententiam dedit: "non decebat te, generose princeps, qui probe noveras per se turpem metum fieri turpiorem, cum praecessit ferocia, bellum adeo segniter gerere. quandoquidem igitur propositi prioris immemor, et iis quae paulo ante ad maiestatem nostram rescripseras, neglectis, nescio quo recedis, ecce tibi horum memoriam refricamus. nisi itaque adventum nostrum, sicuti nobis iam antea nuntiasti, Philomelii opperiaris, reliquum erit, ut palam profiteamur magnanimitatem istam tuam degeneri timore elanguisse." literarum ea fuit summa. Manuël vero Philomelium progressus, urbem vi expugnat, totamque incendit, et e Romanis aliquot, qui captivi iamdudum detinebantur, pristinae restituit libertati. Persae quippe freti primo viribus suis, atque alio terrarum abeunte imperatore, de transferendis iis nequicquam cogitarant. at ubi illos incessit metus, non captivos modo, verum etiam propria neglexerunt. perlatis ad Sultanum literis, sive ex castigatione principis pudore suffusus, sive alia nescio qua de causa, retulit pedem, regio-

Ἀνδραχμᾶν Περσικῶς ὠνομασμένον ταχὺ γεγονώς, ἐνταῦθα ἐστρατοπεδεύετο. ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσε, παραυτίκα διεκόσμει τὸ στράτευμα, πόλιν τε Ἀδριανούπολιν ὑπερβὰς (διαβαίνει γὰρ καὶ ἐς αὐτὴν Λυκαονίαν τὸ ὄνομα τοῦτο) ἔν τινι χώρῳ Γάϊτα ὄνομα τὴν παρεμβολὴν ἐποιήσατο. τῇ δ' ὑστεραίᾳ (ἤδη γὰρ οὐ πόρρω ἀποσκηνοῦν ἀμφοτέροις συνέβαινε τοῖς στρατεύμασι) ταξάμενος προσώτερον ἐχώρει, ἐπειδή τε ὁμόσε τοῖς Πέρσαις ἦλθεν, ἔργου εἴχετο. Πέρσαι τοίνυν μηδὲ τὴν πρώτην Ῥωμαίους ὑποστάντες ἐς ὑπαγωγὴν ἔκλιναν. οἱ δὲ κατὰ νώτου αὐτοῖς ἐφεπό-
D μενοι οὓς μὲν ἀνῄρουν, οὓς δὲ ἐζώγρουν. ὁ δὲ σουλτὰν οὐ πρότερον ἀνῆκε φεύγων πρὶν ἢ τεταραγμένος ἐς Ἰκόνιον ἐλθὼν ἐντὸς τειχέων εἰσπεσεῖν· ἐπειδή τε ἤδη ἐν τῷ ἀσφαλεῖ καθεστήκει, βουλὴν βουλεύεται τοιάνδε. μένειν μὲν ἔνδοθι οὐ πάνυ τι ἐθάρρει, ὡς μὴ ἐνταῦθα κατακλείσας ἑαυτὸν ἀπρόϊτον πολιορκοῦσι Ῥω-
V 19 μαίοις ἐργάσηται, ἄλλως τε καὶ τὸ τοῦ πολέμου τέλος οὐκ εἰδὼς εἰς ὅ τι τύχης αὐτῷ περιστήσεται, ἐν στενῷ περισχεθῆναι ἀξύμφορον ᾤετο. καὶ δὴ τὸ μὲν τοῦ στρατεύματος ἐπὶ φυλακῇ τῆς πόλεως ἔταξε, τὸ δ' ἄλλο διχῇ διελὼν τὸ μὲν κατὰ νώτου τῆς
P 24 πόλεως ἐπὶ τοῦ κατάντους ἔστησεν, ὃ δὲ αὐτὸς ἔχων ἐν δεξιᾷ παρετάξατο τῇ τοῦ ὄρους ὀχυρότητι μάλιστα πεποιθώς, ὃ μεταξὺ πόλεως Ἰκονίου καὶ τοῦ φρουρίου Καβάλλας ὑπερτείνει.

6. Πέρσαι μὲν οὖν ἐν τούτοις ἦσαν· βασιλεὺς δὲ ἐπειδὴ πρὸς τῇ Καβάλλᾳ ἤδη ἐγένετο, δαιμονίᾳ τινὶ κεκινημένος ὁρμῇ

nemque Andrachmam a Persis nuncupatam magnis itineribus petiit, ibique castra posuit. id postquam accepit imperator, apparato confestim exercitu, urbem Adrianopolim supergressus (istud quippe nominis ad Lycaoniam usque excurrit), in quadam regione, quam Gaïtam vocant, fixit tabernacula. postera die, cum levi utique intervallo utraque derimeretur acies, instructo agmine, castris excedit, signisque cum hostibus collatis, praelium init. ac Persae quidem primum Romanorum non sustinentes impetum, ad receptum sese comparant. instant contra Romani a tergo, alios occidunt, alios capiunt vivos. Sultanus non ante destitit a fuga, quam perculsus metu intra Iconii moenia sese abdidisset. sed neque ibi adhuc in tuto positus, haec secum animo volvit. cum nempe vereretur, ne si intra moenia sese pateretur includi, Romanis urbem obsidione cingentibus, nullus sibi superesset evadendi locus: ancipites praeterea mente versans bellorum eventus, incertusque quo inclinatura esset fortuna, angusto coërceri loco haud opportunum arbitrabatur. itaque relicto ad praesidium civitatis idoneo militum numero, reliquos bifariam dividit. partem unam a tergo urbis, loco arduo, stare iubet: aliam, cui ipse praeerat, ad dexteram locat, fretus maxime positione montis, qui Iconium Caballamque castrum interiacet.

6. Dum haec agebantur apud Persas, pervenit imperator ad Caballam, ibique nescio quo oestro percitus, in Sultanum invadere decrevit: sed quo

τὴν ἐπὶ τὸν σουλτὰν ἐσφάδαζεν ἰέναι. οὐκ ἔχων δ' ἐκ τοῦ παραχρῆμα στοχάσασθαι ὅπῃ αὐτὸν ξυνέβαινεν εἶναι, πρὸς βραχὺ μὲν ἐπεσχέθη τῆς ὁρμῆς, στρατηγικῇ δ' ἐμπειρίᾳ τῆς ἐν δεξιᾷ τῆς πόλεως ἐξηγεῖσθαι φάλαγγος αὐτὸν διεγνωκὼς (ὀξὺς γὰρ εἴπερ τις τὰ τοιαῦτα ἐτύγχανεν ὤν), αὐτίκα τοῦ σημειοφόρου λαβόμενος εἷλκε τοῦ ῥυτῆρος ἐπ' ἐκεῖνο τὸ μέρος ἐπιστρέφων αὐτόν. διαπορουμένου δὲ τοῦ Ῥωμαίων στρατοῦ καὶ ἐν θαύματι μεγάλῳ B ποιουμένου τὸ πρᾶγμα, ὅπως ἐς τηλικαύτην ἀνυπέρβλητον ἰσχὺν ἀπροοράτως οὕτως παρακινδυνεύειν ἐθέλοι (ἐξεπλήττετο γὰρ αὐτοὺς τὸ μηδαμοῦ τοῦ στρατεύματος ἐκείνου διαφαίνεσθαι, κἀντεῦθεν ᾤοντο πρόδρομα ταῦτα τῆς σὺν τῷ σουλτὰν ἔσεσθαι παρατάξεως τῷ τοῦ ὄρους ὡς εἰκὸς ἀμφιλαφεῖ κρυπτομένης), θαυμαζόντων οὖν, αὐτὸς ἠρέμα διακεχυμένος τὸ πρόσωπον "ἄνδρες" ἔφη "Ῥωμαῖοι, μὴ δὴ τέχνη βαρβαρικὴ δεδιττέσθω τὴν ἡμετέραν ἀγχίνοιαν, μηδ' ἐπὶ τὰς σημαίας ἀπεῖναι ξυμβαίνει τοῦ κατα μέτωπον ἡμῖν ὁρωμένου τούτου στρατεύματος, ἀλλαχόθεν που ταύτας σὺν στρατεύματι ἄλλῳ παρεῖναι οἴεσθε. οὔτε γὰρ ἑτέρα C τις μοῖρα δυνάμεως ὑπολέλειπται οἶμαι Πέρσαις, καὶ τὰ σημεῖα δὲ σφίσιν αὐτοῦ που καὶ ἐπὶ τῇ λόχμῃ ἑστᾶσιν ἐν τῷ ἀφανεῖ, ἵν' ἐπιδείξει πλήθους ἐκπλήττειν ἡμᾶς ἔχοιεν. μὴ τοίνυν τοῦ πλήθους θαμβεῖσθε τὸ βάρβαρον, περιφρονεῖτε δὲ μᾶλλον τῆς ἀσθενείας. οὐ γὰρ πέφυκεν ἀλήθεια φαντασίᾳ συγγίνεσθαι. ἀλλ' ἐγὼ μὲν σὺν τῶν ταγμάτων τοῖς ἐμπροσθίοις ἄπειμι παρ' αὐτὰ συμ-

10. ἐκείνου] Fort. addendum τὰς σημαίας. 15. μηδ' ἐπὶ] Fort. μηδ' εἰ.

is loco consideret, cum statim non potuisset rescire, animi impetum paulisper inhibuit. tum militari, qua potissimum praestabat experientia, edoctus, ad dexteram civitatis praeesse illum militum cuneo, signiferum fraeno apprehensum eo confestim trahit, rapitque. stupuit ad eiusmodi facinus Romanus exercitus, magni instar miraculi ratus esse, quod tantas copias, et quae suas numero longe excederent, inopinato vellet aggredi atque ita praelii aleam subire. terrebat enim quod non appareret agmen illud hostile, eosque quos videbat, praecursores esse arbitraretur copiarum hostilium, quae forte in montium faucibus delitescerent. ea admiratione defixis, leniter subridens "viri" inquit "Romani, animorum nostrorum solertiam ne perturbet barbarorum strategema. neque enim propterea quod ab exercitu, qui e regione conspicitur, abesse signa contingat, ea aliunde cum alio exercitu adfore existimandum est. nullam, ut arbitror, aliam exercitus partem habent Persae: sed intra arbusta et in obscuro habent militaria signa, ut ostentatione multitudinis terrorem nobis incutiant. nolite numerum extimescere barbarorum, spernite potius imbecillitatem; iis enim quae fucum faciunt, adest raro veritas. contendo igitur cum his qui coram sunt conser-

μιξων αὐτοῖς, ὑμᾶς δέ μοι ξὺν τῷ ἄλλῳ στρατεύματι ξυντεταγμένους ἐπιέναι χρεών, μή ποτε πολεμίων ἐνέδραις περιπεσεῖν γένοιτο." ταῦτ' εἰπὼν ὁ αὐτοκράτωρ ἐπὶ τοὺς πολεμίους ἵετο, D χώραν αὐτὸς τὴν ἐν ἀριστερῷ κληρωσάμενος, ἅτε τῷ μεσαιτάτῳ ἀντιμετωποῦσαν τοῦ τῶν ἐναντίων στρατεύματος, ἔνθα πλείστους τε καὶ ἀρίστους ξυνέβαινεν εἶναι Περσῶν. Πέρσαι τοίνυν μάχαις οἶμαι ταῖς προλαβούσαις περιῃρημένοι τὴν τόλμαν, ἐπειδὴ τὴν Ῥωμαϊκὴν εἶδον ῥομφαίαν, τὴν τάξιν ἀπολιπόντες οὐδενὶ κόσμῳ ἐφέροντο, ὅπως αὐτὸς ἕκαστος πρῶτος ἐνθένδεν ἀπαλλάσσοιτο σπουδὴν ἔχοντες. ἔνθα καὶ τὸν σουλτὰν ἡ φήμη παρεῖναι διήγγελλε. φευγόντων οὖν Ῥωμαῖοι τῇ διώξει ἐγκείμενοι πολύν τινα κατέτριψαν χρόνον. καὶ οἱ μὲν ἐν τούτοις ἦσαν· τὸ δὲ ἄλλο Ῥωμαίων στράτευμα κατὰ νώτου συντεταγμένως ὥσπερ εἴρηται ἐπιὸν τὸ μὲν πρῶτον λόχοις τισὶν ἐξ ἀπροσδοκήτου περιτυχὸν ἐτρέψατο, εἶτα καὶ τῶν ἄλλων κατόπιν ἐπιθεμένων αὐτοῖς,
P 25 ὅσοι τε Ἰκονίου ἐντὸς φυλακὴν εἶχον (ἐπεξῄεσαν γὰρ ἤδη καὶ οὗτοι θαρσήσαντες τῷ τὸν αὐτοκράτορα μακρὰν ἄποθεν Ἰκονίου ποιεῖσθαι τὴν δίωξιν) καὶ ὅσοι ἐν τῷ κατάντει τῆς πόλεως ὀπίσω καθάπερ εἴρηται ἐτάξαντο, κλονεῖσθαι ἤδη ἤρξατο. ὅπερ ἐπειδὴ τάχιστα βασιλεὺς ἤκουσε δυνάμεις τῶν σὺν αὐτῷ τὴν ταχίστην ἐξέπεμπεν ἐπ' αὐτοῖς, ὧν Πυρρογεώργιός τε ἦρχεν ἀνὴρ δραστή-
V 20 ριος μάλιστα, ὃς καὶ τῷ τοῦ πριμικηρίου τῆς αὐλῆς ἐσύστερον τετίμηται ἀξιώματι, καὶ ὁ Χουροὺπ ἐς τοὺς βασιλέως καὶ πρὸς τῆς ἁλουργίδος ὑπηρέτας τελῶν. ἀλλὰ καὶ τούτων βεβοηθηκό-

4. ἀριστερῷ] Malim ἀριστερᾷ.

turus manus. vestrum erit cum ceteris copiis subsequi, ne alias hostium insidiis circumveniamur." haec locutus imperator impetu magno in hostes fertur, locumque occupat sinistrum mediae illorum obversum aciei, in qua plurimi stabant optimique Persarum. at hi superioribus, ut opinor, praeliis attriti repressaque audacia, ubi Romanos micare gladios vident, relictis ordinibus dissipantur passim, unoquoque militum inde evadere inter primos adnitente. in quibus ipsum etiam aiunt adfuisse Sultanum. Romani dum fugientibus acrius instant non parum temporis consumpsere. atque ita quidem sese res habuit. aliae interim Romanorum copiae instructis, ut retuli, ordinibus a tergo succedentes primo quidem in insidias quasdam, necopinato delapsae fugantur. ingruentibus quoque a tergo aliis turbari etiam coeperunt: nam et quotquot erant Iconii praesidiarii milites excesserant, ea fiducia, quod imperatorem longius ab urbe insequendi ardor abripuisset: ut et quotquot post civitatem, uti memoratum, in declivi steterant. id simul accepit Manuël, partem copiarum quanta potest celeritate mittit, quibus praepositus fuit Pyrrogeorgius, vir maxime industrius, qui postmodum primicerii aulae dignitate auctus est, et Churupus, inter ministros imperatoris, qui a purpura sunt, allectus. illis licet adiuvantibus, nihilo secius rursum

των οὐδὲν ἧττον καὶ πάλιν κλονεῖσθαι συνέβαινεν ἅπαξ πεπονηκὸς τὸ στρατιωτικόν. ἀλλὰ βασιλεύς, ἦν γὰρ ὀξύτατος τὸ δέον B εὑρεῖν καὶ καταστοχάσασθαι τοῦ πρακτέου δεξιώτατος, ἔγνω ἐπινοίας μᾶλλον ἢ ἰσχύος ἐνταῦθα χρῄζειν τὸ πρᾶγμα. αὐτίκα τοίνυν τῶν τινα στρατιωτῶν καλέσας, Βεμπιτζιώτην μὲν ἐπικεκλημένον πόλεως δὲ ὡρμημένον Ἀδριανοῦ, ἐκέλευε τὸ κράνος τῆς κεφαλῆς ἀποθέμενον μετέωρόν τε αὐτὸ ἐπὶ τῆς χειρὸς πανταχόσε περιδινοῦντα τὴν τοῦ σουλτὰν δῆθεν ἐπὶ τοῦ στρατεύματος διακηρυκεύεσθαι ἅλωσιν. οὗ γεγονότος ἀνεθάρσησέ τε παραχρῆμα τὸ Ῥωμαϊκὸν καὶ τοὺς ἐναντίους ἰσχυρῶς ἐγκειμένους ἀπεώσατο. οὕτω πολλάκις ἓν βούλευμα συνετὸν ὑπὲρ μυριοπληθεῖς ὤνησε χεῖρας, καὶ ἀνδρὸς ἑνὸς ἀρετὴ πολλῶν ἀσπίδων δυνατωτέρα γίνεται. ἀλλὰ τότε μὲν ἐπειδὴ τάχιστα νὺξ ἐγένετο, αὐτοῦ που ηὐλίσαντο· ὄρθρου δὲ ὥρας ἐκεῖθεν πρὸς Ἰκονίῳ ἐστρατοπεδεύσατο. ὡς δὲ κύκλῳ περιελθὼν οὐκ εὐέφοδον εἶναι αὐτὸ κατε- C νόει, ἥ τε φήμη, ἣ ἔθνη τὰ πρὸς δύοντα ἥλιον ἐξ ἐθῶν ἐπαναστάντα τῶν πατρίων ἐπὶ τὴν Ῥωμαίων παμπληθεὶ ἐμήνυε φέρεσθαι, ἑκάστης ηὔξανεν ἡμέρας, τοῦ μὲν πολιορκεῖν ἀπέσχετο, χρόνου τε πλείονος καὶ μείζονος ἄλλης ἢ κατ' ἐκείνην δῆθεν νομίσας παρασκευῆς, δῃώσας δὲ καὶ ἀφανισμῷ τὰ ἐν ποσὶ παραδοὺς ἐκεῖθεν ἀπήλαυνεν. ὅτε δὴ λέγεται ὡς τοῖς πρὸ τῆς πόλεως Περσῶν τάφοις πολλὰ τοῦ Ῥωμαϊκοῦ ἐνυβρίσαντος ἔκθετά τε τῶν σωμάτων ὡς πλεῖστα πεποιηκότος, ὁ δὲ οὐδ' ἐν τηλικαύταις και-

11. οὕτω πολλάκις] Expressit Euripidis sententiam. Vide Stobaeum Flor. 54. p. 205. et Nicephorum Bryenn. p. 102. C. 16. ἐξ ἐθῶν] Fort. ἠθῶν. 19. δῆθεν] Fort. δεῖσθαι.

conturbatur acies. at imperator animo perspicacissimus et in rebus investigandis solertissimus, consilio potius quam armis rem tum egere animadvertit. advecato igitur cuidam e militibus, nomine Bempitziotae, qui Adrianopoli oriundus erat, iussit ut demptam capite galeam, et manibus in altum sublatam circumferret ubique, captumque esse Sultanum magna per exercitum voce proclamaret. id strategematis Romanorum extemplo sublevavit animos, vimque hostium acrius insistentium retudit. ita saepe numerosis copiis utilius fuit consilium prudens, virique unius virtus clipeorum robore validior. at deficiente die, ibi pernoctatum. inde primo mane profectus ad Iconium castra posuit, quod cum undique explorasset aditumque haud facile esse vidisset, rumore ad haec increbrescente in dies, Occidentis populos patriis excitos sedibus ingenti multitudine ad fines Romanorum contendere, ab oppugnatione quidem destitit longiore tempore et maiore apparatu, quam qui aderat, opus sibi fore animadvertens; sed obviis quibusque incensis et perditis recessit. ferunt tum militibus Romanis foede ac contumeliose Persarum posita iuxta urbem sepulcra tractantibus, nec non ex iis multa refodientibus cadavera, principem eo difficilium temporum momento,

ρίων ὀξύτησι καθυφεῖναι θέλων τοῦ μεγαλοπρεποῦς τῆς τὸν σουλ-
D τὰν γειναμένης παντάπασιν ἀνύβριστον τηρηθῆναι τὴν κόνιν ἐκέλευε, χρῆναι τοῖς καὶ κατὰ βραχὺ σωφρονοῦσιν εἰπὼν αἰδεῖσθαι μᾶλλον δυστυχοῦσαν εὐγένειαν, γράμμα τε χαράξας οὐ πόρρω θρύψεως ὂν παρὰ τὴν τοῦ σουλτὰν ἔπεμπε γαμετήν. εἶχε δὲ ὧδε τὸ γράμμα. "εἰδέναι βουλόμεθά σε, ὡς τὸ τῆς ἡμετέρας παιδίον βασιλείας ὁ σουλτὰν ζῇ καὶ ἔτι περίεστι τὰς τοῦ πολέμου χεῖρας διαπεφευγώς." ἡ δὲ πρόβατα περί που τὰ δισχίλια καὶ βοῶν μέγα τι χρῆμα καὶ πλεῖστα ἄλλα τῶν ἐδωδίμων ἐν παρασκευῇ μὲν εἶχεν ἐφ' ᾧ βασιλέα τούτοις δεξιώσαιτο· ἐπεὶ δὲ πυρὶ τὰς πρὸ τῆς πόλεως οἰκοδομὰς καθάπερ εἴρηται τὸ Ῥωμαϊκὸν ἔφλε-
P 26 ξεν, οὐκέτι πέρατι τὸν σκοπὸν ἔδωκε. καὶ ταῦτα μὲν τοιάδε τινὰ ἦσαν. βασιλεὺς δὲ ἐπειδὴ τῆς ἀποπορείας ἤρξατο, γράμμα καὶ πάλιν ἐπὶ τὸν σουλτὰν ἔπεμψεν. ἐδήλου δὲ ἡ γραφὴ τάδε· "πολλά σε πολλάκις ἀναζητήσαντες οὔπω ἐτύχομέν σοι. φεύγεις γὰρ ἀεὶ καὶ καθάπερ σκιὰ διολισθαίνεις ἡμῶν. ἵν' οὖν μὴ καὶ δοκοίημεν σκιαμαχεῖν, τῷ τέως μὲν ἄπιμεν παλινοστοῦντες· ἔαρος δὲ σὺν μείζονι τῇ παρασκευῇ ἐπί σε ἥξομεν. μελήσει δέ σοι τοῦ μὴ καὶ τότε ἀναξίως οὕτως ἑαυτοῦ φεύγοντι οἴχεσθαι διόλου."

7. Ταῦτα μὲν οὖν ἐν τούτοις ἦσαν τὰ γράμματα. Περσῶν δὲ οἱ ἀνωτάτω πόλεως ᾠκοῦντο Ἰκονίου, ἔνθα Τανισμὰν ἦρχεν ἐκεῖνος, δυνάμεις ὡς πλεῖσται ἐπὶ ὁμαιχμίαν παρὰ τὸν σουλτὰν ἀφικόμεναι συνέμιξαν ἤδη τούτῳ, αἷς ἐπαρθεὶς οὐκέτι

15. ἐτύχομέν σοι] Malim ἐνετύχομέν σοι. 21. ᾠκοῦντο] Cod. ᾤκοντο.

magnanimitatis non oblitum suae, inviolatus ut servaretur matris Sultani cinis, praecepisse: dixisseque, vel minimum sapientibus reverendam esse nobilitatem infelicem. scriptas itaque officiosas admodum literas ad Sultani coniugem mittit, in hanc sententiam: "scias velim, Sultanum maiestatis nostrae servum vivere, et superesse adhuc, vitatis belli periculis." illa vero pecudum circiter duo millia, boum copiam ingentem, et cibaria alia complura, quibus exciperet imperatorem, adparaverat. sed ubi aedificia suburbana, uti memoravimus, Romani incenderunt, haudquaquam executa est propositum. his ita constitutis, cum iam reditum moliretur imperator, iterum ad Sultanum scribit literas, eo argumento: "multum te saepenumero quaesivimus, necdum invenimus. fugis enim semper, atque instar umbrae te nobis subducis. ne itaque videamur bellum gerere cum umbra, domum denuo repetimus: proximo autem vere maiori cum apparatu ad te revertemur. providendum tibi ne et tum quoque fugam inertem quaquaversum capessas."

7. Haec ille; interea Persarum magna vis, quae regiones ultra Iconium sitas incolebat, ubi imperaverat Tanisman ille, auxilium ut ferret Sultano venit, illiusque copiis adiungitur. quibus ille elatus, non fugere, ut

φεύγειν ὡς τὸ πρότερον ἤθελε, ταξάμενος δὲ Ῥωμαίοις περί τινα B χῶρον Τζιβρηλιτζημανὶ βαρβαρικῶς ὠνομασμένον ἤδη γεγενημένοις ἐπιθέσθαι ἠπείγετο. ἔστι δὲ ὁ χῶρος δυσπρόσοδός τε εἴπερ τις καὶ ἀνδράσι μὴ ὅτι γε συντεταγμένοις, ἀλλ' οὐδὲ πορευομένοις κατ' ὀλίγους ῥᾳδίως διεξίτητος. τὸ μὲν οὖν ἄλλο Ῥωμαίων V 21 στράτευμα ἤδη ἀμφὶ τῷ χάρακι ἐπονεῖτο· βασιλεὺς δὲ τὸ μὲν τῇ ἡλικίᾳ τυραννούμενος τὸ δέ τι καὶ γυναικὶ οὐ πολλῷ ξυνοικήσας πρότερον, κατὰ ἔθος τὸ αὐτῶν αὐτουργῆσαί τι ἐς τὴν μάχην ἤθελεν. ἀνδρὶ γὰρ Λατίνῳ ἄρτι γυναῖκα εἰσοικισαμένῳ μὴ οὐχὶ ἀριστέα φανῆναι αἰσχύνην οὐχὶ τυχοῦσαν ἐπάγεται. ὁ μὲν οὖν C λόχους παρ' ἑκάτερα ἐν φάραγξι δυσὶ καταθείς, ὃν μὲν ἐκ τῶν καθ' αἷμα καὶ ἐγγυτάτω αὐτῷ συνεστῶτα, ἐν οἷς ἄλλοι τε ἦσαν τῶν αὐτῷ οἰκειοτάτων πολλοὶ καὶ οἱ ταῖς ἀδελφαῖς αὐτοῦ ξυνοικοῦντες, ὃν δὲ καὶ ἐκ καταλόγων δύο στρατιωτικῶν, ὧν ἡγεῖτο Νικόλαος ἐπίκλησιν Ἄγγελος, ἀνὴρ τήν τε χεῖρα γενναῖος καὶ ἀνδρείας εὖ ἥκων, αὐτοὺς μὲν αὐτοῦ ἡσυχῇ μένειν ἐκέλευεν, ἕως ἐπὶ τοὺς πολεμίους αὐτὸν ἱππαζόμενον ἴδοιεν. ὁ δὲ μόγις ἀξιοῦσιν Ἰσαακίῳ τε πεισθεὶς τῷ ἀδελφῷ καὶ Ἰωάννῃ τῷ τῶν ἀνατολικῶν καὶ δυτικῶν δομεστίκῳ, ἅμα αὐτοῖς ἐπί τι χωρίον ἦλθεν, οὗ δὴ χορταγωγίας ἕνεκα τῶν τινας Ῥωμαίων σποράδας ἰόντας D ἑώρα, ἐνταῦθά τε τὰ ὅπλα καλυψάμενος, ὡς μὴ ἐκ τοῦ παραλλάσσοντος Πέρσαις κατάδηλος εἴη, τῶν Περσῶν τινας ὡς τὸ εἰκὸς κακουργήσοντας ἰέναι ἐξεδέχετο. ὡς δὲ οὐδεὶς οὐδαμόθεν

9. εἰσοικισαμένῳ] Cod. εἰσοικησαμένῳ.

ante, voluit: quin potius ordinato agmine cum Romanis, qui tum ad locum pervenerant, quem Tzibrelitzeman barbarico vocabulo nuncupant, praelium initurus deproperat. est vero is, si quis alius, difficilis accessu, nec explicato duntaxat agmini, sed et paucis incedentibus, aegre pervius. dum castra communire occupat miles, imperator, quem acrius pungebat aetatis vigor, quique paulo ante duxerat uxorem ex Latinorum gente, militari aliquo facinore, secundum eorum morem, vires suas decrevit experiri. viro quippe Latino, qui nuper coniugem sibi nuptiarum iure adiunxerit, nullum edere generositatis specimen, non modicum est dedecus. insidias igitur in vallibus binis locat, quarum alterae constabant ex agnatis, sibique arctissimo sanguinis nexu proximis, ac etiam sororiis: alterae ex duabus militaribus cohortibus conflatae erant, quibus praeerat Nicolaus cognomento Angelus, vir impiger manu, et fortitudine insignis. hos omnes isthic subsistere iubet, donec se conspiciant equo insidentem contra hostes progredi. vix autem rogantibus Isaacio fratri et Ioanni Orientalium atque Occidentalium domestico assensus, simul cum ipsis in locum quemdam proficiscitur, ubi Romanorum turmas aliquot sparsim pabulari animadvertit, ibique absconditis armis, ne a Persis ex eorum comparatione agnosceretur, opperiebatur, dum Persae, uti erat vero simile, in pabulatores irruerent. ubi vero nemo

αὐτῷ κατεφαίνετο, τῶν τινα Ῥωμαίων μεταπεμψάμενος στρατιωτῶν, Πέρσην μὲν τὸ γένος Πουπάκην ὄνομα, ἀνδρεῖον δὲ ἄλλως καὶ πολὺ τὸ δραστήριον ἔχοντα, ἐκέλευε προσωτέρω χωρήσοντα εἴπου Περσῶν τινας ἐπιόντας προσίδοι ἐπιμελέστατα δια- P 27 σκοπεῖσθαι. ὁ μὲν οὖν ἀπῄει, καὶ μικρῷ ὕστερον ἐπανιὼν Περσῶν οὐ πλείονας τῶν ὀκτὼ ἰδεῖν ἰσχυρίσατο. ὁ δὲ βασιλεὺς τοὺς ἄλλους πρὸς ταῖς ἐνέδραις, καθάπερ εἴρηται, ἀπολιπὼν αὐτὸς σὺν τῷ ἀδελφῷ καὶ τῷ δομεστίκῳ τοῦ Πουπάκη τὴν ὁδὸν σφίσιν ὑποδεικνύντος ᾗ τάχους εἶχεν ἐπ' ἐκείνους ἤλαυνε. γαμβροῖς μέντοι τοῖς αὐτοῦ ἐπὶ τοσοῦτον ἀγανακτῆσαι περιοραθεῖσιν ἐγένετο, ὡς καὶ ὅρκοις φρικωδεστάτοις αὐτῶν τε ἕκαστον καὶ πάντας ὁμοῦ ξυνδῆσαι καὶ καταλαβεῖν, ἦ μὴν μηδὲ βουλομένῳ ἂν οὕτω τύχῃ ταύτην ξυνάρασθαι βασιλεῖ τὴν μάχην. βασιλεὺς δὲ οὔπω τοῖς ὁραθεῖσιν ἀνεμίγνυτο τῶν Περσῶν, καὶ εἰς ὀκτωκαίδεκα τούτους ἠθροῖσθαι συνέβαινεν. ἤθελε μὲν οὖν καὶ ἐσφάδαζεν ἐπ' αὐτοὺς ἰέναι· ὅπως μέντοι μὴ ἅτε εὐζωνότεροι ὄντες ἀποδρᾶναι δυνη- B θεῖεν (οὐ γὰρ εἶχεν ἐκ τοῦ σχεδὸν αὐτῶν καθιππάσασθαι ἀπωτέρω ἔτι ἑστώς), τοιάδε τινὰ ἐνενόει. ἐκέλευε τὸν Πουπάκην ἔγγιστα αὐτῶν γεγονότα, ἐπειδὰν προσιόντων αἴσθοιτο, φεύγειν δυνάμει τῇ πάσῃ ἕως ἤδη παρ' αὐτὸν γένοιτο. ὁ μὲν οὖν κατὰ τὸ κελευσθὲν ἐποίει, ἐπεί τε διώκεσθαι πρὸς τῶν βαρβάρων ἤρξατο ἤδη, ἔφευγε λοιπόν· οὐ μέντοι παντάπασιν κατετάχει τὸν δρόμον, ἀεὶ δὲ ἐλπίδα τοῦ καταληφθήσεσθαι σφίσιν ἐμπαρεχόμενος ἔλαθεν

4. προσίδοι] Malim προΐδοι. 12. ἦ μὴν μηδὲ] Cod. ἢ μὴ μὴν δέ. 18. τοιάδε τινὰ] Cod. τοιάδε τι.

in conspectum venit, militem vocat ad se, Persam quidem genere, virum ceteroquin magnanimum, manuque strenuum, nomine Pupacem, huic praecipit, ut progrediatur longius, speculeturque diligentissime, num forte adventantes aliunde Persas conspiceret. abit ille, et exiguo post tempore, haud amplius octo se vidisse renuntiat. tum vero princeps, reliquis, ut ante dictum est, in insidiis relictis, cum fratre et domestico, praemonstrante viam Pupace, quanta potuit celeritate in eos contendit. at illius consanguinei, quod nullo loco habiti visi essent, tanta exarserunt indignatione, ut horrendis sacramentis se, et quotquot aderant omnes, constringerent, etiam si iuberet, deinceps una cum imperatore non se amplius certaturos. ille visos Persas non ante est adortus, quam coivissent numero octodecim. cum igitur vellet gestiretque illos statim invadere, ne cum essent expeditiores, fuga se proriperent; nec posset cum iis collato pede praeliari, quod ipse adhuc distaret procul, tandem id comminiscitur. Pupacae imperat, ut Persis accederet quam proxime, et simul ac illos cerneret advenire, fugam arriperet, nec desisteret, donec sibi adiungeretur. mandata ille executus, barbaris insequentibus, paulatim cessit, non tamen ita maturavit fugam, ut sui attingendi spem praeriperet hostibus: cum vero ii fraudis nescii ad im-

οὕτως ἄχρι καὶ εἰς βασιλέα τούτους παρελκυσάμενος· οὐ μὴν οὐδὲ ὧς τοῦ κατὰ σκοπὸν βασιλεὺς ἔτυχεν. ἐπειδὴ γὰρ αὐτὸν εἶδον θᾶττον ἢ λόγος ἐξιππασάμενοι ᾤχοντο· ὡς δὲ πεντήκοντα ἑτέροις κατόπιν αὐτῶν ἰοῦσι συνῆλθον, τῷ πλήθει θαρσήσαντες ἐλογίζοντο ἤδη ὡς ἐπιόντα τοῦτον ὑποστησόμενοι. ὁ δὲ καίτοι πολλὰ C τῶν ἀμφ' αὐτὸν οὐκ ἐπαινούντων τὸ ἐγχείρημα (πολλῷ γὰρ ἔφασκον ἤδη ἄποθεν τοῦ στρατεύματος αὐτοὺς γεγενῆσθαι), ὅλοις ὅμως ῥυτῆρσιν ἐδίωκεν οὐδένα καιρὸν ἀνιείς. μέχρι μὲν οὖν τινος συμπαρῆν αὐτῷ καὶ ὁ σεβαστοκράτωρ καὶ συνιππάζετο· ἐπεὶ δὲ τοῦ ἵππου ἤδη αὐτοῦ κεκμηκότος οὐκέτι προσώτερον χωρεῖν ἠδύνατο, αὐτὸς μὲν αὐτοῦ που ἐλέλειπτο, τήν τε σωτηρίαν ἤδη ἀπο- V 22 γνοὺς πολλὰ τὸν ἀδελφὸν παρεκάλει γυναικός τε καὶ παίδων πέρι τῶν ἑαυτοῦ. ὁ δὲ αὐτῷ μὲν ἐπετίμα καὶ τὴν ὀλιγωρίαν ὠνείδιζεν "εἶτα" λέγων "ὦ φίλτατε ἀδελφέ, ζῶντά με ὑπείληφας ὑπὸ ταῖς τῶν πολεμίων σε λελοιπέναι χερσί; μὴ σύ γε· μὴ οὕτως ἀναξίως ἑαυτοῦ καὶ φρόνει καὶ λέγε." τοῦ δὲ "ἀλλὰ κἂν μεῖνον γοῦν, ὡς D συνέψομαί σοι τὴν ἐπὶ τοὺς βαρβάρους ἰόντι" προστιθέντος τοῖς λόγοις, "μετὰ τὴν συμπλοκὴν" ἔφη, "θᾶττον ἢν διδῷ θεὸς ἐπί σε ἥξω· ὡς νῦν γε πρὸς ἑτέροις τὸν νοῦν ἔχω, καί με ἡ τοῦ ἀνδραγαθίζεσθαι ἐπιθυμία δεινῶς ἐφ' ἑαυτὴν ἕλκει." ταῦτ' εἰπὼν τῷ ἀδελφῷ τὴν ἐπὶ τοὺς πολεμίους ἤλαυνεν. καὶ τὰ μὲν κατὰ τὸν βασιλέα τῇδε ἐφέροντο· οἱ δ' ἐπὶ τῶν λόχων καθάπερ εἴρηται τεταγμένοι τῶν ἐπὶ δόξης τινὰ ἐπίκλησιν Κοτέρτζην ὅπη ποτὲ τύχης

10. προσώτερον] Tollius προσωτέρω.

peratorem usque fuissent pertracti, nihil inde tamen ex animo ille consecutus est. ipso quippe animadverso, statim fugae se dedere. mox adiuncti quinquaginta aliis subsequentibus, numero confisi, consilium capiunt opperiundi imperatoris. ille, etsi comites ut plurimum facinus improbarent seque dictitarent procul semotos ab exercitu, tamen laxis habenis, ne tantillum quidem moratus, insequitur. aliquamdiu quidem etiam sebastocrator ipsi aderat et una cum eo fugientes hostes equo vectus sequebatur. ubi vero fatigato iam equo pergere ulterius non potest, despondens animum saluteque quodammodo desperata, fratrem obsecrat, uxorisque ac liberorum curam habeat hortatur. at ille succensens fratri exprobransque metum "frater" inquit "carissime, mene dum superstes sim existimas sub manibus te hostium relicturum? noli, quaeso, tam indigne de me aut sentire, aut loqui." tum ille "mane igitur" ait "donec tecum barbaros aggrediar." imperator autem "post initum praelium" inquit "quam cito deus dederit ad te redibo. nunc quidem alia animo obversantur, ac nescio quae praeclari cuiuspiam edendi facinoris me tenet libido." his fratrem allocutus irruit in hostes. atque ille tum casus imperatori obvenit: qui vero in insidiis, uti memoravimus, positi erant, quemdam e magnatibus Cotertzem nomine confestim mit-

P 28 ἔσχε τὰ κατὰ τὸν βασιλέα μαθεῖν σπουδῇ ἔπεμψαν. ἀλλ' αὐτὸν μὲν βασιλεὺς αὖθις ἐπ' ἐκείνους ἔπεμψεν ἥκειν τὴν ταχίστην κελεύσας αὐτούς. ὁ δὲ ἄρτι βουνόν τινα παρακείμενον διελθὼν ὅλῳ Περσικῷ ἐντυγχάνει στρατεύματι ἐς πεντακοσίους μάλιστα ξυνισταμένῳ, οὗ κατόπιν οὐ πολλῷ ἄποθεν πανστρατὶ ὁ σουλτὰν ἐπορεύετο. ἅμα τε οὖν εἶδε καὶ ἅμα τὸ δόρυ ἰθύνας κατ' αὐτῶν ἵετο πολλούς τε δορατίσας εἰς γῆν ἔβαλλεν. οἱ δὲ ὥσπερ εἰς ἀφασίαν ἐμπεπτωκότες ἑστήκεσαν ἀτρεμοῦντες. ἐν ᾧ δὲ ταῦτα ἐγίνετο Ῥωμαίων δυνάμεις αἱ τὰς ἐνέδρας καθάπερ εἴρηται συμπληροῦσαι ἐγγὺς παρεφάνησαν βασιλέως αὐτὰς καθάπερ εἴρηται μεταπεμψαμένου, ὃ συμβαλλόμενοι Πέρσαι μέρος ἀποτεμόμενοι τῆς στρατιᾶς
B κατὰ νώτου τούτῳ γεγονότας ἐκέλευον ἐμποδὼν Ῥωμαίοις ἐπιοῦσιν ἵστασθαι. ᾤοντο γὰρ ἤδη ἀρκύων ἐντὸς αὐτὸν περιποιησάμενοι ἔχειν. οἱ μὲν οὖν κατὰ ταῦτα ἐποίουν· ὁ δὲ ὀρθίῳ τῷ δόρατι κατὰ γῆς ἐρεισάμενος ἵστατο, τόν τε Πουπάκην (παρίστατο γὰρ ἤδη τούτῳ) ἐκέλευε τηρεῖν ἀκριβῶς μὴ καὶ ἀπὸ τοῦ ἄγχιστα βουνοῦ διεῖρξαι Πέρσαις τὸ Ῥωμαϊκὸν γένοιτο, κἀντεῦθεν παντάπασιν ἀδιεξίτητα αὐτῷ ἔσται. ἀλλ' ὁ Πουπάκης τοὐναντίον ἤπερ αὐτὸς ἐβούλετο προσφερόμενος "μέθες τὸ λίαν" ἔλεγε, "μέθες ὦ δέσποτα. οὐχ ὁρᾷς οἷ κακῶν γενοίμεθα; μνῆσαι δὴ σωτηρίας τῆς ἑαυτοῦ." ὁ μὲν τοσαῦτα καὶ πλείω τούτων εἰπὼν ἐπειδὴ μὴ πείθειν εἶχε, κατὰ τὸ κελευσθὲν ἐποίει. ὁ δὲ βασιλεὺς (οὐ γὰρ
C ἐξῆν αὐτῷ μὴ οὐχὶ σὺν ἀτιμίᾳ τοῦ λοιποῦ διαδρᾶναι) τοῖς μὲν λεγομένοις προσέσχεν οὐδαμοῦ, τῶν δὲ πολεμίων αὖθις καθιππευ-

tunt qui sciscitaretur quem exitum habuissent ab imperatore tentata. verum hunc imperator ad eos rursus missum, quam cito iussit celerare. praetergressus ille adiacentem collem, incidit in agmen Persicum militum quingentorum, quod a tergo haud procul cum universa acie subsequebatur Sultanus. hos ut vidit, directa statim hasta in hostes ruit pluresque fortiter dimicando in terram prosternit. tantum facinus admirati illi, nescio quo stupore perculsi sunt. interea dum haec geruntur, iam prope conspiciebantur accitae iussu imperatoris Romanorum, quae latuerant, ut dictum est, in insidiis, copiae, quas postquam advertere Persae partem exercitus imperatori in tergum immittunt eamque ut adventantes Romanos prohiberet iubent. iam enim intra retia conclusum illum esse arbitrabantur. dum suas sic componunt acies, imperator defixae in terram hastae innixus, dat in mandatis Pupacae, qui tum ipsi aderat, ut curaret sedulo, ne Romanos a proximo colle arcerent Persae: ita quippe fore, ut omnis sibi intercluderetur exitus. sed enim Pupaces consilium respuens imperatoris: "desine" inquit "desine; nonne vides domine, quanta in mala praecipites ruamus? salutis tandem memineris tuae." haec igitur aliaque multa id genus clamitans, posteaquam nihil persuasit, iussa exequitur. cum enim non absque probro locum se deserere posse putaret imperator, eiusmodi monitis aurem praebere noluit. rursum

σάμενος καὶ αὐτῶν ἕνα κτείνας τοὺς λοιποὺς συνετάραξεν, ἀδείας
τε οὕτω λαβόμενος ἐπί τι γήλοφον ἀνιὼν ἔστη, ἔνθα Ῥωμαῖοι ἄλ-
λοι τε αὐτῷ συνέστησαν καὶ πρό γε πάντων Ἰωάννης, ὃν ἅτε ἀδελ-
φιδοῦν αὐτῷ ὄντα ἐς τὸ τῶν πρωτοσεβάστων χρόνοις ὕστερον ἀνε-
γράψατο ἀξίωμα. ὁ μὲν οὖν βασιλεὺς τοῦτον τὸν τρόπον περισω-
θεὶς ἐκεῖθεν ἀπηλλάττετο, ἱδροῦντος αὐτῷ κομιδῇ τοῦ ἵππου καὶ
δεινῶς πνευστιῶντος. ὁ δὲ δομέστικος Ἰωάννης τοῦ βασιλέως ἔτι
τοῖς πολεμίοις ἐμπλεκομένου κατόπιν ἀπολειφθείς, δείσας μὴ τῶν
πολεμίων ἄλλοτε ἄλλων ἀεὶ κατὰ συστήματα ἐκφαινομένων ἔρημος D
βοηθείας ὢν ὑπὸ χερσὶ γένοιτο ταῖς αὐτῶν, σκήψεις οὐχ ὑγιεῖς τι-
νας ἐπὶ ξυμφέροντι τῷ αὐτοῦ ἀνέπλαττε, φάσκων μάλιστα ὡς ἐπί-
καιρον εἶναι τὸν χῶρον οὗ δὴ αὐτὸς ἑστὼς ἔτυχε, καὶ δεῖν αὐτοὺς
βασιλεῖ κατάντημα ποιουμένους ἐνταῦθα μᾶλλον ἠθροῖσθαι. πολ-
λοὺς τῶν ἐς βασιλέα ἐκ τοῦ στρατοπέδου καθάπερ εἴρηται ἰόντων
τούτῳ τῷ τρόπῳ παρ' ἑαυτῷ κατασχεῖν ἴσχυσε, πρὸς αὐτῶν τε
διασωθεὶς ἐπὶ βασιλέα ἦλθεν. ὅτε δὴ αὐτὸς Ἰωάννης καὶ τῶν ἄλ-
λων Ῥωμαίων πολλοὶ ὠνείδιζόν τε αὐτῷ τὴν τόλμαν καὶ οὐ πόρρω
θράσους εἶναι τὰ τοιαῦτα διετείνοντο. ἐμοὶ δὲ ταῦτα διασκοπου-
μένῳ θαυμάζειν ἔπεισιν, ὅπως ἐν μέσῳ τηλικούτων γεγονότι κινδύ- V 23
νων οὐδὲ τετρῶσθαι γοῦν οὐδὲ βεβλῆσθαι ἐκείνης τῆς ἡμέρας συνέ- P 29
πεσεν αὐτῷ· εἴτε οὖν ἐκ τοῦ συχνὰ κατὰ τουτωνὶ τῶν βαρβάρων
ἀνδραγαθίσασθαι πεῖραν τῆς αὐτοῦ παρασχόμενος σφίσι γενναιό-
τητος ἀπρόσιτος μονονουχὶ τούτοις ἐγένετο, εἴτε καὶ τῆς προνοίας
αὐτὸν περιεπούσης τρόποις οἷς αὐτὴ ἐπίσταται, λέγειν μὲν οὐ πάνυ

11. *μάλιστα ὡς*] Malim *ὡς μάλιστα*.

igitur in hostes progressus, uno ex iis occiso ceteris terrorem iniecit. audax inde animis collem petit, quo et alii e Romanis conveniunt et ante omnes Ioannes fratris filius, quem postea sebastocratoris dignitate donavit. ita liberatus periculo princeps inde abscessit, sudante non modicum acriusque anhelante equo. Ioannes vero domesticus implicito hostibus imperatore relictus post tergum, veritus ne hostibus subinde turmatim subeuntibus, cum nulla adesset praeterea auxilii spes, veniret in eorum potestatem; haud sanos in his rerum angustiis suae salutis causa praetextus meditatus, locum in quo tum erat esse dicebat maxime opportunum, ac necesse esse ut qui ad regem se conferre vellent, eo potissimum loco sese colligerent. cum igitur plurimos ex iis, qui a castris pergebant ad principem, detinuisset, eorum ope servatus ad imperatorem venit. Ioannes autem Romanique alii imperatoris damnarunt audaciam, quod ad temeritatem propius accederet. mihi sane haec percensenti mirari subit, qua ratione in mediis versatus periculis neque vulneratus illo die neque laesus fuerit. an vero, quod crebrius rem fortiter adversus barbaros gerendo, generositatis suae non pauca hactenus dedisset documenta, ab iis nequaquam sit impetitus: vel quod divina illum circumsteterit providentia, tutataque fuerit, modis ipsi soli cognitis, non ausim

θαρρῶ. τό γε μὴν πεπραγμένον οὐκ ἐν ἐπαινετέοις αὐτὸς τίθεμαι. οὔκουν οὐδὲ τὴν Ἀλεξάνδρου τόλμαν ἐπαινεῖν ἔχω, ὁπότε μὴ σὺν τύχῃ τὰ κατὰ τὸν ἄνδρα διεξετάζοιμι, εἰ μήτις διδῷ τι καὶ ἡλικίᾳ νεότητος· ἄμαχον γάρ τι χρῆμα νεότης ἐστίν, ἰσχύϊ δὲ καὶ ῥώμῃ συνεργούμενον δυσμαχώτερον γίνεται. ἀλλὰ ταῦτα μὲν ὥς πη φίλον B ἑκάστῳ φρονείσθω τε καὶ λεγέσθω. βασιλεὺς δὲ πολλὰ πρὸς τῶν ἀμφ᾽ αὐτὸν ὥσπερ εἴρηται κακιζόμενος "οὐ χρεία τοιούτων ἡμῖν ἐν τῷ παρόντι" ἔφη "βουλητέον δ᾽ ὡς ἔνι μάλιστα μὴ καὶ πλείους Ῥωμαίων ἀπολέσθαι συμβαίη ἐς ταυτηνὶ τὴν ἡμέραν· πολλοὶ γὰρ κατόπιν ἡμῶν ἀπολελειμμένοι χωροῦσιν." ἐδόκει τοίνυν λόγον αὐτοῦ που καὶ παρὰ τῇ ἔγγιστα καθίσαντας φάραγγι, ὡς τοῖς κατόπιν ἰοῦσιν ἐπιβοηθεῖν ἔχοιεν, τοὺς ἄλλους ἠρέμα ἐπὶ τὸ στρατόπεδον ἰέναι. οὕτω δὴ ταῦτα εἶχε. καὶ βασιλεὺς μὲν σὺν ὀλίγοις τῶν περὶ αὐτὸν πρόσω ἐχώρει· Νικόλαος δέ, οὗπερ ἤδη ἐμνήσθην, ἐνεδρεύσων ὀπίσω ἐλείφθη φάλαγξιν ἅμα δυσίν, ἃς καὶ τὴν πρώτην ὁπηνίκα Περσῶν κατεφέρετο ὑπ᾽ αὐτῷ βασιλεὺς C ἔταξεν. ἀλλ᾽ οὔπω ἐπὶ πλεῖστον βασιλεὺς προῆλθε, κἀπειδὴ περί τινα φάραγγα ἐγένετο Πέρσας ἐπιόντας ἰδὼν κατὰ τάδε ἐποίει. ὁ μὲν ἐπὶ θάτερα τῆς φάραγγος ὀλίγοις ἅμα τῶν ἀμφ᾽ αὐτὸν ἔστη, τοὺς δ᾽ ἄλλους ἐκέλευεν ὑπερβάντας εὐθὺ τῶν πολεμίων ἰέναι. ἅμα τε οὖν ἐκεῖνοι ὁμόσε τοῖς βαρβάροις ἐχώρουν καὶ οἱ ἐπὶ τῶν ἐνεδρῶν αἰσθόμενοι ἐβοήθουν δρόμῳ. Νικόλαός τε οὗπερ ἤδη ἐμνήσθην Πέρσην ἄνδρα τῷ δόρατι ἔβαλε μέν, οὐ μὴν καὶ ἀποσφαιρίσαι τῆς ἕδρας ἠδυνήθη, ἅτε μηδὲ σφοδρᾶς διὰ τὸ τοῦ χώρου ἄναν-

plane definire. ego quidem ut nequaquam id laudo facinus, ita nec Alexandri commendare ausim audaciam, si absque fortuna quaecumque ab illo gesta sunt spectentur, nihilque detur adolescentiae. res quippe invicta est iuventus: et quae cum viribus et animi fortitudine fulcitur, omnino nequit superari: sed de his prout libitum fuerit quisque sentiat velim ac scribat. a suis igitur, ut dictum est, obiurgatus princeps "nihil haec" inquit "in praesens iuvant: quin potius videndum maxime, ne plures hodie pereant ex nostris, cum multi adhuc a tergo relicti veniant." itaque placuit ibi in valle proxima insidias ponere, quae pone venientibus ferrent opem, dum ceteri pedetentim castra repeterent. his ita constitutis, cum paucis ex suis imperator ulterius progreditur. Nicolaus vero, cuius supra memini, mansit in insidiis cum duabus cohortibus, quibus a principe, cum primum in Persas movit, praefectus fuerat. neque ita multum perrexerat, cum ubi ad vallem quandam pertigit, adventantes conspicit Persas. quare paucis ex iis qui secum erant assumptis, partem vallis occupat: ceteros collem superare, et in hostes recta progredi iubet. simul atque illi conflixere cum barbaris, qui in insidiis erant, confestim auxilio venerunt: Nicolaus autem, de quo supra retulimus, Persam quidem percussit hasta, sed non potuit de sella deii-

κης γενομένης τῆς ἀντερείσεως. ἵν᾽ οὖν μὴ καὶ ἐπὶ πλέον ἀπώσαιτο αὐτοὺς μηχανώμενος, ἐκέλευεν ἤδη καὶ τοῖς σὺν αὐτῷ ὅλῳ δῆθεν ῥυτῆρι ἄχρι καὶ ἐπὶ τὴν φάραγγα ἰέναι, μὴ μέντοι καὶ ὑπερβαίνειν. D
ὃ Πέρσαι κατανοήσαντες ἀνεχώρουν ἠρέμα. ἐν τούτῳ δὲ καὶ οἱ ἀμφὶ τὸν Κοτέρτζην τοξόται, οὓς τοῖς κατόπιν καθάπερ εἴρηται ἀπολειφθεῖσι Ῥωμαίων ἐπιβοηθεῖν βασιλεὺς ἔπεμψε, ξυνέμιξαν ἤδη τῷ βασιλεῖ, καὶ λοιπὸν αὖθις ἀντεπεξῄει τοῖς πολεμίοις. ἀλλ᾽ ἐκεῖνοι αἰφνίδιον τὰς ἡνίας στρέψαντες φεύγειν ἤρξαντο. ὅπερ ὁ βασιλεὺς κατιδὼν "θαρσεῖτε" τοῖς σὺν αὐτῷ ἔφη "δύναμις γὰρ ἐς ἡμᾶς ἔρχεται στρατοπέδου." τῶν δὲ μὴ προσιεμένων τὸν λόγον τινὲς ἔφησαν "Πέρσαι, δέους αὐτοὺς ἐπείγοντος οὐδενὸς (οὐδὲ γὰρ ἀξιόμαχοι αὐτοῖς τέως τυγχάνομεν ὄντες) αἰφνίδιον οὕτω νῶτα στρέψαντες οἴχονται ἤδη πάντως, ὅτι ἔξεστι σφίσιν ἅτε P 30
ἀφ᾽ ὑψηλοῦ σκοπουμένοις τὰ ἡμῖν τέως ὁρᾶν ἀφανῆ." καὶ ἔτυχέ γε τοῦ ἀληθοῦς εὐστοχώτατα τὸ πρᾶγμα τεκμηριωσάμενος. Ῥωμαῖοι γὰρ οἱ ἐπὶ τοῦ στρατοπέδου ἦσαν, ἐν στενῷ κομιδῇ τὸν βασιλέα περισχεθῆναι μεμαθηκότες σπουδῇ βεβοηθηκέναι ἠπείγοντο. ὅτε δὴ λέγεται ὡς ὁ πρὸς πατρὸς τῷ βασιλεῖ θεῖος ὁ σεβαστοκράτωρ Ἰσαάκιος τῷ στρατοπέδῳ τηνικάδε παρών, ἐπειδὴ τὰ κατὰ τὸν αὐτοκράτορα ἐπύθετο καὶ ὡς ἐν ἐσχάτοις εἴη κινδύνοις, εἰς τὴν βασίλειον αὐλὴν παρελθών, εἴσω δὲ τοῦ δι᾽ ἐπίπλων σχεδιαζομένου εὐκτηρίου γεγονὼς ἐκαραδόκει τὸ μέλλον, ἐπιθέσθαι τῇ βασιλείᾳ δια- V 24
νοούμενος. ἔρως γὰρ αὐτῆς ἐκ πολλοῦ καθάπερ εἴρηται τὸν ἄνδρα B

21. δι᾽ ἐπίπλων] Cod. δι ἐ πῖ πλῶν. Tollius διὰ πέπλων.

cere, quod fuisset ictus ex asperitate loci remissior. itaque, ne longius illos propelleret, suos iubet ad vallem usque laxis habenis, sed non ultra, progredi. quod ubi animadvertunt Persae, sensim retro cedunt. interea sagittarii, qui erant cum Cotertze, et ab imperatore, ut dictum est, submissi fuerant ad ferendam opem qui pone relicti erant Romanis, iam se imperatori adiunxerant: quibus suffultus praelium cum hostibus rursum instaurat. quos postquam vidit conversis protinus equis fugam meditari "bono" inquit suis "estote animo; tota enim exercitus nostri moles ad nos venit." quidam vero qui dictis aurem praebere nolebant dixere "Persae nullo impellente metu, (neque enim viribus hactenus ipsis fuimus pares) de repente sic passim terga vertunt, abeuntque, quod liceat iis in alto constitutis, quae hactenus nobis occulta fuerunt explorare." nec imperatoris coniecturam fefellit eventus. nam qui castra servabant Romani, non modicis imperatorem implicitum angustiis edocti, citato agmine opem laturi properabant. quo tempore tradunt Isaacium sebastocratorem imperatoris patruum, qui tum in ipsis aderat castris, ubi ea super principe, ipsumque adeo in extrema adductum pericula accepisset, in imperatorium venisse tabernaculum, ibique in confecto e supellectile oratorio eventum rei, imperii iam avidum expectasse; illius quippe

τοῦτον εἰσιὼν συνήκμασέ τε αὐτῷ καὶ συνανετράφη μονονουχί, ἤδη δὲ καὶ εἰς τοὺς παῖδας τοὺς αὐτοῦ καθάπερ τις πατρῷος διέβη κλῆρος. ἀλλὰ τὰ μὲν περὶ τούτων ὁ λόγος ἑξῆς διηγήσεται προϊών.

8. Βασιλεὺς δὲ (ἐπάνειμι γὰρ ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην) ἐπειδὴ αἱ παρὰ τῷ στρατοπέδῳ ὥσπερ ἔφην συνέμιξαν ἤδη τούτῳ δυνάμεις, τῷ πλήθει θαρσήσας καθιππεύσατό τε αὖθις τῶν πολεμίων καὶ γενναίων αὐτουργὸς γεγονὼς ἀριστείων συντεταγμένως λοιπὸν ἐπὶ τὸ στρατόπεδον ἧκεν. ὄρθρου δὲ ἀναστὰς ὁδοῦ εἴχετο. Πέρσαι τοίνυν (ἔγγιστα γάρ που καὶ οὗτοι ἐν- C στρατοπεδευσάμενοι ἔτυχον) περί τινα δυσχωρίαν αὖθις γενομένῳ τῷ Ῥωμαίων στρατῷ ἐκ τοῦ παρ' ἑκάτερα ἐπιθέμενοι ἰσχυρῶς ἔθλιβον, ὅτε δὴ καὶ πολλοὺς τῶν ἐκ πεζικῶν καταλόγων πεσεῖν ἐγένετο ἐξ αἰτίας τοιᾶσδε. ἦν τις ἐν τῷ Ῥωμαίων στρατοπέδῳ ἀνὴρ ἀγαθὸς τὰ πολέμια ᾧ Κριτόπλης ἐπίκλησις ἔκειτο. οὗτος δὴ ὁ ἀνὴρ πεζικῶν μὲν τῶν τότε δυνάμεων ἦρχε· τὴν τάξιν τε παρεκκλίνας Πέρσαις ἐκ τοῦ σχεδὸν ἑπομένοις εἰς χεῖρας ἦλθε, τῷ πλήθει τε βιασθεὶς εἰς φυγὴν ἀπαρακάλυπτον ἔβλεψε, τούτῳ τε τῷ τρόπῳ πολλοὺς τῶν ἀμφ' αὐτὸν ἀποβεβληκὼς μόγις ἐσώζετο. ὅπερ αἰσθόμενος ὁ αὐτοκράτωρ τὴν ἀμφ' αὐτὸν φάλαγγα τῷ ἀδελφῷ πιστεύσας ἄλλοις τε τῶν γνησιωτάτων πολλοῖς, αὐτὸς σὺν ὀλίγοις τὸ D πεπονηκὸς τοῦ στρατοῦ ἀνακτήσασθαι ἠπείγετο. ἐς μέσους τοίνυν αὐτοὺς παρελθὼν στῆναί τε θαρσαλέως ἐνεκελεύσατο καὶ Πέρσαις ἀντεπεξῆγε. ὅπερ ἐκεῖνοι κατανοήσαντες οὐκέτι ἀπὸ χειρὸς Ῥωμαίοις ἐμάχοντο. τῷ δὲ βασιλεῖ ἐπιμελὲς ἐγεγόνει ὅπως ἂν ἀνα-

22. *Πέρσαις*] Cod. *Πέρσας*.

invadendi iam pridem virum invaserat libido, adoleveratque, ut ita dicam, et cum ipso fuerat enutrita, unde postmodum in liberos patriae instar haereditatis transfusa est. sed haec a nobis deinceps commemorabuntur.

8. Imperator, ut eo unde deflexit revertatur oratio, adiunctis uti diximus quae e castris advenerant copiis, numero confidens rursum in hostes sese infert; editisque praeclaris ibi facinoribus, composito agmine revertitur in castra, indeque postridie sub auroram discedit. at Persae, quorum haud procul aberant acies, Romanos qui rursum in difficili quodam stabant loco ab utraque parte adorti, nonnullos e peditibus cecidere, cuius quidem cladis ea narratur causa. vir erat in Romanorum exercitu armis prae ceteris strenuus, cui nomen Critoples, copiis aliquot pedestribus praepositus. relicto ille ordine cum Persis e propinquo subsequentibus congressus tandemque multitudine circumfusus, palam fugae se commisit vixque multis suorum amissis sospes evasit. quod ubi intellexit imperator, commissa fratri aliisque aliquot ex consanguineis acie, laborantibus opem laturus cum paucis ipse festinat. in medios igitur illos sese inferens, fortiter stare iussos rursum in Persas educit. at illi re animadversa cominus rem gerere detrectant. tum imperatorem subiit cura, quo pacto Romanorum demissos ani-

θαρσῆσαι τὸ Ῥωμαϊκὸν γένοιτο· ἤδη γὰρ ὡς τὸ περὶ τὰς πεζικὰς ὡς εἴρηται τῶν δυνάμεων συμπεσὸν ὑποκλέπτειν ἠρέμα τὸ γενναῖον αὐτοῖς ἤρξατο, ἐπεὶ μηδὲν οὕτω ψυχήν ἐστι κατασεῖσαι ἱκανὸν ὡς τὸ συμφύλων αἱμάτων ἐκχύσεις ἐκ τοῦ σύνεγγυς καθορᾶσθαι. ἀμέλει καὶ ὃν ἐπικόλπιον εἶχε τόμον ἐξενεγκών, ᾧ πρὸς ὄνομα τῶν ταγμάτων ἐγένετο ἕκαστα, ἐν οὕτως ὀξείᾳ πραγμάτων ῥοπῇ ἑκάστῃ P 31 τὸ ποιητέον ἐπέστελλεν. ἤδη γὰρ τῶν ταγμάτων ὡς πλεῖστα πανημέρια τοῖς πολεμίοις ἀντιτάττεσθαι ἀπειρηκότα ἀπέλιπόν τε τὴν τάξιν καὶ ἐπὶ τὸ σκευοφορικὸν μετέθεντο τοῦ στρατοῦ, ἐπὶ τοσοῦτον τῶν βασιλέως ἀφροντιστήσαντες κελευσμάτων, ὡς καίτοι πολλῶν ἐς ἐκείνην τὴν ἡμέραν ἐς τὸ σῶμα πρὸς αὐτοῦ διὰ ταῦτα ζημιωθέντων, τοὺς ἄλλους οὐδ' ἐπαΐειν τῶν πραττομένων μονονουχί. τὸ γὰρ λίαν φιλόψυχον παντάπασιν ἀνεπίμνηστον τῆς ἀρετῆς γίνεται. τὸν οὖν τρόπον τοῦτον ἀεὶ τῶν κατόπιν τοῖς ἔμπροσθεν ἐπιμιγνυμένων, ἅπαν λοιπὸν τὸ τοῦ πολέμου βάρος εἰς τὸν βασιλέα περιστὰν δεινῶς τοῦτον ἐπίεζεν· ἀλλὰ στρατηγικῇ ἐμπειρίᾳ τοῖς πολεμίοις B ἀντεπεξιὼν ἀσινὴς οὕτω διαγενέσθαι ἴσχυσε. τότε δὴ τοῖς μὲν ἄλλοις αὐτοῦ που σκηνοῦν ἐδόκει μηδὲ προσωτέρω χωρεῖν· τὸν βασιλέα δὲ ταῦτα οὐδαμῇ ἤρεσκεν, ὡς μὴ ἐν συγχύσει καὶ ταράχῳ φερομένοις καταπολεμήσεσθαι μᾶλλον Ῥωμαίοις γένηται ἢ αὐτίκα ἢ γοῦν ἐς νέωτα πάντως ἐς τὴν ἀπορίαν συσκευαζομένοις· ἐπεξιέναι δὲ μᾶλλον ἔλεγεν εἶναι χρεών, εἴ πως τοὺς πολεμίους ἀπωσάμενοι

3. μηδὲν] Cod. μηδέ. 6. ἑκάστῃ] ἑκάστῳ? 16. περιστὰν] Cod. παραστάν. Correxit Duc. 21. ἀπορίαν] Fort. ἀποπορείαν h. e. *aut nunc aut postridie* (hoc enim est εἰς νέωτα) *abitum parantibus.*

mos recrearet. iam enim illa peditum clades imminuere innatam eorum virtutem coeperat; nihil quippe tam validum ad commovendam mentem quam effusi popularium sanguinis e propinquo conspectus. ad ultimum protrahit e sinu chartam omnium ordinum nomina continentem, inque eiusmodi rerum angustiis, quid cuique agendum esset, singulis transmittit. magna enim iam militum pars quae continuis cum hoste praeliis congredi nolebat, relictis ordinibus ad impedimenta se exercitus retulerat, neglectis usque adeo imperatoris mandatis, ut etiamsi nonnulli hactenus eapropter poenas dedissent, ceteri tamen eorum quae fiebant nullam propemodum rationem haberent. immodicus quippe vitae amor virtutis oblivionem omnino inducit. dum igitur qui agmen claudebant ita continuo se adiungunt prioribus, tota etsi in imperatorem incumberet belli moles, militari tamen arte subinde hostes aggressus ab eorum manibus incolumis evasit. ibi tum locanda castra censebant quidam neque progrediendum ulterius. sed non placuit ea principi sententia, quin potius Romanis esse bellandum censebat, dum nulla adhuc consternatio tumultusve illorum invasisset animos, quam primo quoque tempore, aut anno sequenti, cum angustiis omnino premerentur. satius itaque sibi

ρῶν ὀξύτησι καθυφεῖναι θέλων τοῦ μεγαλοπρεποῦς τῆς τὸν σουλ-
D τὰν γειναμένης παντάπασιν ἀνύβριστον τηρηθῆναι τὴν κόνιν ἐκέλευε, χρῆναι τοῖς καὶ κατὰ βραχὺ σωφρονοῦσιν εἰπὼν αἰδεῖσθαι μᾶλλον δυστυχοῦσαν εὐγένειαν, γράμμα τε χαράξας οὐ πόρρω θρύψεως ὂν παρὰ τὴν τοῦ σουλτὰν ἔπεμπε γαμετήν. εἶχε δὲ ὧδε τὸ γράμμα. "εἰδέναι βουλόμεθά σε, ὡς τὸ τῆς ἡμετέρας παιδίον βασιλείας ὁ σουλτὰν ζῇ καὶ ἔτι περίεστι τὰς τοῦ πολέμου χεῖρας διαπεφευγώς." ἡ δὲ πρόβατα περί που τὰ δισχίλια καὶ βοῶν μέγα τι χρῆμα καὶ πλεῖστα ἄλλα τῶν ἐδωδίμων ἐν παρασκευῇ μὲν εἶχεν ἐφ' ᾧ βασιλέα τούτοις δεξιώσαιτο· ἐπεὶ δὲ πυρὶ τὰς πρὸ τῆς πόλεως οἰκοδομὰς καθάπερ εἴρηται τὸ Ῥωμαϊκὸν ἔφλε-
P 26 ξεν, οὐκέτι πέρατι τὸν σκοπὸν ἔδωκε. καὶ ταῦτα μὲν τοιάδε τινὰ ἦσαν. βασιλεὺς δὲ ἐπειδὴ τῆς ἀποπορείας ἤρξατο, γράμμα καὶ πάλιν ἐπὶ τὸν σουλτὰν ἔπεμψεν. ἐδήλου δὲ ἡ γραφὴ τάδε· "πολλά σε πολλάκις ἀναζητήσαντες οὔπω ἐτύχομέν σοι. φεύγεις γὰρ ἀεὶ καὶ καθάπερ σκιὰ διολισθαίνεις ἡμῶν. ἵν' οὖν μὴ καὶ δοκοίημεν σκιαμαχεῖν, τῷ τέως μὲν ἄπιμεν παλινοστοῦντες· ἔαρος δὲ σὺν μείζονι τῇ παρασκευῇ ἐπί σε ἥξομεν. μελήσει δέ σοι τοῦ μὴ καὶ τότε ἀναξίως οὕτως ἑαυτοῦ φεύγοντι οἴχεσθαι διόλου."

7. Ταῦτα μὲν οὖν ἐν τούτοις ἦσαν τὰ γράμματα. Περσῶν δὲ οἱ ἀνωτάτω πόλεως ᾤκοῦντο Ἰκονίου, ἔνθα Τανισμὰν ἦρχεν ἐκεῖνος, δυνάμεις ὡς πλεῖσται ἐπὶ ὁμαιχμίαν παρὰ τὸν σουλτὰν ἀφικόμεναι συνέμιξαν ἤδη τούτῳ, αἷς ἐπαρθεὶς οὐκέτι

15. ἐτύχομέν σοι] **Malim ἐνετύχομέν σοι.** 21. ᾠκοῦντο] Cod. ᾤκοντο.

magnanimitatis non oblitum suae, inviolatus ut servaretur matris Sultani cinis, praecepisse: dixisseque, vel minimum sapientibus reverendam esse nobilitatem infelicem. scriptas itaque officiosas admodum literas ad Sultani coniugem mittit, in hanc sententiam: "scias velim, Sultanum maiestatis nostrae servum vivere, et superesse adhuc, vitatis belli periculis." illa vero pecudum circiter duo millia, boum copiam ingentem, et cibaria alia complura, quibus exciperet imperatorem, adparaverat. sed ubi aedificia suburbana, uti memoravimus, Romani incenderunt, haudquaquam executa est propositum. his ita constitutis, cum iam reditum moliretur imperator, iterum ad Sultanum scribit literas, eo argumento: "multum te saepenumero quaesivimus, necdum invenimus. fugis enim semper, atque instar umbrae te nobis subducis. ne itaque videamur bellum gerere cum umbra, domum denuo repetimus: proximo autem vere maiori cum apparatu ad te revertemur. providendum tibi ne et tum quoque fugam inertem quaquaversum capessas."

7. Haec ille; interea Persarum magna vis, quae regiones ultra Iconium sitas incolebat, ubi imperaverat Tanisman ille, auxilium ut ferret Sultano venit, illiusque copiis adiungitur. quibus ille elatus, non fugere, ut

φεύγειν ὡς τὸ πρότερον ἤθελε, ταξάμενος δὲ Ῥωμαίοις περί τινα B χῶρον Τζιβρηλιτζημανὶ βαρβαρικῶς ὠνομασμένον ἤδη γεγενημένοις ἐπιθέσθαι ἠπείγετο. ἔστι δὲ ὁ χῶρος δυσπρόσοδός τε εἴπερ τις καὶ ἀνδράσι μὴ ὅτι γε συντεταγμένοις, ἀλλ' οὐδὲ πορευομένοις κατ' ὀλίγους ῥαδίως διεξίτητος. τὸ μὲν οὖν ἄλλο Ῥωμαίων V 21 στράτευμα ἤδη ἀμφὶ τῷ χάρακι ἐπονεῖτο· βασιλεὺς δὲ τὸ μὲν τῇ ἡλικίᾳ τυραννούμενος τὸ δέ τι καὶ γυναικὶ οὐ πολλῷ ξυνοικήσας πρότερον, κατὰ ἔθος τὸ αὐτῶν αὐτουργῆσαί τι ἐς τὴν μάχην ἤθελεν. ἀνδρὶ γὰρ Λατίνῳ ἄρτι γυναῖκα εἰσοικισαμένῳ μὴ οὐχὶ ἀριστέα φανῆναι αἰσχύνην οὐχὶ τυχοῦσαν ἐπάγεται. ὁ μὲν οὖν C λόχους παρ' ἑκάτερα ἐν φάραγξι δυσὶ καταθείς, ὃν μὲν ἐκ τῶν καθ' αἷμα καὶ ἐγγυτάτω αὐτῷ συνεστῶτα, ἐν οἷς ἄλλοι τε ἦσαν τῶν αὐτῷ οἰκειοτάτων πολλοὶ καὶ οἱ ταῖς ἀδελφαῖς αὐτοῦ ξυνοικοῦντες, ὃν δὲ καὶ ἐκ καταλόγων δύο στρατιωτικῶν, ὧν ἡγεῖτο Νικόλαος ἐπίκλησιν Ἄγγελος, ἀνὴρ τήν τε χεῖρα γενναῖος καὶ ἀνδρείας εὖ ἥκων, αὐτοὺς μὲν αὐτοῦ ἡσυχῇ μένειν ἐκέλευεν, ἕως ἐπὶ τοὺς πολεμίους αὐτὸν ἱππαζόμενον ἴδοιεν. ὁ δὲ μόγις ἀξιοῦσιν Ἰσαακίῳ τε πεισθεὶς τῷ ἀδελφῷ καὶ Ἰωάννῃ τῷ τῶν ἀνατολικῶν καὶ δυτικῶν δομεστίκῳ, ἅμα αὐτοῖς ἐπί τι χωρίον ἦλθεν, οὗ δὴ χορταγωγίας ἕνεκα τῶν τινας Ῥωμαίων σποράδας ἰόντας D ἑώρα, ἐνταῦθά τε τὰ ὅπλα καλυψάμενος, ὡς μὴ ἐκ τοῦ παραλλάσσοντος Πέρσαις κατάδηλος εἴη, τῶν Περσῶν τινας ὡς τὸ εἰκὸς κακουργήσοντας ἰέναι ἐξεδέχετο. ὡς δὲ οὐδεὶς οὐδαμόθεν

9. εἰσοικισαμένῳ] Cod. εἰσοικησαμένῳ.

ante, voluit: quin potius ordinato agmine cum Romanis, qui tum ad locum pervenerant, quem Tzibrelitzeman barbarico vocabulo nuncupant, praelium initurus deproperat. est vero is, si quis alius, difficilis accessu, nec explicato duntaxat agmini, sed et paucis incedentibus, aegre pervius. dum castra communire occupat miles, imperator, quem acrius pungebat aetatis vigor, quique paulo ante duxerat uxorem ex Latinorum gente, militari aliquo facinore, secundum eorum morem, vires suas decrevit experiri. viro quippe Latino, qui nuper coniugem sibi nuptiarum iure adiunxerit, nullum edere generositatis specimen, non modicum est dedecus. insidias igitur in vallibus binis locat, quarum alterae constabant ex agnatis, sibique arctissimo sanguinis nexu proximis, ac etiam sororiis: alterae ex duabus militaribus cohortibus conflatae erant, quibus praeerat Nicolaus cognomento Angelus, vir impiger manu, et fortitudine insignis. hos omnes isthic subsistere iubet, donec se conspiciant equo insidentem contra hostes progredi. vix autem rogantibus Isaacio fratri et Ioanni Orientalium atque Occidentalium domestico assensus, simul cum ipsis in locum quemdam proficiscitur, ubi Romanorum turmas aliquot sparsim pabulari animadvertit, ibique absconditis armis, ne a Persis ex eorum comparatione agnosceretur, opperiebatur, dum Persae, uti erat vero simile, in pabulatores irruerent. ubi vero nemo

αὐτῷ κατεφαίνετο, τῶν τινα Ῥωμαίων μεταπεμψάμενος στρατιωτῶν, Πέρσην μὲν τὸ γένος Πουπάκην ὄνομα, ἀνδρεῖον δὲ ἄλλως καὶ πολὺ τὸ δραστήριον ἔχοντα, ἐκέλευε προσωτέρω χωρήσοντα εἴπου Περσῶν τινας ἐπιόντας προσίδοι ἐπιμελέστατα διασκοπεῖσθαι. P 27 ὁ μὲν οὖν ἀπῄει, καὶ μικρῷ ὕστερον ἐπανιὼν Περσῶν οὐ πλείονας τῶν ὀκτὼ ἰδεῖν ἰσχυρίσατο. ὁ δὲ βασιλεὺς τοὺς ἄλλους πρὸς ταῖς ἐνέδραις, καθάπερ εἴρηται, ἀπολιπὼν αὐτὸς σὺν τῷ ἀδελφῷ καὶ τῷ δομεστίκῳ τοῦ Πουπάκη τὴν ὁδὸν σφίσιν ὑποδεικνύντος ᾗ τάχους εἶχεν ἐπ' ἐκείνους ἤλαυνε. γαμβροῖς μέντοι τοῖς αὐτοῦ ἐπὶ τοσοῦτον ἀγανακτῆσαι περιοραθεῖσιν ἐγένετο, ὡς καὶ ὅρκοις φρικωδεστάτοις αὐτῶν τε ἕκαστον καὶ πάντας ὁμοῦ ξυνδῆσαι καὶ καταλαβεῖν, ἦ μὴν μηδὲ βουλομένῳ ἂν οὕτω τύχῃ ταύτην ξυνάρασθαι βασιλεῖ τὴν μάχην. βασιλεὺς δὲ οὔπω τοῖς ὁραθεῖσιν ἀνεμίγνυτο τῶν Περσῶν, καὶ εἰς ὀκτωκαίδεκα τούτους ἠθροῖσθαι συνέβαινεν. ἤθελε μὲν οὖν καὶ ἐσφάδαζεν ἐπ' αὐτοὺς ἰέναι· ὅπως μέντοι μὴ ἅτε εὐζωνότεροι ὄντες ἀποδρᾶναι δυνη- B θεῖεν (οὐ γὰρ εἶχεν ἐκ τοῦ σχεδὸν αὐτῶν καθιππάσασθαι ἀπωτέρω ἔτι ἑστώς), τοιάδε τινὰ ἐνενόει. ἐκέλευε τὸν Πουπάκην ἔγγιστα αὐτῶν γεγονότα, ἐπειδὰν προσιόντων αἴσθοιτο, φεύγειν δυνάμει τῇ πάσῃ ἕως ἤδη παρ' αὐτὸν γένοιτο. ὁ μὲν οὖν κατὰ τὸ κελευσθὲν ἐποίει, ἐπεί τε διώκεσθαι πρὸς τῶν βαρβάρων ἤρξατο ἤδη, ἔφευγε λοιπόν· οὐ μέντοι παντάπασιν κατετάχει τὸν δρόμον, ἀεὶ δὲ ἐλπίδα τοῦ καταληφθήσεσθαι σφίσιν ἐμπαρεχόμενος ἔλαθεν

4. προσίδοι] Malim προΐδοι. 12. ἦ μὴν μηδὲ] Cod. ἦ μὴ μὴν δέ. 18. τοιάδε τινὰ] Cod. τοιάδε τι.

in conspectum venit, militem vocat ad se, Persam quidem genere, virum ceteroquin magnanimum, manuque strenuum, nomine Pupacem, huic praecipit, ut progrediatur longius, speculeturque diligentissime, num forte adventantes aliunde Persas conspiceret. abit ille, et exiguo post tempore, haud amplius octo se vidisse renuntiat. tum vero princeps, reliquis, ut ante dictum est, in insidiis relictis, cum fratre et domestico, praemonstrante viam Pupace, quanta potuit celeritate in eos contendit. at illius consanguinei, quod nullo loco habiti visi essent, tanta exarserunt indignatione, ut horrendis sacramentis se, et quotquot aderant omnes, constringerent, etiam si iuberet, deinceps una cum imperatore non se amplius certaturos. ille visos Persas non ante est adortus, quam coivissent numero octodecim. cum igitur vellet gestiretque illos statim invadere, ne cum essent expeditiores, fuga se proriperent; nec posset cum iis collato pede praeliari, quod ipse adhuc distaret procul, tandem id comminiscitur. Pupacae imperat, ut Persis accederet quam proxime, et simul ac illos cerneret advenire, fugam arriperet, nec desisteret, donec sibi adiungeretur. mandata ille executus, barbaris insequentibus, paulatim cessit, non tamen ita maturavit fugam, ut sui attingendi spem praeriperet hostibus: cum vero ii fraudis nescii ad im-

οὕτως ἄχρι καὶ εἰς βασιλέα τούτους παρελκυσάμενος· οὐ μὴν οὐδὲ ὡς τοῦ κατὰ σκοπὸν βασιλεὺς ἔτυχεν. ἐπειδὴ γὰρ αὐτὸν εἶδον θᾶττον ἢ λόγος ἐξιππασάμενοι ᾤχοντο· ὡς δὲ πεντήκοντα ἑτέροις κατόπιν αὐτῶν ἰοῦσι συνῆλθον, τῷ πλήθει θαρσήσαντες ἐλογίζοντο ἤδη ὡς ἐπιόντα τοῦτον ὑποστησόμενοι. ὁ δὲ καίτοι πολλὰ C τῶν ἀμφ' αὐτὸν οὐκ ἐπαινούντων τὸ ἐγχείρημα (πολλῷ γὰρ ἔφασκον ἤδη ἄποθεν τοῦ στρατεύματος αὐτοὺς γεγενῆσθαι), ὅλοις ὅμως ῥυτῆρσιν ἐδίωκεν οὐδένα καιρὸν ἀνιείς. μέχρι μὲν οὖν τινος συμπαρῆν αὐτῷ καὶ ὁ σεβαστοκράτωρ καὶ συνιππάζετο· ἐπεὶ δὲ τοῦ ἵππου ἤδη αὐτοῦ κεκμηκότος οὐκέτι προσώτερον χωρεῖν ἠδύνατο, αὐτὸς μὲν αὐτοῦ που ἐλέλειπτο, τήν τε σωτηρίαν ἤδη ἀπο- V 22 γνοὺς πολλὰ τὸν ἀδελφὸν παρεκάλει γυναικός τε καὶ παίδων πέρι τῶν ἑαυτοῦ. ὁ δὲ αὐτῷ μὲν ἐπετίμα καὶ τὴν ὀλιγωρίαν ὠνείδιζεν "εἶτα" λέγων "ὦ φίλτατε ἀδελφέ, ζῶντά με ὑπείληφας ὑπὸ ταῖς τῶν πολεμίων σε λελοιπέναι χερσί; μὴ σύ γε· μὴ οὕτως ἀναξίως ἑαυτοῦ καὶ φρόνει καὶ λέγε." τοῦ δὲ "ἀλλὰ κἂν μεῖνον γοῦν, ὡς D συνέψομαί σοι τὴν ἐπὶ τοὺς βαρβάρους ἰόντι" προστιθέντος τοῖς λόγοις, "μετὰ τὴν συμπλοκὴν" ἔφη, "θᾶττον ἢν διδῷ θεὸς ἐπὶ σε ἥξω· ὡς νῦν γε πρὸς ἑτέροις τὸν νοῦν ἔχω, καί με ἡ τοῦ ἀνδραγαθίζεσθαι ἐπιθυμία δεινῶς ἐφ' ἑαυτὴν ἕλκει." ταῦτ' εἰπὼν τῷ ἀδελφῷ τὴν ἐπὶ τοὺς πολεμίους ἤλαυνεν. καὶ τὰ μὲν κατὰ τὸν βασιλέα τῇδε ἐφέροντο· οἱ δ' ἐπὶ τῶν λόχων καθάπερ εἴρηται τεταγμένοι τῶν ἐπὶ δόξης τινὰ ἐπίκλησιν Κοτέρτζην ὅπη ποτὲ τύχης

10. προσώτερον] Tollius προσωτέρω.

peratorem usque fuissent pertracti, nihil inde tamen ex animo ille consecutus est. ipso quippe animadverso, statim fugae se dedere. mox adiuncti quinquaginta aliis subsequentibus, numero confisi, consilium capiunt opperiundi imperatoris. ille, etsi comites ut plurimum facinus improbarent seque dictitarent procul semotos ab exercitu, tamen laxis habenis, ne tantillum quidem moratus, insequitur. aliquamdiu quidem etiam sebastocrator ipsi aderat et una cum eo fugientes hostes equo vectus sequebatur. ubi vero fatigato iam equo pergere ulterius non potest, despondens animum saluteque quodammodo desperata, fratrem obsecrat, uxorisque ac liberorum curam habeat hortatur. at ille succensens fratri exprobransque metum "frater" inquit "carissime, mene dum superstes sim existimas sub manibus te hostium relicturum? noli, quaeso, tam indigne de me aut sentire, aut loqui." tum ille "mane igitur" ait "donec tecum barbaros aggrediar." imperator autem "post initum praelium" inquit "quam cito deus dederit ad te redibo. nunc quidem alia animo obversantur, ac nescio quae praeclari cuiuspiam edendi facinoris me tenet libido." his fratrem allocutus irruit in hostes. atque ille tum casus imperatori obvenit: qui vero in insidiis, uti memoravimus, positi erant, quemdam e magnatibus Cotertzem nomine confestim mit-

P 28 ἔσχε τὰ κατὰ τὸν βασιλέα μαθεῖν σπουδῇ ἔπεμψαν. ἀλλ' αὐτὸν μὲν βασιλεὺς αὖθις ἐπ' ἐκείνους ἔπεμψεν ἥκειν τὴν ταχίστην κελεύσας αὐτούς. ὁ δὲ ἄρτι βουνόν τινα παρακείμενον διελθὼν ὅλῳ Περσικῷ ἐντυγχάνει στρατεύματι ἐς πεντακοσίους μάλιστα ξυνισταμένῳ, οὗ κατόπιν οὐ πολλῷ ἄποθεν πανστρατὶ ὁ σουλτὰν ἐπορεύετο. ἅμα τε οὖν εἶδε καὶ ἅμα τὸ δόρυ ἰθύνας κατ' αὐτῶν ἵετο πολλούς τε δορατίσας εἰς γῆν ἔβαλλεν. οἱ δὲ ὥσπερ εἰς ἀφασίαν ἐμπεπτωκότες ἑστήκεσαν ἀτρεμοῦντες. ἐν ᾧ δὲ ταῦτα ἐγίνετο Ῥωμαίων δυνάμεις αἱ τὰς ἐνέδρας καθάπερ εἴρηται συμπληροῦσαι ἐγγὺς παρεφάνησαν βασιλέως αὐτὰς καθάπερ εἴρηται μεταπεμψαμένου, ὃ συμβαλλόμενοι Πέρσαι μέρος ἀποτεμόμενοι τῆς στρατιᾶς B κατὰ νώτου τούτῳ γεγονότας ἐκέλευον ἐμποδὼν Ῥωμαίοις ἐπιοῦσιν ἵστασθαι. ᾤοντο γὰρ ἤδη ἀρκύων ἐντὸς αὐτὸν περιποιησάμενοι ἔχειν. οἱ μὲν οὖν κατὰ ταῦτα ἐποίουν· ὁ δὲ ὀρθίῳ τῷ δόρατι κατὰ γῆς ἐρεισάμενος ἵστατο, τόν τε Πουπάκην (παρίστατο γὰρ ἤδη τούτῳ) ἐκέλευε τηρεῖν ἀκριβῶς μὴ καὶ ἀπὸ τοῦ ἄγχιστα βουνοῦ διεῖρξαι Πέρσαις τὸ Ῥωμαϊκὸν γένοιτο, κἀντεῦθεν παντάπασιν ἀδιεξίτητα αὐτῷ ἔσται. ἀλλ' ὁ Πουπάκης τοὐναντίον ἤπερ αὐτὸς ἐβούλετο προσφερόμενος "μέθες τὸ λίαν" ἔλεγε, "μέθες ὦ δέσποτα. οὐχ ὁρᾷς οἷ κακῶν γενοίμεθα; μνῆσαι δὴ σωτηρίας τῆς ἑαυτοῦ." ὁ μὲν τοσαῦτα καὶ πλείω τούτων εἰπὼν ἐπειδὴ μὴ πείθειν εἶχε, κατὰ τὸ κελευσθὲν ἐποίει. ὁ δὲ βασιλεὺς (οὐ γὰρ C ἐξῆν αὐτῷ μὴ οὐχὶ σὺν ἀτιμίᾳ τοῦ λοιποῦ διαδρᾶναι) τοῖς μὲν λεγομένοις προσέσχεν οὐδαμοῦ, τῶν δὲ πολεμίων αὖθις καθιππευ-

V 26 ἄλλης πόλεσιν ἀναλογούσης ἀκολουθίας. χρὴ τοίνυν οὕτω παρασκευάσασθαι καὶ ἡμᾶς. ἔτι γὰρ περὶ μέσην που τὴν πολεμίαν ἐσμὲν καὶ τῶν Ῥωμαΐδος μακρὰν ἀποπλανώμεθα ὁρίων." τοσαῦτα εἰπὼν συντάξας τε κατὰ κόσμον τὸ στράτευμα εὐθὺ τῆς λίμνης, ἣν πάλαι μὲν τοῦ Σκληροῦ κατὰ δὲ τοὺς νῦν χρόνους τοῦ Πουγγούση καλοῦσιν, ὁδοῦ εἴχετο. ἐπεὶ δ' ἐν ταῖς πεδιάσιν ἤδη ἐγένετο καὶ τῆς προτέρας στενοχωρίας ἐν εὐρυχώρῳ καθίσταται τούτῳ τὸ στράτευμα, κελεύει τῶν στρατιωτῶν τινι μέγα τι καὶ ἐξάκουστον ἀνακραγόντι Περσῶν τινα καλέσαι. ὁ μὲν οὖν κατὰ τὸ κελευσθὲν ἐποίει. προσιόντι δὲ τῷ Πέρσῃ "ταῦτα πρὸς τὸν σουλτὰν"
P 33 βασιλεὺς ἔφη "ἀγγελεῖς. βασιλεύς σοι μέγας ταῦτα ἐπιστέλλει δι' ἐμοῦ. ἥκομεν ἄχρι καὶ εἰς Ἰκόνιον αὐτό. περιήλθομέν σου τὴν χώραν μετελεύσεσθαί σε τῆς ἐς τὴν ἡμετέραν βασιλείαν ἁμαρτάδος μάλιστα προθυμούμενοι. σὺ δ' ἀνεχώρεις ἀεὶ κατὰ τοὺς

16. καὶ τῆς] Fort. καὶ ἀντὶ τῆς vel ἐκ τῆς.

mittetur ad posteros gloriam consecuturos. contra si vel minimum ordines solvi contigerit nosque ab invicem disiungi, pro certo habete nos facile in hostium venturos potestatem quemadmodum enim effracta obsessae civitatis latera aditum expugnantibus facilem praebent, ita se res habet in castris et in explicato exercitu. neque porro aliam ob causam prisci duces invenere insidias, aciei instructionem, primam vel postremam aciem, dextra aut sinistra cornua, aequales ordinum series, formamque explicandae aciei. est enim instar urbis exercitus: cui et portis opus et turribus et lateribus et fossis et ceteris quae ad urbium usus necessaria occurrunt. haec igitur omnia a nobis apparanda sunt, qui in medio soli hostilis versamur a finibus Romanis longo intervallo disparati." haec postquam est effatus, rite composita ordinataque acie, ad paludem, quam olim veteres Scleri nunc vero Pungusae vocant, recta iter intendit. cumque in patentes campos pervenisset, et relictis montium angustiis, in porrecta planitie collocasset exercitum, militi cuidam imperat, ut altiori contenta voce Persam aliquem advocaret. is iussa exequitur. accedenti Persae "haec" inquit princeps "Sultano nuntiabis. haec tibi per me significat magnus imperator. ad ipsum usque Iconium venimus: regionem tuam percurrimus, summo ardore tua adversus maiestatem nostram peccata vindicaturi. tu vero profugorum more alias at-

δραπέτας, ἄλλην τε ἐξ ἄλλης ἀμείβων οὔπω μέχρι καὶ νῦν ἀντιμέτωπος στῆναι ἡμῖν ὑπέμεινας. ὅθεν ἡμεῖς μὲν ἄπιμεν ἐπὶ τὴν ἑαυτῶν, σὲ δὲ χρὴ παρεσκευάσθαι καλῶς εἰδότα ὡς ἅμα ἦρι φανέντι σὺν μείζονι αὖθις ἐπί σε ἥξομεν τῇ παρασκευῇ." ταῦτα τῷ Πέρσῃ ἐπισκήψας ἐπιθωρακίῳ τε τῶν ἐπὶ δόξης τινὸς δωρησάμενος, ὡς ἔκδηλος εἴη πρὸς βασιλέως πεμφθείς, ἀπεπέμψατο. ὁ δὲ σουλτὰν ἐπειδὴ ταῦτα ἤκουσε, πρέσβεις ὀλίγῳ ὕστερον περὶ εἰρήνης B ἐπερωτήσοντας ἔπεμψεν. ἀλλ' ἦν ὁ βασιλεὺς μεγάλων τινῶν καὶ οὐκ εὐπαρορἀτων τὸ πρᾶγμα σταθμώμενος· ἀμέλει καὶ ἐπὶ σκήψεις τε ἄλλοτε ἄλλας ἀνεχώρει, καὶ ἀεὶ ἐς τὴν ἐπιοῦσαν τὸ τῆς πρεσβείας ἀπετίθετο τέλος, ἕως οἶμαι σαφές τι περὶ τῶν ἐξ ἑσπέρας, καθάπερ εἴρηται, προσδοκωμένων μαθεῖν αὐτῷ γένοιτο.

9. Ἐπεὶ δὲ περί τινα χῶρον ἐγένετο οὗ δὴ Μαίανδρος τὴν ἐκβολὴν ποιεῖται, ἔξω τῶν πολεμίων ἤδη γεγενῆσθαι νομίσας εὔυδρόν τε ἄλλως τὸν χῶρον ἰδὼν καὶ πολὺ τὸ χαρίεν ἀνθρώπων ὄψεσι παρεχόμενον, κυνηγεσίων ἀνέσει πόνους τοὺς ἐκ τῆς μάχης παραμυθεῖσθαι ἤθελε. κινήσεως οὖν τινος ἀμφὶ τῇ λόχμῃ αἰσθόμενος C πόρρωθεν, ἐπειδὴ μὴ εἶχε διὰ τὴν λίαν ἀπόστασιν ξυνεῖναι τοῦ φαινομένου, τῶν περὶ αὐτόν τινας ἐπὶ κατασκοπήσει στείλας σκηνὰς μὲν ἐνταῦθα ἠθροῖσθαι πολλὰς ἤκουσε, τὰ δ' ἐπὶ τοῦ ἄλσους ταράσσοντα ἵππους εἶναι τῶν ἐν ταῖς σκηναῖς ἀνέτῳ στόματι τῇ πόᾳ ἐγχάσκοντας. τούς τε οὖν Πέρσας οἵτινες εἶεν αὐτίκα συνεῖδεν ἐκ τῆς σφετέρας αὐτοὺς ὀνομάσας φυλῆς, Ῥαμάν τινα γεν-

9. ἐπὶ σκήψεις] Cod. ἐπισκήψεις.

que alias in terras demigras semper, nec nostrum expectare conspectum audes. quandoquidem igitur in proprias sedes abscedimus, praeparari te ad bellum quam optime convenit, scireque cum primum ver advenerit nos rursum maiore apparatu venturos." his dictis, praeceptisque, sago militari cuiusdam e magnatibus donatum, quo missus ab imperatore dignosceretur, remisit. quibus intellectis, Sultanus non multo post legatos mittit ad imperatorem, qui eum de pace rogarent. at princeps rem utpote maioris momenti et minime aspernandam expendens, cum varia praetexeret, de die in diem legatis responsa facere differebat: donec, opinor, quid certi super iis quae ex Occidente, ut supra dictum est, afferebantur in dies, inaudivisset.

9. Postquam ad eam regionem venit, ubi Maeander oritur, iam sese ab hostibus tutum ratus, conspicatusque locum aquis irriguum, qui amoenitate sua hominum oblectabat animos, pristinos ex ante actis bellis labores venationum exercitiis demulcere constituit. cum vero circa silvam e longinquo moveri nescio quid advertisset, nequiretque accuratius rem, quod inde abesset longius, discernere: missis aliquot ex suis qui specularentur, rescivit tandem conferta ibi esse tabernacula, et motum qui conspiceretur in silva, ab equis eorum, qui in tabernaculis erant, avido ore herbas depascentibus. mox Persas esse qui adessent agnovit, nominataque illorum tribu

νεάρχην αὐτοῖς καταλέγων εἶναι, καὶ ὡς κατ' ἔθος τὸ αὐτῶν τοὺς
ἐκ γειτόνων Ῥωμαίων ἤδη καὶ νῦν λῃστεύσαντες λαφύρων πλησά-
μενοι ἥκουσι. καὶ δὴ τῶν περὶ αὐτὸν συχνοὺς ἀπολεξάμενος στρα-
D τιωτῶν σπουδῇ διαφῆκεν ἐπὶ τὴν δίωξιν. ὁ δὲ εἴς ἄποπτόν τι χω-
ρίον ἀναδραμὼν ἐνταῦθα σὺν ὀλίγοις ἀποσκοπῶν ἵστατο. ἐν τού-
τοις δὲ οἱ Πέρσαι συσκευασάμενοι ἐκεῖθεν ἀπήλαυνον. ὡς δὲ τά-
χιστα πρὸς τῶν Ῥωμαίων καταλαμβάνεσθαι ἤρξαντο, σποράδην
αὐτοὺς φερομένους ἰδόντες, ἀντιστραφέντες ἀντιμέτωποι ἵσταντο.
ἀλλὰ Ῥωμαίων ἐπικαταλαμβανόντων νῶτα καὶ πάλιν ἐδίδουν·
τοῦτό τε πολλάκις γεγονὸς πολλοὺς Ῥωμαίων ἀπαυδῆσαι ἐποίησεν·
ὅθεν καὶ τοῦ διώκειν ἀφέμενοι παλινοδίας ἐμέμνηντο. ὅπερ ὁ βα-
σιλεὺς κατανοήσας (ἑστήκει γὰρ ἀνωτάτω που ὥσπερ ἔφην ἀπο-
P 34 σκοπῶν) αὐτίκα ὡς εἶχε τάχους ἀθωράκιστος ἐπ' ἐκείνους ἐχώρει.
V 27 Πέρσαι δὲ ἐπειδὴ πολλοὺς Ῥωμαίων τῇ διώξει ὥσπερ ἔφην ἤδη ἐκ-
κακήσαντας χωρὶς ἀπ' ἀλλήλων γεγονότας εἶδον, κομιδῇ ὀλίγους
τοὺς ἄλλους κατανοήσαντες ἀμφιβόλους τε ἤδη ἐποιήσαντο καὶ ἐγ-
γὺς ἦλθον τοῦ μέγα τι καὶ ἀνήκεστον δρᾶσαι, εἰ μὴ βασιλεὺς
ἀπροσδόκητος αὐτοῖς ἐκφανεὶς τοῦ κινδύνου διεσώσατο. φεύγουσι
τοίνυν ἀεὶ ἀμφεπόμενος Πέρσαις πολύν τινα κατέτριψε χρόνον.
ὅθεν καὶ ἐπειδὴ τοῦ ἵππου κεκμηκότος ἤδη ᾔσθετο, αὐτὸς μὲν
αὐτοῦ που ἔμεινε, τὸν ἐν τοῖς μάλιστα δρομικὸν ὄντα τῶν ἵππων
αὐτῷ κομισθῆναι καραδοκῶν, ὃν καὶ Ἀγρίμην τὸ τάχος αἰνιττό-
μενοι ἐκάλουν. Ῥωμαίων καὶ τοῖς ὅσοι κατόπιν αὐτοῦ καθ' ἕνα
B καὶ σποράδην ἰόντες ἀεὶ ἐπικατελάμβανον, ἐκέλευε διώκειν ἔτι μᾶλ-

23. καὶ τοῖς] Malim δὲ τοῖς.

Raman quemdam ipsis praeesse, adeoque secundum morem finitimos Romanos depopulatum venisse. confestim itaque delectam bellatorum partem ad eos insectandos proficisci iubet: ipse vero cum paucis locum editiorem conscendit, quae agerentur exploraturus. contra Persae collectis sarcinis reditum parabant. sed ut se a Romanis iamiam comprehendi, illosque effusiore impetu conspexere in se ferri, obversa fronte restitere. at Romanis instantibus, pedem rursum referunt, quo saepius eiusmodi repetito dolo fatigati complures e Romanis despondere animum reditumque cogitarunt. quod ubi imperator animadvertit (ex alto enim, ut retuli, eventum rei speculabatur), citato quantum poterat cursu absque lorica ad illos contendit. sed ubi Persae plurimos Romanorum insecutione iam animo deficientes et a se invicem divisos conspexerunt, reliquos exiguo admodum numero rati, undique circumveniunt, iamque haud multum aberat quin eos delerent omnino, nisi inopinate superveniens periculo exemisset princeps. tum vero fugientium Persarum insecutione plurimum temporis absumpsit: unde cum iam equum deficere animadvertit, substitit paululum donec alius e velocioribus adduceretur, quem celeritatem innuentes Agrimen vocabant. sequentibus autem pone singilatim et sparsim Romanis imperat ut instarent acrius, neque

ἰεν μηδ᾽ ἀνίεσθαι τῆς προθυμίας. ἄλλοι μὲν μετὰ πλείστην ὅσην τὴν δίωξιν ἐπειδὴ μηδὲν ἀνύτειν εἶχον τόν τε χῶρον ἔνθα ἐπιπλεῖστον ἐκπεπτωκότες ἦλθον ἔρημόν τε καὶ δεινῶς ἄβατον ἔγνων, ὀπίσω ἐχώρουν. ὁ δὲ τῷ ἐξαδέλφῳ περιτυχὼν Ἀνδρονίκῳ, οὗ πολὺν ἐν τοῖς ἔμπροσθεν ἐποιησάμεθα λόγον, τὴν ἐπὶ τοὺς πολεμίους ἰόντι καὶ αὐτῷ πολλὰ βιασάμενος τὸν ἵππον ἀφεῖται. ἐπιβὰς δὲ αὐτὸν μὲν αὐτοῦ μένειν εἴασεν ἐπισκήψας ὃν εἴρηται Ἀγρίμην ὅσον οὐκ ἤδη κομισθησόμενον λαβεῖν οὕτω τε σὺν αὐτῷ ἐπὶ τὴν μάχην ἐλθεῖν, ὁ δὲ τὴν ἐπὶ τοὺς πολεμίους ἐφέρετο. Πέρσαις δὲ δίχα διῄρηται τὸ στράτευμα. καὶ τὸ μὲν πρόσθεν τὴν ἵππον ἐπαγόμενον πᾶσαν ἐχώρει, ὅση ἄνευ ἐπιστρωμάτων ἀγελαία τούτοις εἵπετο· τὸ λοιπὸν δὲ κατόπιν ἐπορεύετο Ῥωμαίους ἐπιόντας ὑποδεξόμενον. C ὡς δὲ οὐδεὶς οὐδαμῶς Ῥωμαίων ὑπεφαίνετο, θαρσήσαντες τοῦ λοιποῦ συνῄεσάν τε ἀλλήλοις καὶ τὴν ἵππον ἄνετον ἥπερ εἴρηται φερομένην ἐφ᾽ ἕνα χῶρον ξυνάγειν διενοοῦντο. ἐπειδή τε βασιλέα μόνον ἐκ πάντων Ῥωμαίων ἀθωράκιστον ἐπ᾽ αὐτοὺς ἰόντα κατενόησαν, ἀθρόοι λοιπὸν ἐπ᾽ αὐτὸν ἐξεχέοντο ἐντείνοντές τε τὰ τόξα καὶ ἀλλήλοις ἐγκελευόμενοι. ὁ δὲ ἡρωικόν τινα καὶ ἀνδρείας πρόσω τρόπον ἀναλαβών, ἐπειδὴ κύκλωσίν τινα αὐτοῦ πρὸς τῶν πολεμίων γεγονέναι ἀδύνατα εἶναι κατενόει (χῶρος γάρ τις ἀμφιλαφὴς ἐκ θατέρου παρακείμενος μέρους ἐκ ποδῶν εἰς τοῦτο αὐτοῖς καθειστήκει), τὴν συμπλοκὴν ἀναδέχεται, πλείστους τε αὐτῶν ἐπὶ στόμα D κατενεγκὼν τοὺς λοιποὺς εἰς φυγὴν βλέψαι ἠνάγκασεν. ὅτε καὶ

2. ἀνύτειν] Cod. ἀνύττειν. 3. ἔγνων] Immo ἔγνωσαν. 5. ἐποιησάμεθα] Ita Duc. Cod. ποιησόμεθα. 6. ἀφεῖται] Nonne ἀφαιρεῖται? 21. ἐκ ποδῶν] Expectabam ἐμποδών.

ab ardore remitterent. alii quidem cum post plurimam insecutionem nihil demum peragerent, et regionem, in quam pervenerant, desertam nec facile perviam esse viderent, retro cessere: princeps autem Andronico patrueli, de quo multa a nobis in superioribus dicta sunt, in hostem contendenti obviam factus equum invito extorquet, quem ille insilit, et eum expectare ibi tantisper iubet, dum Agrimen illum iamiam adducendum nactus secum una contenderet in praelium. interim in hostem proficiscitur. copias Persae bifariam diviserant. prior pars constabat eo equitatu, qui liberius absque stramentis gregatim subsequi solet. reliquus exercitus a tergo incedebat, subeuntes Romanos excepturus. ubi vero nemo Romanorum conspicitur audaciores effecti, coëunt in unum omnes, equitatumque, qui liberius ut dixi, excurrit, in locum unum statuunt. simul ac autem imperatorem solum, nec lorica indutum, contra se adventare cernunt, irruunt in ipsum universi, sagittisque impetunt, sese invicem subinde ad virtutem hortati. sed ille heroico generosoque plusquam resumpto animo, postquam aegre circumveniri se posse ab hostibus agnovit, (locus quippe densis virgultis obsitus ab altero latere iis obversabatur) praelium aggreditur, multisque obtruncatis, ce-

τῶν τις βαρβάρων ἐκείνων τὴν βασιλέως οὐχ ὑπομείνας ἀκμὴν
ὕπτιός τε διὰ τοῦτο τῷ ἐδάφει προσερεισθείς, ἐπειδὴ προσωτέρω
ἱππαζόμενον αὐτὸν κατενόει, βέλος ἀφεὶς ἄκρου τυγχάνει τοῦ πο-
δὸς ὄπισθεν, ἔνθα μετὰ τὰ σφυρὰ ἐπὶ πτέρναν ἡ φύσις ἀναχω-
ροῦσα τὴν ἐξοχὴν ποιεῖται. καὶ ὁ μὲν καὶ δευτέραν πέμψειν ἠπεί-
γετο, βασιλεὺς δὲ προτερήσας τὴν ὁρμὴν τῶν τριχῶν εἷλκε ζω-
γρείαν, σὺν αὐτῷ δὲ τὴν ἐπὶ τὸ στρατόπεδον ἰὼν Ἀνδρονίκῳ συν-
αντᾷ. ἤδη γὰρ τοῦ βασιλείου ἐνεχθέντος αὐτῷ ἵππου ὀχησάμενος
P 35 κατὰ Περσῶν καὶ αὐτὸς ἤλαυνε, πολλά τε τῆς ἐπὶ τὰ πρόσω πο-
ρείας εἴργων, ἅτε παντάπασιν ἄνοπλον ὄντα καὶ αὐτόν, ἐπειδὴ μὴ
πείθειν εἶχε (θάρσει γὰρ καὶ οὗτος ἀπείρῳ διῳκεῖτο καὶ ἔπνει τὰς
μάχας, ἐπιεικῶς τὸ δόρυ χειρίσας καὶ τὴν ἀσπίδα, οἷς καὶ αὐτοῖς
οὐχ ὡς ἰδίοις ἐχρῆτο ἀλλά τινος τῶν ἀπὸ δόξης ἀφελόμενος ἔτυ-
χεν), αὐτὸν μὲν ἀφῆκε πορεύεσθαι· ὁ δὲ ὁδῷ προϊὼν καὶ τοῖς
λοιποῖς ξυνέμιξε τοῦ Ῥωμαίων στρατοῦ. πυθομένοις τε ὅπως αὐτῷ
τὰ κατὰ τὸν πόλεμον ἀπαντήσειε μόνῳ τῶν ἁπάντων ἐπὶ τοὺς βαρ-
βάρους ἰόντι, περὶ μὲν τοῦ τῶν πολεμίων φόνου, οὓς καθάπερ
B εἴρηται ἀπεκτονὼς ἔτυχεν, ἀπήγγελλεν οὐδέν, καυχήσεως ἀγεννοῦς
ὑποψίαν παραιτούμενος. ἔργον γὰρ οὐχ ὑπ' ὄψιν ἐλθὸν τοῖς μὴ
V 28 εὐμενῶς ἀκούειν ἐθέλουσιν ῥᾴδιον εἰς ἀνατροπὴν γίνεται. τοῦ γε
μὴν τραύματος ἐπιμελεῖσθαι αὐτίκα ἐκέλευεν, ὡς μὴ φλεγμήναν-
τος ἀνήκεστόν τι καὶ ἐπισυμβῇ· ὅτε δὴ γέγονέ τι καὶ λόγου ἄξιον.
ἐπειδὴ γὰρ μὴ εἶχον ὅπως αὐτῷ χρήσηται, τῶν στρατιωτῶν τις

23. χρήσηται] Duc. χρήσεσθαι.

teros ad fugam compellit. tum barbarus quidam, non ausus imperatoris impetum experiri, supinus solo recumbens, ubi praetervectum videt longius, telo emisso extremam pedis partem a tergo attigit, ubi circa claviculos, versus calcem, quidpiam natura extans reliquit: cumque ille ad ictum repetendum se accingeret, praeveniens imperator, comprehensum crinibus hominem vivum cepit. inde ad castra cum illo revertens, obvius fit Andronico, qui iam adductum equum nactus, contra Persas perinde equitabat. multis autem verbis frustra dehortatus ne ulterius inermis et ipse contenderet, (incredibili enim praeditus audacia totum spirabat Martem, hastam tractare parmamque gestare promptissimus, quibus tunc non propriis, sed acceptis ab aliquo e magnatibus utebatur), proficiscentem quidem in praelium dimisit, ipse vero continuato quod instituerat itinere, ad suos tandem rediit. sciscitantibus vero quid sibi accidisset in ea quam omnium solus in barbaros susceperat expeditione, quaeque fuisset clades hostium, quos, ut memoravi, occiderat, vanae gloriae suspicionem declinans, nihil quidem respondit. saepe enim contingit, ut quodvis egregium facinus, quod non sub oculos cadit, ab iis qui malevolo animo audiunt, in contrarium facile deflectatur. curandum autem confestim vulnus statuit, ne si succederet inflammatio, quidpiam periculosius accideret: quo tum tempore res digna accidit

ἐγχειρίδιον ἑλκύσας μέρος τῆς αὐτὸς αὐτοῦ σαρκὸς ἀφελέσθαι διενοήθη, ὡς ἂν ἔτι διάθερμον τῷ τραύματι περιθεὶς οὕτω τὴν φλεγμονὴν ἀποκρούσαιτο. ἀλλὰ βασιλεὺς τῆς εὐνοίας τὸν ἄνδρα ἀποδεξάμενος τοῦτο μὲν διεκώλυσε, τῶν δὲ τῇ ὁδοιπορίᾳ κεκμηκότων ἵππων τινὸς τεμάχιον τῆς σαρκὸς ἀφῃρῆσθαι κελεύσας εὐθύωρον C προσῆγε τῷ τραύματι. ἐκεῖθέν τε μακρὸν κατατείνας δρόμον παρὰ μέσας που τὰς νύκτας ἐπὶ τὸ στρατόπεδον ἀφικνεῖται πρὸς ταῖς Μαιάνδρου ἐκβολαῖς ἱδρυμένον, ἔνθα πολύ τε καὶ ἄμετρον ὕδωρ ῥεῖ μὲν ἐκ τῶν κατὰ τὴν ὑπωρείαν πετρῶν ὡς ἐκ μυρίων ἀναδιδόμενον στομάτων, τὸν δὲ παρακείμενον ἐκπελαγοῦν χῶρον ἐς λίμνην μὲν τὸ πρῶτον ξυνίσταται, ἑξῆς δὲ προϊὸν διώρυχά τε βαθεῖαν τέμνει καὶ ποταμὸν ἐντεῦθεν ποιεῖ. Ἀνδρόνικος δὲ καθάπερ εἴρηται ἐπίπροσθεν ἰὼν ἄλλο μὲν ἔδρασεν οὐδέν, ἵππους δὲ συχνοὺς ὧν ἐπιβαίνοντες ἦσαν οἱ πρὸς βασιλέως ἀνῄρηνται τῶν πολεμίων, ἐπὶ τὸ στρατόπεδον ἤλασε. ταῦτα μὲν οὖν οὕτως ἐγένετο. ὁ δὲ βασιλεὺς τὴν ἐπὶ τὸ Βυζάντιον ἵετο, ἐν Βιθυνίᾳ τε γεγονὼς ἐνταῦ- D θά που τοὺς ἐκ Φιλομιλίου, καθάπερ εἴρηται πρότερον, ἀναρρυσθέντας ᾠκίσατο Ῥωμαίους, κτησείδιον αὐτοῖς τῶν ἱερῶν τινος ἀλλαξάμενος σεμνείων· ἔνθα φρούριόν τε ἀνῳκοδόμησε καὶ Πύλας αὐτὸ κατωνόμακεν.

10. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον Κοσμᾶς ὁ τοῖς ἐκκλησιαστικοῖς τὸ τηνικάδε ἐφεστὼς πραγμάτων, ἀνὴρ βίῳ καὶ λόγῳ κόσμιος,

5. τεμάχιον] Cod. τεμμάχιον. 18. Ῥωμαίους] Cod. Ῥωμαίων. 21. τοῖς ἐκκλησιαστικοῖς] τῶν ἐκκλησιαστικῶν? nisi forte πράγμασιν legendum pro πραγμάτων.

quae memoretur. cum nihil ad manum esset, quidam miles, accepta sica, suae carnis partem aliquam praesecare parat, ut ea calens adhuc applicata vulneri tumorem inhiberet: sed imperator laudata viri benevolentia, id abnuit quidem, iussit vero ut ab uno ex iis equis, qui nimio cursu fatigati erant, abscissum carnis frustulum vulneri continuo apponeretur. productis inde ad medias fere noctes itineribus, exercitum repetit, qui ad Maeandri fontes considebat, ubi magna et immensa vis aquarum ex petris, radicibus montium adiacentibus, velut ex infinitis fontibus effusa, marisque instar circumiacentem hic inundans agrum, in lacus speciem primo quidem contrahitur, deinceps vero paulatim diffluens, profundam fossam diffindit, indeque in fluvium efformatur. ab Andronico interea, qui in hostem, ut diximus, processerat, nihil factum quidem aliud, nisi quod equos complures eorum, quos ceciderat imperator, in castra egit. sic sese res habuere. versus Byzantium reditu instituto imperator, cum in Bithyniam pervenisset, liberatis ex Philomelio, quemadmodum supra retuli, Romanis sedes ibi assignavit, possessiuncula a sacro quodam monasterio per commutationem comparata, ubi et arcem castrumque exstruxit, cui nomen indidit Portarum.

10. Sub idem tempus Cosmas, qui ea tempestate res ecclesiasticas moderabatur, vir vitae integritate et gravitate sermonis illustris, a sede

τοῦ θρόνου κατεσπάσθη ἐπ' αἰτίᾳ τοιᾷδε. ἦν τις ἀνὴρ μοναχικὴν
P 36 ἐπανελόμενος πολιτείαν, ὄνομα Νήφων, παιδείας μὲν τῆς ἐγκυκλίου καὶ μαθημάτων τῶν ἐκτὸς οὐδὲ μέχρι πείρας ἐλθών, τοῖς ἱεροῖς δὲ λογίοις ἐκ παίδων ἑαυτὸν ἐπιδούς. οὗτος ὁ Νήφων Μιχαὴλ ἔτι ἀνδρὸς ἱεροῦ καὶ πολλοῦ τὴν ἀρετὴν τὸν ἐκκλησιαστικὸν διέποντος θρόνον δόξαν οὐχ ὑγιᾶ τὰ ἐς τὸ Χριστιανῶν δόγμα πολλοῖς περὶ ἑαυτοῦ δεδωκὼς κρίσει τε συνοδικῇ διὰ τοῦτο ἀποψηφισθεὶς τόν τε πώγωνα ἐκάρη ἄχρι καὶ ἐπὶ σφυρὰ κατατείνοντα καὶ εἱρκτῇ παρεδόθη. ἐπεὶ δὲ Μιχαὴλ μὲν ἐκεῖνος ἐξ ἀνθρώπων ἤδη ἦν, Κοσμᾶς δὲ ἀντ' αὐτοῦ τὸν θρόνον ἐκόσμει, αὐτίκα παρρησίαν αὖθις ὁ Νήφων ἀνελάμβανε μείζω καὶ πολὺς ἐν συλλόγοις καὶ ἐν ἀγοραῖς ἦν, ἄλλο τε οὐδὲν ἔπραττεν ὅτι μὴ δόγμα ἑκάστοτε
B ἀνεκύκλει τόν τε Ἑβραίων ἀποπροσεποιεῖτο θεόν. καὶ τά γε τοιαῦτα ἐνεργολαβεῖν ἤθελεν· ἐφίλει τε αὐτὸν ὑπερφυῶς ὁ Κοσμᾶς, καὶ ὁμιλητὴν ἐποίει τὸν ἄνθρωπον, τοῖς τε κατ' αὐτοῦ τὸ πρότερον ἐπεψηφισμένοις ἀδικίαν ἐπεκάλει, καίτοι καὶ τότε τὰ ὑπὲρ τοῦ ἀνθρώπου προπετευσάμενος μὲν πικρότατα δ' ὅμως ἀποκρουσθείς, καὶ τῆς τε ἀρετῆς αὐτὸν ἐπεθείαζε, κἀκεῖνο τοῖς λόγοις προσετίθει, ὅτι δὴ ἐτύγχανε πολλῷ πρότερον τὴν ἐς τὸν ἀρχιερατικὸν θρόνον ἀνάβασιν ἤδη προαγγείλας αὐτῷ. οὐκ ἤρεσκε ταῦτα τοῖς πολλοῖς· ὅθεν καὶ οἱ μὲν αὐτῶν, ὅσοι δηλονότι ἐκήδοντο τοῦ Κοσμᾶ, προσιόντες ἐπὶ σχολῆς "τί δήποτε" ἔφασκον "ὦ θεῖε ποιμήν,
C λύκῳ πιστεύεις ἑαυτόν; ἢ οὐκ οἶδας ὡς ὑποβλέπεταί σε διὰ τοῦτο τὸ ποίμνιον; ἀπορράγηθι τῆς τοῦ λυμεῶνος ξυναυλίας. ἀνδρὶ

22. ἐπὶ σχολῆς] Duc. ἐπὶ χολῆς vertens: *non sine indignatione.*

hanc ob causam depulsus est. monachus quidam Niphon nomine, qui liberales disciplinas humanasque scientias ne summis quidem labris degustaverat, etsi sacris a pueritia literis imbutus, cum Michaële viro pio virtuteque insigni ecclesiasticam dignitatem regente, haud sana circa Christianam religionem sentire visus esset, ideoque iudicio synodali fuisset condemnatus, barba ad talos usque protensa, derasa, carceri mancipatur. ut vero vita functo Michaële, sedem excepit Cosmas, Niphon liberiori statim usus licentia, publicos congressus egit in compitis, pravasque suas opiniones ubique diffudit, Hebraeorum deum palam repudians. amabat hominem supra modum Cosmas, admittebatque in sui consortium, et superiora in eum decreta iniustitiae arguebat, quamquam tunc etiam immodice in illum et ad petulantiam usque propensus atrocissime repulsus fuerat, et propter virtutem divinis propemodum laudibus eum efferebat, addebatque iam olim illi praedictum ab eo, fore ut patriarchalem thronum conscenderet. haec multis non placuerunt: unde ex iis nonnulli, quibus potissimum Cosmae salus curae erat, tacite accedentes "quid" aiebant "o divine pastor, temet ipsum lupo concredis? an non vides propterea te a grege despici? recede ab exitiosa socie-

γὰρ ἀποβλήτῳ ξυνοικίζεσθαι αὐτάρκης κατηγορία." οἱ μὲν ταῦτα
καὶ τοιαῦτα ἔλεγον· ὅσοις δὲ δι' ἀπεχθείας ὁ ἀρχιερεὺς ἦν, ἀπε- V 29
βοῶντο διαρρήδην ἐπεκαλοῦντό τε τοὺς θεοῦ καὶ βασιλέως ὀφθαλ-
μούς. ὁ δὲ ἀλλὰ τῶν μὲν ὀλιγώρως εἶχε παντάπασι, τοῦ δὲ Νή-
φωνος ἀπρὶξ εἴχετο, οὐδ' ἂν εἴ τι καὶ γένοιτο ἀποκλᾶσθαι ἤθελεν
αὐτοῦ· ἀμέλει καὶ ἔλαθεν ἑαυτὸν τῇ λίαν ἁπλότητι ἐν οὐ μετρίοις
ζημιωθείς. ἐπεὶ γοῦν ποτε, βασιλέως κελεύσαντος εἱρκτῇ καὶ αὖ-
θις δοθῆναι τὸν ἄνθρωπον, παρῆσαν οἱ τοῦτον ἀπάξοντες, τὸ
μὲν πρῶτον μικροῦ καὶ εἰς ἀφασίαν ἐξεπεπτώκει, ἀναλεξάμενος δὲ D
ἑαυτὸν πεζῇ τε μέχρι καὶ ἐπὶ τὴν αὔλιον τοῦ νεῴ παρελθὼν ἀπο-
σπᾶν ἐπεχείρει τῶν ἀπαγόντων τὸν ἄνθρωπον. τῶν δὲ οὐκ ἐνδι-
δόντων ξυναπάγεσθαι τούτῳ τὴν ἐπὶ τὴν εἱρκτὴν ἤθελε. στάσις
ἐντεῦθεν εἶχε τὴν ἐκκλησίαν, καὶ ὁ Κοσμᾶς ἐν αἰτίαις ἦν. οὐ
πρότερόν τε τῶν ταράχων τούτων ἐλύετο, πρὶν ἂν βασιλέως ἐν
Βυζαντίῳ γεγονότος (ἐτύγχανε γὰρ τοῖς πολεμίοις ἔτι πονούμενος
ἔργοις) ἔκπτωτος ἐγεγόνει τοῦ θρόνου τρόπῳ ᾧπερ αὐτὸς ἐρῶν
ἔρχομαι. τῶν γὰρ ἀρχιερέων ἰδίᾳ παραλαβὼν ἕκαστον ἐπυνθά-
νετο ὅπως αὐτῷ ἐς εὐσέβειαν ὁ Νήφων ἔχειν δοκεῖ. τῶν δὲ ἑκά-
στου τὸ αὐτῷ παριστάμενον σὺν ἀληθείᾳ διαγορεύοντος, τέλος καὶ P 37
ἐπὶ Κοσμᾶν τὴν πεῦσιν μετῆγε. καὶ ὃς αὐτίκα πολὺν τοῦ Νήφω-
νος κατὰ τὸ εἰωθὸς ἐσχεδίαζε τὸν αἰνετήριον, εὐσεβῆ τε ἀπαρα-
καλύπτως αὐτὸν ἀποκαλῶν καὶ ἐς ἀρετὴν ἀπαράμιλλον. τέθειται
δὲ ταῦτα ἐπὶ βήματος, καὶ ὁ βασιλεὺς αὖθις οὐκ ἔτι καθ' ἕνα τοὺς

2. ἀπεβοῶντο] κατεβοῶντο? 6. τῇ λίαν] Cod. τὸ λίαν. correxit Tollius.

tate. cum homine enim sacris interdicto cohabitare, per se idonea satis est accusatio." haec et similia illi ingerebant. qui vero patriarcham oderant, obtestabantur [illegible]m, appellabantque dei et imperatoris oculos. at ille neglectis iis mor[illegible]adhaerebat Niphoni; neque etiam si quid immineret damni, ab eo se [illegible]lli patiebatur: unde ex nimia simplicitate, suimet oblitus, magnas incurrit calamitates. quippe cum hominem rursum carceri mancipari praecepisset princeps, adessentque ducturi, primo quidem haud multum abfuit quin patriarcham vox deficeret. collecto demum spiritu, ad templi usque fores progressus, a satellitum manibus conatus est avellere; cumque reluctarent ii, una cum illo agi in carcerem volebat. inde enatae in ecclesia contentiones, ipso Cosma in iudicium vocato, nec ante ab eiuscemodi tumultibus liberata est, quam se Byzantium imperator recepit, quem ad hanc usque diem res bellicae detinuerant. tum enim ille throno excidit, eo quem mox dicturus sum modo. at primum quidem separatim praesules allocutus, interrogansque de fide et pietate Niphonis, singulis id quod erat vere enuntiantibus, tandem et ipse super eo rogatus est Cosmas; qui in Niphonis laudes immensas, prout consueverat, ex tempore conversus, pium illum propalam profitetur, virtuteque nemini conferendum. res tandem ad tribunal

ἀρχιερέας ἐπηρώτα, ἀλλὰ κοινῇ πάντων ἀνεπυνθάνετο ὅπως ποτὲ περὶ Νήφωνος φρονοῦντες εἶεν· οἱ δὲ διαρρήδην ἀσεβῆ τὸν ἄνθρωπον ἀπεκάλουν. οἱ μὲν οὖν οὕτω γνώμης εἶχον· βασιλεὺς δὲ
B τὸν λόγον ἐπὶ Κοσμᾶν ἤδη μεταγαγὼν "σὺ δὲ ἀλλὰ τί ποτε ὦ δέσποτα περὶ τοῦ ἀνθρώπου φρονῶν εἴης;" τοῦ δὲ σὺν ἁπλότητι ταὐτὰ καὶ πάλιν παρρησίᾳ διενισταμένου, ἐπεβοᾶτο τὸ πλῆθος καὶ μένειν αὐτὸν ἐπὶ τοῦ θρόνου ἥκιστα ἠξίου. ὁ μὲν οὖν διὰ ταῦτα ἐκ τοῦ μέσου λοιπὸν ἦν, ἄνθρωπος πλὴν τοῦ ἀφελοῦς, ὡς οἶμαι, τἆλλα πάντα πεπλουτηκὼς ἀγαθά.

11. Βασιλεὺς δὲ ὀλίγῳ ὕστερον ἐπὶ Πέρσας καὶ πάλιν ἐχώρει. Ῥύνδακον δὲ καταλαβὼν ποταμὸν ἐν παρασκευῇ ἐποιεῖτο ὅπως
C Ἰκόνιόν τε ἐκπολιορκήσῃ καὶ τὰ πέριξ καταδραμεῖται πάντα. ἀλλ' οὔπω ἐντεῦθεν ἐκίνει τὸ στράτευμα, καὶ πρέσβεις ἀφίκοντο πρὸς τοῦ σουλτὰν περὶ εἰρήνης ἐπερωτήσοντες. ἦρχε δὲ ταυτησὶ τῆς πρεσβείας ἀνὴρ μεγάλα παρὰ Πέρσαις δεδυνημένος ὄνομα Σολυμᾶς, πολλῶν ἐς ἄγαν πολέμων ἔμπειρος, ἐκ πολλοῦ τῆς βασιλέως χειρὸς πειραθείς, ἐξότου, καθάπερ μοι δεδιήγηται, περὶ τὸν οὕτως Καλογραίας λεγόμενον βουνὸν τῷ Ῥωμαίων συμμίξας στρατῷ κατὰ κράτος ἡττήθη· ἦν δὲ τῆς πρεσβείας ὁ νοῦς τοιοῦτος· Πρακανάν τε πόλιν ἀπεδίδοσαν βασιλεῖ καὶ ὅσα ἄλλα Ῥω-
D μαίους ἀφελόμενοι ἔφθασαν. οὕτω τε εἰρηναῖα τὸ λοιπὸν Πέρ-

4. σὺ δὲ ἀλλὰ τί ποτε] Excidit ἔφη sive post ἀλλὰ sive post ποτέ.
6. ἐπεβοᾶτο] Duc. ἐπεβόα τε.

deducta; iamque non singulos pontifices separatim, sed omnes simul princeps interrogat, quid de Niphone sentirent. palam illi impium hominem proclamant. atque eorum eiusmodi fuit sententia. conversus inde imperator ad Cosmam, "tu vero domine," inquit, "quid de homine sentis?" et Cosma eadem simpliciter liberiusque affirmante, conclamavit coetus universus, minime in throno perstare illum debere. eapropter de medio tollitur, vir, praeterquam nimia simplicitate, uti ego quidem existimo, reliquis omnibus bonis copiosissime instructus.

11. Non multo interiecto tempore rursum adversus Persas proficiscitur imperator, atque ad Rhyndacum amnem cum pervenisset, parat se ad expugnandum Iconium, et proxima quaeque incursionibus infestanda. necdum inde copias abduxerat, cum legati superveniunt ab Sultano, de pace acturi. praefuit huic legationi vir apud Persas potentissimus, nomine Soliman, multa rei militaris experientia conspicuus, quique pridem expertus fuerat imperatoris vires, ex quo, ut supra scripsimus, ad Calograeae collem cum Romano exercitu praelio decertans omnino deletus est. ea autem fuit legationis sententia: Pracanam civitatem ab iis restituendam, et quaecumque alia Romanis abstulerant: ita deinceps Romanos inter Persasque pacem

σαις τε καὶ Ῥωμαίοις ἔσεσθαι ὡμολόγουν. ἃ προσηκάμενος βα-
σιλεὺς τὸν πόλεμον λύσας ἐπὶ Βυζάντιον ἦλθεν.

12. Ἐντεῦθεν τὰ ἐξ ἑσπέρας ἀρχὴν ἔσχε. Κελτοὶ γὰρ καὶ
Γερμανοὶ καὶ τὸ Γαλατῶν ἔθνος καὶ ὅσα τὴν παλαιὰν ἀμφινέ-
μονται Ῥώμην, Βρίττιοί τε καὶ Βρετανοὶ καὶ ἅπαν ἁπλῶς τὸ
ἑσπέριον ἐκεκίνητο κράτος, λόγῳ μὲν τῷ προχείρῳ ὡς ἐξ Εὐρώπης
ἐπὶ τὴν Ἀσίαν διαβήσονται Πέρσαις τε μαχησόμενοι τοῖς παρὰ πό- V 80
δας καὶ τὸν ἐν Παλαιστίνῃ καταληψόμενοι νεὼν τόπους τε τοὺς
ἱεροὺς ἱστορήσοντες, τῇ γε μὴν ἀληθείᾳ ὡς τήν τε χώραν Ῥω-
μαίων ἐξ ἐφόδου καθέξοντες καὶ τὰ ἐν ποσὶ καταστρέψοντες. ἦν
δὲ αὐτοῖς ἡ στρατιὰ ἀριθμοῦ κρείσσων. βασιλεὺς δὲ ἐπειδὴ ἄγχι-
στα τῶν Οὐννικῶν ὁρίων γεγονέναι ἐπύθετο τούτους, πρέσβεις
ἔστελλε, Δημήτριόν τέ τινα Μακρεμβολίτην καὶ Ἀλέξανδρον ἄν- P 38
δρα Ἰταλὸν μὲν τὸ γένος Γραβίνης δὲ πόλεως Ἰταλικῆς κόμητα γε-
γονότα, πρός τε τοῦ Σικελίας τυράννου ἅμα πλείοσιν ἄλλοις τῆς
τε ἀρχῆς ἀποβιβασθέντα καὶ βασιλεῖ διὰ τοῦτο αὐτόμολον γεγο-
νότα. ἐκέλευε δὲ τῆς τε γνώμης ἀποπειράσασθαι σφῶν, καὶ εἴγε
μὴ ἐπὶ τῷ πονηρῷ Ῥωμαίων ἥκουσιν, ὅρκοις τὸ πρᾶγμα βεβαιοῦν.
οἳ καὶ ἐπειδὴ ἐπὶ τοὺς τῶν βαρβάρων τούτων ἡγεμόνας ἦλθον,
ἔλεξαν τάδε· “ἀκήρυκτον πόλεμον ἄγειν ἐπὶ τοὺς μηδὲν ἠδικηκό-
τας, οὔτε ὅσιον οὔτε ἄλλως εὐπρεπὲς ἀνθρώποις ἐστὶ γένους τε
περιφανείᾳ καὶ δυνάμεως περιουσίᾳ μάλιστα κεχρημένοις. νικῶν- B
τες γάρ, ἂν οὕτω τύχοι, οὐ σὺν ἀνδρείᾳ νικήσουσι, καὶ ἡσσώ-

fore. quibus acceptis conditionibus, solutoque bello, Byzantium princeps revertitur.

12. Tum res Occidentales initium novorum motuum fecere. Celtae enim Germanique et Galli, et qui veterem circumhabitant Romam, Brittiique et Britanni, atque adeo universae Occidentis vires moverunt. tantae expeditionis in speciem causa haec ferebatur, ut ex Europa in Asiam traiicerent, dimicaturosque cum obviis Persis, indeque in Palaestinam contenderent, templumque dominicum locaque sacrosancta lustraturi. ceterum vera huius profectionis causa fuit, ut in transitu Romanorum infestarent agros, et obvia quaeque everterent. innumerus autem illorum erat exercitus. at ubi iam proximos esse Hungarorum finibus rescivit princeps, Demetrium quendam Macrembolitem, et Alexandrum gente Italum, Gravinae civitatis Italicae olim comitem, quique a Siciliae tyranno cum compluribus aliis possessionibus suis exutus, ad imperatorem hac de causa transierat, legatos mittit: hoc dato in mandatis, ut eorum mentem diligentius explorarent; et si in Romanorum damnum dicerent non se advenisse, id sacramentis adfirmarent: legati igitur ad barbarorum duces perducti, in hunc modum verba fecerunt. “bellum non indictum inferre iis, qui nullam iniuriam fecerunt, nulli hominum aut sanctum unquam fuit, aut decorum: maxime quibus nobilitatis et potentiae abunde est. si enim vincere illos contingat, fortitudini non adscribetur victoria. contra, si victi fuerint, non pro virtute periculis

μενοι οὐχ ὑπὲρ ἀρετῆς κινδυνεύσουσιν. ἄμφω δὲ οὐκ ἐπαινετά. ὑμῖν δὲ οὐδὲ ἄλλως ἐξέσται γῆν τὴν Ῥωμαίων πατεῖν μὴ πρότερον πίστεις περὶ τοῦ μηδὲν ἀδικήσειν δεδωκότας βασιλεῖ. ὥστε εἰ μὴ ψευδορκεῖν μέλλοιτε, τί μὴ ἐν τῷ ἐμφανεῖ τὸν πόλεμον ἄγετε; Ῥωμαίοις γὰρ καὶ ἐκ τοῦ εὐθέως διαρρήχεσθαι, χαλεπὸν ὑμῖν ἔσται. εἰ δὲ καὶ σὺν ἐπιορκίᾳ τὸν κατ᾽ αὐτῶν διαφέρετε πόλεμον, πολλῷ δὴ χαλεπώτερον· θεῷ γὰρ καὶ τῇ Ῥωμαίων ἰσχύϊ πολεμεῖν λείπεται ὑμᾶς. εἰ δὲ καὶ ἀληθίζει τὸ φίλιον ἐν ὑμῖν, καὶ δόλος οὐδεὶς ὑποκάθηται, ὅρκοις τὸ πρᾶγμα βεβαιώσασιν ἐξέσται
C ὡς διὰ φιλίας τῆς βασιλέως μεγάλου ἰέναι γῆς, ὑποδοχῆς τε ἀπολαύοντας εἰς τὸ εἰκὸς καὶ φιλοφροσύνης τῆς ἄλλης." οἱ πρέσβεις μὲν τοσαῦτα εἶπον· οἱ δὲ συνήεσαν γὰρ ἐς ταὐτὸν παρὰ τὴν Κορράδου τοῦ Ἀλαμανῶν ῥηγὸς σκηνὴν ἅτε τὰ πρεσβεῖα τῶν ἀνὰ τὴν ἑσπερίαν λῆξιν λαχόντος ἐθνῶν, ἐπὶ κακῷ μὲν τῷ Ῥωμαίων ἥκειν οὐδαμῇ ἔφασκον, κἂν δεήσοι καὶ ὅρκοις τὸ πρᾶγμα πιστοῦσθαι, ἑτοιμότατα καὶ τοῦτο ποιήσειν διετείνοντο. ἐπὶ δὲ Παλαιστίνην αὐτοῖς ὁρᾶν τὴν ὁρμὴν καὶ τοὺς τὴν Ἀσίαν ληστεύοντας Πέρσας. δόξαν οὖν οὕτω Ῥωμαίοις καὶ εἰς ἔργον τοὺς λόγους ἐξῆγον ὅσοι τε
D ἐς τοὺς ῥῆγας καὶ ὅσοι ἄλλως ἐπίδοξοι τῶν ἐν αὐτοῖς ἦσαν δουκῶν φημι καὶ κομήτων. ἰδιάζουσαι δὲ ταῦτα ἀρχαὶ καὶ οἷόν τινες διαιρέσεις ἐκ τοῦ τῆς βασιλείας καθιέμεναι ὕψους, γενικωτάτου τινὸς καὶ ὑπερκειμένου τῶν ἄλλων πράγματος. κόμητα μὲν γὰρ δοὺξ

5. διαρρήχεσθαι] διαμάχεσθαι? 11. εἰς τὸ εἰκὸς] Malim ὡς τὸ εἰκός. 19. ἐς τοὺς ῥῆγας] Fort. addendum ἐτέλουν.

sese obiecisse iudicabuntur. res utraque infra laudem est. vobis autem non aliter licebit calcare Romanorum terras, quam fide primum interposita, nullam vos iniuriam imperatori illaturos. quodsi iureiurando stare decrevistis, cur non propalam bellum geritis? cum Romanis enim vel ex improviso depugnare periculosum est: sin illud etiam cum periurio illis infertis, multo certe gravius nefas erit; cuius deum et Romanorum arma, vindicta spectabit. at si vestra sincera est amicitia et nullo fucata dolo, sacramentis eam confirmantibus, vobis integrum erit ut amicis iter per ditiones facere magni imperatoris, hospitiisque ut par est, atque alia quavis benignitate frui." haec legati dixere. illi autem omnes, cum in tabernaculum Conradi Alemannorum regis convenissent, ut qui inter Occidentales nationes principem locum obtineret, neutiquam se advenisse dicebant, ut damna ulla inferrent Romanis: si necesse id foret, rem sacramentis sese firmaturos, idque se libenter facturos asserebant, cum Palaestinam et incursantes Asiam Persas spectaret ab ipsis suscepta expeditio. haec Romanis acceptantibus, confestim quae dederant verba, facto ipso confirmavere quotquot regia, aut alia quavis illustri dignitate praestabant, ducum dico et comitum. gaudent autem singulari sua praerogativa eiusmodi dignitates, ab imperatorio fastigio, quod ceteris praeeminet, et a quo profluunt, quodammodo secretae. comitem

ἰμπεραναβέβηκε, δοῦκα δὲ αὖ ῥήξ, καὶ ῥῆγα βασιλεύς. καὶ ὑπείκει τὸ καταδεέστερον ἀεὶ φύσει τῷ ἐπέκεινα, πόλεμόν τε συνδιαφέρει τούτῳ καὶ πείθεται τά γε τοιαῦτα. διὸ καὶ βασιλέα μὲν ἰμπεράτορα καλεῖν ἔθος Λατίνοις ἐστὶ τὸν ὑπὲρ ἐπέκεινα αἰνιττομένοις, ῥῆγας δὲ τοὺς ὅσοι δευτέρας εἰλήχασι τάξεως. ἀλλὰ ταῦτα μὲν οὕτω δῃρήσθω. τελεσθέντων δὲ τοῖς πρέσβεσιν ὧν ἕνεκα P 39 παρὰ τοὺς βαρβάρους ἦλθον, αὐτοὶ μὲν ἐς Βυζάντιον ἀπεκομίσθησαν, οἱ ῥῆγες δὲ ὁδοῦ τὸ λοιπὸν εἴχοντο. οὐ μέντοι ἀλλήλοις ἀνεμίγνυτο τὰ στρατεύματα, ἀλλ᾽ ὁ μὲν Ἀλαμανὸς πρότερος, πολλῷ δὲ κατόπιν ὁ Γερμανὸς ἐπορεύετο, οὐκ οἶδα ὅτου ἕνεκα τοῦτο ἐπιτηδεύοντες, εἴτε καὶ καθ᾽ ἑαυτὸν ἑκάτερος ἀξιόμαχος V 31 εἶναι φιλοτιμούμενος, εἴτε καὶ τὰ ἐπιτήδεια μὴ ἐπιλιπεῖν σφᾶς προνοούμενοι. ᾔεσαν δὲ ὅμως ἀνάριθμοι καὶ ὑπὲρ τὴν παρὰ θάλασσαν ψάμμον. οὐ τόσαις ὁ Ξέρξης ἐκαλλωπίσατο μυριάσιν, ὁπότε ναυσὶ τὸν Ἑλλήσποντον ἐζεύγνυ. ἐπειδὴ γὰρ πρὸς τῷ Ἴστρῳ γεγόνασιν, ἐνταῦθα εὐτρεπῆ τὰ πρὸς τὴν διάβασιν ὁ βασιλεὺς αὐτοῖς B καθιστὰς ἐκέλευε τῶν ὑπογραμματέων τοὺς πλείστους ἐπὶ θάτερα τοῦ ποταμοῦ ἑστηκότας τὸν ἑκάστης φόρτον ἀπογεγράφθαι νεώς. ἐς ἐννενήκοντα τοίνυν ἀριθμησάμενοι μυριάδας τὸ ἐντεῦθεν οὐχ οἷοί τε ἀριθμεῖν ἐγένοντο.

13. Τὸ μὲν δὴ πλῆθος τοσοῦτον αὐτοῖς ἦν. ἀγχοῦ δὲ πόλεως Ναϊσσοῦ γεγονόσιν, ἡ μητρόπολις τῶν κατὰ τὴν Δακικὴν

22. γεγονόσιν] Cod. γεγόνασιν.

enim dux praecellit, ducem vero rex, regem imperator: et cum illud quod minus est suapte natura potiori subiaceat, belli cum eo partitur onera, in eiusmodi rebus cetera subditus. quapropter quem Graeci βασιλέα vocant, Latini imperatorem appellare solent, supremam illius potestatem innuentes: reges autem, quotquot secundum sortiti sunt ordinem. haec apud illos habetur distinctio. rebus expeditis quarum causa ad barbaros venerant, legati Byzantium redeunt. reges vero institutum iter prosequuntur, non tamen coniunctis invicem exercitibus: prior enim incedebat Alemannus, a tergo longiore intervallo Germanus subsequebatur, quod cur ab iis factum sit, haud plane mihi compertum: nisi forte quod quisque iustas se copias ducere crederent, aut quod ita providissent, ne rerum necessariarum inopia premerentur. ibant multitudine innumera et arenam maris excedente, ita ut non tot millibus gloriatus fuerit olim Xerxes, cum Hellespontum navibus iungeret. ubi ad Istrum pervenerunt, suppeditatis quae ad transmittendas copias necessaria erant, delectis scribis dat in mandatis imperator, ut in adversa fluminis ripa stantes, annotarent cuiusque onus navigii. cumque ad nonaginta usque millia numerassent, ulterius deinde progredi computando non potuere.

13. Tanta erat illorum multitudo. cum ad Naisum, quae metropolis est urbium Dacicarum, accessissent, Michaël cognomento Branas, cui ab im-

τυγχάνει οὖσα, ἐνταῦθα ὁ τὴν τῆς χώρας πρὸς βασιλέως ἐμπεπιστευμένος ἀρχὴν Μιχαὴλ ἐπώνυμον Βρανᾶς προὐνοεῖτο ἤδη τῶν ἀναγκαίων αὐτοῖς, οὕτω προστεταγμένον αὐτῷ. μέχρι μὲν οὖν καὶ ἐπὶ Σαρδικῆς ἐν τούτοις ἦσαν, ἔνθα καὶ ἄνδρε δύο τῶν C ἐπὶ δόξης ἠλθέτην παρ' αὐτούς, δεξιωσομένω τε τὰ εἰκότα καὶ τὰ ἀναγκαῖα σφίσιν ἐμπορισομένω. ἦν μὲν ὁ αὐτῶν Μιχαὴλ σεβαστὸς ἐκ Παλαιολόγων, ἀνὴρ ἱκανῶς συνετὸς καὶ πραγμάτων πολλῶν ἔμπειρος, ὃς βασιλεῖ Ἰωάννῃ οὐκ οἶδ' ὅ τι προσκεκρουκὼς πρότερον ὑπερόριός τε διὰ τοῦτο γεγονὼς πρὸς βασιλέως ἀνεκαλεῖτο Μανουὴλ εὔνους τε αὐτῷ καὶ τοῖς Ῥωμαίων μάλιστα ἐγένετο πράγμασιν. ὁ μὲν δὴ τοιοῦτος ἦν. ἅτερος δὲ χαρτουλάριος μὲν ἀμφοτέροιν ἐχρημάτισε τοῖν βασιλέοιν. τοσούτῳ γε μὴν Ἰωάννῃ βασιλεῖ εὐνούστατος γέγονεν ὡς ὁπότε Ἀλεξίῳ τῷ πρεσβυτάτῳ τῶν υἱέων ἐξ ἀνθρώπων γεγενῆσθαι ξυνέβη, ἐνσκῆψαί οἱ τὸν βασιλέα μετὰ τελευτὴν τὴν αὐτοῦ τὸν Μανουὴλ ἐπὶ τὰ σκῆπτρα καλέσαι D καὶ τὴν βασιλείαν ἐγχειριεῖν. οἱ μὲν οὖν τούτων ἕνεκα ἐπὶ τὴν Σαρδικὴν ἦλθον. οἱ δὲ βάρβαροι μέχρι μὲν ἐν δυσχωρίαις ἦσαν (πολλὰ γὰρ ἐκ τοῦ ποταμοῦ Ἴστρου ἄχρι καὶ ἐπὶ Σαρδικὴν ὄρη ἀνέχει ὑψηλὰ καὶ δεινῶς ἄβατα), σιγῇ τε ἐπορεύοντο καὶ οὐδὲν ὅ τι Ῥωμαίοις οὐ κατὰ γνώμην ἐποίουν. ἐπεὶ δὲ ταῖς πεδιάσιν ἤδη ὡμίλουν, αἳ πολλὰ τὰ δυσπρόσοδα τῶν κατὰ τὴν Δακικὴν διαδέχονται χωρίων, παραφαίνειν λοιπὸν τὸ δυσμενὲς ἤρξαντο, τοῖς τε κατ' ἐμπορίαν τὰ ὤνια σφίσιν ἀποδιδοῦσι χεῖρα ἐπέβαλον

6. ἐμπορισομένω] ἐκπορισομένω? ibid. ἦν μὲν ὁ αὐτῶν] Fort. ἦν δὲ ὁ μὲν αὐτῶν. 16. ἐγχειριεῖν] Duc. ἐγχειρίζειν. 21. Δακικὴν] Cod. Δαδικήν.

peratore demandata erat provinciae praefectura, quemadmodum ei imperatum erat, necessaria omnia subministravit. postquam ad Sardicam ventum est, accessere duo ex illustrioribus viri, qui et eos humaniter, ut par erat, exciperent, et commeatum praeberi curarent. alter horum fuit Michaël sebastus, ex Palaeologorum gente, vir ingenio et multa rerum experientia praestans, qui nescio quod ob crimen ab imperatore Ioanne in exilium actus, a Manuële revocatus fuerat; huic deinceps, rebusque Romanis addictissimus. alter vero dignitate chartularius operam suam utrique impenderat imperatori; sed Ioannis praesertim adeo fuerat benevolentiam expertus, ut Alexio natu filiorum maiore rebus humanis exempto, mandaverit ei imperator, ut post excessum suum Manuëli ad sceptra vocato imperium resignaret. hunc illi in finem Sardicam pervenere. sed enim barbari, quamdiu fuere in locis difficilibus (multi enim ab Istro flumine ad Sardicam usque praerupti eminent, vixque non inaccessi montes) incedebant quietius, nihilque ab iis actum, quod Romanis displiceret. at postquam attigere loca plana, quae regionum circa Dacicam difficultates excipiunt, tum demum hostilem animum prodidere. res quippe venales exponentibus iniustas iniiciebant manus: et si quis ra-

ἴδιον· κἂν τις ἀπισχυρίσαιτο πρὸς τὴν ἁρπαγὴν, τοῦτον δὲ P 40
ῥομφαίας ἔργον ἐτίθεσαν. ὅ τε ῥὴξ Κορράδος ἀνεπιστρόφως
ταύτῃ τῶν γινομένων εἶχε καὶ τοῖς ἐπικαλοῦσιν ἢ οὐδὲ προσεῖχεν
ὅλως ἢ καὶ προσχὼν τῇ τοῦ πλήθους ἀλογιστίᾳ τὸ πᾶν ἀπεγράφετο. τούτων βασιλεὺς ἀκηκοὼς στράτευμα ᾗ τάχους εἶχεν ἅμα
Προσοὺχ ἀνδρὶ ἐμπειρομάχῳ κατ' αὐτῶν ἔπεμψεν. ὃς καὶ ἐπειδὴ περὶ πόλιν Ἀδριανοῦ τούτοις συνέμιξε, μέχρι μέν τινος ἀπὸ
διαστάσεως εἵπετο, τὰς ἀτάκτους τοῦ πλήθους ἀνασειράζων ὁρμάς. ὡς δὲ καὶ ἐπὶ μᾶλλον θρασυνομένους αὐτοὺς ἑώρα, καὶ
πολεμίας ἤδη ἐν τῷ ἐμφανεῖ συνέμιξε χεῖρας ἀπ' αἰτίας τοιᾶσδε.
τῶν τινα ἐπισημοτέρων Ἀλαμανῶν μαλακισθέντα τὸ σῶμα σεμνεῖόν τι εἶχε τῶν ἀνὰ τὴν πόλιν Ἀδριανοῦ σύν τε χρήμασι καὶ B
ἀποσκευῇ τῇ πάσῃ· ἃ φωράσαντές τινες Ῥωμαίων τῶν ἐκ πεζικῶν καταλόγων πῦρ τε τῇ καταγωγῇ ὑφῆψαν καὶ τὸν ἄνθρωπον
οὕτω προσαπολέσαντες τὰ χρήματα ἔσχον. ὡς οὖν εἰς ἀκοὰς
Φρεδερίκῳ τὸ γεγονὸς ἦλθε τῷ Κορράδου ἀδελφιδῷ, ἀνδρὶ ὑπ'
ἀσυμμέτρου αὐθαδείας τήν τε ὁρμὴν ἀκαθέκτῳ καὶ ἐπιεικῶς φρονηματίᾳ, V 32
σπουδῇ παλίνορσος ἐπὶ τὴν Ἀδριανοῦ ἦλθε καίτοι δυοῖν
ἡμέραιν ὁδὸν Κορράδου προαπιὼν, πυρί τε τὸ σεμνεῖον φλέξας
οὗ δὴ ὁ Ἀλαμανὸς κατέλυε πρότερον, ταύτην πολέμου πρόφασιν Ῥωμαίοις τε καὶ αὐτοῖς ἐντεῦθεν ξυνεπορίσατο. ὁ γάρ τοι
Προσοὺχ εἰς χεῖρας διὰ τοῦτο Φρεδερίκῳ ἐλθὼν ἐτρέψατο αὐτὸν

1. τοῦτον δὲ] Malim τοῦτον δή. 4. ἀπεγράφετο] Malim ἐπεγράφετο. 7. ἀπὸ διαστάσεως] Ita Duc. Cod. ἀποδιαστάσεως.

piratibus obsisteret, eum continuo ense detruncabant. haec etsi perpetrarentur, nihilominus movebatur rex Conradus, si qui essent qui quererentur, nec praebebat aures; vel si auscultaret, petulantiae id multitudinis adscribebat. ea postquam ad imperatorem pervenere, Prosuchum, militari virtute praeinsignem virum, cum raptim coacto agmine adversus eos mittit: qui iuxta Adrianopolim barbaros assecutus, primum quidem haud longo intervallo subsequebatur, ac subinde coercebat inordinatius evagantium excursiones. tandem ubi eos videt supra modum feroces, palam etiam signa confert, tali occasione. quidam ex illustrioribus Alemannis, corpore affecto, Adrianopoli se in monasterium receperat, cum pecuniis, alioque omni apparatu. id Romani aliquot milites ex pedestribus numeris subodorati, domicilium, ipsumque adeo aegrotum igne subdito cremant, sicque pecuniis potiuntur. quam rem ubi accepit Fredericus, Conradi ex fratre nepos, homo incredibiliter ferox, impetu vehemens, elatoque admodum animo, Adrianopolim propere revertit, duorum itinere dierum Conradum praevertens, ac monasterium, in quo primum diverterat Alemannus, incendit, sicque belli occasionem Romanis simul ac suis praebuit. Prosuchus igitur idcirco Fredericum adortus, in fugam illum coniecit, et caedem ingentem

C καὶ φόνον βαρβάρων πολὺν εἴργαστο. ἦν δὲ Φρεδερῖκος οὗτος ὁ μετὰ Κορράδον Ἀλαμανῶν ἄρξας, ἐξ αἰτίας ἣ ἐν τοῖς εἰσέπειτα λελέξεται λόγοις. ἐντεῦθεν τῆς προτέρας Ἀλαμανοὶ καθυφῆκαν ἀλαζονείας, ἔργῳ τὴν Ῥωμαίων διδαχθέντες ἰσχύν.

14. Ταῦτα μὲν οὖν τῇδε ἐπράσσετο. Ἀνδρόνικος δέ, ὃν καὶ Ὦπον ἐκάλουν, ἐκ βασιλέως τούτων δὴ ἕνεκα πεμφθείς, τῶν τε ὅρκων ἀνεμίμνησκε σφᾶς καὶ ἃ περὶ τοῦ μηδὲν ἀδικήσειν Ῥωμαίους διωμολογήκασι πρότερον συχνὰ προφέρων ὠνείδιζέ τε τὴν ἀπιστίαν αὐτοῖς, καὶ εἴγε μὴ εἰς προὖπτον κακὸν ἐμπεσεῖσθαι βου-
D λομένοις εἴη, ἐπὶ τὸν Ἀβύδου ξυνεβουλεύετο πορθμὸν ἰέναι κἀκεῖθεν αὐτίκα περαιωσομένους. ἀλλ' Ἀνδρόνικος μὲν τοσαῦτα εἰπὼν ἐπειδὴ μὴ πείθειν εἶχεν, ἄπρακτος ἐς Βυζάντιον ἀνεχώρει. οἱ δὲ εἰς βουλὴν συλλεγέντες περὶ τῶν ἐν χερσὶ πραγμάτων ἐσκέπτοντο. δόξαν δὲ τῆς ἐπὶ Βυζάντιον ἔχεσθαι, ἄραντες ἐκεῖθεν ὁδῷ προῄεσαν. οὐδέν τε ἧσσον αὖθις ἐκεῖνοι καὶ μετὰ τὴν πληγὴν ἦσαν οἱ πρὶν ἀλαζόνες. τά τε γὰρ βοσκήματα συνέκοπτον ἀφειδῶς καὶ Ῥωμαίων δὲ τῶν ἀνθισταμένων πολλοὺς ἔκτεινον· ἥ τε μάχη οὐκέτι
P 41 λοιπὸν ἐκ τοῦ ἀφανοῦς συνίστατο. ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσε, δεῖν ἔγνω παρασκευάζεσθαι καὶ αὐτός. πόλιν μὲν οὖν τὴν Κωνσταντίνου αὐτίκα στρατόπεδα ἐφρούρει, τὰ μὲν πρὸ τῶν τειχέων αὐλιζόμενα τὰ δὲ καὶ πυλῶν ἔνδοθι διατριβὴν ἔχοντα. Βασίλειον δέ, ὃν καὶ Τζικανδύλην ἐπεκάλουν, πολλοῖς ἐς τὰ πρὸς ἀνίσχοντα

15. οἱ πρὶν] ἢ πρίν? 16. συνέκοπτον] Hoc bis in Cod. scriptum.
21. πυλῶν] Ita correxit Tollius. Cod. πυρῶν.

edidit barbarorum. fuit autem ille Fredericus, qui post Conradum imperavit Alemannis, ex ea quam in sequentibus trademus occasione. atque inde a priore hactenus ferocia remisere Alemanni, re ipsa edocti Romanorum vires.

14. Cum ea isthic agerentur, Andronicus, quem et Opum appellabant, missus est ab imperatore ad res componendas. positis ille ob oculos quae antea iureiurando de non offendendis Romanis sanciverant pactis, perfidiam obiecit hortatusque est, ni damnum incurrere manifestum vellent, ut Abydenum fretum peterent indeque copias transportarent. verum cum nihil persuasisset, infecto negotio Byzantium rediit. at illi coacto concilio, quo de rerum praesentium statu deliberarent, Byzantium esse contendendum decrevere. itinerique se inde committunt. neque a pristina rursum remisere arrogantia, quam non fregerunt acceptae antea clades. nihilo enim secius pecora passim trucidarunt et arcentes vim Romanos complures cecidere neque enim abhinc occulte praelia conserebantur. quae postquam comperit imperator, necessarium esse duxit ut et ipse copias appararet. itaque urbem Constantinopolitanam extemplo firmat exercitu, cuius pars una excubabat pro moenibus, altera stationem intra urbis portas habebat. Basilium autem cognomine Tzicandylem, qui militaribus in Oriente factis ini-

φῦλον ἀγῶσι καὶ μάχαις κατὰ βαρβάρων ἐνευδοκιμηκότα τῶν τῇδε [Κωνσταντίνου], ἅμα τῷ Προσούχ, οὗπερ ἤδη ἐμνήσθην, Πέρσῃ μὲν τὸ γένος τροφῆς δὲ καὶ παιδείας μεταλαχόντι Ῥωμαϊκῆς, ἐπί τινα χῶρον ᾧ Λόγγοι ὄνομα ἅμα στρατεύμασιν ἐλλοχήσοντας ἔστελλεν, ἐπισκήψας αὐτοῖς, ἐπειδὰν χειρῶν ἀδίκων καὶ πάλιν κατάρχειν πειρῶνται Ἀλαμανοί, ἀντεπεξιέναι σφίσι κατὰ τὸ ἐγχωροῦν. οἳ καὶ ἐπειδὴ πρὸς τῷ χώρῳ ἐγένοντο, τήν τε Ἀλαμανῶν B κατενόουν πληθὺν καὶ ὅπως ποτὲ τάξεως ἢ ἀταξίας τὰ στρατόπεδα τούτοις ἔχοι ἐπιμελέστατα διεσκοποῦντο. τά τε γοῦν σώματα αὐτοῖς μεγάλα τε ὑπερφυῶς καὶ τεθωρακισμένα ἐς τὸ ἀκριβὲς κατενόουν, καὶ τὴν ἵππον δὲ ἥκιστα δρομικὴν οὖσαν, ἔτι τε ἀταξίᾳ πολλῇ ἐς τὴν ὁδὸν κεχρημένους ἰδόντες, εὐχείρωτόν τε Ῥωμαίοις τὴν στρατιὰν αὐτοῖς ἔσεσθαι ὑπειλήφασι σὺν ἐπιστήμῃ συμπλεκομένοις, καὶ ἐπὶ βασιλέα πέμψαντες ταῦτά τε ἐδήλουν καὶ ἀνεπυνθάνοντο τὸ πρακτέον. ὁ δὲ τὸ τῶν βαρβάρων καὶ ἔτι εὐλαβούμενος πρόσχημα, φημὶ δὴ τὴν ἐπὶ Παλαιστίνην δῆθεν πορείαν, C ὤκνει διὰ τοῦτο τὴν ἐπιχείρησιν, ἐκδηλότερόν τι νεωτερίσειν αὐτοὺς προσδεχόμενος. βασιλεὺς μὲν οὖν οὕτω γνώμης εἶχεν. οἱ δὲ βάρβαροι ὁδῷ ἰόντες, ἐπειδὴ ἐς τὰς ἐπὶ Χοιροβάκχων παρῆλθον πεδιάδας (ὑπτιάζει γὰρ ἐνταῦθα ὁ χῶρος καὶ πόαν δαψιλῆ μάλιστα ἐς τὰς ἵππων παρέχεται νομάς), ἐνταῦθα ηὐλίζοντο.

ΤΗ

2. *Κωνσταντίνου*] Cod. *Κωνσταν*, quod sive *Κωνσταντίνῳ* cum Tollio, sive *Κωνσταντίνου* cum Ducangio scribas, adeo ineptum est

οὐ

hoc loco, ut parenthesi incluserim. 15. *τὸ πρακτέον*] Cod. *το πρακτέον*, unde Tollius et Duc. *τοῦ πρακτέον*.

tisque adversus barbaros qui isthic habitant, praeliis magnam nominis famam adeptus erat, una cum Prosucho, cuius modo memini, natione quidem Persa sed qui a pueris mores Romanos induerat, ad locum quemdam, cui Longi nomen, mittit cum copiis, quas in insidiis collocarent, dato ipsis mandato ut si rursum Alemanni praedarentur, illos prout locus posceret adorirentur. ut ad locum venere, Alemannorum advertunt multitudinem, et ordinatone an confuso agmine procederent diligenter explorant. iam corpora quidem ipsorum supra modum procera vident et armis probe instructa. ut vero equitatum minus velocem, nulloque ordine omnes in via vagari conspexere, facile a Romanis debellari posse exercitum credunt, modo militari arte congrederentur: de his interim admonendum principem, illiusque explorandam sententiam. at ille cum barbarorum consilia aequo adhuc animo expenderet, nempe de expeditione quam in Palaestinam susceperant, eorum aggressionem differendam esse censuit, expectandumque dum manifestius quid molirentur. ea fuit imperatoris mens. progressi interea barbari, ut ad Choerobacchorum campos pervenere (supinatur autem illic regio, herbasque uberrime praebet ad equorum pabula), castra figunt. dum hic considerent,

τοῦ θρόνου κατεσπάσθη ἐπ' αἰτίᾳ τοιᾷδε. ἦν τις ἀνὴρ μοναχικὴν P 36 ἐπανελόμενος πολιτείαν, ὄνομα Νήφων, παιδείας μὲν τῆς ἐγκυκλίου καὶ μαθημάτων τῶν ἐκτὸς οὐδὲ μέχρι πείρας ἐλθών, τοῖς ἱεροῖς δὲ λογίοις ἐκ παίδων ἑαυτὸν ἐπιδούς. οὗτος ὁ Νήφων Μιχαὴλ ἔτι ἀνδρὸς ἱεροῦ καὶ πολλοῦ τὴν ἀρετὴν τὸν ἐκκλησιαστικὸν διέποντος θρόνον δόξαν οὐχ ὑγιᾶ τὰ ἐς τὸ Χριστιανῶν δόγμα πολλοῖς περὶ ἑαυτοῦ δεδωκὼς κρίσει τε συνοδικῇ διὰ τοῦτο ἀποψηφισθεὶς τόν τε πώγωνα ἐκάρη ἄχρι καὶ ἐπὶ σφυρὰ κατατείνοντα καὶ εἱρκτῇ παρεδόθη. ἐπεὶ δὲ Μιχαὴλ μὲν ἐκεῖνος ἐξ ἀνθρώπων ἤδη ἦν, Κοσμᾶς δὲ ἀντ' αὐτοῦ τὸν θρόνον ἐκόσμει, αὐτίκα παρρησίαν αὖθις ὁ Νήφων ἀνελάμβανε μείζω καὶ πολὺς ἐν συλλόγοις καὶ ἐν ἀγοραῖς ἦν, ἄλλο τε οὐδὲν ἔπραττεν ὅτι μὴ δόγμα ἑκάστοτε B ἀνεκύκλει τόν τε Ἑβραίων ἀποπροσεποιεῖτο θεόν. καὶ τά γε τοιαῦτα ἐνεργολαβεῖν ἤθελεν· ἐφίλει τε αὐτὸν ὑπερφυῶς ὁ Κοσμᾶς, καὶ ὁμιλητὴν ἐποίει τὸν ἄνθρωπον, τοῖς τε κατ' αὐτοῦ τὸ πρότερον ἐπεψηφισμένοις ἀδικίαν ἐπεκάλει, καίτοι καὶ τότε τὰ ὑπὲρ τοῦ ἀνθρώπου προπετευσάμενος μὲν πικρότατα δ' ὅμως ἀποκρουσθείς, καὶ τῆς τε ἀρετῆς αὐτὸν ἐπεθείαζε, κἀκεῖνο τοῖς λόγοις προσετίθει, ὅτι δὴ ἐτύγχανε πολλῷ πρότερον τὴν ἐς τὸν ἀρχιερατικὸν θρόνον ἀνάβασιν ἤδη προαγγείλας αὐτῷ. οὐκ ἤρεσκε ταῦτα τοῖς πολλοῖς· ὅθεν καὶ οἱ μὲν αὐτῶν, ὅσοι δηλονότι ἐκήδοντο τοῦ Κοσμᾶ, προσιόντες ἐπὶ σχολῆς "τί δήποτε" ἔφασκον "ὦ θεῖε ποιμήν, C λύκῳ πιστεύεις ἑαυτόν; ἢ οὐκ οἶδας ὡς ὑποβλέπεταί σε διὰ τοῦτο τὸ ποίμνιον; ἀπορράγηθι τῆς τοῦ λυμεῶνος ξυναυλίας. ἀνδρὶ

22. ἐπὶ σχολῆς] Duc. ἐπὶ χολῆς vertens: non sine indignatione.

hanc ob causam depulsus est. monachus quidam Niphon nomine, qui liberales disciplinas humanasque scientias ne summis quidem labris degustaverat, etsi sacris a pueritia literis imbutus, cum Michaële viro pio virtuteque insigni ecclesiasticam dignitatem regente, haud sana circa Christianam religionem sentire visus esset, ideoque iudicio synodali fuisset condemnatus, barba ad talos usque protensa, derasa, carceri mancipatur. ut vero vita functo Michaële, sedem excepit Cosmas, Niphon liberiori statim usus licentia, publicos congressus egit in compitis, pravasque suas opiniones ubique diffudit, Hebraeorum deum palam repudians. amabat hominem supra modum Cosmas, admittebatque in sui consortium, et superiora in eum decreta iniustitiae arguebat, quamquam tunc etiam immodice in illum et ad petulantiam usque propensus atrocissime repulsus fuerat, et propter virtutem divinis propemodum laudibus eum efferebat, addebatque iam olim illi praedictum ab eo, fore ut patriarchalem thronum conscenderet. haec multis non placuerunt: unde ex iis nonnulli, quibus potissimum Cosmae salus curae erat, tacite accedentes "quid" aiebant "o divine pastor, temet ipsum lupo concredis? an non vides propterea te a grege despici? recede ab exitiosa socie-

γὰρ ἀποβλήτῳ ξυνοικίζεσθαι αὐτάρκης κατηγορία." οἱ μὲν ταῦτα
καὶ τοιαῦτα ἔλεγον· ὅσοις δὲ δι' ἀπεχθείας ὁ ἀρχιερεὺς ἦν, ἀπε- V 29
βοῶντο διαρρήδην ἐπεκαλοῦντό τε τοὺς θεοῦ καὶ βασιλέως ὀφθαλ-
μούς. ὁ δὲ ἀλλὰ τῶν μὲν ὀλιγώρως εἶχε παντάπασι, τοῦ δὲ Νή-
φωνος ἀπρὶξ εἴχετο, οὐδ' ἂν εἴ τι καὶ γένοιτο ἀποκλᾶσθαι ἤθελεν
αὐτοῦ· ἀμέλει καὶ ἔλαθεν ἑαυτὸν τῇ λίαν ἁπλότητι ἐν οὐ μετρίοις
ζημιωθείς. ἐπεὶ γοῦν ποτε, βασιλέως κελεύσαντος εἱρκτῇ καὶ αὖ-
θις δοθῆναι τὸν ἄνθρωπον, παρῆσαν οἱ τοῦτον ἀπάξοντες, τὸ
μὲν πρῶτον μικροῦ καὶ εἰς ἀφασίαν ἐξεπεπτώκει, ἀναλεξάμενος δὲ D
ἑαυτὸν πεζῇ τε μέχρι καὶ ἐπὶ τὴν αὔλιον τοῦ νεὼ παρελθὼν ἀπο-
σπᾶν ἐπεχείρει τῶν ἀπαγόντων τὸν ἄνθρωπον. τῶν δὲ οὐκ ἐνδι-
δόντων ξυναπάγεσθαι τούτῳ τὴν ἐπὶ τὴν εἱρκτὴν ἤθελε. στάσις
ἐντεῦθεν εἶχε τὴν ἐκκλησίαν, καὶ ὁ Κοσμᾶς ἐν αἰτίαις ἦν. οὐ
πρότερόν τε τῶν ταράχων τούτων ἐλύετο, πρὶν ἂν βασιλέως ἐν
Βυζαντίῳ γεγονότος (ἐτύγχανε γὰρ τοῖς πολεμίοις ἔτι πονούμενος
ἔργοις) ἔκπτωτος ἐγεγόνει τοῦ θρόνου τρόπῳ ᾧπερ αὐτὸς ἐρῶν
ἔρχομαι. τῶν γὰρ ἀρχιερέων ἰδίᾳ παραλαβὼν ἕκαστον ἐπυνθά-
νετο ὅπως αὐτῷ ἐς εὐσέβειαν ὁ Νήφων ἔχειν δοκεῖ. τῶν δὲ ἑκά-
στου τὸ αὐτῷ παριστάμενον σὺν ἀληθείᾳ διαγορεύοντος, τέλος καὶ P 37
ἐπὶ Κοσμᾶν τὴν πεῦσιν μετῆγε. καὶ ὃς αὐτίκα πολὺν τοῦ Νήφω-
νος κατὰ τὸ εἰωθὸς ἐσχεδίαζε τὸν αἰνετήριον, εὐσεβῆ τε ἀπαρα-
καλύπτως αὐτὸν ἀποκαλῶν καὶ ἐς ἀρετὴν ἀπαράμιλλον. τέθειται
δὲ ταῦτα ἐπὶ βήματος, καὶ ὁ βασιλεὺς αὖθις οὐκ ἔτι καθ' ἕνα τοὺς

2. ἀπεβοῶντο] κατεβοῶντο? 6. τῇ λίαν] Cod. τὸ λίαν. correxit Tollius.

tate. cum homine enim sacris interdicto cohabitare, per se idonea satis est accusatio." haec et similia illi ingerebant. qui vero patriarcham oderant, obtestabantur [illegible], appellabantque dei et imperatoris oculos. at ille neglectis iis mor[illegible] adhaerebat Niphoni; neque etiam si quid immineret damni, ab eo se [illegible]lli patiebatur: unde ex nimia simplicitate, suimet oblitus, magnas incurrit calamitates. quippe cum hominem rursum carceri mancipari praecepisset princeps, adessentque ducturi, primo quidem haud multum abfuit quin patriarcham vox deficeret. collecto demum spiritu, ad templi usque fores progressus, a satellitum manibus conatus est avellere; cumque reluctarent ii, una cum illo agi in carcerem volebat. inde enatae in ecclesia contentiones, ipso Cosma in iudicium vocato, nec ante ab eiuscemodi tumultibus liberata est, quam se Byzantium imperator recepit, quem ad hanc usque diem res bellicae detinuerant. tum enim ille throno excidit, eo quem mox dicturus sum modo. at primum quidem separatim praesules allocutus, interrogansque de fide et pietate Niphonis, singulis id quod erat vere enuntiantibus, tandem et ipse super eo rogatus est Cosmas; qui in Niphonis laudes immensas, prout consueverat, ex tempore conversus, pium illum propalam profitetur, virtuteque nemini conferendum. res tandem ad tribunal

ἀρχιερέας ἐπηρώτα, ἀλλὰ κοινῇ πάντων ἀνεπυνθάνετο ὅπως ποτὲ περὶ Νήφωνος φρονοῦντες εἶεν· οἱ δὲ διαρρήδην ἀσεβῆ τὸν ἄνθρωπον ἀπεκάλουν. οἱ μὲν οὖν οὕτω γνώμης εἶχον· βασιλεὺς δὲ B τὸν λόγον ἐπὶ Κοσμᾶν ἤδη μεταγαγὼν "σὺ δὲ ἀλλὰ τί ποτε ὦ δέσποτα περὶ τοῦ ἀνθρώπου φρονῶν εἴης;" τοῦ δὲ σὺν ἁπλότητι ταὐτὰ καὶ πάλιν παρρησίᾳ διενισταμένου, ἐπεβοᾶτο τὸ πλῆθος καὶ μένειν αὐτὸν ἐπὶ τοῦ θρόνου ἥκιστα ἠξίου. ὁ μὲν οὖν διὰ ταῦτα ἐκ τοῦ μέσου λοιπὸν ἦν, ἄνθρωπος πλὴν τοῦ ἀφελοῦς, ὡς οἶμαι, τἄλλα πάντα πεπλουτηκὼς ἀγαθά.

11. Βασιλεὺς δὲ ὀλίγῳ ὕστερον ἐπὶ Πέρσας καὶ πάλιν ἐχώρει. Ῥύνδακον δὲ καταλαβὼν ποταμὸν ἐν παρασκευῇ ἐποιεῖτο ὅπως C Ἰκόνιόν τε ἐκπολιορκήσῃ καὶ τὰ πέριξ καταδραμεῖται πάντα. ἀλλ' οὔπω ἐντεῦθεν ἐκίνει τὸ στράτευμα, καὶ πρέσβεις ἀφίκοντο πρὸς τοῦ σουλτὰν περὶ εἰρήνης ἐπερωτήσοντες. ἦρχε δὲ ταυτησὶ τῆς πρεσβείας ἀνὴρ μεγάλα παρὰ Πέρσαις δεδυνημένος ὄνομα Σολυμᾶς, πολλῶν ἐς ἄγαν πολέμων ἔμπειρος, ἐκ πολλοῦ τῆς βασιλέως χειρὸς πειραθείς, ἐξότου, καθάπερ μοι δεδιήγηται, περὶ τὸν οὕτως Καλογραίας λεγόμενον βουνὸν τῷ Ῥωμαίων συμμίξας στρατῷ κατὰ κράτος ἡττήθη· ἦν δὲ τῆς πρεσβείας ὁ νοῦς τοιοῦτος· Πρακανάν τε πόλιν ἀπεδίδοσαν βασιλεῖ καὶ ὅσα ἄλλα Ῥω- D μαίους ἀφελόμενοι ἔφθασαν. οὕτω τε εἰρηναῖα τὸ λοιπὸν Πέρ-

4. σὺ δὲ ἀλλὰ τί ποτε] Excidit ἔφη sive post ἀλλὰ sive post ποτέ.
6. ἐπεβοᾶτο] Duc. ἐπεβόα τε.

deducta; iamque non singulos pontifices separatim, sed omnes simul princeps interrogat, quid de Niphone sentirent. palam illi impium hominem proclamant. atque eorum eiusmodi fuit sententia. conversus inde imperator ad Cosmam, "tu vero domine," inquit, "quid de homine sentis?" et Cosma eadem simpliciter liberiusque affirmante, conclamavit coetus universus, minime in throno perstare illum debere. eapropter de medio tollitur, vir, praeterquam nimia simplicitate, uti ego quidem existimo, reliquis omnibus bonis copiosissime instructus.

11. Non multo interiecto tempore rursum adversus Persas proficiscitur imperator, atque ad Rhyndacum amnem cum pervenisset, parat se ad expugnandum Iconium, et proxima quaeque incursionibus infestanda. necdum inde copias abduxerat, cum legati superveniunt ab Sultano, de pace acturi. praefuit huic legationi vir apud Persas potentissimus, nomine Soliman, multa rei militaris experientia conspicuus, quique pridem expertus fuerat imperatoris vires, ex quo, ut supra scripsimus, ad Calograeae collem cum Romano exercitu praelio decertans omnino deletus est. ea autem fuit legationis sententia: Pracanam civitatem ab iis restituendam, et quaecumque alia Romanis abstulerant: ita deinceps Romanos inter Persasque pacem

ους τε καὶ Ῥωμαίοις ἔσεσθαι ὡμολόγουν. ἃ προσηκάμενος βα-
σιλεὺς τὸν πόλεμον λύσας ἐπὶ Βυζάντιον ἦλθεν.
12. Ἐντεῦθεν τὰ ἐξ ἑσπέρας ἀρχὴν ἔσχε. Κελτοὶ γὰρ καὶ
Γερμανοὶ καὶ τὸ Γαλατῶν ἔθνος καὶ ὅσα τὴν παλαιὰν ἀμφινέ-
μονται Ῥώμην, Βρίττιοί τε καὶ Βρετανοὶ καὶ ἅπαν ἁπλῶς τὸ
ἑσπέριον ἐκεκίνητο κράτος, λόγῳ μὲν τῷ προχείρῳ ὡς ἐξ Εὐρώπης
ἐπὶ τὴν Ἀσίαν διαβήσονται Πέρσαις τε μαχησόμενοι τοῖς παρὰ πό- V 80
δας καὶ τὸν ἐν Παλαιστίνῃ καταληψόμενοι νεὼν τόπους τε τοὺς
ἱεροὺς ἱστορήσοντες, τῇ γε μὴν ἀληθείᾳ ὡς τήν τε χώραν Ῥω-
μαίων ἐξ ἐφόδου καθέξοντες καὶ τὰ ἐν ποσὶ καταστρέψοντες. ἦν
δὲ αὐτοῖς ἡ στρατιὰ ἀριθμοῦ κρείσσων. βασιλεὺς δὲ ἐπειδὴ ἄγχι-
στα τῶν Οὐννικῶν ὁρίων γεγονέναι ἐπύθετο τούτους, πρέσβεις
ἔστελλε, Δημήτριόν τέ τινα Μακρεμβολίτην καὶ Ἀλέξανδρον ἄν- P 38
δρα Ἰταλὸν μὲν τὸ γένος Γραβίνης δὲ πόλεως Ἰταλικῆς κόμητα γε-
γονότα, πρός τε τοῦ Σικελίας τυράννου ἅμα πλείοσιν ἄλλοις τῆς
τε ἀρχῆς ἀποβιβασθέντα καὶ βασιλεῖ διὰ τοῦτο αὐτόμολον γεγο-
νότα. ἐκέλευε δὲ τῆς τε γνώμης ἀποπειράσασθαι σφῶν, καὶ εἴγε
μὴ ἐπὶ τῷ πονηρῷ Ῥωμαίων ἥκουσιν, ὅρκοις τὸ πρᾶγμα βεβαιοῦν.
οἳ καὶ ἐπειδὴ ἐπὶ τοὺς τῶν βαρβάρων τούτων ἡγεμόνας ἦλθον,
ἔλεξαν τάδε· "ἀκήρυκτον πόλεμον ἄγειν ἐπὶ τοὺς μηδὲν ἠδικηκό-
τας, οὔτε ὅσιον οὔτε ἄλλως εὐπρεπὲς ἀνθρώποις ἐστὶ γένους τε
περιφανείᾳ καὶ δυνάμεως περιουσίᾳ μάλιστα κεχρημένοις. νικῶν- B
τες γάρ, ἂν οὕτω τύχοι, οὐ σὺν ἀνδρείᾳ νικήσουσι, καὶ ἡσσώ-

fore. quibus acceptis conditionibus, solutoque bello, Byzantium princeps revertitur.

12. Tum res Occidentales initium novorum motuum fecere. Celtae enim Germanique et Galli, et qui veterem circumhabitant Romam, Brittiique et Britanni, atque adeo universae Occidentis vires moverunt. tantae expeditionis in speciem causa haec ferebatur, ut ex Europa in Asiam traiicerent, dimicaturique cum obviis Persis, indeque in Palaestinam contenderent, templumque Dominicum locaque sacrosancta lustraturi. ceterum vera huius profectionis causa fuit, ut in transitu Romanorum infestarent agros, et obvia quaeque everterent. innumerus autem illorum erat exercitus. at ubi iam proximos esse Hungarorum finibus rescivit princeps, Demetrium quendam Macrembolitem, et Alexandrum gente Italum, Gravinae civitatis Italicae olim comitem, quique a Siciliae tyranno cum compluribus aliis possessionibus suis exutus, ad imperatorem hac de causa transierat, legatos mittit: hoc dato in mandatis, ut eorum mentem diligentius explorarent; et si in Romanorum damnum dicerent non se advenisse, id sacramentis adfirmarent: legati igitur ad barbarorum duces perducti, in hunc modum verba fecerunt. "bellum non indictum inferre iis, qui nullam iniuriam fecerunt, nulli hominum aut sanctum unquam fuit, aut decorum: maxime quibus nobilitatis et potentiae abunde est. si enim vincere illos contingat, fortitudini non adscribetur victoria. contra, si victi fuerint, non pro virtute periculis

μενοι οὐχ ὑπὲρ ἀρετῆς κινδυνεύσουσιν. ἄμφω δὲ οὐκ ἐπαινετά. ὑμῖν δὲ οὐδὲ ἄλλως ἐξέσται γῆν τὴν Ῥωμαίων πατεῖν μὴ πρότερον πίστεις περὶ τοῦ μηδὲν ἀδικήσειν δεδωκότας βασιλεῖ. ὥστε εἰ μὴ ψευδορκεῖν μέλλοιτε, τί μὴ ἐν τῷ ἐμφανεῖ τὸν πόλεμον ἄγετε; Ῥωμαίοις γὰρ καὶ ἐκ τοῦ εὐθέως διαρῥήγχεσθαι, χαλεπὸν ὑμῖν ἔσται. εἰ δὲ καὶ σὺν ἐπιορκίᾳ τὸν κατ' αὐτῶν διαφέρετε πόλεμον, πολλῷ δὴ χαλεπώτερον· θεῷ γὰρ καὶ τῇ Ῥωμαίων ἰσχύϊ πολεμεῖν λείπεται ὑμᾶς. εἰ δὲ καὶ ἀληθίζει τὸ φίλιον ἐν ὑμῖν, καὶ δόλος οὐδεὶς ὑποκάθηται, ὅρκοις τὸ πρᾶγμα βεβαιώσασιν ἐξέσται C ὡς διὰ φιλίας τῆς βασιλέως μεγάλου ἰέναι γῆς, ὑποδοχῆς τε ἀπολαύοντας εἰς τὸ εἰκὸς καὶ φιλοφροσύνης τῆς ἄλλης." οἱ πρέσβεις μὲν τοσαῦτα εἶπον· οἱ δὲ συνήεσαν γὰρ ἐς ταὐτὸν παρὰ τὴν Κορράδου τοῦ Ἀλαμανῶν ῥηγὸς σκηνὴν ἅτε τὰ πρεσβεῖα τῶν ἀνὰ τὴν ἑσπερίαν λῆξιν λαχόντος ἐθνῶν, ἐπὶ κακῷ μὲν τῷ Ῥωμαίων ἥκειν οὐδαμῇ ἔφασκον, κἂν δεήσοι καὶ ὅρκοις τὸ πρᾶγμα πιστοῦσθαι, ἑτοιμότατα καὶ τοῦτο ποιήσειν διετείνοντο. ἐπὶ δὲ Παλαιστίνην αὐτοῖς ὁρᾶν τὴν ὁρμὴν καὶ τοὺς τὴν Ἀσίαν ληστεύοντας Πέρσας. δόξαν οὖν οὕτω Ῥωμαίοις καὶ εἰς ἔργον τοὺς λόγους ἐξῆγον ὅσοι τε D ἐς τοὺς ῥῆγας καὶ ὅσοι ἄλλως ἐπίδοξοι τῶν ἐν αὐτοῖς ἦσαν δουκῶν φημι καὶ κομήτων. ἰδιάζουσαι δὲ ταῦτα ἀρχαὶ καὶ οἷόν τινες διαιρέσεις ἐκ τοῦ τῆς βασιλείας καθιέμεναι ὕψους, γενικωτάτου τινὸς καὶ ὑπερκειμένου τῶν ἄλλων πράγματος. κόμητα μὲν γὰρ δοὺξ

5. διαρῥήγχεσθαι] διαμάχεσθαι? 11. εἰς τὸ εἰκὸς] Malim ὡς τὸ εἰκός. 19. ἐς τοὺς ῥῆγας] Fort. addendum ἐτέλουν.

sese obiecisse iudicabuntur. res utraque infra laudem est. vobis autem non aliter licebit calcare Romanorum terras, quam fide primum interposita, nullam vos iniuriam imperatori illaturos. quodsi iureiurando stare decrevistis, cur non propalam bellum geritis? cum Romanis enim vel ex improviso depugnare periculosum est: sin illud etiam cum periurio illis infertis, multo certe gravius nefas erit; cuius deum et Romanorum arma, vindicta spectabit. at si vestra sincera est amicitia et nullo fucata dolo, sacramentis eam confirmantibus, vobis integrum erit ut amicis iter per ditiones facere magni imperatoris, hospitiisque ut par est, atque alia quavis benignitate frui." haec legati dixere. illi autem omnes, cum in tabernaculum Conradi Alemannorum regis convenissent, ut qui inter Occidentales nationes principem locum obtineret, neutiquam se advenisse dicebant, ut damna ulla inferrent Romanis: si necesse id foret, rem sacramentis sese firmaturos, idque se libenter facturos asserebant, cum Palaestinam et incursantes Asiam Persas spectaret ab ipsis suscepta expeditio. haec Romanis acceptantibus, confestim quae dederant verba, facto ipso confirmavere quotquot regia, aut alia quavis illustri dignitate praestabant, ducum dico et comitum. gaudent autem singulari sua praerogativa eiusmodi dignitates, ab imperatorio fastigio, quod ceteris praeeminet, et a quo profluunt, quodammodo secretae. comitem

ὑπεραναβέβηκε, δοῦκα δὲ αὖ ῥήξ, καὶ ῥῆγα βασιλεύς. καὶ ὑπείκει τὸ καταδεέστερον ἀεὶ φύσει τῷ ἐπέκεινα, πόλεμόν τε συνδιαφέρει τούτῳ καὶ πείθεται τά γε τοιαῦτα. διὸ καὶ βασιλέα μὲν ἰμπεράτορα καλεῖν ἔθος Λατίνοις ἐστὶ τὸν ὑπὲρ ἐπέκεινα αἰνιττομένοις, ῥῆγας δὲ τοὺς ὅσοι δευτέρας εἰλήχασι τάξεως. ἀλλὰ ταῦτα μὲν οὕτω διηρήσθω. τελεσθέντων δὲ τοῖς πρέσβεσιν ὧν ἕνεκα P 39 παρὰ τοὺς βαρβάρους ἦλθον, αὐτοὶ μὲν ἐς Βυζάντιον ἀπεκομίσθησαν, οἱ ῥῆγες δὲ ὁδοῦ τὸ λοιπὸν εἴχοντο. οὐ μέντοι ἀλλήλοις ἀνεμίγνυτο τὰ στρατεύματα, ἀλλ᾽ ὁ μὲν Ἀλαμανὸς πρότερος, πολλῷ δὲ κατόπιν ὁ Γερμανὸς ἐπορεύετο, οὐκ οἶδα ὅτου ἕνεκα τοῦτο ἐπιτηδεύοντες, εἴτε καὶ καθ᾽ ἑαυτὸν ἑκάτερος ἀξιόμαχος V 31 εἶναι φιλοτιμούμενος, εἴτε καὶ τὰ ἐπιτήδεια μὴ ἐπιλιπεῖν σφᾶς προνοούμενοι. ᾖεσαν δὲ ὅμως ἀνάριθμοι καὶ ὑπὲρ τὴν παρὰ θάλασσαν ψάμμον. οὐ τόσαις ὁ Ξέρξης ἐκαλλωπίσατο μυριάσιν, ὁπότε ναυσὶ τὸν Ἑλλήσποντον ἐζεύγνυ. ἐπειδὴ γὰρ πρὸς τῷ Ἴστρῳ γεγόνασιν, ἐνταῦθα εὐτρεπῆ τὰ πρὸς τὴν διάβασιν ὁ βασιλεὺς αὐ- B τοῖς καθιστὰς ἐκέλευε τῶν ὑπογραμματέων τοὺς πλείστους ἐπὶ θάτερα τοῦ ποταμοῦ ἑστηκότας τὸν ἑκάστης φόρτον ἀπογεγράφθαι νεώς. ἐς ἐννενήκοντα τοίνυν ἀριθμησάμενοι μυριάδας τὸ ἐντεῦθεν οὐχ οἷοί τε ἀριθμεῖν ἐγένοντο.

13. Τὸ μὲν δὴ πλῆθος τοσοῦτον αὐτοῖς ἦν. ἀγχοῦ δὲ πόλεως Ναϊσοῦ γεγονόσιν, ἣ μητρόπολις τῶν κατὰ τὴν Δακικὴν

22. γεγονόσιν] Cod. γεγόνασιν.

enim dux praecellit, ducem vero rex, regem imperator: et cum illud quod minus est suapte natura potiori subiaceat, belli cum eo partitur onera, in eiusmodi rebus cetera subditus. quapropter quem Graeci βασιλέα vocant, Latini imperatorem appellare solent, supremam illius potestatem innuentes: reges autem, quotquot secundum sortiti sunt ordinem. haec apud illos habetur distinctio. rebus expeditis quarum causa ad barbaros venerant, legati Byzantium redeunt. reges vero institutum iter prosequuntur, non tamen coniunctis invicem exercitibus: prior enim incedebat Alemannus, a tergo longiore intervallo Germanus subsequebatur, quod cur ab iis factum sit, haud plane mihi compertum: nisi forte quod quisque iustas se copias ducere crederent, aut quod ita providissent, ne rerum necessariarum inopia premerentur. ibant multitudine innumera et arenam maris excedente, ita ut non tot millibus gloriatus fuerit olim Xerxes, cum Hellespontum navibus iungeret. ubi ad Istrum pervenerunt, suppeditatis quae ad transmittendas copias necessaria erant, delectis scribis dat in mandatis imperator, ut in adversa fluminis ripa stantes, annotarent cuiusque onus navigii. cumque ad nonaginta usque millia numerassent, ulterius deinde progredi computando non potuere.

13. Tanta erat illorum multitudo. cum ad Naisum, quae metropolis est urbium Dacicarum, accessissent, Michaël cognomento Branas, cui ab im-

τυγχάνει οὖσα, ἐνταῦθα ὁ τὴν τῆς χώρας πρὸς βασιλέως ἐμπεπιστευμένος ἀρχὴν Μιχαὴλ ἐπώνυμον Βρανᾶς προὐνοεῖτο ἤδη τῶν ἀναγκαίων αὐτοῖς, οὕτω προστεταγμένον αὐτῷ. μέχρι μὲν οὖν καὶ ἐπὶ Σαρδικῆς ἐν τούτοις ἦσαν, ἔνθα καὶ ἄνδρε δύο τῶν
C ἐπὶ δόξης ἠλθέτην παρ' αὐτούς, δεξιωσομένω τε τὰ εἰκότα καὶ τὰ ἀναγκαῖα σφίσιν ἐμπορισομένω. ἦν μὲν ὁ αὐτῶν Μιχαὴλ σεβαστὸς ἐκ Παλαιολόγων, ἀνὴρ ἱκανῶς συνετὸς καὶ πραγμάτων πολλῶν ἔμπειρος, ὃς βασιλεῖ Ἰωάννῃ οὐκ οἶδ' ὅ τι προσκεκρουκὼς πρότερον ὑπερόριός τε διὰ τοῦτο γεγονὼς πρὸς βασιλέως ἀνεκαλεῖτο Μανουὴλ εὔνους τε αὐτῷ καὶ τοῖς Ῥωμαίων μάλιστα ἐγένετο πράγμασιν. ὁ μὲν δὴ τοιοῦτος ἦν. ἅτερος δὲ χαρτουλάριος μὲν ἀμφοτέροιν ἐχρημάτισε τοῖν βασιλέοιν. τοσούτῳ γε μὴν Ἰωάννῃ βασιλεῖ εὐνούστατος γέγονεν ὡς ὁπότε Ἀλεξίῳ τῷ πρεσβυτάτῳ τῶν υἱέων ἐξ ἀνθρώπων γεγενῆσθαι ξυνέβη, ἐνσκῆψαί οἱ τὸν βασιλέα μετὰ τελευτὴν τὴν αὐτοῦ τὸν Μανουὴλ ἐπὶ τὰ σκῆπτρα καλέσαι
D καὶ τὴν βασιλείαν ἐγχειριεῖν. οἱ μὲν οὖν τούτων ἕνεκα ἐπὶ τὴν Σαρδικὴν ἦλθον. οἱ δὲ βάρβαροι μέχρι μὲν ἐν δυσχωρίαις ἦσαν (πολλὰ γὰρ ἐκ τοῦ ποταμοῦ Ἴστρου ἄχρι καὶ ἐπὶ Σαρδικὴν ὄρη ἀνέχει ὑψηλὰ καὶ δεινῶς ἄβατα), σιγῇ τε ἐπορεύοντο καὶ οὐδὲν ὅ τι Ῥωμαίοις οὐ κατὰ γνώμην ἐποίουν. ἐπεὶ δὲ ταῖς πεδιάσιν ἤδη ὡμίλουν, αἳ πολλὰ τὰ δυσπρόσοδα τῶν κατὰ τὴν Δακικὴν διαδέχονται χωρίων, παραφαίνειν λοιπὸν τὸ δυσμενὲς ἤρξαντο, τοῖς τε κατ' ἐμπορίαν τὰ ὤνια σφίσιν ἀποδιδοῦσι χεῖρα ἐπέβαλον

6. ἐμπορισομένω] ἐκπορισομένω? ibid. ἦν μὲν ὁ αὐτῶν] Fort. ἦν δὲ ὁ μὲν αὐτῶν. 16. ἐγχειριεῖν] Duc. ἐγχειρίζειν. 21. Δακικὴν] Cod. Δαδικήν.

peratore demandata erat provinciae praefectura, quemadmodum ei imperatum erat, necessaria omnia subministravit. postquam ad Sardicam ventum est, accessere duo ex illustrioribus viri, qui et eos humaniter, ut par erat, exciperent, et commeatum praeberi curarent. alter horum fuit Michaël sebastus, ex Palaeologorum gente, vir ingenio et multa rerum experientia praestans, qui nescio quod ob crimen ab imperatore Ioanne in exilium actus, a Manuële revocatus fuerat; huic deinceps, rebusque Romanis addictissimus. alter vero dignitate chartularius operam suam utrique impenderat imperatori; sed Ioannis praesertim adeo fuerat benevolentiam expertus, ut Alexio natu filiorum maiore rebus humanis exempto, mandaverit ei imperator, ut post excessum suum Manuëli ad sceptra vocato imperium resignaret. hunc illi in finem Sardicam pervenere. sed enim barbari, quamdiu fuere in locis difficilibus (multi enim ab Istro flumine ad Sardicam usque praerupti eminent, vixque non inaccessi montes) incedebant quietius, nihilque ab iis actum, quod Romanis displiceret. at postquam attigere loca plana, quae regionum circa Dacicam difficultates excipiunt, tum demum hostilem animum prodidere. res quippe venales exponentibus iniustas iniiciebant manus: et si quis ra-

ἔδακον· κἂν τις ἀπισχυρίσαιτο πρὸς τὴν ἁρπαγήν, τοῦτον δὲ P 40
ῥομφαίας ἔργον ἐτίθεσαν. ὅ τε ῥὴξ Κορράδος ἀνεπιστρόφως
πάντη τῶν γινομένων εἶχε καὶ τοῖς ἐπικαλοῦσιν ἢ οὐδὲ προσεῖχεν
ὅλως ἢ καὶ προσχὼν τῇ τοῦ πλήθους ἀλογιστίᾳ τὸ πᾶν ἀπεγρά-
φετο. τούτων βασιλεὺς ἀκηκοὼς στράτευμα ᾗ τάχους εἶχεν ἅμα
Προσοὺχ ἀνδρὶ ἐμπειρομάχῳ κατ' αὐτῶν ἔπεμψεν. ὃς καὶ ἐπει-
δὴ περὶ πόλιν Ἀδριανοῦ τούτοις συνέμιξε, μέχρι μέν τινος ἀπὸ
διαστάσεως εἵπετο, τὰς ἀτάκτους τοῦ πλήθους ἀνασειράζων ὁρ-
μάς. ὡς δὲ καὶ ἐπὶ μᾶλλον θρασυνομένους αὐτοὺς ἑώρα, καὶ
πολεμίας ἤδη ἐν τῷ ἐμφανεῖ συνέμιξε χεῖρας ἀπ' αἰτίας τοιᾶσδε.
τῶν τινα ἐπισημοτέρων Ἀλαμανῶν μαλακισθέντα τὸ σῶμα σε-
μνεῖόν τι εἶχε τῶν ἀνὰ τὴν πόλιν Ἀδριανοῦ σύν τε χρήμασι καὶ B
ἀποσκευῇ τῇ πάσῃ· ἃ φωράσαντές τινες Ῥωμαίων τῶν ἐκ πεζι-
κῶν καταλόγων πῦρ τε τῇ καταγωγῇ ὑφῆψαν καὶ τὸν ἄνθρωπον
οὕτω προσαπολέσαντες τὰ χρήματα ἔσχον. ὡς οὖν εἰς ἀκοὰς
Φρεδερίκῳ τὸ γεγονὸς ἦλθε τῷ Κορράδου ἀδελφιδῷ, ἀνδρὶ ὑπ'
ἀσυμμέτρου αὐθαδείας τήν τε ὁρμὴν ἀκαθέκτῳ καὶ ἐπιεικῶς φρο- V 32
νηματίᾳ, σπουδῇ παλίνορσος ἐπὶ τὴν Ἀδριανοῦ ἦλθε καίτοι δυοῖν
ἡμέραιν ὁδὸν Κορράδου προαπιών, πυρί τε τὸ σεμνεῖον φλέξας
οὗ δὴ ὁ Ἀλαμανὸς κατέλυε πρότερον, ταύτην πολέμου πρόφα-
σιν Ῥωμαίοις τε καὶ αὐτοῖς ἐντεῦθεν ξυνεπορίσατο. ὁ γάρ τοι
Προσοὺχ εἰς χεῖρας διὰ τοῦτο Φρεδερίκῳ ἐλθὼν ἐτρέψατο αὐτὸν

1. τοῦτον δὲ] Malim τοῦτον δή. 4. ἀπεγράφετο] Malim ἐπεγράφετο. 7. ἀπὸ διαστάσεως] Ita Duc. Cod. ἀποδιαστάσεως.

picntibus obsisteret, eum continuo ense detruncabant. haec etsi perpetrarentur, nihilominus movebatur rex Conradus, si qui essent qui quererentur, nec praebebat aures; vel si auscultaret, petulantiae id multitudinis adscribebat. ea postquam ad imperatorem pervenere, Prosuchum, militari virtute praeinsignem virum, cum raptim coacto agmine adversus eos mittit: qui iuxta Adrianopolim barbaros assecutus, primum quidem haud longo intervallo subsequebatur, ac subinde coercebat inordinatius evagantium excursiones. tandem ubi eos videt supra modum feroces, palam etiam signa confert, tali occasione. quidam ex illustrioribus Alemannis, corpore affecto, Adrianopoli se in monasterium receperat, cum pecuniis, alioque omni apparatu. id Romani aliquot milites ex pedestribus numeris subodorati, domicilium, ipsumque adeo aegrotum igne subdito cremant, sicque pecuniis potiuntur. quam rem ubi accepit Fredericus, Conradi ex fratre nepos, homo incredibiliter ferox, impetu vehemens, elatoque admodum animo, Adrianopolim propere revertit, duorum itinere dierum Conradum praevertens, ac monasterium, in quo primum diverterat Alemannus, incendit, sicque belli occasionem Romanis simul ac suis praebuit. Prosuchus igitur idcirco Fredericum adortus, in fugam illum coniecit, et caedem ingentem

C καὶ φόνον βαρβάρων πολὺν εἴργαστο. ἦν δὲ Φρεδερίκος οὗτος ὁ μετὰ Κορράδον Ἀλαμανῶν ἄρξας, ἐξ αἰτίας ἣ ἐν τοῖς εἰσέπειτα λελέξεται λόγοις. ἐντεῦθεν τῆς προτέρας Ἀλαμανοὶ καθυφῆκαν ἀλαζονείας, ἔργῳ τὴν Ῥωμαίων διδαχθέντες ἰσχύν.

14. Ταῦτα μὲν οὖν τῇδε ἐπράσσετο. Ἀνδρόνικος δέ, ὃν καὶ Ὦπον ἐκάλουν, ἐκ βασιλέως τούτων δὴ ἕνεκα πεμφθείς, τῶν τε ὅρκων ἀνεμίμνησκε σφᾶς καὶ ἃ περὶ τοῦ μηδὲν ἀδικήσειν Ῥωμαίους διωμολογήκασι πρότερον συχνὰ προφέρων ὠνείδιζέ τε τὴν ἀπιστίαν αὐτοῖς, καὶ εἴγε μὴ εἰς προῦπτον κακὸν ἐμπεσεῖσθαι βου-
D λομένοις εἴη, ἐπὶ τὸν Ἀβύδου ξυνεβουλεύετο πορθμὸν ἰέναι κἀκεῖθεν αὐτίκα περαιωσομένους. ἀλλ' Ἀνδρόνικος μὲν τοσαῦτα εἰπὼν ἐπειδὴ μὴ πείθειν εἶχεν, ἄπρακτος ἐς Βυζάντιον ἀνεχώρει. οἱ δὲ εἰς βουλὴν συλλεγέντες περὶ τῶν ἐν χερσὶ πραγμάτων ἐσκέπτοντο. δόξαν δὲ τῆς ἐπὶ Βυζάντιον ἔχεσθαι, ἄραντες ἐκεῖθεν ὁδῷ προῄεσαν. οὐδέν τε ἧσσον αὖθις ἐκεῖνοι καὶ μετὰ τὴν πληγὴν ἦσαν οἱ πρὶν ἀλαζόνες. τά τε γὰρ βοσκήματα συνέκοπτον ἀφειδῶς καὶ Ῥωμαίων δὲ τῶν ἀνθισταμένων πολλοὺς ἔκτεινον· ἥ τε μάχη οὐκέτι
P 41 λοιπὸν ἐκ τοῦ ἀφανοῦς συνίστατο. ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσε, δεῖν ἔγνω παρασκευάζεσθαι καὶ αὐτός. πόλιν μὲν οὖν τὴν Κωνσταντίνου αὐτίκα στρατόπεδα ἐφρούρει, τὰ μὲν πρὸ τῶν τειχέων αὐλιζόμενα τὰ δὲ καὶ πυλῶν ἔνδοθι διατριβὴν ἔχοντα. Βασίλειον δέ, ὃν καὶ Τζικανδύλην ἐπεκάλουν, πολλοῖς ἐς τὰ πρὸς ἀνίσχοντα

15. οἱ πρὶν] ἢ πρίν? 16. συνέκοπτον] Hoc bis in Cod. scriptum.
21. πυλῶν] Ita correxit Tollius. Cod. πυρῶν.

edidit barbarorum. fuit autem ille Fredericus, qui post Conradum imperavit Alemannis, ex ea quam in sequentibus trademus occasione. atque inde a priore hactenus ferocia remisere Alemanni, re ipsa edocti Romanorum vires.

14. Cum ea isthic agerentur, Andronicus, quem et Opum appellabant, missus est ab imperatore ad res componendas. positis ille ob oculos quae antea iureiurando de non offendendis Romanis sanciverant pactis, perfidiam obiecit hortatusque est, ni damnum incurrere manifestum vellent, ut Abydenum fretum peterent indeque copias transportarent. verum cum nihil persuasisset, infecto negotio Byzantium rediit. at illi coacto concilio, quo de rerum praesentium statu deliberarent, Byzantium esse contendendum decrevere, itinerique se inde committunt. neque a pristina rursum remisere arrogantia, quam non fregerunt acceptae antea clades. nihilo enim secius pecora passim trucidarunt et arcentes vim Romanos complures cecidere neque enim abhinc occulte praelia conserebantur. quae postquam comperit imperator, necessarium esse duxit ut et ipse copias appararet. itaque urbem Constantinopolitanam extemplo firmat exercitu, cuius pars una excubabat pro moenibus, altera stationem intra urbis portas habebat. Basilium autem cognomine Tzicandylem, qui militaribus in Oriente factis ini-

ξιον ἀγῶσι καὶ μάχαις κατὰ βαρβάρων ἐνευδοκιμηκότα τῶν τῇδε [Κωνσταντίνου], ἅμα τῷ Προσούχ, οὗπερ ἤδη ἐμνήσθην, Πέρσῃ μὲν τὸ γένος τροφῆς δὲ καὶ παιδείας μεταλαχόντι Ῥωμαϊκῆς, ἐπί τινα χῶρον ᾧ Λόγγοι ὄνομα ἅμα στρατεύμασιν ἐλλοχήσοντας ἔστελλεν, ἐπισκήψας αὐτοῖς, ἐπειδὰν χειρῶν ἀδίκων καὶ πάλιν κατάρχειν πειρῶνται Ἀλαμανοί, ἀντεπεξιέναι σφίσι κατὰ τὸ ἐγχωροῦν. οἱ καὶ ἐπειδὴ πρὸς τῷ χώρῳ ἐγένοντο, τήν τε Ἀλαμανῶν B κατενόουν πληθὺν καὶ ὅπως ποτὲ τάξεως ἢ ἀταξίας τὰ στρατόπεδα τούτοις ἔχοι ἐπιμελέστατα διεσκοποῦντο. τά τε γοῦν σώματα αὐτοῖς μεγάλα τε ὑπερφυῶς καὶ τεθωρακισμένα ἐς τὸ ἀκριβὲς κατενόουν, καὶ τὴν ἵππον δὲ ἥκιστα δρομικὴν οὖσαν, ἔτι τε ἀταξίᾳ πολλῇ ἐς τὴν ὁδὸν κεχρημένους ἰδόντες, εὐχείρωτόν τε Ῥωμαίοις τὴν στρατιὰν αὐτοῖς ἔσεσθαι ὑπειλήφασι σὺν ἐπιστήμῃ συμπλεκομένοις, καὶ ἐπὶ βασιλέα πέμψαντες ταῦτά τε ἐδήλουν καὶ ἀνεπυνθάνοντο τὸ πρακτέον. ὁ δὲ τὸ τῶν βαρβάρων καὶ ἔτι εὐλαβούμενος πρόσχημα, φημὶ δὴ τὴν ἐπὶ Παλαιστίνην δῆθεν πορείαν, C ὤκνει διὰ τοῦτο τὴν ἐπιχείρησιν, ἐκδηλότερόν τι νεωτερίσειν αὐτοὺς προσδεχόμενος. βασιλεὺς μὲν οὖν οὕτω γνώμης εἶχεν. οἱ δὲ βάρβαροι ὁδῷ ἰόντες, ἐπειδὴ ἐς τὰς ἐπὶ Χοιροβάκχων παρῆλθον πεδιάδας (ὑπτιάζει γὰρ ἐνταῦθα ὁ χῶρος καὶ πόαν δαψιλῆ μάλιστα ἐς τὰς ἵππων παρέχεται νομάς), ἐνταῦθα ηὐλίζοντο.

ΤΗ

2. Κωνσταντίνου] Cod. Κωνσταν, quod sive Κωνσταντίνῳ cum Tollio, sive Κωνσταντίνου cum Ducangio scribas, adeo ineptum est οὐ hoc loco, ut parenthesi incluserim. 15. τὸ πρακτέον] Cod. το πρακτέον, unde Tollius et Duc. τοῦ πρακτέον.

tisque adversus barbaros qui isthic habitant, praeliis magnam nominis famam adeptus erat, una cum Prosucho, cuius modo memini, natione quidem Persa sed qui a pueris mores Romanos induerat, ad locum quemdam, cui Longi nomen, mittit cum copiis, quas in insidiis collocarent, dato ipsis mandato ut si rursum Alemanni praedarentur, illos prout locus posceret adorirentur. ut ad locum venere, Alemannorum advertunt multitudinem, et ordinatone an confuso agmine procederent diligenter explorant. iam corpora quidem ipsorum supra modum procera vident et armis probe instructa. ut vero equitatum minus velocem, nulloque ordine omnes in via vagari conspexere, facile a Romanis debellari posse exercitum credunt, modo militari arte congrederentur: de his interim admonendum principem, illiusque explorandam sententiam. at ille cum barbarorum consilia aequo adhuc animo expenderet, nempe de expeditione quam in Palaestinam susceperant, eorum aggressionem differendam esse censuit, expectandumque dum manifestius quid molirentur. ea fuit imperatoris mens. progressi interea barbari, ut ad Choerobacchorum campos pervenere (supinatur autem illic regio, herbasque uberrime praebet ad equorum pabula), castra figunt. dum hic considerent,

ἔνθα τι δυστύχημα λόγου κρεῖσσον αὐτοῖς ξυνενεχθῆναι λέγεται, [V 33] ἐξ οὗπερ ἄν τις εἰκότως στοχάσαιτο μηνῖσαι τὸ θεῖον αὐτοῖς, τούς τε ὅρκους ἠδικηκόσι καὶ πολλῇ τῇ ἐς τοὺς ὁμοθρήσκους αὐτοῖς καὶ μηδὲν ἠδικηκότας ἀνθρώπους ἀπανθρωπίᾳ κεχρημένοις. ὄμβρου γὰρ ἐξαισίου καταρραγέντος ἀθρόον οἱ τὸν χῶρον ἐκεῖνον παραρ- [D] ρέοντες ποταμοί, ὧν ὁ μὲν Μέλας, ἅτερος δὲ Ἀθύρας πρὸς τῶν ἐγχωρίων ὠνόμασται, πολλῷ τοῦ συνήθους μᾶλλον ἀνοιδήσαντες μέτρου ἐπὶ πλεῖστόν τε τοῦ πεδίου προχυθέντες πολύ τι μέρος τοῦ Ἀλαμανῶν στρατεύματος αὐτοῖς ἵπποις καὶ ὅπλοις καὶ αὐταῖς παρέσυραν ταῖς σκηναῖς ἐπὶ θάλασσάν τε ἀπὸ γῆς ἐξέπτυσαν φέροντες. ὃ πυθόμενος βασιλεὺς ἐλέῳ τε τῷ εἰς τοὺς ἀνθρώπους τὴν ψυχὴν πεπονθὼς ἄνδρας τῶν ἐπὶ δόξης παραμυθησομένους Κορράδῳ τὴν συμφορὰν ἔστελλε, μετεπέμπετό τε αὐτὸν ὡς λόγου τε κοινωνήσῃ καὶ περὶ μεγάλων αὐτῷ συνδιασκέψαιτο. ὁ δὲ καὶ εἰσέτι [P 42] μηδαμῇ καθυφεῖναι θέλων τοῦ γαύρου, ὑπαντᾶν αὐτῷ ἐς Βυζάντιον προάγοντι τὸν αὐτοκράτορα ἠξίου, τοιούτων τέ τινων ἄλλων ὁμιλίαν τὴν ἑαυτοῦ σταθμώμενος ἦν. ἐφ᾽ οἷς ὁ βασιλεὺς ἀλαζονείαν ὅρον οὐκ ἔχουσαν αὐτοῦ καταγνοὺς τοῦ λοιποῦ περιεῖδε. Κορράδος δὲ πανστρατὶ ὡς ἐπὶ Βυζάντιον ἐφέρετο· ἐν δὲ τῷ καταντικρὺ τειχέων βασιλικῷ γεγονὼς ἐνδιαιτήματι, ὃ Φιλοπάτιον ὀνομάζουσιν οὐκ οἶδα εἴτε τὴν φίλην αἰνιττόμενοι διατριβὴν (ἄνεσιν γάρ τινα παρέχεται καὶ φροντίδων ἀπαλλαγὴν τοῖς ἐκ τῶν ἀστικῶν ταράχων ἐνθάδε ἀπαλλασσομένοις) εἴτε καὶ τὴν φύλλοις

15. γαύρου] Ita Duc. Cod. γάβρου.

ingentem supra quam dici potest accidisse illis calamitatem aiunt: unde coniectari liceat iratum fuisse ipsis deum, propter tot eorum periuria, atque adeo in eiusdem religionis homines, et a quibus nullam iniuriam accepissent, inhumanitatem. magna quippe imbrium vi repente de coelo demissa, qui campos illos praeterfluunt fluvii, quorum alter Melas, Athyras alter ab incolis appellatur, ultra solitum in immensum excrescentes, et in agros effusi, magnam Alemannorum exercitus partem, cum equis ipsis et armis, nec non et tabernaculis in mare de terra abripuerunt. quae ut rescivit princeps, hominum calamitate commotus, viros dignitate illustres misit, qui et Conradum de casu consolarentur, et invitarent ad colloquium, quo de rebus maioris momenti invicem tractarent. at ille remissa nihilo minus ferocia ut Byzantium venienti sibi occurreret imperator postulavit, atque etiam aliis eiusmodi officiis congressum suum rependi voluit. imperator igitur damnato eiusmodi immodico fastu, virum deinceps neglexit. Conradus interea cum universis copiis Byzantium versus contendit, et ad imperatorium palatium, quod moenibus urbis obversum est, pervenit. Philopatium illud vocant, seu quod hacce appellatione gratam illius habitationem significent, ut quae iis, qui vitandi urbis tumultus causa eo accedunt, remissionem animi quandam

κομῶσαν πόαν τε δαψιλῆ ἀνιεῖσαν (ἀμφιλαφὴς γὰρ ὁ χῶρος καὶ ἐπίχλοον ἁπανταχῇ φέρει τὸ πρόσωπον), ἐντεῦθεν τῷ περιβόλῳ B προσεῖχε τοῦ ἄστεος. τούς τε οὖν πύργους ἐς ὕψος ἱκανῶς ἀνατρέχοντας κατανοήσας καὶ τάφρου μέγα τι χρῆμα βαθείας κύκλῳ περιθεούσης ἰδὼν ἐν θαύματι μεγάλῳ ἐγένετο. ἐπεὶ δὲ καὶ γυναικῶν ὅμιλον καὶ δῆμον ἄνοπλόν τινα καὶ ἀπερίεργον ἐπὶ τῶν προπυργίων ἑστῶτα εἶδε (πάντες γὰρ ὅσοι πολεμίων εἰώθασι πόνων γεύεσθαι, οἱ μὲν πρὸς τοῖς τείχεσιν ἔνδον φρουροῦντες ἐκάθηντο, οἱ δὲ πρὸ τοῦ περιβόλου τῆς πόλεως ἵστασαν χειρῶν ἄρχειν Ἀλαμανοὺς περιμένοντες), ἐπειδὴ γοῦν ταῦτα κατενόει, αὐτίκα ὅπερ ἦν περιουσίᾳ δυνάμεως ἀνέκπληκτον τὴν πόλιν μεῖναι ἐννοήσας, C ἐνθένδε ἀπηλλάττετο, τήν τε γέφυραν, ἣ τὴν ὑποκειμένην ὡς ἂν εἴποι τις ποταμοθάλασσαν ζεύγνυσι, ταχὺ διαβὰς ἐπί τι τῶν ἀντιπέρας Βυζαντίου κατήγετο προαστεῖον, ὃ Πικριδίου ὠνόμασται. ἔστι δὲ τὸ τοῦ ἐνταῦθα πορθμοῦ τοιοῦτον. ὁ Εὔξεινος πόντος ἀπορροήν τινα ποιούμενος ἐπὶ τὸ δεξιὸν εἰσπλέοντι μέρος ὡς ἐπὶ δυσμὰς ἄνεισι, λιμένα ἐπιμήκη Βυζαντίοις ἐργαζόμενος. ποταμὸς δέ τις ἄνωθέν ποθεν ἐκβάλλων τὸ ῥεῦμα κάτεισι μὲν διὰ τῶν τῇδε πεδιάδων, ὀλίγου δὲ Βυζαντίου ἄποθεν κατὰ κορυφὴν τῷ λιμένι ξυμβάλλων D εἰς ταὐτὸν ἔρχεται, ἔνθα τὴν γέφυραν ἵστασθαι ξυμβαίνει.

15. Τοῦτο μὲν δὴ τοιοῦτον. Κορράδος δὲ ἐνταῦθα γεγονὼς λόγους ἐς βασιλέα οὐ πόρρω θρύψεως ὄντας πολλῆς ἔπεμψεν.

10. γοῦν] Malim δ' οὖν. 16. εἰσπλέοντι μέρος] Cod. εἰς πλέον τι μέρος, quod Tollius vertit *in magnam agri partem*. Duc. *ut plurimum*.

praebeat et curarum: seu quod arboribus et virgultis consitus sit locus, herbarumque virentium ubertate passim amoenissimus. inde ille progressus ad contemplandum urbis ambitum, visis turribus in idoneam altitudinem exsurgentibus, et lustratis quae immensa profunditate moenia circumdabant fossis, summa admiratione percellitur: praesertim vero cum mulierum virorumque turbam inermem et otiosam in exterioribus propugnaculis stare conspexit. eorum enim qui rei bellicae operam dare solent, alii intra urbem moenia servabant, alii stabant extra ambitum, observaturi, si manus Alemanni priores consererent. haec omnia igitur perspiciens, urbemque, quod re vera erat, abundantia virium manere imperterritam, inde recessit, et ponte, qui subiacentem, ut ita dicam, e mari confectum fluvium iungit, confestim traiecto, in obversum Byzantio suburbanum, quod Picridium vocant, profectus est. eiusmodi vero est adiacentis sinus forma. qua ad Occidentem vergit pontus Euxinus in dextram intrantibus partem effusus spatiosum Byzantinis portum facit. fluvius autem in superioribus locis ortus, per circumiacentes campos effusus, haud procul Byzantio ad portus caput in eundem delabitur, ipsique miscetur ubi pons exstructus est.

15. Atque haec ita se habent. cum eo in loco esset Conradus, literas ad imperatorem misit, quae languidum quid ac effeminatum prae se fer-

εἶχε δὲ ὧδε τὰ μηνύματα. "χρὴ βασιλεῦ ἐπὶ παντὶ τόν γε νοῦν
ἔχοντα οὐ τὸ πρᾶγμα σκοπεῖν καθ' ἑαυτό, τὸν δὲ σκοπὸν ὅθεν
γένοιτο πολυπραγμονεῖν μάλιστα. ὃ γὰρ γνώμης ἤρτηταί τινος,
οὔτε ἀγαθὸν ὂν ἐπαινεῖται πολλάκις, οὔτε φαῦλον φαινόμενον ψέ-
V 34 γεσθαι πέφυκε. καί τις πρὸς ἐχθρῶν μὲν ἀγαθοῦ παρὰ γνώμην
ἐνίοτε τυγχάνει, φλαύρου δ' αὖ πρὸς τῶν φίλων πειρᾶταί τινος.
P 43 μὴ τοίνυν τῶν τῷ πλήθει τῆς ἡμετέρας στρατιᾶς χθὲς περὶ τὴν
χώραν ἡμαρτημένων τὴν σὴν τὰς αἰτίας ἐφ' ἡμᾶς ἄγε, μηδὲ διὰ
ταῦτα χαλέπαινε, ἐπεὶ οὐχ ἡμεῖς αὐτοί σοι τῶν τοιούτων καθέ-
σταμεν αἴτιοι, ἡ δὲ τοῦ πλήθους φορὰ ἀλόγως ἔνθα ἔτυχε φερο-
μένη αὐτοματίζειν οἶδε ταυτί. στρατεύματος γὰρ ξένου καὶ ἐπή-
λυδος τὸ μὲν ἐπὶ ἱστορίᾳ τῆς χώρας τὸ δὲ ἐπὶ πορισμῷ τῶν ἀναγ-
καίων πολλαχόσε πλανωμένου καὶ περιτρέχοντος, τοιαῦτα ἑκατέ-
ρωθεν ἁμαρτάνεσθαι ἀπεικὸς οἶμαι οὐδέν." Ἀλαμανοὶ μὲν τοσαῦτα
εἶπον. βασιλεὺς δὲ εἰρωνείαν τὸ πρᾶγμα λογισάμενος ἀμείβετο
ὧδε. "οὐδὲ τὴν ἡμετέραν λέληθε βασιλείαν ἡ τοῦ πλήθους ῥοπὴ
δυσάγωγόν τι οὖσα καὶ δυσήνιον ἀεὶ χρῆμα. ἀμέλει καὶ διὰ
B φροντίδος ἡμῖν ἦν, πῶς ἂν διὰ τῆς ἡμετέρας ἀβλαβῶς διελθεῖν
ὑμᾶς γένοιτο ξένους καὶ ἐπήλυδας ἄνδρας καὶ οὐδὲν ὅ τι ἀδικεῖν
ἡμᾶς οὔτε ἐπαγγελλομένους οὔτε ἄλλως δεδυνημένους, ὡς μὴ ξε-
νίαν ἀδικοῦντες δόξαν οὐκ ἀγαθὴν παρὰ ἀνθρώποις ἀπενεγκώ-
μεθα. ἐπεὶ δ' ὑμῖν ἅτε ξυνετωτάτοις οὖσι καὶ τὰς τῶν πραγμά-

20. ἡμᾶς] Cod. ὑμᾶς.

rent, quarum erat sententia. „decet virum prudentem, imperator, non per se res ipsas, sed quo fine fiant maxime attendere. ille enim cuius praeoccupatus est animus, neque quod bonum est laudare, nec quod videtur vitiosum vituperare, saepenumero solet. interdum etiam praeter mentem quis beneficium ab inimicis, ab amicis vero damnum accipit. eorum igitur, quae nuper ab incondita exercitus multitudine in agris tuis perpetrata sunt, causam noli in nos reiicere, neque propterea haec tuum in nos animum moveant, cum minime in culpa simus, sed inordinatae multitudinis quaqua versum sese ferentis impetus, quidquid commissum est ultro patraverit. exercitu namque peregrino externoque, tum provincias lustrante, tum ad comparanda usui necessaria longius evagante vel excurrente, utrimque factas esse iniurias, haud equidem mirandum existimo." haec et similia Alemanni. at imperator haec simulate dici existimans, in hunc modum rescripsit: „maiestatem nostram non latet, plebis impetum quidpiam semper fuisse, quod aegre gubernari possit ac retineri. quapropter et nobis potissimum curae fuit, ut qui advenae estis et externi, dum per provincias nostras iter agitis, nullum damnum pateremini, praesertim cum vos ipsi neque malo animo veniissetis, neque iniuriam nobis facere possetis. nec sane res aliter fieri potuit, ne violato hospitalitatis iure male apud homines audiremus. quandoquidem vero illa vobis, utpote viris prudentissimis, et in investiganda rerum natura so-

των φύσεις καλῶς ἐξετάζειν ἐπισταμένοις ἀνέγκλητα εἶναι δήπου τὰ τοιαῦτα δοκεῖ, ἡμεῖς καὶ χάριτας ὑμῖν ὀφλομεν. οὐ γὰρ ἔτι φροντιοῦμεν ὅπως ἂν τὴν ὀχλικὴν τῶν ἡμετέρων ἀναχαιτίσωμεν ὁρμήν, ἀλλ' ἐπιρρίψομεν ταῦτα τῇ τοῦ πλήθους ἀλογιστίᾳ, καθὼς ὑμεῖς εὖ ποιοῦντες ἡμᾶς ἐδιδάξατε. συνοίσει τοίνυν ὑμῖν μηκέτι σποράδας τὴν ὁδὸν ἰέναι, μηδὲ οὕτως ἐπὶ ξένης πλανᾶσθαι. C ἐπειδὴ γὰρ οὕτω δέδοκται, καὶ ἀνεῖται τοῖς πλήθεσι παρ' ἀμφοτέρων ταῖς οἰκείαις χρῆσθαι ὁρμαῖς, πολλὰ πρὸς τῶν αὐτοχθόνων πεπονθέναι τοὺς ξένους εἰκός." ταῦτα εἰπὼν αὐτοὺς μὲν ἀπεπέμψατο, τὸν δὲ Ῥωμαίων στρατὸν πλήθει μὲν παρὰ πολὺ τοῦ τῶν βαρβάρων ἐλασσούμενον εἰδώς, ἐπιστήμῃ δὲ στρατιωτικῇ καὶ καρτερίᾳ τῇ περὶ τὰς μάχας τοσούτῳ δὴ μᾶλλον πλεονεκτοῦντα, τοιάδε ἐνενόει. τὸν Προσοὺχ καὶ τὸν Τζικανδύλην καὶ πλείστους ἄλλους τῶν Ῥωμαίων στρατηγῶν ἐκέλευε στράτευμα ἐπαγομένους ἱκανὸν ἀντιμετώπους Ἀλαμανοῖς ἵστασθαι. τάξασθαι μέντοι ὧδε. τὸ μὲν ἀπολεμώτερον καὶ ὥσπερ ἀγελαῖον τοῦ στρατοῦ πόρρωθεν καὶ ὡς ἀπὸ σημείων στῆναι τεττάρων· μετὰ δὲ τοῦτο D ὅσον ὁπλιτικὸν καὶ κατάφρακτον· ἑξῆς δὲ τοὺς ὅσοι ταχυπόδων ἐπέβαινον ἵππων· τελευταῖον δὲ καὶ μετὰ μέτωπον Σκύθας ἅμα Πέρσαις καὶ τὸ Ῥωμαίων τοξικόν. Ῥωμαῖοι μὲν οὖν κατὰ ταῦτα ἐποίουν, Ἀλαμανοὶ δὲ ὡς εἶδον θυμῷ πολλῷ καὶ θορύβῳ ἐχόμενοι δρόμῳ ἐχώρουν. συνίσταται τοίνυν μάχη καρτερά, καὶ φόνος Ἀλαμανῶν πολὺς γίνεται. Ῥωμαῖοι γὰρ σὺν ἐπιστήμῃ ἐπιόντας αὐτοὺς ὑφιστάμενοι ἔκτεινον. Κορράδος δὲ οὔπω τι πεπυ-

lertissimis, videntur carere omni culpa, nos etiam gratias rependimus: neque enim curandum nobis erit in posterum, ut nostrae multitudinis impetus comprimamus, quin imo adscribemus haec illius insolentiae, quandoquidem id a vobis edocemur. vestra igitur intererit, non dispersos incedere, nec ita in alieno evagari solo. sed cum ita videatur, deturque licentia gregariae multitudini utriusque exercitus quo velit irruere, necesse erit ut multa ab indigenis damna patiantur advenae." his dictis, legatos dimisit. at cum probe sciret, quanto Romanorum exercitus numero bellatorum inferior esset barbarico, tanto scientia rei militaris et in praeliis constantia praecellere, eiusmodi consilium capit. Prosucho et Tzicandylae aliisque ducum Romanorum compluribus iubet, ut idoneum contrahant exercitum, et Alemannis a fronte opponant, instructa in hunc modum acie. imbellis et gregaria exercitus turba longius, et a quarto circiter staret signo: tum gravis armatura et cataphracti, qui deinde velocissimis equis utuntur equites, denique Scythae in fronte, Persaeque et sagittarii Romani. ita ordinatas copias ut conspexere Alemanni, summo animi ardore tumultuque, in illos pernici celeritate irruunt: fit atrox pugna, et caedes ingens editur Alemannorum. quippe Romani, dum subeuntes hostes militari peritia excipiunt, eos cecidere. Conradus nihil eorum quae acciderant edoctus, ferox adhuc, tumi-

P 44 σμένος τῶν γεγονότων σοβαρὸς ἔτι καθῆστο καὶ ἐπὶ μακραῖς ὠχεῖτο ἐλπίσιν. ὁ τοίνυν βασιλεὺς τῆς προτέρας αὐτὸν ἐπικερτομῆσαι θέλων ὑπεροψίας ἀπέστειλε τοιάδε. "ἔδει μὲν ἡμᾶς ἐκεῖνο καλῶς εἰδότας, ὡς οὔτε ἵππος κρείττων φερόμενος χαλινοῦ ὀνήσειεν ἂν τὸν ἐπιβάτην, εἰ μὴ καὶ κατὰ κρημνοῦ τοῦτον πολλάκις συγκατενέγκοι, καὶ στράτευμα δὲ ἐκεῖνο, ὃ μὴ τῶν στρατηγούντων ἐπαΐοι, κινδύνοις περιβάλλειν ὡς ἐπίπαν οἶδε τοὺς ἄρχοντας, μὴ οὕτω στρατεύμασιν ἐφήσειν τοῖς ἑαυτῶν πρὸς τὰς οἰκείας ἑκάτερα φέρεσθαι ὁρμάς. ἐπεὶ δ' οὐκ οἶδ' ὅ τι παθὼν σύ τε πρότερον
V 35 κατωλιγώρηκας τούτου καὶ τὸ ἡμέτερον δὲ κράτος ὅσα καὶ φίλῳ προσφερόμενον τῆς αὐτῆς γεγονέναι σοι γνώμης ἀνέπεισας ἤδη
B συλλόγισαι τίνα ὑμῖν ἡ τοῦ πλήθους προὐξένησεν ἐλευθερία. πυνθάνομαι γὰρ ὡς ὀλίγος Ῥωμαίων στρατὸς Ἀλαμανῶν πλήθει οὐκ εὐκαταφρονήτῳ περιτυχὼν κακῶς αὐτὸ διέθετο. τὸ γὰρ αὐτόχθον καὶ ἐγχώριον ἐπικρατέστερον ὡς ἐπίπαν τῶν ἐπηλύδων καὶ ξένων φιλεῖ γίνεσθαι. ἡμῖν δὲ οὐδὲ κολάζειν ἔξεσται τοῖς πλήθεσι τὴν ἀσέβειαν. πῶς γάρ; οἷς καθάπαξ πρὸς γνώμην ἐνέδομεν φέρεσθαι τὴν αὐτῶν. εἰ τοίνυν καὶ αὐτό σοι δοκεῖ, ἀνθεκτέον καὶ πάλιν ἡνίας ἀμφοτέρους τῆς ἀρχικῆς καὶ ἀνασειραστέον τοῖς στρατεύμασι τὰς ὁρμάς. μὴ δοκοῦν δέ σοι, ταῦτα μὲν μενετέον ἐπὶ τῶν παρόντων. τό γε μὴν πεπραγμένον σαφῶς ἡμῖν δεδηλώσθω."

C 16. Τὰ μὲν δὴ τοῦ βασιλέως ἐν τούτοις ἐτελεύτα. Κορράδος δὲ οὔπω τῶν Ἀλαμανοῖς συμπεσόντων ἐνωτισάμενος οὐδὲν

3. ἡμᾶς] Cod. ὑμᾶς. 18. αὐτό σοι] Malim αὐτῷ σοι. 20. μὲν μενετέον] μὲν ἐατέον?

dusque et magna spe plenus consederat in castris. at imperator, quo priorem illius superbiam retunderet sugillaretque, literas misit eo verborum contextu. „ut nemo nostrum ignorat, equum, qui fraenum non patitur, nihil prodesse sessori suo, imo crebrius ad praerupta illum deferre; exercitum, qui imperantium mandata detrectat vel negligit, ipsos ut plurimum duces obiicere periculis: ita minime par erat indulgere militibus nostris, ut inter se invicem pro arbitrio collidi pateremur. at postquam aliud forte cogitans tu haec neglexisti primum, nostramque maiestatem quae te ut amicum de iis admonuerat, induxisti, ut eadem uteremur indulgentia: nunc tandem percipe, quid utilitatis vobis contulerit eiusmodi licentia multitudinis. accepi enim exiguam Romanorum manum, cum haud contemnendis Alemannorum copiis congressam, male eas accepisse. fere enim semper accidit, ut indigenae ipsoque innati solo, advenis et extraneis sint longe fortiores. neque nobis vulgi petulantiam castigare licet. qui enim poterimus, quibus agere pro libitu indulsimus? verum si et tibi ita videtur, discant copiae nunc parere ducum imperiis, et earum coerceatur impetus. sin alia est sententia, stemus praesentibus; saltemque vulgare liceat quod a nobis gestum est."

16. Eiusmodi fuit epistola imperatoris. Conradus interea, nondum percepto de Alemannorum clade nuntio, de priori ferocia remisisse non vi-

τούτων μὲν οὐδ' ἐπεστράφθαι τὸ παράπαν ἐδόκει. δρόμωνα δὲ τὸν βασίλειον καὶ τὰς συνήθεις σταλῆναί οἱ πρὸς βασιλέως ἠξίου τριήρεις, ἐφ' ᾧ πρὸς τὴν διάβασιν αὐτοῖς χρήσαιτο. καὶ εἰ μὴ θᾶττον ἀφίκοντο πρὸς αὐτόν, ἠπείλει πολλαῖς ἐς νέωτα μυριάσι τὴν πόλιν περιβαλεῖν. πρὸς ὃ χαλεπήνας ὁ βασιλεὺς οὐκέτι μέχρις εἰρωνείας τὸν ἀλαζόνα ἀμείβεσθαι ἤθελεν. ὅθεν καὶ πικροτάτοις αὐτοῦ καθίκετο λόγοις ἐπιστείλας οὑτωσί. "οὐ τῷ πλήθει τὰ πράγματα κρίνειν εἰώθασιν οἷς καὶ σμικρὰ συνορᾶν ἔνεστι, ποιότητι δὲ μᾶλλον καὶ ταῖς ἐντεῦθεν ὑπερβολαῖς τε καὶ ἐλλείψεσιν. οὐκοῦν καὶ τοὺς Ἄρεος ἀθλητὰς οὐ πλήθει διαιρετέον, ἀλλ' ἀρετῇ καὶ πόνοις καὶ τῇ περὶ ταῦτα ἐπιστήμῃ. ἂν καί σοι τοίνυν D
πλεῖστον ἀκολουθῇ στράτευμα, ἀλλὰ πρὸς τῷ μὴ πολλῷ τὸ ἡμεδαπὸν ὑπεραίρειν, καίτοι τοῦ πλείστου πολλαχῇ τῆς Ῥωμαίων διῃρημένου ἀρχῆς, ἀγελαῖόν ἐστι καὶ τὸ πλεῖστον ἀπειροπόλεμον· προβάτων δὲ ἀγέλαι κἂν εἰς μυριοστύας ὅλας ἀριθμοῖντο σχολῇ ἐὰν ἀνάσχοιντο λέοντος ἐπιπηδῶντος αὐταῖς. ἢ οὐκ οἶσθα, ὅτι καθαπερεὶ στρουθίον ὑπὸ ταῖς ἡμετέραις γεγένησαι ἤδη παλάμαις; κἂν θελήσωμεν, οὐκ ἂν φθάνοις αὐτίκα παραπολλύμενος. ἐννόησον ὡς ἐκεῖνοι τὴν χώραν κατέχουσι ταύτην, ὧν οἱ πρόγονοι πᾶσαν τὴν γῆν περιῆλθον τοῖς ὅπλοις, ὑμῶν τε αὐτῶν καὶ λοιπῶν P 45
ἁπάντων τῶν ὑφ' ἡλίῳ ἐκυρίευσαν ἐθνῶν. ταῦτα ὑπολογίζεσθαί σε χρεὼν καὶ προσέτι ὡς οὔτε νεώς ποτε ἐπιβήσῃ τῆς βασιλείου οὔτε τι ὧν ᾔτησας ἐπιτελὲς ἔσται σοι παρ' ἡμῶν, ἀλλά σε τὴν

4. ἀφίκοντο] Malim ἀφίκοιντο. 9. ποιότητι] Ita Duc. Cod. ποιότητα. 15. σχολῇ ἐὰν] σχολῇ γ' ἄν?

debatur. quin imo dromonem imperatorium, et consuetas triremes, quibus ad transmittendas copias uteretur ab imperatore postulabat; ac ni confestim adducerentur, proximo se anno multis cum millibus urbem ipsam obvallaturum minabatur. indignissime id ferens imperator, non iam ludicris, sed acerbissimis arroganti respondere hunc in modum literis decrevit: „non ex multitudine iudicare de rebus solent ii, qui et modica saepe quid valeant, non ignorant, sed ex earum natura, et iis quae aut abundant in illis, aut deficiunt. neque enim Martis athletae numero distinguendi, sed virtute, laboribus, et rei militaris peritia pensandi sunt. quamvis igitur ingens te sequatur exercitus, nobisque vix adsint copiae, utpote per omne Romanorum imperium militibus distributis, tua illa turba incomposita est, et maiorem partem rei bellicae ignara. pecudum greges, et si multorum millium sint, vix leonis irruentis impetum possunt sustinere. an ignoras, te instar aviculae in nostris fuisse manibus, continuo si voluissemus periturum? has illos incolere regiones cogita, quorum maiores orbem universum bellis peragrarunt, vobisque ipsis, aliisque omnibus sub sole gentibus imperaverunt. haec te scire perinde necesse est, neque imperatoriam ad te unquam navem venturam, neque quidquam eorum quae postulasti nos indulturos; sed qua veni-

αὐτὴν καὶ πάλιν οἱ τῶν ἵππων οἴσουσι πόδες. καὶ οὐ δήπου μεμπτέοι πάντως ἡμεῖς, εἰ μὴ τοῖς ἀδικεῖν βουλομένοις ῥᾴστους ποιοῦμεν ἑαυτούς. οὐ γὰρ ταὐτὸν ἀδικεῖν καὶ ἀμύνεσθαι· ἀλλὰ τὸ μὲν γνώμης ἤρτηται φαύλης, τῷ δὲ προηγεῖται πάντως ἀσφάλεια. ἡμᾶς δὲ καὶ προλαβὸν ἀξιοῖ τὸ ὑπήκοον ἅπερ ὅσον οὐκ ἤδη Πέρσαις ἀποκερδανθήσεται τοῖς ἐν γειτόνων, ταῦτα δὴ Ῥωμαίους ἀμο-
B γητὶ κτήσεσθαι. ὃ τοίνυν ἀξιούντων οὐκ ἠνεσχόμεθα τῶν ἡμετέρων, τοῦτο νῦν σοῦ προτρεπομένου αὐτίκα ποιεῖν κινδυνεύομεν." ταῦτα Κορράδος ἐνωτισάμενος καὶ ἅμα πυθόμενος ἅπερ ἔναγχος δυστυχῶς συνέπεσεν Ἀλαμανοῖς, λεμβάδιόν τι λυπρὸν αὐτοῦ που περὶ τὴν θαλάσσης ἀνειλκυσμένον ἀκτὴν ἀναβάς, τὸν Δαμάλεώς τε πορθμὸν διέβη καὶ ἐπὶ τῆς περαίας θᾶττον ἐγένετο, ὀλιγωρίας τινὸς βαρβαρικῆς ἐπειγούσης τὸν ἄνθρωπον. φιλεῖ γὰρ τὸ βάρβαρον εὐημεροῦν μὲν ὑπὲρ μέτρον ἐπαίρεσθαι καὶ αὐχεῖν, δυστυχοῦν δὲ καταβάλλεσθαί τε πλέον ἢ προσήκει καὶ ταπεινοῦ-
C σθαι παρὰ τὸ μέτριον. βασιλεὺς δὲ τοῦ καὶ εἰσέτι μᾶλλον κατα-
V 36 σπᾶν αὐτῷ τὴν ὀφρῦν προνοῶν, τοιάδε ἐποίει. τῶν τινας Ῥωμαίων εἰς τὴν κατόπιν ἰοῦσαν ἐκπέμψας Ἀλαμανῶν στρατιὰν ἀριθμοῦ κρείσσω ἀγγελλομένους εἶναι χρήμασι τῆς ἐς Κορράδον ἀποσχέσθαι ἀνέπειθεν εὐνοίας. ὁ Κορράδος ἐνωτισάμενος οὐκέτι ἐκεῖνος ὁ πρώην ὑπέροφρυς ἦν. πέμψας δὲ πρὸς βασιλέα ᾐτεῖτο σταλῆναί οἱ Ῥωμαίων τινὰ ὁδοῦ τε αὐτῷ καθηγησόμενον καὶ ἐν τῷ ἀσφαλεῖ παραπέμψοντα. ἔσταλται τοίνυν ὁ τὸ τοῦ ἀκολού-

19. ἀγγελλομένους] ἀγγελλομένην?

sti, equorum pedibus fore tibi redeundum. neque propterea erimus culpandi, si inferre iniuriam volentibus nos minus faciles ac benevolos praebemus. res enim diversissimae sunt inferre iniuriam et propellere: illud a prava voluntate pendet, alterum securitas suadet. nos vero iamdudum orant subditi nostri, ut quae modo ex vicinis Persis vindicavimus, ea quiete ac sine molestia possideant Romani. quod igitur obsecrantibus nostris non indulsimus, id nunc te suadente statim experiemur." iis acceptis Conradus, intellectaque simul quae paulo ante Alemannis acciderat clade, putri circa littus protracta navicula, Damalis fretum traiicit, summaque celeritate in adversam continentem properat, pavore quodam barbarico virum ocius urgente. barbari quippe fluentibus ex voto rebus, eriguntur in immensum, tumentque: si contra adsit aliqua calamitas, plus quam par est demittuntur animo. sed imperator quo magis adhuc illius supercilium contraheret, talia aggreditur. missis aliquot ex Romanis ad procedentem a tergo Alemannorum exercitum, data pecunia, militum, quorum numerus paene fuit infinitus, a Conrado abalienavit animos. quod ut intellexit Conradus, non ea qua prius ferocia inflatus, per legatos principem rogat, ut ad se Romanum quemdam transmitteret, qui monstraret viam, et tuto copias suas deduceret. mittitur itaque qui ad id tempus acoluthi dignitate functus fuerat, dato insuper man-

θεν εἰς ἐκείνην τὴν ἡμέραν λειτούργημα ἐκπληρῶν. ἐπιτέτραπτο δέ οἱ καὶ συμμαχίας πέρι Κορράδῳ διειλέχθαι. ἣν ἐπειδὴ πολλῷ τῷ διαλλάσσοντι Ῥωμαίους καὶ Ἀλαμανοὺς ξυμβαίνει μάχεσθαι, τὴν μὲν βασιλεῖ δοίη, πολλῷ δὲ ἀντιλάβοι πλείονα, εἴ γε αὐτῷ D βουλομένῳ ἔσται μάχης κατὰ Περσῶν βασιλεῖ κοινωνῆσαι. ὁδῶν τε σφίσι προκειμένων δυοῖν, ὁποτέρᾳ ἂν αὐτὸς βούλοιτο ἰέναι, ταύτην δὴ ἑλέσθαι. Στέφανος μὲν οὖν Κορράδῳ ταῦτα ἀπήγγελλεν. ὁ δὲ ἐς βουλὴν ξὺν τοῖς αὐτοῦ καταστὰς πρὸς μὲν τὴν ὁμαιχμίαν ἀπεῖπεν, ὁδὸν δὲ ᾗ Φιλομίλιον ἄγει αὐτὸς εἵλετο. μέχρι μὲν οὖν Μελαγγείων καὶ Δορυλαίου πόλεως οὐδὲν ἄχαρι Ἀλαμανοῖς ὑπηντίαζεν. ἐνταῦθα δὲ γενομένοις Μαμπλάνης ὄνομα Πέρσης ἀνὴρ ἅμα στρατεύματι ὀλίγῳ τοῖς ἐμπροσθίοις αὐτῶν προσέβαλε τάγμασιν, ἀποπειρασόμενός τε τῆς ἰσχύος αὐτοῖς καὶ τὸν τῆς παρατάξεως ὅπως ποτὲ ἔχοι μαθησόμενος τρόπον. Ἀλαμανοὶ τοίνυν, ἐπειδὴ Πέρσαι τὸ πρῶτον αὐτοῖς παρεφάνησαν, P 46 οὐκέτι κατὰ συντάξεις ἐχώρουν· θυμῷ δὲ καὶ θορύβῳ πολλῷ ἐχόμενοι κατ' αὐτῶν ᾔεσαν. Πέρσαι δὲ ἕως μὲν οὐ πόρρω τοῦ σφῶν αὐτῶν στρατοπέδου Ἀλαμανοὶ ἦσαν, νῶτα ἐδίδουν καὶ τὴν φυγὴν ὑπεκρίνοντο· ἐπειδὴ δὲ ἥ τε ἵππος αὐτοῖς ἐκεκμήκει καὶ τοῦ στρατοπέδου μακρὰν ἤδη ἐγεγόνεισαν, ἀποστρόφους τὰς ἐπελάσεις τιθέμενοι ἵππους τε καὶ αὐτοὺς ἔκτεινον. πολλάκις τε αὐτὸ γεγονὸς ἐς ὀρρωδίαν μέτρον οὐκ ἔχουσαν τούτους ἐνέβαλεν. ἦν οὖν ἰδεῖν τοὺς χθὲς θρασεῖς καὶ ἀλαζόνας καὶ θηρῶν δίκην ἀνυποστάτων ἐπιόντας, δειλούς τε καὶ ἀγενεῖς καὶ οὐδὲν οὔτε πρᾶξαι

6. ὁποτέρᾳ] Cod. ὁποτέρῳ. 20. ἀποστρόφους] Fort. ἀγχιστρόφους vel ὑποστρόφους.

dato, ut de belli etiam societate ineunda cum Conrado sermones conferret: quam si ille admitteret, quandoquidem multum interesset Romani an Alemanni bella gererent, auxilia quidem submitteret imperatori, ab illo vicissim recepturus maiora, si arma cum imperatore adversus Persas coniungere paratus esset: porro duabus propositis, eligeret ille quam vellet viam. haec Conrado Stephanus nuntiavit. ille suis in consilium coactis, commilitium penitus recusavit. itinere vero Philomelium versus instituto, nihil illi quidpiam sinistri accidit, quousque ad Melangia et Dorylaeum oppidum pervenit. tum enim Mamplanes Persa cum exiguo exercitu in primam aciem invectus est, quo vires hostiles, et pugnandi formam exploraret. Alemanni visis primum tum Persis, nullo quidem ordine, sed cum impetu tumultuque in eos irruere. illi, quamdiu haud procul a castris erant Alemanni, terga vertunt, fugamque simulant: dein fessis insequentium equis, atque ipsis longius a cetero exercitu abstractis, converso cursu equos cum sessoribus concidunt: idque repetitum pluries immodicum Alemannis terrorem incussit. tum demum videre erat feroces nuper et tumidos, quique ferarum instar ho-

B οὔτε μὴν βουλεύσασθαι ἱκανούς. ὅτε δὴ καὶ Κορράδος (ἦν γὰρ θαρσαλέος τὰ πολέμια) κατὰ Περσῶν ἐλάσας τούς τε ἵππους ἀποβεβλήκει οὓς αὐτῷ ὁ βασιλεὺς δρομικοὺς μάλιστα ἔδωκε, καὶ αὐτῷ δὲ ὀλίγου καὶ ἁλῶναι πρὸς τῶν βαρβάρων τούτων ἐδέησεν.

17. Ἀλαμανοὶ μὲν οὖν ἐν τούτοις ἦσαν. ὁ δὲ τῶν Γερμανῶν ῥὴξ (ἠγγέλλετο γὰρ ἤδη τὸν Ἴστρον διαβὰς προσωτέρω χωρεῖν) οὐκέτι κατὰ Κορράδον ὑπὲρ τὸ δέον ἔγνω φρονηματίζεσθαι· τούς τε γὰρ ἐκ βασιλέως ἐπ' αὐτὸν ἥκοντας, φημὶ Μιχαήλ τε σεβαστὸν τὸν Παλαιολόγον καὶ Μιχαὴλ ᾧ τὸ ἐπώνυμον Βρανᾶς ἔκειτο, ἄσμενός τε εἶδε καὶ χάριτας διὰ ταῦτα βασιλεῖ ὡμολόγει
C δῆλός τε ἦν μηδὲν εἰσέπειτα ἐς Ῥωμαίους κακουργήσων. εἴτε δὲ ἐκ τῶν Κορράδῳ συμπεπτωκότων ἤδη σωφρονισθείς, εἴτε καὶ φύσει τοιοῦτον τῷ ἀνθρώπῳ τὸ ἦθος ἦν, λέγειν αὐτὸς οὐδαμῇ ἔχω. πλείονος δ' οὖν διὰ ταῦτα τῆς βασιλέως παραπολαύων διετέλει δεξιώσεως. ἐπεὶ δὲ ἀγχοῦ Βυζαντίου ἤδη ἐγένετο, πρέσβεις ἐς βασιλέα πέμψας φιλίαν τε ἔτι μᾶλλον ὡμολόγει καὶ ἐπὶ μεγάλοις συμπράξειν αὐτῷ συνετίθετο· εἰ δὲ συνέσεσθαι ἀλλήλοις καὶ λόγου κοινωνήσειν ἐν παλατίῳ βουλητὸν αὐτῷ ἔσται, οὐδὲ τοῦτο παραλιπεῖν ἤθελε. βασιλεὺς δὲ ἤκουσε τῶν λόγων οὐκ ἀηδῶς καὶ σὺν πεποιθήσει ἀφικέσθαι τοῦτον ἐκέλευεν. εἰσελαύνοντι τοίνυν
V 37 ἄνδρες ὑπήντων αὐτῷ ὅσοι τε κατὰ γένος καὶ τύχην βασιλεῖ ἤγγι-
D ζον καὶ ὅσοι τὰς ὑπερηφάνους τῷ τηνικάδε διεῖπον ἀρχάς, προπέμψοντές τε μεγαλοπρεπῶς αὐτὸν ἐς τὰ βασίλεια καὶ τὰ εἰκότα

stes suos aggrediebantur, iam trepidos et degeneres, neque agendi animum, neque consilii locum habere. at Conradus, ut erat in bellis mirabili audacia, in Persas progressus, velocissimos, quos ab imperatore acceperat, equos amisit: ipseque, quin a barbaris caperetur, parum abfuit.

17. Is rerum Alemannicarum fuit status. rex autem Germaniae, qui transisse iam Istrum, et ulterius progredi nuntiabatur, non ea qua Conradus, ultra modum ferocia se gessit: sed legatos ab imperatore ad se missos, Michaëlem Palaeologum sebastum, et Michaëlem cognomento Branam, excepit comiter, coque nomine gratias imperatori egit. apparebatque nihil eum damni contra Romanos deinceps moliturum: quod utrum iis quae Conrado acciderant prudentior factus fecerit, an vero quod mite illi a natura fuerit ingenium, haud omnino mihi compertum. utut sit, magnam inde sibi principis gratiam conciliavit. cum iam Byzantio proximus esset, missis ad imperatorem legatis, amicitiam suam non tantum ultro est professus; sed et addidit, sese lubenter cum eo de rebus non mediocris momenti acturum, si ille una convenire, inque palatio sermones de iis conferri pateretur. annuit dictis haud gravate princeps, et ut accederet ille fidenter, nuntiavit. advenienti itaque, effusi obviam quotquot erant genere vel fortuna imperatori proximi, et quicumque primas tunc temporis obtinebant dignitates, ipsum magnifice, et ut par erat, summo cum honore in regiam deducunt. post-

τιμήσοντες. ἐπειδή τε εἴσω τῶν ἀνακτόρων ἤδη ἐγένετο ἔνθα βασιλεὺς ἐπὶ τοῦ μετεώρου καθῆστο, χθαμαλή τις αὐτῷ ἐκομίζετο ἕδρα ἣν σελλίον ῥωμαΐζοντες ὀνομάζουσιν ἄνθρωποι, ἐφ' ἧς καθιζήσας τὰ εἰκότα τε εἰπὼν καὶ ἀκούσας τότε μὲν ἐς τὸ πρὸ τοῦ περιβόλου ἀπηλλάττετο προάστειον, ὃ Φιλοπάτιον καθάπερ ἤδη ἔφην ὠνόμασται τοῖς πολλοῖς, ἐνταῦθα καταχθησόμενος· ὀλίγῳ δὲ ὕστερον καὶ ἐς τὰ πρὸς νότον τῆς πόλεως σὺν τῷ βασιλεῖ ἦλθεν P 47 ἀνάκτορα, ἱστορήσων ὅσα τε ἐνταῦθα θαύματος ἄξια καὶ τοῖς ἐπὶ τὸν τῇδε νεὼν ἐντευξόμενος ἱεροῖς· φημὶ δὴ ὅσα τῷ σωτηρίῳ Χριστοῦ πελάσαντα σώματι Χριστιανοῖς ἐστι φυλακτήρια. τοσαῦτα ἐν Βυζαντίῳ τελέσας ὅρκοις τε τὰ πιστὰ δοὺς ἦ μὴν φίλος διὰ βίου καὶ σύμμαχος βασιλεῖ ἔσεσθαι, ἐπὶ τὴν Ἀσίαν διέβη καὶ αὐτός.

18. Ταῦτα μὲν οὖν τῇδε ἐπράσσετο. ὁ δὲ βασιλεὺς Νικόλαόν τινα ᾧ Μουζάλων ἐπίκλησις ἦν ἐς τὸν ἀρχιερατικὸν θρόνον ἀνάγει, ὃς εἰς τοὺς ἐκκλησιαστικοὺς μὲν πρότερον καταλόγους ἐτέλει, τὸν δὲ τῆς Κυπρίων ἐκκλησίας θρόνον λαχὼν εἶτα ἐθελοντὴς ἐκεῖθεν ἀφίσταται. ἀλλ' ἅμα τε ἐπὶ τῶν πραγμάτων B ἐγίνετο καὶ ἅμα πᾶν κατ' αὐτοῦ κεκίνηται στόμα, παρανόμως αὐτὸν ἐπιπηδῆσαι λεγόντων τῷ θρόνῳ, ἅτε ξὺν τῇ λαχούσῃ τοῦτον ἐκκλησίᾳ καὶ τὴν ἱερωσύνην ἤδη προσαποθέμενον. ὁ δὲ τὸ μὲν πρῶτον ἰσχυρογνώμων τις ἦν καὶ τοῦ θρόνου μεθίεσθαι οὐ-

8. ὅσα τε] Malim ὅσα γε. ibid. ἐπὶ τὸν νεὼν] Cod. π. fort. περὶ.

quam palatium subiit, ubi in excelsiori sedebat loco imperator, affertur ei sedes humilior, quam sellam, qui lingua Romana utuntur, vocant. cumque in ea consedisset, ultro citroque variis de rebus habito sermone, tandem in proximum, quod urbis moenibus obversatur suburbanum, vulgoque ut retuli Philopatium nuncupatur, concessit, aliquamdiu ibi moraturus. paulo post cum imperatore adiit ea palatia, quae in australi parte urbis sita sunt, visurus in iis quae admirationem inducunt, lustraturusque sacrosanctas reliquias, quae in templo ibidem exstructo religiose coluntur: ea scilicet, quae sacratissimo Christi corpori quondam admota, ad Christianorum munimentum asservantur. his Byzantii peractis, et obstricta insuper iureiurando fide, amicum se quamdiu viveret, ac in bellis socium imperatori fore, in Asiam et ipse traiecit.

18. Interea dum haec geruntur, imperator Nicolaum quemdam, cognomine Muzalonem ad patriarchalem sedem provehit, qui in ecclesiasticis primum dignitatibus versatus, ecclesiamque Cypriorum adeptus, ultro postmodum inde recesserat. verum ut res administrare coepit, omnium statim ora in eum commota sunt, iniuste occupatum ab illo thronum clamitantium, ut qui cum ecclesia, quam nactus fuerat, sacerdotium quoque deposuisset. sed is obstinatus primo, throno se deturbari haudquaquam passus: ubi au-

δαμῇ ἤθελεν. ὡς δέ ποτε βασιλέως τῷ πράγματι διαιτήσαντος τὴν ἥττονα ἔγνω κληρούμενος, οὐχὶ καὶ εἰσαῦθις ἀνακριθήσεσθαι ἀνασχόμενος, ἀφίστατό τε τοῦ θρόνου καὶ καθ᾽ ἑαυτὸν αὖθις ἐβίου· ἀνθ᾽ οὗ Θεόδοτος ἀνὴρ ἐπὶ πλεῖστον ἀσκητικοῖς ἐγγυμνασάμενος προχειρίζεται πόνοις. Ἀλαμανοὶ δέ, καθάπερ εἴρηται, πρὸς τῶν Περσῶν πολλάκις ἀποκρουσθέντες πολλούς τε
C τῶν σφετέρων ἀποβαλόντες, ἐπειδὴ τὴν διὰ Φιλομίλιον ἀπέγνωσαν ἤδη διάβασιν, ὀπίσω λοιπὸν ἐφέροντο γενόμενοί τε ἐν Νικαίᾳ ἐνταῦθα Γερμανοῖς τε ὁδῷ ἰοῦσι συνέμιξαν καὶ ῥηξὶ τοῖς ἄλλοις μεγάλα καὶ αὐτοῖς ἐπαγομένοις στρατεύματα· ὧν ὁ μὲν τοῦ Τζέχων κατῆρχεν ἔθνους, ῥὴξ πρὸς τοῦ Κορράδου δῆθεν προχειρισθείς, ἅτερος δὲ τοῦ τῶν Λέχων, οἳ Σκυθικὸν μέν εἰσι γένος Οὔννους δὲ προσοικοῦσι τοὺς ἑσπερίους. ἐπειδή τε ἐς ταὐτὸ συνήεσαν τὰ στρατεύματα, ῥημάτιόν τι ἐκ μακροῦ πρὸς Γερμανῶν Ἀλαμανοῖς ἐπιλέγεσθαι εἰωθὸς ἀναφανδὰ καὶ τότε προὐφέρετο "πούτζη Ἀλαμανέ" οὕτω πως ἐπὶ λέξεως ἐσχηκός. ὅθεν
D δὲ τὸ τοιοῦτον ἀρχὴν ἔσχεν αὐτίκα δηλώσω. τοῖς ἔθνεσι τούτοις ὁ περὶ τὸ μάχεσθαι τρόπος ἐστὶν οὐχ ὁ αὐτός. Γερμανοὶ μὲν γὰρ ἵππον τε εὐσταλῶς ἀναβῆναι καὶ ξὺν δόρατι ἐπελάσαι δεξιοὶ μάλιστα, ἥ τε ἵππος αὐτοῖς δρόμῳ τὴν Ἀλαμανῶν παρελαύνει. Ἀλαμανοὶ δὲ πεζῇ τε τὴν μάχην ἐνεγκεῖν ἱκανοὶ ὑπὲρ τοὺς Γερμανοὺς καὶ ξίφει χρήσασθαι πολλῷ προφερέστεροι. ἐπειδὴ γοῦν ποτε Γερμανοῖς ἐπεστράτευον Ἀλαμανοί, τὴν αὐτῶν ὑφο-

14. ῥημάτιόν τι] Cod. ῥῆμά τι ὄντι. 18. τρόπος] Cod. πόθος, superscripto τρόπος.

tem re ad imperatoris examen delata, male sibi cessurum agnovit, iudicium nolens denuo experiri, abdicata ultro dignitate, ad vitam rursus privatam rediit. Theodotus ei sufficitur, vir monachicis institutis apprime instructus. Alemanni interea, ut supra scripsimus, a Persis saepius repulsi, multisque suorum amissis, desperato iam per Philomelium transitu, inde retro cessere. ut venerunt Nicaeam, Germanis progredientibus ibi sese adiungunt, regibusque aliis, qui et ipsi non modicos secum ducebant exercitus. horum alter Tzechorum genti imperitabat, a Conrado ad regiam evectus dignitatem: alter praeerat Lechis, Scythicae genti, quorum regio Hungaris Occidentalibus contermina est. postquam in unum convenere exercitus, dictum illud quod in Alemannos iampridem iactari solet, palam tunc coepit proferri, "pousse Aleman" sic enim ad verbum se habet illud scomma, quod unde originem habuerit, paucis expediam. gentibus istis non eadem est dimicandi ratio. Germani quidem equum expedite conscendere, cum hasta irruere maxime periti: eorum equitatus celeritate et cursu Alemannico longe praepollet: Alemanni autem pedestri acie, ut et ensium usu praestant Germanis. cum itaque aliquando contra Germanos praeliarentur Alemanni, vererenturque eo-

ρώμενοι ἵππον πεζῇ τὸν πόλεμον ἐνεγκεῖν ἔγνωσαν. Γερμανοὶ
τοίνυν ἀνέτῳ τῇ αὐτῶν ἐντετυχηκότες ἵππῳ, αὐτῆς μὲν ἐκράτουν, P 48
τῶν δὲ Ἀλαμανῶν εὐχερέστερον καθιππαζόμενοι ἐτρέποντό τε αὐ- V 38
τοὺς ἐκ ποδὸς ἰόντας, καίτοι πλήθει παρὰ πολὺ αὐτῶν ἐλασ-
σούμενοι, καὶ τῷ εἰρημένῳ προσεκερτόμουν αὐτοῖς, ὅτι δὴ ἐξὸν
σὺν τοῖς ἵπποις μάχεσθαι οἱ δὲ πεζῇ τὸν πόλεμον εἵλοντο. τοῦτο
δὴ καὶ τότε καθάπερ εἴρηται πρὸς τῶν Γερμανῶν Ἀλαμανοῖς
ἐπιφερόμενον συνεχῶς μεγάλα τούτοις ἐλύπει. διά τοῦτό τε οὖν
καὶ ὅτι τὰ δεύτερα κληροῦσθαι τῶν Γερμανῶν κίνδυνος αὐτοῖς
ἐν ταῖς ὁδοῖς περιίστατο, ἄχρι μὲν καὶ ἐπὶ τὴν Φιλαδέλφου ἅμα
ἐχώρουν, τὸ δ' ἐντεῦθεν Κορράδος οὐκ ἔτι φέρειν εἰ πρὸς Γερ-
μανῶν περιορῷτο δεδυνημένος παλινοστεῖν ἔγνω· ἀμέλει καὶ βα- B
σιλεῖ τὸν σκοπὸν ἐπιστείλας ἐδήλου. ὁ δὲ τὸ μὲν ἀπονοσφίζειν
ἀλλήλων τοὺς ῥῆγας ἐθέλων, τὸ δὲ καὶ τῷ ἀνθρώπῳ συναλγῶν,
ἐπέστειλε τοιάδε· "Ἀνθρώποις, οἷς καὶ κατὰ βραχὺ τοῦ φρο-
νεῖν μέτεστιν, οὐ ξὺν ταῖς τύχαις τὰ πράγματα θεωρεῖν ἔθος,
ἀλλ' αὐτὰ καθ' αὑτὰ περιπετείας ἔξω τινός. οὔτε τοίνυν εὐ-
θηνουμένῳ σοι ὑπὲρ τὴν ἀξίαν προσφέρεσθαι ἔγνωμεν, καὶ νῦν γε
μετρίως δυσπραγήσαντα τοῖς αὐτοῖς καὶ πάλιν σε δεξιοῦσθαι
οὔκουν ὀκνήσομεν, οἷς καὶ τὸ πρότερον ὅσα καὶ ξυγγενῆ καὶ τηλι-
κούτων ἐθνῶν ἄρχοντα τιμᾶν ἡμῖν μὲν διὰ σπουδῆς ἦν, ξυμ-
βουλεύειν τε τὰ παριστάμενα, τῶν εἰρημένων τε ἕνεκα καὶ τοῦ C
ὁμοθρήσκους ἡμᾶς ἀλλήλοις εἶναι. σὺ δ' ἀλλ' οὐκ οἶδ' ὅπως

23. σὺ δ' ἀλλ'] Cod. οὐδ' ἀλλ'.

rum equitatum, bellum pedites conficere instituunt. at Germani in inconditum neglectumque eorum equitatum facto impetu, illum haud aegre deleut, ceterasque inde Alemannorum copias pedestres vertunt in fugam, etsi bellatorum numero longe ab illis superarentur. tum dicterio iam memorato perstrinxere Germani Alemannos, quod cum potuissent ex equis pugnare, pedestre praelium praetulissent. id tum quoque, ut retuli, a Germanis continuo obiectum Alemannis non parum molestum fuit. ea igitur propter, et quod his periculum erat ne in itinere Germanis inferiores existerent, una quidem ad Philadelphiam usque profecti sunt: exinde vero Conradus, cum se contemni a Germanis ferre non posset, reverti statuit, deque eo consilio monuit imperatorem. ille cum reges invicem divelli percuperet et simul hominis doleret vicem, hasce literas misit: "res omnes cum adest fortuna, vel qui minimum sapiunt, numquam pensitare solent, sed ipsas per se omni casuum varietate denudatas. non itaque cum prospere omnia tibi cederent, supra quam ex dignitate erat, te uti voluimus. nunc vero cum adversa quodammodo te urgeat fortuna, iisdem demereri obsequiis haud nos pigebit, quibus antea et consanguineum, et tot nationum ducem honorare sollicite curavimus, et de rebus imminentibus consilia dare, cum ob iam dictas causas, tum quod uterque eamdem profiteamur religionem. at tu quidem nescio

περὶ ἐλάσσονος τὸ σοὶ αὐτῷ ξυνοῖσον πεποιημένος ἔλαθες ἑαυτὸν τὸ ἧττον αἱρετισάμενος· ἀλλὰ ταυτὶ μὲν ἐπειδήπερ ἅπαξ γεγονότα ἀναλύειν ἐστὶν ἀδύνατον, παρείσθω τέως ἡμῖν, ἐπιμελητέον δ' ὡς ἔνι μάλιστα τῶν ἔτι παρ' ἡμῖν, τῶν οὔπω πεφευγότων. τοιαύτην γὰρ ἔχει φύσιν τὰ πράγματα, ῥεῖ συνεχῶς, ἵσταται οὐδαμῇ· κἂν τις ἀρύσηται προλαβών, ἔσχεν ἤδη τὸ πᾶν, παρελθόντα δ' ἀνακαλέσασθαι ἐπίσης ἀδύνατον. ἕως τοίνυν ἔχει τινὰ θεραπείας τὰ κατά σε τρόπον, σπεῦσον ἁρπάσαι τὸ συνοῖσον".

D 19. Τὸ μὲν δὴ γράμμα ἐν τούτοις τετέλεστο. Κορράδος δὲ ἐτύγχανε μὲν καὶ πρότερον ἤδη ἀβουλίαν ἑαυτοῦ καταγνούς, οὐκ ἔχων δὲ ὅ τι καὶ δράσειεν οὐ σφόδρα ἐθελούσιος Γερμανοῖς εἵπετο. τότε δ' οὖν ἐπειδὴ καὶ τὰ βασιλέως παρ' αὐτὸν γράμματα ἦλθεν, ἕρμαιον αὐτίκα τὸ πρᾶγμα ἡγησάμενος, ἐδέξατό τε σὺν ἡδονῇ τοὺς λόγους καὶ θᾶττον ὀπίσω ἐχώρει, πρὸς Ἑλλησπόντῳ τε γεγονὼς διὰ τοῦ ἐνταῦθα πορθμοῦ ἐπὶ Θρᾴκην διέβη. ἔνθα τῷ βασιλεῖ διατριβὴν ποιουμένῳ συγγεγονὼς εἶτα ἐπὶ Βυζάντιον ἅμα αὐτῷ ἦλθεν. ἔνθα ἀνέσεις τε αὐτὸν τοῦ λοιποῦ διεδέξαντο καὶ βασίλειοι καταγωγαὶ θέατρά τε
P 49 παντοδαπὰ καὶ ἅμιλλαι ἵππων καὶ δεξιώσεις λαμπραί, δι' ὧν κάμνον αὐτῷ τὸ σῶμα παρεμυθήσατο. καὶ χρήματα κεκομισμένος ἱκανὰ ἅμα τριήρεσιν ἐπὶ Παλαιστίνην ἀπῄει, Νικηφόρου τοῦ Δασιώτου πλοός τε αὐτῷ ἡγουμένου καὶ θεραπείας τῆς ἀλ-

4. *τῶν οὔπω πεφευγότων*] Haec si abessent, nemo desideraret.

quomodo posthabito quod tibi profuturum erat, per imprudentiam quod peius est elegisti. sed quandoquidem quae semel facta sunt, infecta esse nequeunt, a nobis silentio praetereantur. ad ea vero quae nondum effugerunt, animum quam maxime advertere par est. eiusmodi quippe est rerum natura ut sint in perpetuo fluxu, stent nunquam: si quis prior eos occupat, iam totum habet: praeterlapsae revocari perinde nequeunt. dum itaque rebus tuis aliquis restat remedii locus, quod conducit utileque est, praeripere festines."

19. Atque is fuit epistolae finis. Conradus interea, damnata iam sua imprudentia, nescius quid ageret, haud lubenti animo Germanis comes ibat. ut vero ad eum perlatae sunt imperatoris literae, rem pro lucro aestimans, quae offerebantur avide accepit statimque retro cessit. ad Hellespontum cum pervenisset, transmisso freto descendit in Thraciam: ubi ad imperatorem, qui ibi tum morabatur, accedens una inde cum illo Byzantium venit: quo in loco eum excepere deinceps variae animi relaxationes, imperatoria palatia, omnis generis spectacula, equorum certamina, magnifici apparatus, quibus defessum laboribus corpus subinde recreavit. idonea demum pecuniarum copia sublevatus, cum triremibus in Palaestinam iter intendit, classis praefecto Nicephoro Dasiota ei ductore atque alia omnia necessaria subminis-

λῖς προνοοῦντος. ἔνθα καὶ ῥῆξὶ τοῖς ἄλλοις ἐλθὼν ἐς ταὐτὸ καὶ
τὰ εἰκότα ἐπὶ τῷ ζωοδόχῳ Χριστοῦ τελέσας τάφῳ, τῶν ἄλλων
ὡς δυνατὰ ἑκάστῳ ἐγεγόνει ἐπὶ τὴν πατρίδα στελλομένων, αὐτὸς
σὺν ναυσὶ ταῖς εἰρημέναις ἐκεῖθεν ἀχθεὶς Θεσσαλονίκῃ προσέσχεν,
ἔνθα τὸ δεύτερον βασιλέα τε εἶδε καὶ λόγων αὖ καὶ ὁμιλίας ἐκοι-
νώνησεν. ὁ δὲ βασιλεὺς τῶν πάλαι προομολογηθέντων ἀνεμί- B
μνησκεν αὐτῷ· ἦσαν δὲ ταῦτα, ὅπως Ἰταλίαν εἰς ἕδνον τῇ βα-
σιλίδι ἀνασώσαιτο Εἰρήνῃ, ἣν καὶ αὐτὸς ξυγγενῆ οὖσαν τῷ βα- V 39
σιλεῖ κατηγγύησεν. ὁρκίοις οὖν δευτέροις αὐτός τε καὶ Φρεδερί-
χος τὰ σφίσι δεδογμένα πιστώσαντες τῆς Ῥωμαίων ἀπαλλάττον-
ται γῆς. Κορράδῳ μὲν οὖν ἐνταῦθα τέλος ἔσχον τὰ πράγματα.
τῷ δὲ Γερμανῶν ῥηγὶ ἐκ Παλαιστίνης ἀναγομένῳ σὺν ναυσίν, αἳ
πολλαὶ παρὰ τὰς ἐκεῖ σαλεύουσαι ἀκτὰς μισθοῦ τοῖς βουλομέ-
νοις παρέχονται τὴν περαίωσιν, τοιάδε τινὰ ξυνέπεσε. νῆες Σι-
κελαὶ ἐπὶ καταδρομῇ γῆς Ῥωμαίων ἐξιοῦσαι πρότερον ἐνταῦθά
που τοῦ πελάγους ἐφέροντο. ταύταις Ῥωμαίων στόλος περιτυ- C
χών, οὗ ὁ Χουρούπης κατῆρχεν, εἰς χεῖρα ἦλθε. τύχῃ δέ τινι
μαχομένων τῶν στόλων ἀμφοῖν συνέπλει τούτοις καὶ ὁ ῥήξ.
ἐπικρατεστέρων δὲ τῇ μάχῃ τῶν Ῥωμαίων ἤδη γεγενημένων παρ᾽
ὀλίγον ἦλθε τοῦ ἁλῶναι καὶ αὐτὸς ἐξ αἰτίας τοιᾶσδε. ἐπειδὴ
ταῖς Σικελῶν καθάπερ εἴρηται ξυνέμιξε ναυσίν, ἐκβὰς τὴν ἑαυ-
τοῦ Σικελικὴν εἰσεπήδησε τριήρην, καὶ εἰ μὴ ταχὺ τοῦ κινδύνου
συνιεὶς τῶν Ῥωμαίοις συμμαχίδων τινὸς σημεῖα ἐνέθετο φθάσας

7. αὐτῷ] Fort. αὐτόν. 17. εἰς χεῖρα] Malim χεῖρας. 21. τὴν ἑαυτοῦ] Fort. τῆς.

strante, postquam aliis ibi coniunctus regibus, ad vivificum Christi sepulcrum iusta exsolvisset, ceteris, prout cuique libitum erat, in patriam remissis, ipse iisdem vectus navibus inde Thessalonicam appulit, ubi et imperatorem vidit denuo, et cum eo congressus collocutusque est. imperator vero ea de quibus primum invicem convenerant illi in memoriam reduxit, quae erant huiusmodi: ut videlicet Italiam in dotem restitueret Irenae, quam ille sibi cognatam imperatori desponderat. altero igitur sacramento firmatis iis, de quibus convenere rursum, Conradus et Fredericus e solo Romanorum excessere. atque eum finem quae Conradum spectant habuerunt. Germanorum autem regi ex Palaestina revertenti cum navibus, quae magno numero in illis fluitantes littoribus, dato naulo, excedentes inde transmittere solent, talia acciderunt. cum naves Siculae, quae primum ad incursandos fines Romanos exiverant, pleno tum aequore ferrentur, in eas classis incidit Romanorum, cui praeerat Churupes, manusque cum hostibus conseruit. dum committitur utrimque certamen, quum nescio quo casu et ipse cum iis vela faceret, superioribus iam factis Romanis, quin caperetur parum abfuit. postquam enim, ut diximus, Siculis navibus adiunctus est, sua egressus,

αὐτῇ, τάχα ἂν ὑπὸ ταῖς Ῥωμαίων ἐγεγόνει χερσί. νῦν δὲ πλείστους τῶν σὺν αὐτῷ ἀποβαλὼν λάφυρον τοῦ πολέμου γεγενημέ-
D νους αὐτὸς μόγις ἐσώζετο. ἀλλὰ βασιλέως ἑξῆς δεηθεὶς τούς τε αἰχμαλώτους ἔλυσε καὶ τὰ διηρπασμένα κεκόμιστο πάντα. ἐνταῦθά τε πέρας ἡ τῶν ἑσπερίων ἐθνῶν εἰς τὰ Ῥωμαίων ἔσχηκεν ἐμβολή.

20. Κορράδος δὲ εἰς τὴν πατρίδα παλινοστήσας, ὀλίγον ἐπιβιοὺς ἐτελεύτησεν, οὐδὲν οὐδέπω ὧν βασιλεῖ διωμολόγηκε πέρατι δεδωκώς. μεθ᾽ ὃν Φρεδερῖκος τὴν ἀρχὴν ἔσχεν. ὅθεν δὲ ἐπὶ Φρεδερῖκον μετὰ Κορράδον τὸ Ἀλαμανῶν ξυνέπεσε κράτος, ὁ λόγος ἑξῆς παραστήσει μοι. ὁ Ἀλαμανῶν ῥὴξ Ἔρριχος ἔτι περιόντα τὸν πατέρα καθείρξας τοῦ Ῥώμης τε ἀρχιερέως πολέμῳ περιγεγονὼς αὐτὸς παρανομώτατα τὴν ἀρχὴν ἔσχεν. οὗ
P 50 δὴ ἕνεκα ἀμυνόμενοι τοῦτον Ἀλαμανοί, τετελευτηκότος οὐκέτι παισὶ τοῖς αὐτοῦ τὴν ἡγεμονίαν ξυγχωρεῖν ἔγνωσαν (ἦσαν δὲ αὐτῷ παῖδες Κορράδος τε οὗτος καὶ ὁ Φρεδερίκου πατήρ), Λουτήρην δέ τινα ἄνδρα ἐσχατογέροντα καλέσαντες ἐπὶ τὴν ἀρχήν, τούτῳ τὴν Ἀλαμανῶν ἐπικράτησιν ἔδοσαν. ἀλλ᾽ ἐκεῖνοι οὐκ ἀνασχόμενοι εἰ τῆς πατρῴας ἐκπεσοῦνται ἀρχῆς, νεωτέροις ἐγχειρεῖν ἔγνωσαν πράγμασιν. ὃ γνοὺς ὁ Λουτήρης, γέρων μὲν
B καὶ ἄλλως ἀκριβῶς ὢν καὶ ἡλικίας πόρρω ἥκων, φύσει δὲ καλοκαγαθίᾳ συνὼν ἀεὶ καὶ οὐδὲν ὅ τι μὴ σὺν ἁπλότητι καὶ λέγειν καὶ πράττειν εἰδώς, ὡμολόγει ἐπ᾽ αὐτοὺς μὲν ἀρχὴν διαβιβάσαι,

2. ἀποβαλὼν] Cod. ἀποκαλῶν. 17. καλέσαντες] Cod. καλέσας. correxit Duc.

triremem conscendit Siculam, et ni intellecto repente periculo, navis Romanorum sociae signum imposuisset, venisset haud dubie in manus Romanorum. ita vero compluribus suorum, qui capti fuerant, amissis, ipse vix sospes evasit. sed imperator postea captivos solvit resque ablatas omnes repente iussit restitui. atque eiusmodi fuit gentium Occidentalium in Romanorum terras irruptio.

20. Reversus autem in patriam Conradus, protracta haud multum vita, decessit, nihil eorum quae imperatori spoponderat executus. hunc excepit Fredericus. unde autem post Conradum ad Alemannorum imperium pervenerit, dicere deinceps aggrediar. Henricus Alemannorum rex, parente superstite in vinculis habito, debellatoque bellis Romano pontifice, subditos saevo premebat imperio. unde irritati Alemanni, eo exstincto, imperium liberis illius concedere nequaquam voluere. erant vero hi Conradus et Frederici pater. itaque Lotharium quemdam acciverant, aetate extrema virum, eique rei Alemannicae arbitrium permiserunt. sed enim illi paterno se excidere imperio non ferentes, res novare turbareque statuunt. quod ubi advertit Lotharius, aetate vir provectior et probitate singulari quique nihil nisi simpliciter ageret diceretve, in eam tandem cum illis conditionem

ἐπειδὰν τὸ χρεὼν αὐτὸν καταλήψεται. ἐπειδὴ γοῦν ὀλίγῳ ὕστερον ἀπεβίω, τοῦ κλήρου ἐπὶ τὸν πρεσβύτατον τῶν ἀδελφῶν πίπτοντος, λέγω δὲ τὸν Φρεδερίκου πατέρα, αὐτὸς τὸν ἕνα πεπηρωμένος τοῖν ὀφθαλμοῖν Κορράδον τὸν ἀδελφὸν ἀνθ᾽ ἑαυτοῦ εἵλετο, ὅρκοις ὁμολογήσαντα πρότερον ἐς Φρεδερίκον τὸν υἱέα τὴν C
ἀρχὴν ἐπειδὰν θνήσκοι διαβιβάσαι. διὸ Κορράδος τελευτῶν, ὥσπερ ἔφην, Φρεδερίκῳ τὸ στέμμα περιετίθει. ταῦτα μὲν οὖν ὧδέ πη ἔσχε. τὰ δὲ τῶν Σικελῶν πολέμων ἐντεῦθεν ἀρχὴν εὗρεν.

venit, ut imperium adipiscerentur, postquam vitae finem sibi fata posuissent. Lothario non multo post exstincto, cum sors cecidisset super maiorem natu, patrem nimirum Frederici, altero orbatum lumine, pro se Conradum fratrem ipse assumpsit, pollicitum iuramento prius imperium ad Fredericum filium, ubi et ipse vita concessisset, transmissurum. quapropter moriens Conradus, uti narravimus, Frederico coronam imposuit. in hunc modum res eae gestae sunt: bella autem Sicula exinde initium habuere.

ΒΙΒΛΙΟΝ Γ.

1. Ῥογέριος ἦν τις ἀνήρ, ἐς κόμητας μὲν τὸ πρῶτον τελῶν, P 51
δραστήριος δὲ ἄλλως καὶ ῥέκτης ἀνὴρ δεινός τε πράγματα ῥά- V 40
ψαι καὶ τὰ καθεστῶτα κινῆσαι δεξιός. οὗτος Γιλιέλμῳ τῷ Λογγιβαρδίας δουκί, ὑφ᾽ ὃν ἐτέτακτο, ἐς Παλαιστίνην ἀπαίροντι χρήματα δεδανεικὼς τὴν Λογγιβαρδίας ἀρχὴν τούτου δὴ ἕνεκα ἐνεχυρασθεῖσαν αὐτῷ ἔσχε, τὸν Ῥώμης τε ἀρχιερέα τρόπῳ τῷ ῥηθησομένῳ βιασάμενος ῥῆξ παρ᾽ αὐτοῦ προκεχείριστο. ἐπειδὴ γὰρ Λογγιβαρδίαν πρὸς Ῥογερίου ἔχεσθαι ὁ τῷ τηνικάδε τὸν Ῥώμης διέπων ἤκουσε θρόνον, ἤσχαλλεν ἐπὶ τῷ τολμήματι, ἐκκλη-

17. ἤσχαλλεν] Cod. ἤσχαλεν.

LIBER III.

1. Florebat ea aetate Rogerius, dignitate primo comes, vir ceteroquin in rebus gerendis strenuus admodum et impiger, texendis dolis perquam idoneus, quique rite ordinata permiscere inprimis nosset. is Gulielmo Longobardiae duci, cui erat subditus, in Palaestinam eunti pecunia foenori data, Longobardiae principatum eo nomine sibi oppigneratum retinuit. postea autem Romanum pontificem hoc quem dicam modo coegit, ut ab illo rex renuntiaretur. ut enim Longobardiam in Rogerii potestatem venisse qui tum Romanae sedi praeerat pontifex intellexit, id facinus aegre tulit,

αὐτὴν καὶ πάλιν οἱ τῶν ἵππων οἴσουσι πόδες. καὶ οὐ δήπου μεμπτέοι πάντως ἡμεῖς, εἰ μὴ τοῖς ἀδικεῖν βουλομένοις ῥᾴστους ποιοῦμεν ἑαυτούς. οὐ γὰρ ταὐτὸν ἀδικεῖν καὶ ἀμύνεσθαι· ἀλλὰ τὸ μὲν γνώμης ἤρτηται φαύλης, τῷ δὲ προηγεῖται πάντως ἀσφάλεια. ἡμᾶς δὲ καὶ προλαβὸν ἀξιοῖ τὸ ὑπήκοον ἅπερ ὅσον οὐκ ἤδη Πέρσαις ἀποκερδανθήσεται τοῖς ἐν γειτόνων, ταῦτα δὴ Ῥωμαίους ἀμο-
B γητὶ κτήσεσθαι. ὃ τοίνυν ἀξιούντων οὐκ ἠνεσχόμεθα τῶν ἡμετέρων, τοῦτο νῦν σοῦ προτρεπομένου αὐτίκα ποιεῖν κινδυνεύομεν.” ταῦτα Κορράδος ἐνωτισάμενος καὶ ἅμα πυθόμενος ἅπερ ἔναγχος δυστυχῶς συνέπεσεν Ἀλαμανοῖς, λεμβάδιόν τι λυπρὸν αὐτοῦ που περὶ τὴν θαλάσσης ἀνειλκυσμένον ἀκτὴν ἀναβάς, τὸν Δαμάλεώς τε πορθμὸν διέβη καὶ ἐπὶ τῆς περαίας θᾶττον ἐγένετο, ὀλιγωρίας τινὸς βαρβαρικῆς ἐπειγούσης τὸν ἄνθρωπον. φιλεῖ γὰρ τὸ βάρβαρον εὐημεροῦν μὲν ὑπὲρ μέτρον ἐπαίρεσθαι καὶ αὐχεῖν, δυστυχοῦν δὲ καταβάλλεσθαί τε πλέον ἢ προσήκει καὶ ταπεινοῦ-
C σθαι παρὰ τὸ μέτριον. βασιλεὺς δὲ τοῦ καὶ εἰσέτι μᾶλλον κατα-
V 36 σπᾶν αὐτῷ τὴν ὀφρῦν προνοῶν, τοιάδε ἐποίει. τῶν τινας Ῥωμαίων εἰς τὴν κατόπιν ἰοῦσαν ἐκπέμψας Ἀλαμανῶν στρατιὰν ἀριθμοῦ κρείσσω ἀγγελλομένους εἶναι χρήμασι τῆς ἐς Κορράδον ἀποσχέσθαι ἀνέπειθεν εὐνοίας. ὁ Κορράδος ἐνωτισάμενος οὐκέτι ἐκεῖνος ὁ πρῴην ὑπέροφρυς ἦν. πέμψας δὲ πρὸς βασιλέα ᾐτεῖτο σταλῆναί οἱ Ῥωμαίων τινὰ ὁδοῦ τε αὐτῷ καθηγησόμενον καὶ ἐν τῷ ἀσφαλεῖ παραπέμψοντα. ἔσταλται τοίνυν ὁ τὸ τοῦ ἀκολού-

19. ἀγγελλομένους] ἀγγελλομένην?

sti, equorum pedibus fore tibi redeundum. neque propterea erimus culpandi, si inferre iniuriam volentibus nos minus faciles ac benevolos praebemus. res enim diversissimae sunt inferre iniuriam et propellere: illud a prava voluntate pendet, alterum securitas suadet. nos vero iamdudum orant subditi nostri, ut quae modo ex vicinis Persis vindicavimus, ea quiete ac sine molestia possideant Romani. quod igitur obsecrantibus nostris non indulsimus, id nunc te suadente statim experiemur." iis acceptis Conradus, intellectaque simul quae paulo ante Alemannis acciderat clade, putri circa littus protracta navicula, Damalis fretum traiicit, summaque celeritate in adversam continentem properat, pavore quodam barbarico virum ocius urgente. barbari quippe fluentibus ex voto rebus, eriguntur in immensum, tumentque: si contra adsit aliqua calamitas, plus quam par est demittuntur animo. sed imperator quo magis adhuc illius supercilium contraheret, talia aggreditur. missis aliquot ex Romanis ad procedentem a tergo Alemannorum exercitum, data pecunia, militum, quorum numerus paene fuit infinitus, a Conrado abalienavit animos. quod ut intellexit Conradus, non ea qua prius ferocia inflatus, per legatos principem rogat, ut ad se Romanum quemdam transmitteret, qui monstraret viam, et tuto copias suas deduceret. mittitur itaque qui ad id tempus acoluthi dignitate functus fuerat, dato insuper man-

θω εἰς ἐκείνην τὴν ἡμέραν λειτούργημα ἐκπληρῶν. ἐπιτέτραπτο δέ οἱ καὶ συμμαχίας πέρι Κορράδῳ διειλέχθαι. ἣν ἐπειδὴ πολλῷ τῷ διαλλάσσοντι Ῥωμαίους καὶ Ἀλαμανοὺς ξυμβαίνει μάχεσθαι, τὴν μὲν βασιλεῖ δοίη, πολλῷ δὲ ἀντιλάβοι πλείονα, εἴ γε αὐτῷ D βουλομένῳ ἔσται μάχης κατὰ Περσῶν βασιλεῖ κοινωνῆσαι. ὁδῶν τε σφίσι προκειμένων δυοῖν, ὁποτέρᾳ ἂν αὐτὸς βούλοιτο ἰέναι, ταύτην δὴ ἑλέσθαι. Στέφανος μὲν οὖν Κορράδῳ ταῦτα ἀπήγγελλεν. ὁ δὲ ἐς βουλὴν ξὺν τοῖς αὐτοῦ καταστὰς πρὸς μὲν τὴν ὁμαιχμίαν ἀπεῖπεν, ὁδὸν δὲ ἣ Φιλομίλιον ἄγει αὐτὸς εἵλετο. μέχρι μὲν οὖν Μελαγγείων καὶ Δορυλαίου πόλεως οὐδὲν ἄχαρι Ἀλαμανοῖς ὑπηντίαζεν. ἐνταῦθα δὲ γενομένοις Μαμπλάνης ὄνομα Πέρσης ἀνὴρ ἅμα στρατεύματι ὀλίγῳ τοῖς ἐμπροσθίοις αὐτῶν προσέβαλε τάγμασιν, ἀποπειρασόμενός τε τῆς ἰσχύος αὐτοῖς καὶ τὸν τῆς παρατάξεως ὅπως ποτὲ ἔχοι μαθησόμενος τρόπον. Ἀλαμανοὶ τοίνυν, ἐπειδὴ Πέρσαι τὸ πρῶτον αὐτοῖς παρεφάνησαν, P 46 οὐκέτι κατὰ συντάξεις ἐχώρουν· θυμῷ δὲ καὶ θορύβῳ πολλῷ ἐχόμενοι κατ᾽ αὐτῶν ᾔεσαν. Πέρσαι δὲ ἕως μὲν οὐ πόρρω τοῦ σφῶν αὐτῶν στρατοπέδου Ἀλαμανοὶ ἦσαν, νῶτα ἐδίδουν καὶ τὴν φυγὴν ὑπεκρίνοντο· ἐπειδὴ δὲ ἥ τε ἵππος αὐτοῖς ἐκεκμήκει καὶ τοῦ στρατοπέδου μακρὰν ἤδη ἐγεγόνεισαν, ἀποστρόφους τὰς ἐπελάσεις τιθέμενοι ἵππους τε καὶ αὐτοὺς ἔκτεινον. πολλάκις τε αὐτὸ γεγονὸς ἐς ὀρρωδίαν μέτρον οὐκ ἔχουσαν τούτους ἐνέβαλεν. ἦν οὖν ἰδεῖν τοὺς χθὲς θρασεῖς καὶ ἀλαζόνας καὶ θηρῶν δίκην ἀνυποστάτων ἐπιόντας, δειλούς τε καὶ ἀγενεῖς καὶ οὐδὲν οὔτε πρᾶξαι

6. ὁποτέρᾳ] Cod. ὁποτέρῳ. 20. ἀποστρόφους] Fort. ἀγχιστρόφους vel ὑποστρόφους.

dato, ut de belli etiam societate ineunda cum Conrado sermones conferret: quam si ille admitteret, quandoquidem multum interesset Romani an Alemanni bella gererent, auxilia quidem submitteret imperatori, ab illo vicissim recepturus maiora, si arma cum imperatore adversus Persas coniungere paratus esset: porro duabus propositis, eligeret ille quam vellet viam. haec Conrado Stephanus nuntiavit. ille suis in consilium coactis, commilitium penitus recusavit. itinere vero Philomelium versus instituto, nihil illi quidpiam sinistri accidit, quousque ad Melangia et Dorylaeum oppidum pervenit. tum enim Mamplanes Persa cum exiguo exercitu in primam aciem invectus est, quo vires hostiles, et pugnandi formam exploraret. Alemanni visis primum tum Persis, nullo quidem ordine, sed cum impetu tumultuque in eos irruere. illi, quamdiu haud procul a castris erant Alemanni, terga vertunt, fugamque simulant: dein fessis insequentium equis, atque ipsis longius a cetero exercitu abstractis, converso cursu equos cum sessoribus concidunt: idque repetitum pluries immodicum Alemannis terrorem incussit. tum demum videre erat feroces nuper et tumidos, quique ferarum instar ho-

B οὔτε μὴν βουλεύσασθαι ἱκανούς. ὅτε δὴ καὶ Κορράδος (ἦν γὰρ
θαρσαλέος τὰ πολέμια) κατὰ Περσῶν ἐλάσας τούς τε ἵππους ἀποβεβλήκει οὓς αὐτῷ ὁ βασιλεὺς δρομικοὺς μάλιστα ἔδωκε, καὶ αὐτῷ δὲ ὀλίγου καὶ ἁλῶναι πρὸς τῶν βαρβάρων τούτων ἐδέησεν.

17. Ἀλαμανοὶ μὲν οὖν ἐν τούτοις ἦσαν. ὁ δὲ τῶν Γερμανῶν ῥὴξ (ἠγγέλλετο γὰρ ἤδη τὸν Ἴστρον διαβὰς προσωτέρω χωρεῖν) οὐκέτι κατὰ Κορράδον ὑπὲρ τὸ δέον ἔγνω φρονηματίζεσθαι· τούς τε γὰρ ἐκ βασιλέως ἐπ' αὐτὸν ἥκοντας, φημὶ Μιχαήλ τε σεβαστὸν τὸν Παλαιολόγον καὶ Μιχαὴλ ᾧ τὸ ἐπώνυμον Βρανᾶς ἔκειτο, ἄσμενός τε εἶδε καὶ χάριτας διὰ ταῦτα βασιλεῖ ὡμολόγει
C δῆλός τε ἦν μηδὲν εἰσέπειτα ἐς Ῥωμαίους κακουργήσων. εἴτε δὲ ἐκ τῶν Κορράδῳ συμπεπτωκότων ἤδη σωφρονισθείς, εἴτε καὶ φύσει τοιοῦτον τῷ ἀνθρώπῳ τὸ ἦθος ἦν, λέγειν αὐτὸς οὐδαμῇ ἔχω. πλείονος δ' οὖν διὰ ταῦτα τῆς βασιλέως παραπολαύων διετέλει δεξιώσεως. ἐπεὶ δὲ ἀγχοῦ Βυζαντίου ἤδη ἐγένετο, πρέσβεις ἐς βασιλέα πέμψας φιλίαν τε ἔτι μᾶλλον ὡμολόγει καὶ ἐπὶ μεγάλοις συμπράξειν αὐτῷ συνετίθετο· εἰ δὲ συνέσεσθαι ἀλλήλοις καὶ λόγου κοινωνήσειν ἐν παλατίῳ βουλητὸν αὐτῷ ἔσται, οὐδὲ τοῦτο παραλιπεῖν ἤθελε. βασιλεὺς δὲ ἤκουσε τῶν λόγων οὐκ ἀηδῶς καὶ σὺν πεποιθήσει ἀφικέσθαι τοῦτον ἐκέλευεν. εἰσελαύνοντι τοίνυν
V 37 ἄνδρες ὑπήντων αὐτῷ ὅσοι τε κατὰ γένος καὶ τύχην βασιλεῖ ἤγγι-
D ζον καὶ ὅσοι τὰς ὑπερηφάνους τῷ τηνικάδε διεῖπον ἀρχάς, προπέμψοντές τε μεγαλοπρεπῶς αὐτὸν ἐς τὰ βασίλεια καὶ τὰ εἰκότα

stes suos aggrediebantur, iam trepidos et degeneres, neque agendi animum, neque consilii locum habere. at Conradus, ut erat in bellis mirabili audacia, in Persas progressus, velocissimos, quos ab imperatore acceperat, equos amisit: ipseque, quin a barbaris caperetur, parum abfuit.

17. Is rerum Alemannicarum fuit status. rex autem Germaniae, qui transisse iam Istrum, et ulterius progredi nuntiabatur, non ea qua Conradus, ultra modum ferocia se gessit: sed legatos ab imperatore ad se missos, Michaëlem Palaeologum sebastum, et Michaëlem cognomento Branam, excepit comiter, eoque nomine gratias imperatori egit. apparebatque nihil eum damni contra Romanos deinceps moliturum: quod utrum iis quae Conrado acciderant prudentior factus fecerit, an vero quod mite illi a natura fuerit ingenium, haud omnino mihi compertum. utut sit, magnam inde sibi principis gratiam conciliavit. cum iam Byzantio proximus esset, missis ad imperatorem legatis, amicitiam suam non tantum ultro est professus; sed et addidit, sese lubenter cum eo de rebus non mediocris momenti acturum, si ille una convenire, inque palatio sermones de iis conferri pateretur. annuit dictis haud gravate princeps, et ut accederet ille fidenter, nuntiavit. advenienti itaque, effusi obviam quotquot erant genere vel fortuna imperatori proximi, et quicumque primas tunc temporis obtinebant dignitates, ipsum magnifice, et ut par erat, summo cum honore in regiam deducunt. post-

τιμήσοντες. ἐπειδή τε εἴσω τῶν ἀνακτόρων ἤδη ἐγένετο ἔνθα βασιλεὺς ἐπὶ τοῦ μετεώρου καθῆστο, χθαμαλή τις αὐτῷ ἐκομίζετο ἕδρα ἣν σελλίον ῥωμαΐζοντες ὀνομάζουσιν ἄνθρωποι, ἐφ' ἧς καθιζήσας τὰ εἰκότα τε εἰπὼν καὶ ἀκούσας τότε μὲν ἐς τὸ πρὸ τοῦ περιβόλου ἀπηλλάττετο προάστειον, ὃ Φιλοπάτιον καθάπερ ἤδη ἔφην ὠνόμασται τοῖς πολλοῖς, ἐνταῦθα καταχθησόμενος· ὀλίγῳ δὲ ὕστερον καὶ ἐς τὰ πρὸς νότον τῆς πόλεως σὺν τῷ βασιλεῖ ἦλθεν P 47 ἀνάκτορα, ἱστορήσων ὅσα τε ἐνταῦθα θαύματος ἄξια καὶ τοῖς ἐπὶ τὸν τῇδε νεὼν ἐντευξόμενος ἱεροῖς· φημὶ δὴ ὅσα τῷ σωτηρίῳ Χριστοῦ πελάσαντα σώματι Χριστιανοῖς ἐστι φυλακτήρια. τοσαῦτα ἐν Βυζαντίῳ τελέσας ὅρκοις τε τὰ πιστὰ δοὺς ἦ μὴν φίλος διὰ βίου καὶ σύμμαχος βασιλεῖ ἔσεσθαι, ἐπὶ τὴν Ἀσίαν διέβη καὶ αὐτός.

18. Ταῦτα μὲν οὖν τῇδε ἐπράσσετο. ὁ δὲ βασιλεὺς Νικόλαόν τινα ᾧ Μουζάλων ἐπίκλησις ἦν ἐς τὸν ἀρχιερατικὸν θρόνον ἀνάγει, ὃς εἰς τοὺς ἐκκλησιαστικοὺς μὲν πρότερον καταλόγους ἐτέλει, τὸν δὲ τῆς Κυπρίων ἐκκλησίας θρόνον λαχὼν εἶτα ἐθελοντὴς ἐκεῖθεν ἀφίσταται. ἀλλ' ἅμα τε ἐπὶ τῶν πραγμάτων B ἐγίνετο καὶ ἅμα πᾶν κατ' αὐτοῦ κεκίνηται στόμα, παρανόμως αὐτὸν ἐπιπηδῆσαι λεγόντων τῷ θρόνῳ, ἅτε ξὺν τῇ λαχούσῃ τοῦτον ἐκκλησίᾳ καὶ τὴν ἱερωσύνην ἤδη προσαποθέμενον. ὁ δὲ τὸ μὲν πρῶτον ἰσχυρογνώμων τις ἦν καὶ τοῦ θρόνου μεθίεσθαι οὐ-

8. ὅσα τε] Malim ὅσα γε. *ibid.* ἐπὶ τὸν νεὼν] Cod. π. fort. περὶ.

quam palatium subiit, ubi in excelsiori sedebat loco imperator, affertur ei sedes humilior, quam sellam, qui lingua Romana utuntur, vocant. cumque in ea consedisset, ultro citroque variis de rebus habito sermone, tandem in proximum, quod urbis moenibus obversatur suburbanum, vulgoque ut retuli Philopatium nuncupatur, concessit, aliquamdiu ibi moraturus. paulo post cum imperatore adiit ea palatia, quae in australi parte urbis sita sunt, visurus in iis quae admirationem inducunt, lustraturusque sacrosanctas reliquias, quae in templo ibidem exstructo religiose coluntur: ea scilicet, quae sacratissimo Christi corpori quondam admota, ad Christianorum munimentum asservantur. his Byzantii peractis, et obstricta insuper iureiurando fide, amicum se quamdiu viveret, ac in bellis socium imperatori fore, in Asiam et ipse traiecit.

18. Interea dum haec geruntur, imperator Nicolaum quemdam, cognomine Muzalonem ad patriarchalem sedem provehit, qui in ecclesiasticis primum dignitatibus versatus, ecclesiamque Cypriorum adeptus, ultro postmodum inde recesserat. verum ut res administrare coepit, omnium statim ora in eum commota sunt, iniuste occupatum ab illo thronum clamitantium, ut qui cum ecclesia, quam nactus fuerat, sacerdotium quoque deposuisset. sed is obstinatus primo, throno se deturbari haudquaquam passus: ubi au-

δαμῇ ἤθελεν. ὡς δέ ποτε βασιλέως τῷ πράγματι διαιτήσαντος τὴν ἥττονα ἔγνω κληρούμενος, οὐχὶ καὶ εἰσαῦθις ἀνακριθήσεσθαι ἀνασχόμενος, ἀφίστατό τε τοῦ θρόνου καὶ καθ' ἑαυτὸν αὖθις ἐβίου· ἀνθ' οὗ Θεόδοτος ἀνὴρ ἐπὶ πλεῖστον ἀσκητικοῖς ἐγγυμνασάμενος προχειρίζεται πόνοις. Ἀλαμανοὶ δέ, καθάπερ εἴρηται, πρὸς τῶν Περσῶν πολλάκις ἀποκρουσθέντες πολλούς τε
C τῶν σφετέρων ἀποβαλόντες, ἐπειδὴ τὴν διὰ Φιλομίλιον ἀπέγνωσαν ἤδη διάβασιν, ὀπίσω λοιπὸν ἐφέροντο γενόμενοί τε ἐν Νικαίᾳ ἐνταῦθα Γερμανοῖς τε ὁδῷ ἰοῦσι συνέμιξαν καὶ ῥηξὶ τοῖς ἄλλοις μεγάλα καὶ αὐτοῖς ἐπαγομένοις στρατεύματα· ὧν ὁ μὲν τοῦ Τζέχων κατῆρχεν ἔθνους, ῥὴξ πρὸς τοῦ Κορράδου δῆθεν προχειρισθείς, ἅτερος δὲ τοῦ τῶν Λέχων, οἳ Σκυθικὸν μέν εἰσι γένος Οὔννους δὲ προσοικοῦσι τοὺς ἑσπερίους. ἐπειδή τε ἐς ταὐτὸ συνήεσαν τὰ στρατεύματα, ῥημάτιόν τι ἐκ μακροῦ πρὸς Γερμανῶν Ἀλαμανοῖς ἐπιλέγεσθαι εἰωθὸς ἀναφανδὰ καὶ τότε προὐφέρετο "πούτζη Ἀλαμανέ" οὕτω πως ἐπὶ λέξεως ἐσχηκός. ὅθεν
D δὲ τὸ τοιοῦτον ἀρχὴν ἔσχεν αὐτίκα δηλώσω. τοῖς ἔθνεσι τούτοις ὁ περὶ τὸ μάχεσθαι τρόπος ἐστὶν οὐχ ὁ αὐτός. Γερμανοὶ μὲν γὰρ ἵππον τε εὐσταλῶς ἀναβῆναι καὶ ξὺν δόρατι ἐπελάσαι δεξιοὶ μάλιστα, ἥ τε ἵππος αὐτοῖς δρόμῳ τὴν Ἀλαμανῶν παρελαύνει. Ἀλαμανοὶ δὲ πεζῇ τε τὴν μάχην ἐνεγκεῖν ἱκανοὶ ὑπὲρ τοὺς Γερμανοὺς καὶ ξίφει χρήσασθαι πολλῷ προφερέστεροι. ἐπειδὴ γοῦν ποτε Γερμανοῖς ἐπεστράτευον Ἀλαμανοί, τὴν αὐτῶν ὑφο-

14. ῥημάτιόν τι] Cod. ῥῆμά τι ὄντι. 18. τρόπος] Cod. πόθος, superscripto τρόπος.

tem re ad imperatoris examen delata, male sibi cessurum agnovit, iudicium nolens denuo experiri, abdicata ultro dignitate, ad vitam rursus privatam rediit. Theodotus ei sufficitur, vir monachicis institutis apprime instructus. Alemanni interea, ut supra scripsimus, a Persis saepius repulsi, multisque suorum amissis, desperato iam per Philomelium transitu, inde retro cessere. ut venerunt Nicaeam, Germanis progredientibus ibi sese adiungunt, regibusque aliis, qui et ipsi non modicos secum ducebant exercitus. horum alter Tzechorum genti imperitabat, a Conrado ad regiam evectus dignitatem: alter praeerat Lechis, Scythicae genti, quorum regio Hungaris Occidentalibus contermina est. postquam in unum convenere exercitus, dictum illud quod in Alemannos iampridem iactari solet, palam tunc coepit proferri, "pousse Aleman" sic enim ad verbum se habet illud scomma, quod unde originem habuerit, paucis expediam. gentibus istis non eadem est dimicandi ratio. Germani quidem equum expedite conscendere, cum hasta irruere maxime periti: eorum equitatus celeritate et cursu Alemannico longe praepollet: Alemanni autem pedestri acie, ut et ensium usu praestant Germanis. cum itaque aliquando contra Germanos praeliarentur Alemanni, verereanturque eo-

ρώμενοι ἵππον πεζῇ τὸν πόλεμον ἐνεγκεῖν ἔγνωσαν. Γερμανοὶ
τοίνυν ἀνέτῳ τῇ αὐτῶν ἐντετυχηκότες ἵππῳ, αὐτῆς μὲν ἐκράτουν, P 48
τῶν δὲ Ἀλαμανῶν εὐχερέστερον καθιππαζόμενοι ἐτρέποντό τε αὐ- V 38
τοὺς ἐκ ποδὸς ἰόντας, καίτοι πλήθει παρὰ πολὺ αὐτῶν ἐλασ-
σούμενοι, καὶ τῷ εἰρημένῳ προσεκερτόμουν αὐτοῖς, ὅτι δὴ ἐξὸν
σὺν τοῖς ἵπποις μάχεσθαι οἱ δὲ πεζῇ τὸν πόλεμον εἵλοντο. τοῦτο
δὴ καὶ τότε καθάπερ εἴρηται πρὸς τῶν Γερμανῶν Ἀλαμανοῖς
ἐπιφερόμενον συνεχῶς μεγάλα τούτοις ἐλύπει. διά τοῦτό τε οὖν
καὶ ὅτι τὰ δεύτερα κληροῦσθαι τῶν Γερμανῶν κίνδυνος αὐτοῖς
ἐν ταῖς ὁδοῖς περιίσταται, ἄχρι μὲν καὶ ἐπὶ τὴν Φιλαδέλφου ἅμα
ἐχώρουν, τὸ δ' ἐντεῦθεν Κορράδος οὐκ ἔτι φέρειν εἰ πρὸς Γερ-
μανῶν περιορῷτο δεδυνημένος παλινοστεῖν ἔγνω· ἀμέλει καὶ βα- B
σιλεῖ τὸν σκοπὸν ἐπιστείλας ἐδήλου. ὁ δὲ τὸ μὲν ἀπονοσφίζειν
ἀλλήλων τοὺς ῥῆγας ἐθέλων, τὸ δὲ καὶ τῷ ἀνθρώπῳ συναλγῶν,
ἐπέστειλε τοιάδε· "Ἀνθρώποις, οἷς καὶ κατὰ βραχὺ τοῦ φρο-
νεῖν μέτεστιν, οὐ ξὺν ταῖς τύχαις τὰ πράγματα θεωρεῖν ἔθος,
ἀλλ' αὐτὰ καθ' αὑτὰ περιπετείας ἔξω τινός. οὔτε τοίνυν εὐ-
θηνουμένῳ σοι ὑπὲρ τὴν ἀξίαν προσφέρεσθαι ἔγνωμεν, καὶ νῦν γε
μετρίως δυσπραγήσαντα τοῖς αὐτοῖς καὶ πάλιν σε δεξιοῦσθαι
οὔκουν ὀκνήσομεν, οἷς καὶ τὸ πρότερον ὅσα καὶ ξυγγενῆ καὶ τηλι-
κούτων ἐθνῶν ἄρχοντα τιμᾶν ἡμῖν μὲν διὰ σπουδῆς ἦν, ξυμ-
βουλεύειν τε τὰ παριστάμενα, τῶν εἰρημένων τε ἕνεκα καὶ τοῦ C
ὁμοθρήσκους ἡμᾶς ἀλλήλοις εἶναι. σὺ δ' ἀλλ' οὐκ οἶδ' ὅπως

23. σὺ δ' ἀλλ'] Cod. οὐδ' ἀλλ'.

rum equitatum, bellum pedites conficere instituunt. at Germani in inconditum neglectumque eorum equitatum facto impetu, illum haud aegre delent, ceterasque inde Alemannorum copias pedestres vertunt in fugam, etsi bellatorum numero longe ab illis superarentur. tum dicterio iam memorato perstrinxere Germani Alemannos, quod cum potuissent ex equis pugnare, pedestre praelium praetulissent. id tum quoque, ut retuli, a Germanis continuo obiectum Alemannis non parum molestum fuit. ea igitur propter, et quod his periculum erat ne in itinere Germanis inferiores existerent, una quidem ad Philadelphiam usque profecti sunt: exinde vero Conradus, cum se contemni a Germanis ferre non posset, reverti statuit, deque eo consilio monuit imperatorem. ille cum reges invicem divelli percuperet et simul hominis doleret vicem, hasce literas misit: "res omnes cum adest fortuna, vel qui minimum sapiunt, numquam pensitare soleat, sed ipsas per se omni casuum varietate denudatas. non itaque cum prospere omnia tibi cederent, supra quam ex dignitate erat, te uti voluimus. nunc vero cum adversa quodammodo te urgeat fortuna, iisdem demereri obsequiis haud nos pigebit, quibus antea et consanguineum, et tot nationum ducem honorare sollicite curavimus, et de rebus imminentibus consilia dare, cum ob iam dictas causas, tum quod uterque eamdem profiteamur religionem. at tu quidem nescio

περὶ ἐλάσσονος τὸ σοὶ αὐτῷ ξυνοῖσον πεποιημένος ἔλαθες ἑαυτὸν τὸ ἧττον αἱρετισάμενος· ἀλλὰ ταυτὶ μὲν ἐπειδήπερ ἅπαξ γεγονότα ἀναλύειν ἐστὶν ἀδύνατον, παρείσθω τέως ἡμῖν, ἐπιμελητέον δ' ὡς ἔνι μάλιστα τῶν ἔτι παρ' ἡμῖν, τῶν οὔπω πεφευγότων. τοιαύτην γὰρ ἔχει φύσιν τὰ πράγματα, ῥεῖ συνεχῶς, ἵσταται οὐδαμῇ· κἂν τις ἀρύσηται προλαβών, ἔσχεν ἤδη τὸ πᾶν, παρελθόντα δ' ἀνακαλέσασθαι ἐπίσης ἀδύνατον. ἕως τοίνυν ἔχει τινὰ θεραπείας τὰ κατά σε τρόπον, σπεῦσον ἁρπάσαι τὸ συνοῖσον".

D 19. Τὸ μὲν δὴ γράμμα ἐν τούτοις τετέλεστο. Κορράδος δὲ ἐτύγχανε μὲν καὶ πρότερον ἤδη ἀβουλίαν ἑαυτοῦ καταγνούς, οὐκ ἔχων δὲ ὅ τι καὶ δράσειεν οὐ σφόδρα ἐθελούσιος Γερμανοῖς εἵπετο. τότε δ' οὖν ἐπειδὴ καὶ τὰ βασιλέως παρ' αὐτὸν γράμματα ἦλθεν, ἕρμαιον αὐτίκα τὸ πρᾶγμα ἡγησάμενος, ἐδέξατό τε σὺν ἡδονῇ τοὺς λόγους καὶ θᾶττον ὀπίσω ἐχώρει, πρὸς Ἑλλησπόντῳ τε γεγονὼς διὰ τοῦ ἐνταῦθα πορθμοῦ ἐπὶ Θρᾴκην διέβη. ἔνθα τῷ βασιλεῖ διατριβὴν ποιουμένῳ συγγεγονὼς εἶτα ἐπὶ Βυζάντιον ἅμα αὐτῷ ἦλθεν. ἔνθα ἀνέσεις τε αὐτὸν τοῦ λοιποῦ διεδέξαντο καὶ βασίλειοι καταγωγαὶ θέατρά τε P 49 παντοδαπὰ καὶ ἅμιλλαι ἵππων καὶ δεξιώσεις λαμπραί, δι' ὧν κάμνον αὐτῷ τὸ σῶμα παρεμυθήσατο. καὶ χρήματα κεκομισμένος ἱκανὰ ἅμα τριήρεσιν ἐπὶ Παλαιστίνην ἀπῄει, Νικηφόρου τοῦ Δασιώτου πλοός τε αὐτῷ ἡγουμένου καὶ θεραπείας τῆς ἄλ-

4. τῶν οὔπω πεφευγότων] Haec si abessent, nemo desideraret.

quomodo posthabito quod tibi profuturum erat, per imprudentiam quod peius est elegisti. sed quandoquidem quae semel facta sunt, infecta esse nequeunt, a nobis silentio praetereantur. ad ea vero quae nondum effugerunt, animum quam maxime advertere par est. eiusmodi quippe est rerum natura ut sint in perpetuo fluxu, stent nunquam: si quis prior eos occupat, iam totum habet: praeterlapsae revocari perinde nequeunt. dum itaque rebus tuis aliquis restat remedii locus, quod conducit utileque est, praeripere festines."

19. Atque is fuit epistolae finis. Conradus interea, damnata iam sua imprudentia, nescius quid ageret, haud lubenti animo Germanis comes ibat. ut vero ad eum perlatae sunt imperatoris literae, rem pro lucro aestimans, quae offerebantur avide accepit statimque retro cessit. ad Hellespontum cum pervenisset, transmisso freto descendit in Thraciam: ubi ad imperatorem, qui ibi tum morabatur, accedens una inde cum illo Byzantium venit: quo in loco eum excepere deinceps variae animi relaxationes, imperatoria palatia, omnis generis spectacula, equorum certamina, magnifici apparatus, quibus defessum laboribus corpus subinde recreavit. idonea demum pecuniarum copia sublevatus, cum triremibus in Palaestinam iter intendit, classis praefecto Nicephoro Dasiota ei ductore atque alia omnia necessaria submini-

λις προνοοῦντος. ἔνθα καὶ ῥὴξ τοῖς ἄλλοις ἐλθὼν ἐς ταὐτὸ καὶ τὰ εἰκότα ἐπὶ τῷ ζωοδόχῳ Χριστοῦ τελέσας τάφῳ, τῶν ἄλλων ὡς δυνατὰ ἑκάστῳ ἐγεγόνει ἐπὶ τὴν πατρίδα στελλομένων, αὐτὸς σὺν ναυσὶ ταῖς εἰρημέναις ἐκεῖθεν ἀχθεὶς Θεσσαλονίκῃ προσέσχεν, ἔνθα τὸ δεύτερον βασιλέα τε εἶδε καὶ λόγων αὖ καὶ ὁμιλίας ἐκοινώνησεν. ὁ δὲ βασιλεὺς τῶν πάλαι προομολογηθέντων ἀνεμίμνησκεν B αὐτῷ· ἦσαν δὲ ταῦτα, ὅπως Ἰταλίαν εἰς ἕδνον τῇ βασιλίδι ἀνασώσαιτο Εἰρήνῃ, ἣν καὶ αὐτὸς ξυγγενῆ οὖσαν τῷ βασιλεῖ V 39 κατηγγύησεν. ὁρκίοις οὖν δευτέροις αὐτός τε καὶ Φρεδερίχος τὰ σφίσι δεδογμένα πιστώσαντες τῆς Ῥωμαίων ἀπαλλάττονται γῆς. Κορράδῳ μὲν οὖν ἐνταῦθα τέλος ἔσχον τὰ πράγματα. τῷ δὲ Γερμανῶν ῥηγὶ ἐκ Παλαιστίνης ἀναγομένῳ σὺν ναυσίν, αἳ πολλαὶ παρὰ τὰς ἐκεῖ σαλεύουσαι ἀκτὰς μισθοῦ τοῖς βουλομένοις παρέχονται τὴν περαίωσιν, τοιάδε τινὰ ξυνέπεσε. νῆες Σικελαὶ ἐπὶ καταδρομῇ γῆς Ῥωμαίων ἐξιοῦσαι πρότερον ἐνταῦθά που τοῦ πελάγους ἐφέροντο. ταύταις Ῥωμαίων στόλος περιτυχών, C οὗ ὁ Χουρούπης κατῆρχεν, εἰς χεῖρα ἦλθε. τύχῃ δέ τινι μαχομένων τῶν στόλων ἀμφοῖν συνέπλεε τούτοις καὶ ὁ ῥήξ. ἐπικρατεστέρων δὲ τῇ μάχῃ τῶν Ῥωμαίων ἤδη γεγενημένων παρ' ὀλίγον ἦλθε τοῦ ἁλῶναι καὶ αὐτὸς ἐξ αἰτίας τοιᾶσδε. ἐπειδὴ ταῖς Σικελῶν καθάπερ εἴρηται ξυνέμιξε ναυσίν, ἐκβὰς τὴν ἑαυτοῦ Σικελικὴν εἰσεπήδησε τριήρην, καὶ εἰ μὴ ταχὺ τοῦ κινδύνου συνιεὶς τῶν Ῥωμαίοις συμμαχίδων τινὸς σημεῖα ἐνέθετο φθάσας

7. αὐτῷ] Fort. αὐτόν. 17. εἰς χεῖρα] Malim χεῖρας. 21. τὴν ἑαυτοῦ] Fort. τῆς.

strante. postquam aliis ibi coniunctus regibus, ad vivificum Christi sepulcrum iusta exsolvisset, ceteris, prout cuique libitum erat, in patriam remissis, ipse iisdem vectus navibus inde Thessalonicam appulit, ubi et imperatorem vidit denuo, et cum eo congressus collocutusque est. imperator vero ea de quibus primum invicem convenerant illi in memoriam reduxit, quae erant huiusmodi: ut videlicet Italiam in dotem restitueret Irenae, quam ille sibi cognatam imperatori desponderat. altero igitur sacramento firmatis iis, de quibus convenere rursum, Conradus et Fredericus e solo Romanorum excessere. atque eum finem quae Conradum spectant habuerunt. Germanorum autem regi ex Palaestina revertenti cum navibus, quae magno numero in illis fluitantes littoribus, dato naulo, excedentes inde transmittere solent, talia acciderunt. cum naves Siculae, quae primum ad incursandos fines Romanos exiverant, pleno tum aequore ferrentur, in eas classis incidit Romanorum, cui praeerat Churupes, manusque cum hostibus conseruit. dum committitur utrimque certamen, quum nescio quo casu et ipse cum iis vela faceret, superioribus iam factis Romanis, quin caperetur parum abfuit. postquam enim, ut diximus, Siculis navibus adiunctus est, sua egressus,

αὐτῇ, τάχα ἂν ὑπὸ ταῖς Ῥωμαίων ἐγεγόνει χερσί. νῦν δὲ πλεί-
στους τῶν σὺν αὐτῷ ἀποβαλὼν λάφυρον τοῦ πολέμου γεγενημέ-
D νους αὐτὸς μόγις ἐσώζετο. ἀλλὰ βασιλέως ἑξῆς δεηθεὶς τούς τε
αἰχμαλώτους ἔλυσε καὶ τὰ διηρπασμένα κεκόμιστο πάντα. ἐν-
ταῦθά τε πέρας ἡ τῶν ἑσπερίων ἐθνῶν εἰς τὰ Ῥωμαίων ἔσχη-
κεν ἐμβολή.

20. Κορράδος δὲ εἰς τὴν πατρίδα παλινοστήσας, ὀλίγον
ἐπιβιοὺς ἐτελεύτησεν, οὐδὲν οὐδέπω ὧν βασιλεῖ διωμολόγηκε
πέρατι δεδωκώς. μεθ' ὃν Φρεδερίκος τὴν ἀρχὴν ἔσχεν. ὅθεν
δὲ ἐπὶ Φρεδερίκον μετὰ Κορράδον τὸ Ἀλαμανῶν ξυνέπεσε κρά-
τος, ὁ λόγος ἑξῆς παραστήσει μοι. ὁ Ἀλαμανῶν ῥὴξ Ἔρριχος
ἔτι περιόντα τὸν πατέρα καθείρξας τοῦ Ῥώμης τε ἀρχιερέως πο-
λέμῳ περιγεγονὼς αὐτὸς παρανομώτατα τὴν ἀρχὴν ἔσχεν. οὗ
P 50 δὴ ἕνεκα ἀμυνόμενοι τοῦτον Ἀλαμανοί, τετελευτηκότος οὐκέτι
παισὶ τοῖς αὐτοῦ τὴν ἡγεμονίαν ξυγχωρεῖν ἔγνωσαν (ἦσαν δὲ αὐ-
τῷ παῖδες Κορράδος τε οὗτος καὶ ὁ Φρεδερίκου πατήρ), Λου-
τήρην δέ τινα ἄνδρα ἐσχατογέροντα καλέσαντες ἐπὶ τὴν ἀρχήν,
τούτῳ τὴν Ἀλαμανῶν ἐπικράτησιν ἔδοσαν. ἀλλ' ἐκεῖνοι οὐκ
ἀνασχόμενοι εἰ τῆς πατρῴας ἐκπεσοῦνται ἀρχῆς, νεωτέροις ἐγ-
χειρεῖν ἔγνωσαν πράγμασιν. ὃ γνοὺς ὁ Λουτήρης, γέρων μὲν
B καὶ ἄλλως ἀκριβῶς ὢν καὶ ἡλικίας πόρρω ἥκων, φύσει δὲ κα-
λοκαγαθίᾳ συνὼν ἀεὶ καὶ οὐδὲν ὅ τι μὴ σὺν ἁπλότητι καὶ λέγειν
καὶ πράττειν εἰδώς, ὡμολόγει ἐπ' αὐτοὺς μὲν ἀρχὴν διαβιβάσαι,

2. ἀποβαλὼν] Cod. ἀποκαλῶν. 17. καλέσαντες] Cod. καλέσας. correxit Duc.

triremem conscendit Siculam, et ni intellecto repente periculo, navis Romanorum sociae signum imposuisset, venisset haud dubie in manus Romanorum. ita vero compluribus suorum, qui capti fuerant, amissis, ipse vix sospes evasit. sed imperator postea captivos solvit resque ablatas omnes repente iussit restitui. atque eiusmodi fuit gentium Occidentalium in Romanorum terras irruptio.

20. Reversus autem in patriam Conradus, protracta haud multum vita, decessit, nihil eorum quae imperatori spoponderat executus. hunc excepit Fredericus. unde autem post Conradum ad Alemannorum imperium pervenerit, dicere deinceps aggrediar. Henricus Alemannorum rex, parente superstite in vinculis habito, debellatoque bellis Romano pontifice, subditos saevo premebat imperio. unde irritati Alemanni, eo exstincto, imperium liberis illius concedere nequaquam voluere. erant vero hi Conradus et Frederici pater. itaque Lotharium quemdam acciverant, aetate extrema virum, eique rei Alemannicae arbitrium permiserunt. sed enim illi paterno se excidere imperio non ferentes, res novare turbareque statuunt. quod ubi advertit Lotharius, aetate vir provectior et probitate singulari quique nihil nisi simpliciter ageret diceretve, in eam tandem cum illis conditionem

ἐπειδὰν τὸ χρεὼν αὐτὸν καταλήψεται. ἐπειδὴ γοῦν ὀλίγῳ ὕστερον ἀπεβίω, τοῦ κλήρου ἐπὶ τὸν πρεσβύτατον τῶν ἀδελφῶν πίπτοντος, λέγω δὲ τὸν Φρεδερίκου πατέρα, αὐτὸς τὸν ἕνα πεπηρωμένος τοῖν ὀφθαλμοῖν Κορράδον τὸν ἀδελφὸν ἀνθ' ἑαυτοῦ εἵλετο, ὅρκοις ὁμολογήσαντα πρότερον ἐς Φρεδερίκον τὸν υἱέα τὴν C ἀρχὴν ἐπειδὰν θνήσκοι διαβιβάσαι. διὸ Κορράδος τελευτῶν, ὥσπερ ἔφην, Φρεδερίκῳ τὸ στέμμα περιετίθει. ταῦτα μὲν οὖν ὧδέ πῃ ἔσχε. τὰ δὲ τῶν Σικελῶν πολέμων ἐντεῦθεν ἀρχὴν εὗρεν.

venit, ut imperium adipiscerentur, postquam vitae finem sibi fata posuissent. Lothario non multo post exstincto, cum sors cecidisset super maiorem natu, patrem nimirum Frederici, altero orbatum lumine, pro se Conradum fratrem ipse assumpsit, pollicitum iuramento prius imperium ad Fredericum filium, ubi et ipse vita concessisset, transmissurum., quapropter moriens Conradus, uti narravimus, Frederico coronam imposuit. in hunc modum res eae gestae sunt: bella autem Sicula exinde initium habuere.

ΒΙΒΛΙΟΝ Γ.

1. Ῥογέριος ἦν τις ἀνήρ, ἐς κόμητας μὲν τὸ πρῶτον τελῶν, P 51 δραστήριος δὲ ἄλλως καὶ ῥέκτης ἀνὴρ δεινός τε πράγματα ῥάψαι V 40 καὶ τὰ καθεστῶτα κινῆσαι δεξιός. οὗτος Γιλιέλμῳ τῷ Λογγιβαρδίας δουκί, ὑφ' ὃν ἐτέτακτο, ἐς Παλαιστίνην ἀπαίροντι χρήματα δεδανεικὼς τὴν Λογγιβαρδίας ἀρχὴν τούτου δὴ ἕνεκα ἐνεχυρασθεῖσαν αὐτῷ ἔσχε, τὸν Ῥώμης τε ἀρχιερέα τρόπῳ τῷ ῥηθησομένῳ βιασάμενος ῥῆξ παρ' αὐτοῦ προκεχείριστο. ἐπειδὴ γὰρ Λογγιβαρδίαν πρὸς Ῥογερίου ἔχεσθαι ὁ τῷ τηνικάδε τὸν Ῥώμης διέπων ἤκουσε θρόνον, ἤσχαλλεν ἐπὶ τῷ τολμήματι, ἐκκλη-

17. ἤσχαλλεν] Cod. ἤσχαλεν.

LIBER III.

1. Florebat ea aetate Rogerius, dignitate primo comes, vir ceteroquin in rebus gerendis strenuus admodum et impiger, texendis dolis perquam idoneus, quique rite ordinata permiscere inprimis nosset. is Gulielmo Longobardiae duci, cui erat subditus, in Palaestinam eunti pecunia foenori data, Longobardiae principatum eo nomine sibi oppigneratum retinuit. postea autem Romanum pontificem hoc quem dicam modo coegit, ut ab illo rex renuntiaretur. ut enim Longobardiam in Rogerii potestatem venisse qui tum Romanae sedi praeerat pontifex intellexit, id facinus aegre tulit,

αὐτῇ, τάχα ἂν ὑπὸ ταῖς Ῥωμαίων ἐγεγόνει χερσί. νῦν δὲ πλείστους τῶν σὺν αὐτῷ ἀποβαλὼν λάφυρον τοῦ πολέμου γεγενημέ-
D νους αὐτὸς μόγις ἐσώζετο. ἀλλὰ βασιλέως ἑξῆς δεηθεὶς τούς τε αἰχμαλώτους ἔλυσε καὶ τὰ διηρπασμένα κεκόμιστο πάντα. ἐνταῦθά τε πέρας ἡ τῶν ἑσπερίων ἐθνῶν εἰς τὰ Ῥωμαίων ἔσχηκεν ἐμβολή.

20. Κορράδος δὲ εἰς τὴν πατρίδα παλινοστήσας, ὀλίγον ἐπιβιοὺς ἐτελεύτησεν, οὐδὲν οὐδέπω ὧν βασιλεῖ διωμολόγηκε πέρατι δεδωκώς. μεθ' ὃν Φρεδερίκος τὴν ἀρχὴν ἔσχεν. ὅθεν δὲ ἐπὶ Φρεδερίκον μετὰ Κορράδον τὸ Ἀλαμανῶν ξυνέπεσε κράτος, ὁ λόγος ἑξῆς παραστήσει μοι. ὁ Ἀλαμανῶν ῥὴξ Ἔρριχος ἔτι περιόντα τὸν πατέρα καθείρξας τοῦ Ῥώμης τε ἀρχιερέως πολέμῳ περιγεγονὼς αὐτὸς παρανομώτατα τὴν ἀρχὴν ἔσχεν. οὗ
P 50 δὴ ἕνεκα ἀμυνόμενοι τοῦτον Ἀλαμανοί, τετελευτηκότος οὐκέτι παισὶ τοῖς αὐτοῦ τὴν ἡγεμονίαν ξυγχωρεῖν ἔγνωσαν (ἦσαν δὲ αὐτῷ παῖδες Κορράδος τε οὗτος καὶ ὁ Φρεδερίκου πατήρ), Λουτήρην δέ τινα ἄνδρα ἐσχατογέροντα καλέσαντες ἐπὶ τὴν ἀρχήν, τούτῳ τὴν Ἀλαμανῶν ἐπικράτησιν ἔδοσαν. ἀλλ' ἐκεῖνοι οὐκ ἀνασχόμενοι εἰ τῆς πατρῴας ἐκπεσοῦνται ἀρχῆς, νεωτέροις ἐγχειρεῖν ἔγνωσαν πράγμασιν. ὃ γνοὺς ὁ Λουτήρης, γέρων μὲν
B καὶ ἄλλως ἀκριβῶς ὢν καὶ ἡλικίας πόρρω ἥκων, φύσει δὲ καλοκαγαθίᾳ συνὼν ἀεὶ καὶ οὐδὲν ὅ τι μὴ σὺν ἁπλότητι καὶ λέγειν καὶ πράττειν εἰδώς, ὡμολόγει ἐπ' αὐτοὺς μὲν ἀρχὴν διαβιβάσαι,

2. ἀποβαλὼν] Cod. ἀποκαλῶν. 17. καλέσαντες] Cod. καλέσας. correxit Duc.

triremem conscendit Siculam, et ni intellecto repente periculo, navis Romanorum sociae signum imposuisset, venisset haud dubie in manus Romanorum. ita vero compluribus suorum, qui capti fuerant, amissis, ipse vix sospes evasit. sed imperator postea captivos solvit resque ablatas omnes repente iussit restitui. atque eiusmodi fuit gentium Occidentalium in Romanorum terras irruptio.

20. Reversus autem in patriam Conradus, protracta haud multum vita, decessit, nihil eorum quae imperatori spoponderat executus. hunc excepit Fredericus. unde autem post Conradum ad Alemannorum imperium pervenerit, dicere deinceps aggrediar. Henricus Alemannorum rex, parente superstite in vinculis habito, debellatoque bellis Romano pontifice, subditos saevo premebat imperio. unde irritati Alemanni, eo exstincto, imperium liberis illius concedere nequaquam voluere. erant vero hi Conradus et Frederici pater. itaque Lotharium quemdam acciverant, aetate extrema virum, eique rei Alemannicae arbitrium permiserunt. sed enim illi paterno se excidere imperio non ferentes, res novare turbareque statuunt. quod ubi advertit Lotharius, aetate vir provectior et probitate singulari quique nihil nisi simpliciter ageret diceretve, in eam tandem cum illis conditionem

ἐπειδὰν τὸ χρεὼν αὐτὸν καταλήψεται. ἐπειδὴ γοῦν ὀλίγῳ ὕστερον ἀπεβίω, τοῦ κλήρου ἐπὶ τὸν πρεσβύτατον τῶν ἀδελφῶν πίπτοντος, λέγω δὲ τὸν Φρεδερίκου πατέρα, αὐτὸς τὸν ἕνα πεπηρωμένος τοῖν ὀφθαλμοῖν Κορράδον τὸν ἀδελφὸν ἀνθ' ἑαυτοῦ εἵλετο, ὅρκοις ὁμολογήσαντα πρότερον ἐς Φρεδερίκον τὸν υἱέα τὴν C ἀρχὴν ἐπειδὰν θνήσκοι διαβιβάσαι. διὸ Κορράδος τελευτῶν, ὥσπερ ἔφην, Φρεδερίκῳ τὸ στέμμα περιετίθει. ταῦτα μὲν οὖν ὧδέ πη ἔσχε. τὰ δὲ τῶν Σικελῶν πολέμων ἐντεῦθεν ἀρχὴν εὗρεν.

venit, ut imperium adipiscerentur, postquam vitae finem sibi fata posuissent. Lothario non multo post exstincto, cum sors cecidisset super maiorem natu, patrem nimirum Frederici, altero orbatum lumine, pro se Conradum fratrem ipse assumpsit, pollicitum iuramento prius imperium ad Fredericum filium, ubi et ipse vita concessisset, transmissurum., quapropter moriens Conradus, uti narravimus, Frederico coronam imposuit. in hunc modum res eae gestae sunt: bella autem Sicula exinde initium habuere.

ΒΙΒΛΙΟΝ Γ.

1. Ῥογέριος ἦν τις ἀνήρ, ἐς κόμητας μὲν τὸ πρῶτον τελῶν, P 51 δραστήριος δὲ ἄλλως καὶ ῥέκτης ἀνὴρ δεινός τε πράγματα ῥά- V 40 ψαι καὶ τὰ καθεστῶτα κινῆσαι δεξιός. οὗτος Γιλιέλμῳ τῷ Λογγιβαρδίας δουκί, ὑφ' ὃν ἐτέτακτο, ἐς Παλαιστίνην ἀπαίροντι χρήματα δεδανεικὼς τὴν Λογγιβαρδίας ἀρχὴν τούτου δὴ ἕνεκα ἐνεχυρασθεῖσαν αὐτῷ ἔσχε, τὸν Ῥώμης τε ἀρχιερέα τρόπῳ τῷ ῥηθησομένῳ βιασάμενος ῥῆξ παρ' αὐτοῦ προκεχείριστο. ἐπειδὴ γὰρ Λογγιβαρδίαν πρὸς Ῥογερίου ἔχεσθαι ὁ τῷ τηνικάδε τὸν Ῥώμης διέπων ἤκουσε θρόνον, ἤσχαλλεν ἐπὶ τῷ τολμήματι, ἐκκλη-

17. ἤσχαλλεν] Cod. ἤσχαλεν.

LIBER III.

1. Florebat ea aetate Rogerius, dignitate primo comes, vir ceteroquin in rebus gerendis strenuus admodum et impiger, texendis dolis perquam idoneus, quique rite ordinata permiscere inprimis nosset. is Gulielmo Longobardiae duci, cui erat subditus, in Palaestinam eunti pecunia foenori data, Longobardiae principatum eo nomine sibi oppigneratum retinuit. postea autem Romanum pontificem hoc quem dicam modo coegit, ut ab illo rex renuntiaretur. ut enim Longobardiam in Rogerii potestatem venisse qui tum Romanae sedi praeerat pontifex intellexit, id facinus aegre tulit,

P 62 σίᾳ τῇ αὑτοῦ φάσκων προσήκειν ἀνέκαθεν αὐτήν. ἐφ' οἷς ὁ Λουτήρης δεινοπαθήσας, οὐκ ἀνασχόμενος εἰ τὸ πάπα περιφρονοῖτο ἀξίωμα, στρατῷ μεγάλῳ εἰς Λογγιβαρδίαν ἐμβάλλει· μέρος τε οὐκ ἐλάχιστον Ῥογέριον ἀφελόμενος ἐγγὺς ἤδη ἐγένετο τοῦ καὶ συμπάσης αὐτὸν ἀπελάσαι τῆς χώρας, εἰ μὴ Ῥογέριος καὶ πάλιν δολώσεις κατὰ τὸ ἔθος ἐννοήσας ἀμαχητὶ τὸν Λουτήρην ἐκεῖθεν ἀπήλασεν. ὅπως δέ, ὁ λόγος ἑξῆς παραστήσει. ἦν τις τῷ Λουτήρῃ γαμβρός, ὃς τὰ μέγιστά τε παρ' αὐτῷ ἐδεδύνητο καὶ τῷ Ἀλαμανῶν ἔθνει λόγου μετὰ Λουτήρην ἠξίωτο. τοῦτον ὁ Ῥογέριος ὑπελθὼν χρήμασί τε ὑποκλέψας ἀνέπεισε, τοῦ B Λουτήρη μηδὲν ξυνειδότος, σύνθημα τῆς πολέμου τοῦδε καταλύσεως τῷ Ἀλαμανῶν δεδωκέναι στρατῷ. ἔστι δὲ τοῦτο οὐ σάλπιγγος ἠχὴ ἤ τι ἄλλο τοιοῦτον, ἀλλὰ βάρβαρός τις καὶ ἀξύνετος τρόπος. μέλος γάρ τι κατ' ἔθος ἐπὶ τοῦ στρατοπέδου ἐκλαληθὲν οὐκέτι μένειν ἐφίησι τὸ στρατιωτικόν, ἀλλ' ἅμα τε ἀκούει καὶ ἅμα σκεδάννυται ἕκαστος πρὸς ἀποπορείαν συσκευαζόμενος. τοῦτο δὴ τὸ μέλος καὶ τότε ὁ Λουτήρη γαμβρὸς τῷ Ἀλαμανῶν ἔθνει ἐπιθρυλληθῆναι ἀθρόον ἐσκαιωρηκὼς αὐτίκα ἐνθένδεν ἀναχωρεῖν ἐποίησε τὸν στρατόν. πρὸς ὅπερ ἀγανακτήσας ὁ Λουτήρης ἐπεβάλλετο μὲν τὴν ὀχλικὴν ὁρμὴν ἐπισχεῖν ἐς πεντακο- V 41 σίους ἀνασκολοπίσας ἀνδρῶν, οὐ μὴν καὶ ἐδυνήθη. Ἀλαμανοὶ C γὰρ οὐδὲν ἧττον ἐξέρρεον, καὶ ποινῶν καὶ κολάσεων καθάπαξ

2. τὸ πάπα] Ita Duc. Cod. τῷ πάπα. 7. ἀπήλασεν] Ita Tollius. Cod. ἀπήλασσεν. 14. γάρ τι] Cod. τοι. 16. ἀποπορείαν] Ita Tollius correxit. Cod. ἀπορίαν.

quod ad ecclesiam suam iampridem illam pertinere contenderet. Lotharius eo non modice commotus, nec ferens papae auctoritatem imminui, ingentibus copiis in Longobardiam irrupit, magna agrorum parte exuit Rogerium: propeque erat ut is universa ditione pelleretur, ni prout consueverat, ad dolos iterum conversus absque ullo certamine Lotharium inde abegisset: quo autem pacto id contigerit, a nobis deinceps dicetur. erat Lothario affinis quidam, maximae apud illum auctoritatis, quemque Alemannorum gens post ipsum Lotharium potissimum suspiciebat. hunc Rogerius convenit, pecuniisque datis sibi conciliavit: tum homini persuasit, ut signum receptui inscio Lothario, exercitui Alemannico dari imperaret. id porro signum non est tubae sonitus, aut aliud quidpiam simile, sed nescio quid barbarum et insolens, quodve percipi vix potest. quidam enim vocum concentus pro more editus in castris, haud amplius permanere sinit exercitum: sed statim atque auditur, dilabitur quisque, et ad reditum sese comparat. itaque eiusmodi carmen per legiones Alemannicas, Lotharii affinis dolo passim pronuntiatum, effecit ut universus continuo recederet exercitus. quam rem graviter admodum ferens Lotharius, quo impetum multitudinis sisteret, quingentos circiter milites palo affixit, neque tamen hac ratione quicquam confecit. Alemanni quippe nulla poenae ac supplicii habita cura, nihilo mi-

ἐφροντιστοῦντες. ὅθεν ἀθυμίᾳ συσχεθεὶς ὁ Λουτήρης πυρετοῖς τε λάβροις διὰ τοῦτο ἁλούς, ὀλίγῳ ὕστερον ἐξ ἀνθρώπων ἠφάνιστο. Κορράδος δέ, καθάπερ εἴρηται, τὴν ἀρχὴν διαδέχεται.

2. Ταῦτα μὲν τῇδε ἐγένετο. Ῥογέριος δὲ Λογγιβαρδίας καὶ πάλιν ἀπρὶξ εἴχετο. ὅπερ οὐ φέρων ὁ Ῥώμης ἀρχιερεὺς ὁμαιχμίαν ἐξ Ἀλαμανῶν ἑαυτῷ συστησάμενος, θυμῷ πολλῷ κατὰ Ῥογερίου ἐφέρετο. ἀλλ' ὁ Ῥογέριος ἄφνω ἐνεστρατοπεδευμένῳ τούτῳ ἐπιφανεὶς τούς τε ἀμφ' αὐτὸν ἐτρέψατο καὶ αὐτὸν ζωγρείαν εἷλεν. ἐπειδή τε ἤδη ἐν χερσὶν εἶχε, σκηνήν τινα τῶν D ἀπὸ λίνου πεποιημένων διαπετάσας καθίζει ἐπὶ ταύτης τὸν ἀρχιερέα, ἐς ἔδαφός τε καταβαλὼν ἑαυτὸν πρηνὴς χερσί τε καὶ ποσὶν ἐρειδόμενος προσῄει, τὸ μὲν τὴν ἁμαρτάδα δῆθεν ἐξιλασκόμενος τὸ δὲ καὶ ῥὴξ προβεβλῆσθαι ἀξιῶν. ὁ δὲ δέχεταί τε προσιόντα (καὶ τί γὰρ ἂν ἔδρασε;) καὶ ῥῆγα λοιπὸν ὀνομάζει. ἐξ ἐκείνου τε ῥὴξ Λογγιβαρδίας ἡγεμονεύων κεκλῆσθαι εἴωθε. Ῥογέριος δὲ ἐπειδὴ τοῦ κατὰ σκοπὸν ἔτυχε, πρέσβεις ἐς βασιλέα Ἰωάννην ἔτι περιόντα πέμψας ᾐτεῖτο κήδους τοῦ ἐκ βασιλείων P 63 αἱμάτων ἐπὶ παιδὶ τεύξεσθαι τῷ αὐτοῦ. ἀλλ' οὔπω τέλος ἔσχε τὰ τῆς πρεσβείας, καὶ Ἰωάννης τὸν βίον κατέλυε. μετὰ δέ τινα χρόνον Μανουὴλ ἤδη τὴν αὐτοκρατορίαν διέποντος ταὐτὰ καὶ πάλιν πέμψας ἠξίου. ὅθεν καὶ Βασίλειός τις ἐπώνυμον Ξηρὸς εἰς Σικελίαν ἀφῖκτο Ῥογερίῳ περὶ τούτου διαλεξόμενος. ἀλλ'

7. ἐνεστρατοπεδευμένῳ] Cod. ἐνστρατοπαιδευμένῳ. Tollius ἐνστρατοπεδευμένῳ.

mus dilabebantur. tum vero Lotharius moerore confectus, in gravissimam incidit febrem, nec multo post diem clausit extremum. principatum, ut diximus, postea Conradus adeptus est.

2. His ita confectis rebus, Longobardiam recepit rursum Rogerius. quod cum ferre haud posset Romanus pontifex, Alemannis in auxilium accitis, summo animi ardore in Rogerium proficiscitur. at is castra metantem inopinate invadens, ceteris in fugam coniectis, ipsum etiam vivum capit. cum iam illum in manibus haberet, expanso ex linteis tabernaculo, in eo sedentem pontificem collocat, ipse humi prostratus, prono corpore ac manibus pedibusque incumbens ad illum adrepit, partim delicti implorans veniam, partim ut regium sibi nomen vellet impertiri precatus. accedentem excepit pontifex (quid enim faceret?) et regem appellavit. atque inde Longobardiae princeps rex vocari consuevit. Rogerius igitur cum ex voto successissent omnia, legatos ad imperatorem Ioannem, qui adhuc erat in vivis, misit qui ex imperatorio sanguine uxorem pro filio suo expeterent. sed necdum expedita erat legatio, cum Ioannes vita functus est. interiecto deinde aliquo tempore, cum iam Manuël imperium esset adeptus, eadem per legatos iterum postulavit: eumque in finem Basilius, cognomento Xerus, in Siciliam traiecit, ut iis de rebus cum Rogerio sermones conferret. at Xerus

ἐκεῖνος χρυσίῳ κλαπεὶς παρ' αὐτοῦ ἀλλόκοτά τινα ὡμολόγει, ὧν δὴ κεφάλαιον ἦν τὸ ἐν ἴσῳ μεγαλείου βασιλέα τε τοῦ λοιποῦ καὶ Ῥογέριον ἔσεσθαι. ὅθεν δὴ τὰς μεγάλας ἀναρραγῆναι ξυμβέβηκε μάχας. ἐπειδὴ γὰρ ὁ μὲν Ξηρὸς ἐς Βυζάντιον ἐπανιὼν B τὸν βίον κατέστρεψε, δίκην οὔπω τῶν τετολμημένων δούς, βασιλεὺς ὅσα καὶ ἀθύρμασι ταῖς ἐκείνου πρεσβείαις προσεσχηκὼς Ῥογέριον αὐτὸν χαίρειν εἴα· θυμομαχήσας δὲ ἐκεῖνος ἐξαπάτην τέ τινα τὸ πρᾶγμα εἶναι οἰηθείς, στόλον ναυπηγησάμενος ἐν παρασκευῇ εἶχε, καιροφυλακῶν τρόπῳ ὅτῳ δὴ Ῥωμαίους ἀμύνεσθαι. καὶ ἔτυχέ γε τοῦ κατὰ σκοπὸν ὁ βάρβαρος. ἐν ἀκμῇ γὰρ τῆς τῶν δυσμικῶν ἐθνῶν ἐς τὰ Ῥωμαίων ἐμβολῆς Κόρινθόν τε καὶ Εὔβοιαν καὶ Θήβας ἐληΐσατο τὰς Βοιωτικάς. ἅτε γὰρ τοῦ Ῥωμαίων στρατοῦ ἐπὶ τοῖς ἀνὰ χεῖρας κατ' ἐκεῖνον ἠσχολημένου τὸν χρόνον, κατὰ πᾶσαν ἄδειαν ταῖς εἰρημέναις οἱ βάρβαροι ἐγκαθίσαντες πόλεσι λαφύρων τὰς ναῦς ἐπλήσαντο. ἐκεῖ-
C θέν τε ἐπὶ Κέρκυραν διαβάντες, κατὰ κράτος αὐτὴν εἷλον καὶ ὡς ἤδη οἰκείας μετεποιοῦντο παντὶ κρατυνάμενοι τρόπῳ. ὃ μαθὼν βασιλεὺς ἐν ἀθυμίᾳ πολλῇ ἦν. ἀμέλει καὶ ἐσκέπτετο πῶς ἂν τὸν Ῥογέριον ἀμύνηται καὶ δίκην τῶν τετολμημένων ἐπιθήσει τὴν δέουσαν. στόλον οὖν νεῶν τριήρεων μὲν πεντακοσίων, ἱππαγωγῶν δὲ καὶ φορταγωγῶν ἐς χιλιοστὺν ὅλην ἑτοιμασάμενος, αὐτὸς μὲν ᾔει διὰ τῆς ἠπείρου, ὁ δὲ στόλος διαπόντιος ἐφέρετο ἐξαίσιος οἷος.

15. ἐπλήσαντο] Cod. ἐπλήσσαντο.

auro ab illo corruptus, ineptas nescio quas conventiones pepigit, quarum caput erat, aequali in posterum maiestate imperatorem et Rogerium futuros. atque inde ingentia exarsere bella. reverso quippe Byzantium Xero, et ante quam suae dedisset poenas audaciae demortuo, posthabitis neglectisque penitus iis quae in hac legatione peregerat, Rogerium valere iussit. ille vero totus Martem spirans, illusum se ab imperatore ratus, classem aedificat paratamque habet, occasionem captans qua illatam sibi a Romanis iniuriam quavis ratione vindicaret. nec aberravit a scopo barbarus. quo enim tempore in provincias Romanas fervebat Occidentalium nationum irruptio, Corinthum, Euboeam et Thebas Boeoticas depraedatus est. iis quippe temporibus, dum rebus praesentibus detineretur Romanorum exercitus, oppida illa, obsistente nemine, oppugnantes barbari, naves praeda impleverunt. inde Corcyram digressi, totis viribus expugnatam, ut propriam deinceps munivere. his auditis, consternatus imperator, multa secum animo volvebat, quo pacto Rogerium ulcisceretur, et dignas delictis poenas rependeret. instructa itaque quingentarum triremium classe, hippagogarum vero et onerariarum mille, ipse quidem per continentem iter instituit, interea dum immensa et formidanda classis per maria fertur.

3. Ἄρτι δὲ περὶ τὴν πόλιν Φιλίππου γεγονότι τῷ αὐτοκράτορι φήμη περιέπτη, ὅτι δὴ στρατεύματα Σκυθικὰ Ἴστρον V 42 περαιωσάμενα κείρουσί τε τὰ ἐν ποσὶ καὶ ληΐζονται πάντα, καὶ D εἷλόν γε καὶ πόλιν λόγου ἀξίαν, τῶν Ἴστρου καὶ αὐτὴν πίνουσαν ναμάτων. τὰ μὲν δὴ τῆς φήμης ἐν τούτοις ἦν. ὁ δὲ βασιλεὺς ἐκεῖθεν ἀποκλίνας, τὴν ἐπὶ τὸν Ἴστρον ἐφέρετο, ναῦς ἐκ Βυζαντίου δι' Ἀγχιάλου πόλεως ἐπὶ τὸν Ἴστρον ἀναχθῆναι κελεύσας. οὔπω δ' ἐκείνων ἀφικομένων, ἐν τούτῳ τὰς ταύτῃ περιῄει θηρευόμενος πεδιάδας. συμβαίνει γὰρ αὐταῖς ἅτε ἐρήμοις παντάπασι καὶ ἀοικήτοις ἐκ παλαιοῦ προκειμέναις ἀγεληδὸν ἀγρίων τι χρῆμα ζώων ἐντρέφεσθαι. ἐν ᾧ δὲ πρὸς τούτοις ἦν, ἠγγέλη αὐτῷ ὅ τι δὴ Σκύθαι λείαν ἐκ τῆς Ῥωμαίων ἐπαγόμενοι τὸν Ἴστρον ἄρτι που διέβησαν, οὐ μακράν τε ἄποθεν ἐσκηνω- P 54 κότες αὐλίζονται. ἅπερ ἐπειδὴ ἤκουσεν, ὡς εἶχε τάχους αὐτίκα ἐπὶ τὸν ποταμὸν ἐφέρετο. ἔνθα λεμβαδίῳ περιτετυχηκώς, ὁποῖα πρὸς ταῖς τῇδε ὄχθαις ἑστάναι εἴθισται ξύλου πεποιημένα ἑνός, ἐκέλευεν ἄγεσθαι τοῦτο πρὸς αὐτόν. ἀλλ' ἦν ἰσχυρογνώμων ὁ πορθμεὺς καὶ βασιλέα μεταπέμπεσθαι τοῦτον ἀκούων "εἰ βασιλεῖ τῶν καθ' ἡμᾶς ἔμελεν," εἶπεν, "οὐκ ἂν ὅ τε Δεμνίτζικος ἑάλω (οὕτω γὰρ τὸ τοῖς Σκύθαις, ὥσπερ εἴρηται, αἱρεθὲν ὠνομάζετο φρούριον) καὶ τὰ καθ' ἡμᾶς πρὸς τῶν βαρβάρων κατ' ἐξουσίαν ἤγετό τε καὶ ἐφέρετο." λέγεται τοίνυν πρὸς ταῦτα διηγανακτηκότα τὸν βασιλέα "ναὶ δὴ" φάναι "μὴ ἂν αὐτὸς εἴην, ᾧ τὰ Ῥωμαίων θεόθεν ἐπιτέτραπται πράγματα, εἰ μὴ αὐτίκα B

19. ἔμελεν] Ita Duc. Cod. ἔμελλεν.

3. Ad Philippopolim cum pervenisset imperator, fama percrebuit Scythicas copias Istrum traiecisse, et obvia quaeque rapere ac depopulari: sed et haud ignobile oppidum flumini adiacens expugnasse. eiusmodi accepto nuntio, abscedens inde princeps ad Istrum contendit navesque Byzantio per Anchialum urbem versus Istrum flectere iussit, interimque dum advenirent, circumiacentes campos venando perlustravit. quippe cum deserti essent omnino, et iam pridem inculti, atque adeo longius protenderentur, ingentem ferarum copiam gregatim hic innutriri contigerat. cum hisce daret operam, nuntiatur Scythas, facta ingenti in Romanorum agris praeda, nuper transivisse Istrum, nec procul inde, fixis tabernaculis, consedisse. quibus auditis quanta potuit celeritate ad fluvium contendit. navicula ibi reperta, cuiusmodi illic ad eas ripas stare solent ex unico fabricatae ligno, eam ad se mandat impelli. at pervicax portitor, ubi se ab imperatore accersiri videt "si rerum nostrarum," inquit "curam habuisset imperator, neque capta foret Demnitzicus" (sic enim appellabatur quod a Scythis captum fuisse castrum diximus) "neque res nostrae hic a barbaris direptae pro libitu et ablatae fuissent." ad haec aiunt indignatum respondisse principem: "non sim ego ille, cui divinitus a deo collatum est Romanorum imperium, nisi confestim auda-

δαμῇ ἤθελεν. ὡς δέ ποτε βασιλέως τῷ πράγματι διαιτήσαντος
τὴν ἥττονα ἔγνω κληρούμενος, οὐχὶ καὶ εἰσαῦθις ἀνακριθήσε-
σθαι ἀνασχόμενος, ἀφίστατό τε τοῦ θρόνου καὶ καθ᾽ ἑαυτὸν
αὖθις ἐβίου· ἀνθ᾽ οὗ Θεόδοτος ἀνὴρ ἐπὶ πλεῖστον ἀσκητικοῖς
ἐγγυμνασάμενος προχειρίζεται πόνοις. Ἀλαμανοὶ δέ, καθάπερ
εἴρηται, πρὸς τῶν Περσῶν πολλάκις ἀποκρουσθέντες πολλούς τε
C τῶν σφετέρων ἀποβαλόντες, ἐπειδὴ τὴν διὰ Φιλομίλιον ἀπέγνω-
σαν ἤδη διάβασιν, ὀπίσω λοιπὸν ἐφέροντο γενόμενοί τε ἐν Νι-
καίᾳ ἐνταῦθα Γερμανοῖς τε ὁδῷ ἰοῦσι συνέμιξαν καὶ ῥηξὶ τοῖς
ἄλλοις μεγάλα καὶ αὐτοῖς ἐπαγομένοις στρατεύματα· ὧν ὁ μὲν
τοῦ Τζέχων κατῆρχεν ἔθνους, ῥὴξ πρὸς τοῦ Κορράδου δῆθεν
προχειρισθείς, ἅτερος δὲ τοῦ τῶν Λέχων, οἳ Σκυθικὸν μέν εἰσι
γένος Οὔννους δὲ προσοικοῦσι τοὺς ἑσπερίους. ἐπειδή τε ἐς ταὐτὸ
συνῄεσαν τὰ στρατεύματα, ῥημάτιόν τι ἐκ μακροῦ πρὸς Γερμα-
νῶν Ἀλαμανοῖς ἐπιλέγεσθαι εἰωθὸς ἀναφανδὰ καὶ τότε προὐφέ-
ρετο "πούτζη Ἀλαμανέ" οὕτω πως ἐπὶ λέξεως ἐσχηκός. ὅθεν
D δὲ τὸ τοιοῦτον ἀρχὴν ἔσχεν αὐτίκα δηλώσω. τοῖς ἔθνεσι τού-
τοις ὁ περὶ τὸ μάχεσθαι τρόπος ἐστὶν οὐχ ὁ αὐτός. Γερμανοὶ
μὲν γὰρ ἵππον τε εὐσταλῶς ἀναβῆναι καὶ ξὺν δόρατι ἐπελάσαι
δεξιοὶ μάλιστα, ἥ τε ἵππος αὐτοῖς δρόμῳ τὴν Ἀλαμανῶν παρε-
λαύνει. Ἀλαμανοὶ δὲ πεζῇ τε τὴν μάχην ἐνεγκεῖν ἱκανοὶ ὑπὲρ
τοὺς Γερμανοὺς καὶ ξίφει χρήσασθαι πολλῷ προφερέστεροι. ἐπει-
δὴ γοῦν ποτε Γερμανοῖς ἐπεστράτευον Ἀλαμανοί, τὴν αὐτῶν ὑφο-

14. ῥημάτιόν τι] Cod. ῥῆμά τι ὄντι. 18. τρόπος] Cod. πόθος, superscripto τρόπος.

tem re ad imperatoris examen delata, male sibi cessurum agnovit, iudicium nolens denuo experiri, abdicata ultro dignitate, ad vitam rursus privatam rediit. Theodotus ei sufficitur, vir monachicis institutis apprime instructus. Alemanni interea, ut supra scripsimus, a Persis saepius repulsi, multisque suorum amissis, desperato iam per Philomelium transitu, inde retro cessere. ut venerunt Nicaeam, Germanis progredientibus ibi sese adiungunt, regibusque aliis, qui et ipsi non modicos secum ducebant exercitus. horum alter Tzechorum genti imperitabat, a Conrado ad regiam evectus dignitatem: alter praeerat Lechis, Scythicae genti, quorum regio Hungaris Occidentalibus contermina est. postquam in unum convenere exercitus, dictum illud quod in Alemannos iampridem iactari solet, palam tunc coepit proferri, "pousse Aleman" sic enim ad verbum se habet illud scomma, quod unde originem habuerit, paucis expediam. gentibus istis non eadem est dimicandi ratio. Germani quidem equum expedite conscendere, cum hasta irruere maxime periti: eorum equitatus celeritate et cursu Alemannico longe praepollet: Alemanni autem pedestri acie, ut et ensium usu praestant Germanis. cum itaque aliquando contra Germanos praeliarentur Alemanni, vererenturque eo-

ρώμενοι ἵππον πεζῇ τὸν πόλεμον ἐνεγκεῖν ἔγνωσαν. Γερμανοὶ
τοίνυν ἀνέτῳ τῇ αὐτῶν ἐντετυχηκότες ἵππῳ, αὐτῆς μὲν ἐκράτουν, P 48
τῶν δὲ Ἀλαμανῶν εὐχερέστερον καθιππαζόμενοι ἐτρέποντό τε αὐ- V 38
τοὺς ἐκ ποδὸς ἰόντας, καίτοι πλήθει παρὰ πολὺ αὐτῶν ἐλασ-
σούμενοι, καὶ τῷ εἰρημένῳ προσεκερτόμουν αὐτοῖς, ὅτι δὴ ἐξὸν
σὺν τοῖς ἵπποις μάχεσθαι οἱ δὲ πεζῇ τὸν πόλεμον εἵλοντο. τοῦτο
δὴ καὶ τότε καθάπερ εἴρηται πρὸς τῶν Γερμανῶν Ἀλαμανοῖς
ἐπιφερόμενον συνεχῶς μεγάλα τούτοις ἐλύπει. διά τοῦτό τε οὖν
καὶ ὅτι τὰ δεύτερα κληροῦσθαι τῶν Γερμανῶν κίνδυνος αὐτοῖς
ἐν ταῖς ὁδοῖς περιίσταται, ἄχρι μὲν καὶ ἐπὶ τὴν Φιλαδέλφου ἅμα
ἐχώρουν, τὸ δ' ἐντεῦθεν Κορράδος οὐκ ἔτι φέρειν εἰ πρὸς Γερ-
μανῶν περιορῷτο δεδυνημένος παλινοστεῖν ἔγνω· ἀμέλει καὶ βα- B
σιλεῖ τὸν σκοπὸν ἐπιστείλας ἐδήλου. ὁ δὲ τὸ μὲν ἀπονοσφίζειν
ἀλλήλων τοὺς ῥῆγας ἐθέλων, τὸ δὲ καὶ τῷ ἀνθρώπῳ συναλγῶν,
ἐπέστειλε τοιάδε· "Ἀνθρώποις, οἷς καὶ κατὰ βραχὺ τοῦ φρο-
νεῖν μέτεστιν, οὐ ξὺν ταῖς τύχαις τὰ πράγματα θεωρεῖν ἔθος,
ἀλλ' αὐτὰ καθ' αὐτὰ περιπετείας ἔξω τινός. οὔτε τοίνυν εὐ-
θηνουμένῳ σοι ὑπὲρ τὴν ἀξίαν προσφέρεσθαι ἔγνωμεν, καὶ νῦν γε
μετρίως δυσπραγήσαντα τοῖς αὐτοῖς καὶ πάλιν σε δεξιοῦσθαι
οὐκουν ὀκνήσομεν, οἷς καὶ τὸ πρότερον ὅσα καὶ ξυγγενῆ καὶ τηλι-
κούτων ἐθνῶν ἄρχοντα τιμᾶν ἡμῖν μὲν διὰ σπουδῆς ἦν, ξυμ-
βουλεύειν τε τὰ παριστάμενα, τῶν εἰρημένων τε ἕνεκα καὶ τοῦ C
ὁμοθρήσκους ἡμᾶς ἀλλήλοις εἶναι. σὺ δ' ἀλλ' οὐκ οἶδ' ὅπως

23. σὺ δ' ἀλλ'] Cod. οὐδ' ἀλλ'.

rum equitatum, bellum pedites conficere instituunt. at Germani in inconditum neglectumque eorum equitatum facto impetu, illum haud aegre delent, ceterasque inde Alemannorum copias pedestres vertunt in fugam, etsi bellatorum numero longe ab illis superarentur. tum dicterio iam memorato perstrinxere Germani Alemannos, quod cum potuissent ex equis pugnare, pedestre praelium praetulissent. id tum quoque, ut retuli, a Germanis continuo obiectum Alemannis non parum molestum fuit. ea igitur propter, et quod his periculum erat ne in itinere Germanis inferiores existerent, una quidem ad Philadelphiam usque profecti sunt: exinde vero Conradus, cum se contemni a Germanis ferre non posset, reverti statuit, deque eo consilio monuit imperatorem. ille cum reges invicem divelli percuperet et simul hominis doleret vicem, hasce literas misit: "res omnes cum adest fortuna, vel qui minimum sapiunt, numquam pensitare solent, sed ipsas per se omni casuum varietate denudatas. non itaque cum prospere omnia tibi cederent, supra quam ex dignitate erat, te uti voluimus. nunc vero cum adversa quodammodo te urgeat fortuna, iisdem demereri obsequiis haud nos pigebit, quibus antea et consanguineum, et tot nationum ducem honorare sollicite curavimus, et de rebus imminentibus consilia dare, cum ob iam dictas causas, tum quod uterque eamdem profiteamur religionem. at tu quidem nescio

περὶ ἐλάσσονος τὸ σοὶ αὐτῷ ξυνοῖσον πεποιημένος ἔλαθες ἑαυτὸν τὸ ἧττον αἱρετισάμενος· ἀλλὰ ταυτὶ μὲν ἐπειδήπερ ἅπαξ γεγονότα ἀναλύειν ἐστὶν ἀδύνατον, παρείσθω τέως ἡμῖν, ἐπιμελητέον δ' ὡς ἔνι μάλιστα τῶν ἔτι παρ' ἡμῖν, τῶν οὔπω πεφευγότων. τοιαύτην γὰρ ἔχει φύσιν τὰ πράγματα, ῥεῖ συνεχῶς, ἵσταται οὐδαμῇ· κἂν τις ἀρύσηται προλαβών, ἔσχεν ἤδη τὸ πᾶν, παρελθόντα δ' ἀνακαλέσασθαι ἐπίσης ἀδύνατον. ἕως τοίνυν ἔχει τινὰ θεραπείας τὰ κατά σε τρόπον, σπεῦσον ἁρπάσαι τὸ συνοῖσον".

D 19. Τὸ μὲν δὴ γράμμα ἐν τούτοις τετέλεστο. Κορράδος δὲ ἐτύγχανε μὲν καὶ πρότερον ἤδη ἀβουλίαν ἑαυτοῦ καταγνούς, οὐκ ἔχων δὲ ὅ τι καὶ δράσειεν οὐ σφόδρα ἐθελούσιος Γερμανοῖς εἵπετο. τότε δ' οὖν ἐπειδὴ καὶ τὰ βασιλέως παρ' αὐτὸν γράμματα ἦλθεν, ἕρμαιον αὐτίκα τὸ πρᾶγμα ἡγησάμενος, ἐδέξατό τε σὺν ἡδονῇ τοὺς λόγους καὶ θᾶττον ὀπίσω ἐχώρει, πρὸς Ἑλλησπόντῳ τε γεγονὼς διὰ τοῦ ἐνταῦθα πορθμοῦ ἐπὶ Θρᾴκην διέβη. ἔνθα τῷ βασιλεῖ διατριβὴν ποιουμένῳ συγγεγονὼς εἶτα ἐπὶ Βυζάντιον ἅμα αὐτῷ ἦλθεν. ἔνθα ἀνέσεις τε αὐτὸν τοῦ λοιποῦ διεδέξαντο καὶ βασίλειοι καταγωγαὶ θέατρά τε
P 49 παντοδαπὰ καὶ ἅμιλλαι ἵππων καὶ δεξιώσεις λαμπραί, δι' ὧν κάμνον αὐτῷ τὸ σῶμα παρεμυθήσατο. καὶ χρήματα κεκομισμένος ἱκανὰ ἅμα τριήρεσιν ἐπὶ Παλαιστίνην ἀπῄει, Νικηφόρου τοῦ Δασιώτου πλοός τε αὐτῷ ἡγουμένου καὶ θεραπείας τῆς ἀλ-

4. τῶν οὔπω πεφευγότων] Haec si abessent, nemo desideraret.

quomodo posthabito quod tibi profuturum erat, per imprudentiam quod peius est elegisti. sed quandoquidem quae semel facta sunt, infecta esse nequeunt, a nobis silentio praetereantur. ad ea vero quae nondum effugerunt, animum quam maxime advertere par est. eiusmodi quippe est rerum natura ut sint in perpetuo fluxu, stent nunquam: si quis prior eos occupat, iam totum habet: praeterlapsae revocari perinde nequeunt. dum itaque rebus tuis aliquis restat remedii locus, quod conducit utileque est, praeripere festines."

19. Atque is fuit epistolae finis. Conradus interea, damnata iam sua imprudentia, nescius quid ageret, haud lubenti animo Germanis comes ibat. ut vero ad eum perlatae sunt imperatoris literae, rem pro lucro aestimans, quae offerebantur avide accepit statimque retro cessit. ad Hellespontum cum pervenisset, transmisso freto descendit in Thraciam: ubi ad imperatorem, qui ibi tum morabatur, accedens una inde cum illo Byzantium venit: quo in loco eum excepere deinceps variae animi relaxationes, imperatoria palatia, omnis generis spectacula, equorum certamina, magnifici apparatus, quibus defessum laboribus corpus subinde recreavit. idonea demum pecuniarum copia sublevatus, cum triremibus in Palaestinam iter intendit, classis praefecto Nicephoro Dasiota ei ductore atque alia omnia necessaria submini-

λης προνοοῦντος. ἔνθα καὶ ῥῆξ τοῖς ἄλλοις ἐλθὼν ἐς ταὐτὸ καὶ
τὰ εἰκότα ἐπὶ τῷ ζωοδόχῳ Χριστοῦ τελέσας τάφῳ, τῶν ἄλλων
ὡς δυνατὰ ἑκάστῳ ἐγεγόνει ἐπὶ τὴν πατρίδα στελλομένων, αὐτὸς
σὺν ναυσὶ ταῖς εἰρημέναις ἐκεῖθεν ἀχθεὶς Θεσσαλονίκῃ προσίσχεν,
ἔνθα τὸ δεύτερον βασιλέα τε εἶδε καὶ λόγων αὖ καὶ ὁμιλίας ἐκοι-
νώνησεν. ὁ δὲ βασιλεὺς τῶν πάλαι προομολογηθέντων ἀνεμί- B
μνησκεν αὐτῷ· ἦσαν δὲ ταῦτα, ὅπως Ἰταλίαν εἰς ἕδνον τῇ βα-
σιλίδι ἀνασώσαιτο Εἰρήνῃ, ἣν καὶ αὐτὸς ξυγγενῆ οὖσαν τῷ βα- V 39
σιλεῖ κατηγγύησεν. ὁρκίοις οὖν δευτέροις αὐτός τε καὶ Φρεδερί-
κος τὰ σφίσι δεδογμένα πιστώσαντες τῆς Ῥωμαίων ἀπαλλάττον-
ται γῆς. Κορράδῳ μὲν οὖν ἐνταῦθα τέλος ἔσχον τὰ πράγματα.
τῷ δὲ Γερμανῶν ῥηγὶ ἐκ Παλαιστίνης ἀναγομένῳ σὺν ναυσίν, αἳ
πολλαὶ παρὰ τὰς ἐκεῖ σαλεύουσαι ἀκτὰς μισθοῦ τοῖς βουλομέ-
νοις παρέχονται τὴν περαίωσιν, τοιάδε τινὰ ξυνέπεσε. νῆες Σι-
κελαὶ ἐπὶ καταδρομῇ γῆς Ῥωμαίων ἐξιοῦσαι πρότερον ἐνταῦθά
που τοῦ πελάγους ἐφέροντο. ταύταις Ῥωμαίων στόλος περιτυ- C
χών, οὗ ὁ Χουρούπης κατῆρχεν, εἰς χεῖρα ἦλθε. τύχῃ δέ τινι
μαχομένων τῶν στόλων ἀμφοῖν συνέπλει τούτοις καὶ ὁ ῥήξ.
ἐπικρατεστέρων δὲ τῇ μάχῃ τῶν Ῥωμαίων ἤδη γεγενημένων παρ'
ὀλίγον ἦλθε τοῦ ἁλῶναι καὶ αὐτὸς ἐξ αἰτίας τοιᾶσδε. ἐπειδὴ
ταῖς Σικελῶν καθάπερ εἴρηται ξυνέμιξε ναυσίν, ἐκβὰς τὴν ἑαυ-
τοῦ Σικελικὴν εἰσεπήδησε τριήρην, καὶ εἰ μὴ ταχὺ τοῦ κινδύνου
συνιεὶς τῶν Ῥωμαίοις συμμαχίδων τινὸς σημεῖα ἐνέθετο φθάσας

7. αὐτῷ] Fort. αὐτόν. 17. εἰς χεῖρα] Malim χεῖρας. 21. τὴν ἑαυτοῦ] Fort. τῆς.

strante. postquam aliis ibi coniunctus regibus, ad vivificum Christi sepulcrum iusta exsolvisset, ceteris, prout cuique libitum erat, in patriam remissis, ipse iisdem vectus navibus inde Thessalonicam appulit, ubi et imperatorem vidit denuo, et cum eo congressus collocutusque est. imperator vero ea de quibus primum invicem convenerant illi in memoriam reduxit, quae erant huiusmodi: ut videlicet Italiam in dotem restitueret Irenae, quam ille sibi cognatam imperatori desponderat. altero igitur sacramento firmatis iis, de quibus convenere rursum, Conradus et Fredericus e solo Romanorum excessere. atque eum finem quae Conradum spectant habuerunt. Germanorum autem regi ex Palaestina revertenti cum navibus, quae magno numero in illis fluitantes littoribus, dato naulo, excedentes inde transmittere solent, talia acciderunt. cum naves Siculae, quae primum ad incursandos fines Romanos exiverant, pleno tum aequore ferrentur, in eas classis incidit Romanorum, cui praeerat Churupes, manusque cum hostibus conseruit. dum committitur utrimque certamen, quum nescio quo casu et ipse cum iis vela faceret, superioribus iam factis Romanis, quin caperetur parum abfuit. postquam enim, ut diximus, Siculis navibus adiunctus est, sua egressus,

αὐτῇ, τάχα ἂν ὑπὸ ταῖς Ῥωμαίων ἐγεγόνει χερσί. νῦν δὲ πλείστους τῶν σὺν αὐτῷ ἀποβαλὼν λάφυρον τοῦ πολέμου γεγενημένους D αὐτὸς μόγις ἐσώζετο. ἀλλὰ βασιλέως ἑξῆς δεηθεὶς τούς τε αἰχμαλώτους ἔλυσε καὶ τὰ διηρπασμένα κεκόμιστο πάντα. ἐνταῦθά τε πέρας ἡ τῶν ἑσπερίων ἐθνῶν εἰς τὰ Ῥωμαίων ἔσχηκεν ἐμβολή.

20. Κορράδος δὲ εἰς τὴν πατρίδα παλινοστήσας, ὀλίγον ἐπιβιοὺς ἐτελεύτησεν, οὐδὲν οὐδέπω ὧν βασιλεῖ διωμολόγηκε πέρατι δεδωκώς. μεθ' ὃν Φρεδερίκος τὴν ἀρχὴν ἔσχεν. ὅθεν δὲ ἐπὶ Φρεδερίκον μετὰ Κορράδον τὸ Ἀλαμανῶν ξυνέπεσε κράτος, ὁ λόγος ἑξῆς παραστήσει μοι. ὁ Ἀλαμανῶν ῥὴξ Ἔρριχος ἔτι περιόντα τὸν πατέρα καθείρξας τοῦ Ῥώμης τε ἀρχιερέως πολέμῳ περιγεγονὼς αὐτὸς παρανομώτατα τὴν ἀρχὴν ἔσχεν. οὗ P 50 δὴ ἕνεκα ἀμυνόμενοι τοῦτον Ἀλαμανοί, τετελευτηκότος οὐκέτι παισὶ τοῖς αὐτοῦ τὴν ἡγεμονίαν ξυγχωρεῖν ἔγνωσαν (ἦσαν δὲ αὐτῷ παῖδες Κορράδος τε οὗτος καὶ ὁ Φρεδερίκου πατήρ), Λουτήρην δέ τινα ἄνδρα ἐσχατογέροντα καλέσαντες ἐπὶ τὴν ἀρχήν, τούτῳ τὴν Ἀλαμανῶν ἐπικράτησιν ἔδοσαν. ἀλλ' ἐκεῖνοι οὐκ ἀνασχόμενοι εἰ τῆς πατρῴας ἐκπεσοῦνται ἀρχῆς, νεωτέροις ἐγχειρεῖν ἔγνωσαν πράγμασιν. ὃ γνοὺς ὁ Λουτήρης, γέρων μὲν B καὶ ἄλλως ἀκριβῶς ὢν καὶ ἡλικίας πόρρω ἥκων, φύσει δὲ καλοκαγαθίᾳ συνὼν ἀεὶ καὶ οὐδὲν ὅ τι μὴ σὺν ἁπλότητι καὶ λέγειν καὶ πράττειν εἰδώς, ὡμολόγει ἐπ' αὐτοὺς μὲν ἀρχὴν διαβιβάσαι,

2. ἀποβαλὼν] Cod. ἀποκαλῶν. 17. καλέσαντες] Cod. καλέσας. correxit Duc.

triremem conscendit Siculam, et ni intellecto repente periculo, navis Romanorum sociae signum imposuisset, venisset haud dubie in manus Romanorum. ita vero compluribus suorum, qui capti fuerant, amissis, ipse vix sospes evasit. sed imperator posteà captivos solvit resque ablatas omnes repente iussit restitui. atque eiusmodi fuit gentium Occidentalium in Romanorum terras irruptio.

20. Reversus autem in patriam Conradus, protracta haud multum vita, decessit, nihil eorum quae imperatori spoponderat executus. hunc excepit Fredericus. unde autem post Conradum ad Alemannorum imperium pervenerit, dicere deinceps aggrediar. Henricus Alemannorum rex, parente superstite in vinculis habito, debellatoque bellis Romano pontifice, subditos saevo premebat imperio. unde irritati Alemanni, eo exstincto, imperium liberis illius concedere nequaquam voluere. erant vero hi Conradus et Frederici pater. itaque Lotharium quemdam acciverant, aetate extrema virum, eique rei Alemannicae arbitrium permiserunt. sed enim illi paterno se excidere imperio non ferentes, res novare turbareque statuunt. quod ubi advertit Lotharius, aetate vir provectior et probitate singulari quique nihil nisi simpliciter ageret diceretve, in eam tandem cum illis conditionem

ἐπειδὰν τὸ χρεὼν αὐτὸν καταλήψεται. ἐπειδὴ γοῦν ὀλίγῳ ὕστερον ἀπεβίω, τοῦ κλήρου ἐπὶ τὸν πρεσβύτατον τῶν ἀδελφῶν πίπτοντος, λέγω δὲ τὸν Φρεδερίκου πατέρα, αὐτὸς τὸν ἕνα πεπηρωμένος τοῖν ὀφθαλμοῖν Κορράδον τὸν ἀδελφὸν ἀνθ᾽ ἑαυτοῦ εἵλετο, ὅρκοις ὁμολογήσαντα πρότερον ἐς Φρεδερίκον τὸν υἱέα τὴν C ἀρχὴν ἐπειδὰν θνήσκοι διαβιβάσαι. διὸ Κορράδος τελευτῶν, ὥσπερ ἔφην, Φρεδερίκῳ τὸ στέμμα περιετίθει. ταῦτα μὲν οὖν ὧδέ πῃ ἔσχε. τὰ δὲ τῶν Σικελῶν πολέμων ἐντεῦθεν ἀρχὴν εὗρεν.

venit, ut imperium adipiscerentur, postquam vitae finem sibi fata posuissent. Lothario non multo post exstincto, cum sors cecidisset super maiorem natu, patrem nimirum Frederici, altero orbatum lumine, pro se Conradum fratrem ipse assumpsit, pollicitum iuramento prius imperium ad Fredericum filium, ubi et ipse vita concessisset, transmissurum., quapropter moriens Conradus, uti narravimus, Frederico coronam imposuit. in hunc modum res eae gestae sunt: bella autem Sicula exinde initium habuere.

ΒΙΒΛΙΟΝ Γ.

1. Ῥογέριος ἦν τις ἀνήρ, ἐς κόμητας μὲν τὸ πρῶτον τελῶν, P 51 δραστήριος δὲ ἄλλως καὶ ῥέκτης ἀνὴρ δεινός τε πράγματα ῥά- V 40 ψαι καὶ τὰ καθεστῶτα κινῆσαι δεξιός. οὗτος Γιλιέλμῳ τῷ Λογγιβαρδίας δουκί, ὑφ᾽ ὃν ἐτέτακτο, ἐς Παλαιστίνην ἀπαίροντι χρήματα δεδανεικὼς τὴν Λογγιβαρδίας ἀρχὴν τούτου δὴ ἕνεκα ἐνεχυρασθεῖσαν αὐτῷ ἔσχε, τὸν Ῥώμης τε ἀρχιερέα τρόπῳ τῷ ῥηθησομένῳ βιασάμενος ῥὴξ παρ᾽ αὐτοῦ προκεχείριστο. ἐπειδὴ γὰρ Λογγιβαρδίαν πρὸς Ῥογερίου ἔχεσθαι ὁ τῷ τηνικάδε τὸν Ῥώμης διέπων ἤκουσε θρόνον, ἤσχαλλεν ἐπὶ τῷ τολμήματι, ἐκκλη-

17. ἤσχαλλεν] Cod. ἤσχαλεν.

LIBER III.

1. Florebat ea aetate Rogerius, dignitate primo comes, vir ceteroquin in rebus gerendis strenuus admodum et impiger, texendis dolis perquam idoneus, quique rite ordinata permiscere inprimis nosset. is Gulielmo Longobardiae duci, cui erat subditus, in Palaestinam eunti pecunia foenori data, Longobardiae principatum eo nomine sibi oppigneratum retinuit. postea autem Romanum pontificem hoc quem dicam modo coegit, ut ab illo rex renuntiaretur. ut enim Longobardiam in Rogerii potestatem venisse qui tum Romanae sedi praeerat pontifex intellexit, id facinus aegre tulit,

P 62 σίᾳ τῇ αὐτοῦ φάσκων προσήκειν ἀνέκαθεν αὐτήν. ἐφ' οἷς ὁ
Λουτήρης δεινοπαθήσας, οὐκ ἀνασχόμενος εἰ τὸ πάπα περι-
φρονοῖτο ἀξίωμα, στρατῷ μεγάλῳ εἰς Λογγιβαρδίαν ἐμβάλλει·
μέρος τε οὐκ ἐλάχιστον Ῥογέριον ἀφελόμενος ἐγγὺς ἤδη ἐγένετο
τοῦ καὶ συμπάσης αὐτὸν ἀπελάσαι τῆς χώρας, εἰ μὴ Ῥογέριος
καὶ πάλιν δολώσεις κατὰ τὸ ἔθος ἐννοήσας ἀμαχητὶ τὸν Λουτή-
ρην ἐκεῖθεν ἀπήλασεν. ὅπως δέ, ὁ λόγος ἑξῆς παραστήσει. ἦν
τις τῷ Λουτήρῃ γαμβρός, ὃς τὰ μέγιστά τε παρ' αὐτῷ ἐδεδύ-
νητο καὶ τῷ Ἀλαμανῶν ἔθνει λόγου μετὰ Λουτήρην ἠξίωτο.
τοῦτον ὁ Ῥυγέριος ὑπελθὼν χρήμασί τε ὑποκλέψας ἀνέπεισε, τοῦ
B Λουτήρῃ μηδὲν ξυνειδότος, σύνθημα τῆς πολέμου τοῦδε κατα-
λύσεως τῷ Ἀλαμανῶν δεδωκέναι στρατῷ. ἔστι δὲ τοῦτο οὐ σάλ-
πιγγος ἠχὴ ἤ τι ἄλλο τοιοῦτον, ἀλλὰ βάρβαρός τις καὶ ἀξύνετος
τρόπος. μέλος γάρ τι κατ' ἔθος ἐπὶ τοῦ στρατοπέδου ἐκλαλη-
θὲν οὐκέτι μένειν ἐφίησι τὸ στρατιωτικόν, ἀλλ' ἅμα τε ἀκούει
καὶ ἅμα σκεδάννυται ἕκαστος πρὸς ἀποπορείαν συσκευαζόμενος.
τοῦτο δὴ τὸ μέλος καὶ τότε ὁ Λουτήρῃ γαμβρὸς τῷ Ἀλαμανῶν
ἔθνει ἐπιθρυλληθῆναι ἀθρόον ἐσκαιωρηκὼς αὐτίκα ἐνθένδεν ἀνα-
χωρεῖν ἐποίησε τὸν στρατόν. πρὸς ὅπερ ἀγανακτήσας ὁ Λου-
τήρης ἐπεβάλλετο μὲν τὴν ὀχλικὴν ὁρμὴν ἐπισχεῖν ἐς πεντακο-
V 41 σίους ἀνασκολοπίσας ἀνδρῶν, οὐ μὴν καὶ ἐδυνήθη. Ἀλαμανοὶ
C γὰρ οὐδὲν ἧττον ἐξέρρεον, καὶ ποινῶν καὶ κολάσεων καθάπαξ

2. τὸ πάπα] Ita Duc. Cod. τῷ πάπα. 7. ἀπήλασεν] Ita Tollius. Cod. ἀπήλασσεν. 14. γάρ τι] Cod. τοι. 16. ἀποπορείαν] Ita Tollius correxit. Cod. ἀπορίαν.

quod ad ecclesiam suam iampridem illam pertinere contenderet. Lotharius eo non modice commotus, nec ferens papae auctoritatem imminui, ingentibus copiis in Longobardiam irrupit, magna agrorum parte exuit Rogerium: propeque erat ut is universa ditione pelleretur, ni prout consueverat, ad dolos iterum conversus absque ullo certamine Lotharium inde abegisset: quo autem pacto id contigerit, a nobis deinceps dicetur. erat Lothario affinis quidam, maximae apud illum auctoritatis, quemque Alemannorum gens post ipsum Lotharium potissimum suspiciebat. hunc Rogerius convenit, pecuniisque datis sibi conciliavit: tum homini persuasit, ut signum receptui inscio Lothario, exercitui Alemannico dari imperaret. id porro signum non est tubae sonitus, aut aliud quidpiam simile, sed nescio quid barbarum et insolens, quodve percipi vix potest. quidam enim vocum concentus pro more editus in castris, haud amplius permanere sinit exercitum: sed statim atque auditur, dilabitur quisque, et ad reditum sese comparat. itaque eiusmodi carmen per legiones Alemannicas, Lotharii affinis dolo passim pronuntiatum, effecit ut universus continuo recederet exercitus. quam rem graviter admodum ferens Lotharius, quo impetum multitudinis sisteret, quingentos circiter milites palo affixit, neque tamen hac ratione quicquam confecit. Alemanni quippe nulla poenae ac supplicii habita cura, nihilo mi-

ἐφροντιστοῦντες. ὅθεν ἀθυμίᾳ συσχεθεὶς ὁ Λουτήρης πυρετοῖς τε λάβροις διὰ τοῦτο ἁλοὺς, ὀλίγῳ ὕστερον ἐξ ἀνθρώπων ἠφάνιστο. Κορράδος δέ, καθάπερ εἴρηται, τὴν ἀρχὴν διαδέχεται.

2. Ταῦτα μὲν τῇδε ἐγένετο. Ῥογέριος δὲ Λογγιβαρδίας καὶ πάλιν ἀπρὶξ εἴχετο. ὅπερ οὐ φέρων ὁ Ῥώμης ἀρχιερεὺς ὁμαιχμίαν ἐξ Ἀλαμανῶν ἑαυτῷ συστησάμενος, θυμῷ πολλῷ κατὰ Ῥογερίου ἐφέρετο. ἀλλ' ὁ Ῥογέριος ἄφνω ἐνεστρατοπεδευμένῳ τούτῳ ἐπιφανεὶς τούς τε ἀμφ' αὐτὸν ἐτρέψατο καὶ αὐτὸν ζωγρείαν εἷλεν. ἐπειδή τε ἤδη ἐν χερσὶν εἶχε, σκηνήν τινα τῶν D ἀπὸ λίνου πεποιημένων διαπετάσας καθίζει ἐπὶ ταύτης τὸν ἀρχιερέα, ἐς ἔδαφός τε καταβαλὼν ἑαυτὸν πρηνὴς χερσί τε καὶ ποσὶν ἐρειδόμενος προσῄει, τὸ μὲν τὴν ἁμαρτάδα δῆθεν ἐξιλασκόμενος τὸ δὲ καὶ ῥὴξ προβεβλῆσθαι ἀξιῶν. ὁ δὲ δέχεταί τε προσιόντα (καὶ τί γὰρ ἂν ἔδρασε;) καὶ ῥῆγα λοιπὸν ὀνομάζει. ἐξ ἐκείνου τε ῥὴξ Λογγιβαρδίας ἡγεμονεύων κεκλῆσθαι εἴωθε. Ῥογέριος δὲ ἐπειδὴ τοῦ κατὰ σκοπὸν ἔτυχε, πρέσβεις ἐς βασιλέα Ἰωάννην ἔτι περιόντα πέμψας ᾐτεῖτο κήδους τοῦ ἐκ βασιλείων P 63 αἱμάτων ἐπὶ παιδὶ τεύξεσθαι τῷ αὐτοῦ. ἀλλ' οὔπω τέλος ἔσχε τὰ τῆς πρεσβείας, καὶ Ἰωάννης τὸν βίον κατέλυε. μετὰ δέ τινα χρόνον Μανουὴλ ἤδη τὴν αὐτοκρατορίαν διέποντος ταὐτὰ καὶ πάλιν πέμψας ἠξίου. ὅθεν καὶ Βασίλειός τις ἐπώνυμον Ξηρὸς εἰς Σικελίαν ἀφῖκτο Ῥογερίῳ περὶ τούτου διαλεξόμενος. ἀλλ'

7. ἐνεστρατοπεδευμένῳ] Cod. ἐνστρατοπαιδευμένῳ. Tollius ἐνστρατοπεδευμένῳ.

sus dilabebantur. tum vero Lotharius moerore confectus, in gravissimam incidit febrem, nec multo post diem clausit extremum. principatum, ut diximus, postea Conradus adeptus est.

2. His ita confectis rebus, Longobardiam recepit rursum Rogerius. quod cum ferre haud posset Romanus pontifex, Alemannis in auxilium accitis, summo animi ardore in Rogerium proficiscitur. at is castra metantem inopinate invadens, ceteris in fugam coniectis, ipsum etiam vivum capit. cum iam illum in manibus haberet, expanso ex linteis tabernaculo, in eo sedentem pontificem collocat, ipse humi prostratus, prono corpore ac manibus pedibusque incumbens ad illum adrepit, partim delicti implorans veniam, partim ut regium sibi nomen vellet impertiri precatus. accedentem excepit pontifex (quid enim faceret?) et regem appellavit. atque inde Longobardiae princeps rex vocari consuevit. Rogerius igitur cum ex voto successissent omnia, legatos ad imperatorem Ioannem, qui adhuc erat in vivs, misit qui ex imperatorio sanguine uxorem pro filio suo expeterent. sed necdum expedita erat legatio, cum Ioannes vita functus est. interiecto deinde aliquo tempore, cum iam Manuēl imperium esset adeptus, eadem per legatos iterum postulavit: eumque in finem Basilius, cognomento Xerus, in Siciliam traiecit, ut iis de rebus cum Rogerio sermones conferret. at Xerus

ἐκεῖνος χρυσίῳ κλαπεὶς παρ' αὐτοῦ ἀλλόκοτά τινα ὡμολόγει, ὧν
δὴ κεφάλαιον ἦν τὸ ἐν ἴσῳ μεγαλείου βασιλέα τε τοῦ λοιποῦ καὶ
Ῥογέριον ἔσεσθαι. ὅθεν δὴ τὰς μεγάλας ἀναρραγῆναι ξυμβέ-
βηκε μάχας. ἐπειδὴ γὰρ ὁ μὲν Ξηρὸς ἐς Βυζάντιον ἐπανιὼν
B τὸν βίον κατέστρεψε, δίκην οὔπω τῶν τετολμημένων δούς, βα-
σιλεὺς ὅσα καὶ ἀθύρμασι ταῖς ἐκείνου πρεσβείαις προσεσχηκὼς
Ῥογέριον αὐτὸν χαίρειν εἴα· θυμομαχήσας δὲ ἐκεῖνος ἐξαπάτην
τέ τινα τὸ πρᾶγμα εἶναι οἰηθείς, στόλον ναυπηγησάμενος ἐν
παρασκευῇ εἶχε, καιροφυλακῶν τρόπῳ ὅτῳ δὴ Ῥωμαίους ἀμύ-
νεσθαι. καὶ ἔτυχέ γε τοῦ κατὰ σκοπὸν ὁ βάρβαρος. ἐν ἀκμῇ
γὰρ τῆς τῶν δυσμικῶν ἐθνῶν ἐς τὰ Ῥωμαίων ἐμβολῆς Κόρινθόν
τε καὶ Εὔβοιαν καὶ Θήβας ἐληΐσατο τὰς Βοιωτικάς. ἅτε γὰρ
τοῦ Ῥωμαίων στρατοῦ ἐπὶ τοῖς ἀνὰ χεῖρας κατ' ἐκεῖνον ἠσχολη-
μένου τὸν χρόνον, κατὰ πᾶσαν ἄδειαν ταῖς εἰρημέναις οἱ βάρ-
βαροι ἐγκαθίσαντες πόλεσι λαφύρων τὰς ναῦς ἐπλήσαντο. ἐκεῖ-
C θέν τε ἐπὶ Κέρκυραν διαβάντες, κατὰ κράτος αὐτὴν εἷλον καὶ
ὡς ἤδη οἰκείας μετεποιοῦντο παντὶ κρατυνάμενοι τρόπῳ. ὃ μα-
θὼν βασιλεὺς ἐν ἀθυμίᾳ πολλῇ ἦν. ἀμέλει καὶ ἐσκέπτετο πῶς
ἂν τὸν Ῥογέριον ἀμύνηται καὶ δίκην τῶν τετολμημένων ἐπιθήσει
τὴν δέουσαν. στόλον οὖν νεῶν τριήρεων μὲν πεντακοσίων, ἱπ-
παγωγῶν δὲ καὶ φορταγωγῶν ἐς χιλιοστὺν ὅλην ἑτοιμασάμενος,
αὐτὸς μὲν ᾔει διὰ τῆς ἠπείρου, ὁ δὲ στόλος διαπόντιος ἐφέρετο
ἐξαίσιος οἷος.

15. ἐπλήσαντο] Cod. ἐπλήσσαντο.

auro ab illo corruptus, ineptas nescio quas conventiones pepigit, quarum caput erat, aequali in posterum maiestate imperatorem et Rogerium futuros. atque inde ingentia exarsere bella. reverso quippe Byzantium Xero, et ante quam suae dedisset poenas audaciae demortuo, posthabitis neglectisque penitus iis quae in hac legatione peregerat, Rogerium valere iussit. ille vero totus Martem spirans, illusum se ab imperatore ratus, classem aedificat paratamque habet, occasionem captans qua illatam sibi a Romanis iniuriam quavis ratione vindicaret. nec aberravit a scopo barbarus. quo enim tempore in provincias Romanas fervebat Occidentalium nationum irruptio, Corinthum, Euboeam et Thebas Boeoticas depraedatus est. iis quippe temporibus, dum rebus praesentibus detineretur Romanorum exercitus, oppida illa, obsistente nemine, oppugnantes barbari, naves praeda impleverunt. inde Corcyram digressi, totis viribus expugnatam, ut propriam deinceps munivere. his auditis, consternatus imperator, multa secum animo volvebat, quo pacto Rogerium ulcisceretur, et dignas delictis poenas rependeret. instructa itaque quingentarum triremium classe, hippagogarum vero et onerariarum mille, ipse quidem per continentem iter instituit, interea dum immensa et formidanda classis per maria fertur.

3. Ἄρτι δὲ περὶ τὴν πόλιν Φιλίππου γεγονότι τῷ αὐτο-
κράτορι φήμη περιέπτη, ὅτι δὴ στρατεύματα Σκυθικὰ Ἴστρον V 42
περαιωσάμενα κείρουσί τε τὰ ἐν ποσὶ καὶ ληΐζονται πάντα, καὶ D
εἷλόν γε καὶ πόλιν λόγου ἀξίαν, τῶν Ἴστρου καὶ αὐτὴν πίνουσαν
ναμάτων. τὰ μὲν δὴ τῆς φήμης ἐν τούτοις ἦν. ὁ δὲ βασι-
λεὺς ἐκεῖθεν ἀποκλίνας, τὴν ἐπὶ τὸν Ἴστρον ἐφέρετο, ναῦς ἐκ
Βυζαντίου δι' Ἀγχιάλου πόλεως ἐπὶ τὸν Ἴστρον ἀναχθῆναι κε-
λεύσας. οὔπω δ' ἐκείνων ἀφικομένων, ἐν τούτῳ τὰς ταύτῃ πε-
ριῄει θηρευόμενος πεδιάδας. συμβαίνει γὰρ αὐταῖς ἅτε ἐρή-
μοις παντάπασι καὶ ἀοικήτοις ἐκ παλαιοῦ προκειμέναις ἀγεληδὸν
ἀγρίων τι χρῆμα ζώων ἐντρέφεσθαι. ἐν ᾧ δὲ πρὸς τούτοις ἦν,
ἠγγέλη αὐτῷ ὅ τι δὴ Σκύθαι λείαν ἐκ τῆς Ῥωμαίων ἐπαγόμενοι
τὸν Ἴστρον ἄρτι που διέβησαν, οὐ μακρὰν τε ἄποθεν ἐσκηνω- P 54
κότες αὐλίζονται. ἅπερ ἐπειδὴ ἤκουσεν, ὡς εἶχε τάχους αὐτίκα
ἐπὶ τὸν ποταμὸν ἐφέρετο. ἔνθα λεμβαδίῳ περιτετυχηκώς, ὁποῖα
πρὸς ταῖς τῇδε ὄχθαις ἑστάναι εἴθισται ξύλου πεποιημένα ἑνός,
ἐκέλευεν ἄγεσθαι τοῦτο πρὸς αὐτόν. ἀλλ' ἦν ἰσχυρογνώμων ὁ
πορθμεὺς καὶ βασιλέα μεταπέμπεσθαι τοῦτον ἀκούων "εἰ βασι-
λεῖ τῶν καθ' ἡμᾶς ἔμελεν," εἶπεν, "οὐκ ἂν ὅ τε Δεμνίτζικος
ἑάλω (οὕτω γὰρ τὸ τοῖς Σκύθαις, ὥσπερ εἴρηται, αἱρεθὲν ὠνο-
μάζετο φρούριον) καὶ τὰ καθ' ἡμᾶς πρὸς τῶν βαρβάρων κατ'
ἐξουσίαν ἤγετό τε καὶ ἐφέρετο." λέγεται τοίνυν πρὸς ταῦτα
διηγανακτηκότα τὸν βασιλέα "ναὶ δὴ" φάναι "μὴ ἂν αὐτὸς εἴην,
ᾧ τὰ Ῥωμαίων θεόθεν ἐπιτέτραπται πράγματα, εἰ μὴ αὐτίκα B

19. ἔμελεν] Ita Duc. Cod. ἔμελλεν.

3. Ad Philippopolim cum pervenisset imperator, fama percrebuit Scythicas copias Istrum traiecisse, et obvia quaeque rapere ac depopulari: sed et haud ignobile oppidum flumini adiacens expugnasse. eiusmodi accepto nuntio, abscedens inde princeps ad Istrum contendit navesque Byzantio per Anchialum urbem versus Istrum flectere iussit, interimque dum advenirent, circumiacentes campos venando perlustravit. quippe cum deserti essent omnino, et iam pridem inculti, atque adeo longius protenderentur, ingentem ferarum copiam gregatim hic innutriri contigerat. cum hisce daret operam, nuntiatur Scythas, facta ingenti in Romanorum agris praeda, nuper transivisse Istrum, nec procul inde, fixis tabernaculis, consedisse. quibus auditis quanta potuit celeritate ad fluvium contendit. navicula ibi reperta, cuiusmodi illic ad eas ripas stare solent ex unico fabricatae ligno, eam ad se mandat impelli. at pervicax portitor, ubi se ab imperatore accersiri videt "si rerum nostrarum," inquit "curam habuisset imperator, neque capta foret Demnitzicus" (sic enim appellabatur quod a Scythis captum fuisse castrum diximus) "neque res nostrae hic a barbaris direptae pro libitu et ablatae fuissent." ad haec aiunt indignatum respondisse principem: "non sim ego ille, cui divinitus a deo collatum est Romanorum imperium, nisi confestim auda-

τῶν τετολμημένων Σκύθαι δώσουσι δίκας." διὸ δὴ τὸ μὲν λοιπὸν τοῦ στρατεύματος αὐτοῦ που καὶ ἐπὶ ταῖς ὄχθαις ἐνστρατοπεδευσόμενον ἔλιπεν, αὐτὸς δὲ τῶν νεῶν οὔπω καθάπερ εἴρηται ἀφικομένων τοὺς λέμβους ἀλλήλοις ξυνδήσας καὶ ἁρμοσάμενος σὺν πεντακοσίοις τῶν ἀμφ' αὐτὸν τὸν Ἴστρον διέβη· μέλλων τε ἐπίπροσθεν ἰέναι δυσὶν ἄλλοις ἐντυγχάνει ποταμοῖς ναυσιπόροις. ὡς οὖν οὐδαμῇ λεμβάδιον ἐνταῦθα διεφαίνετο, ᾧ χρήσαιτο ἄν τις ἐς τὴν περαίωσιν, ἐκέλευε τοῖς περὶ αὐτὸν τοῖς τῶν ἵππων οὐραίοις τὰ ἐπὶ τῷ Ἴστρῳ ἀκάτια ξυνδήσαντας εἰς τοὺς εἰρημέ- C νους μετάγειν τῶν ποταμῶν. οὗ γεγονότος ἀμογητὶ διέβαινον, χῶρόν τέ τινα δολιχὸν διαμείψαντες ἄχρι καὶ ἐπὶ ὄρος τένου ὅρμον ἦλθον, ὅπερ ἀγχοῦ τῶν Ταυροσκυθικῆς ὁρίων ἀνέχει. ἔνθα τὸ τῶν Σκυθῶν στρατόπεδον ἀνδρῶν παντάπασιν ἔρημον εὑρηκότες (ᾤχοντο γὰρ οὐ πολλῷ πρότερον ἀπιόντες) προσωτέρω ἐχώρουν. ἐπεὶ δὲ ἀμφὶ μέσην ἡμέραν ἤδη ἦν καὶ οὐδεὶς οὐδαμῇ πολεμίων διεφαίνετο, Σκύθας τοὺς ὅσοι Ῥωμαίοις ξυνεστράτευον ἀπολεξάμενος βασιλεὺς ὑποστρατηγοῦντι Γιφάρδῳ, ἀνδρὶ πολέμων ἐμπείρῳ πολλῶν, αὐτοὺς μὲν ὀπίσω τῶν πολεμίων ἰέναι ἔπεμψεν, ἰχνοσκοπήσοντάς τε καὶ ὅπῃ δυνατὰ ἔσται μαχησομένους, αὐτὸς δὲ κατόπιν ἐπορεύετο σχολαιότερον. οὐκ εἰς μα- D κρὰν οὖν ὁ Γιφάρδος τοῖς πολεμίοις ἐντετυχηκώς, ἐπειδὴ μὴ ἐθάρρει τῇ συμβολῇ (τὸ γὰρ βαρβάρων πλῆθος ἀριθμοῦ κρεῖσσον αὐτῷ κατεφάνη), πέμψας ἐπὶ τὸν βασιλέα ἥκειν αὐτὸν τὴν ταχίστην ἐδεῖτο. ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσεν, αὐτός τε

11. τένου ὅρμον] Duc. Τενουόρμον.

ciae poenas dederint Scythae." quapropter reliquum exercitus eo loci, et ad ripas castra metatum reliquit. ipse quia nondum, uti dictum est, advenerant naves, aptatis connexisque inter se lembis, cum quingentis, ex iis qui sibi aderant, Istrum superavit: cumque ultra vellet procedere, in duos alios navigabiles fluvios incidit. ut vero nullum ibi apparuit navigium, quo ad traiectionem uteretur, suis imperavit, ut actuarias quae in Istro erant equis alligarent, atque ita ad fluvios transveherent. quo facto, nullo labore traiecerunt. loco deinde spatioso transmisso, ad montem usque (τένου ὅρμον), qui Tauroscythicae finibus adiacet, pervenere. ibi cum vacua prorsus ac deserta invenissent Scytharum castra (nam illi paulo ante se inde receperant) ulterius progrediuntur. medio autem die cum ex hostibus nemo appareret, Scythas, qui Romanis militabant, seligit imperator, et Giphardo duce, viro rei militaris peritissimo, mittit, ut a tergo insisterent hostibus, et si daretur occasio, manus consererent, dum ipse lento interea gradu subsequeretur. nondum plurimum consumpserat itineris Giphardus, cum in hostes incidit. sed praelium committere non ausus, quod longe numerosior barbarorum sibi videretur acies, imperatorem per nuntios, ut con-

πρὸς τοῖς ὅπλοις αὐτίκα ἐγένετο καὶ τὸ στράτευμα ἐξώπλιστο ἅπαν. ὀπίσω τε Σκυθῶν διώξαντες εἰς χεῖρας ἤδη ἦλθον αὐτοῖς. Σκύθαι τοίνυν τὸ μὲν πρῶτον ἔστησάν τε ὡς ὑποδεξόμενοι σφᾶς καὶ ἐς φάλαγγα ταξάμενοι βοήθειαν σφῶν τε αὐτῶν καὶ ὧν ἐπήγοντο λαφύρων προπονεῖσθαι ἤθελον, ἥ τε ξυμβολὴ ἑκατέρωθεν σὺν ὠθισμῷ καὶ βίᾳ ἐγίνετο. ὅτε δὴ πολλοὶ μὲν καὶ ἄλλοι Ῥωμαίων ἄνδρες ἐγένοντο ἀγαθοί, βασιλεὺς δὲ πάντων μάλιστα. τῶν γὰρ πολεμίων ἔγγιστα ἐγκειμένων ἰσχυρῶς, αὐτὸς P 55 σὺν τῷ δόρατι ἐπελαύνων τὸν συνασπισμὸν αὐτοῖς ἔλυεν, οὐ καθ' V 43 ἕνα μόνον, ἀλλ' ἤδη καὶ σύνδυο πολλοὺς ἐκείνων ἀποκτιννύς. ὅθεν καὶ τῷ ἀνυποστάτῳ τῆς βασιλέως παρακεκινημένων ὁρμῆς, Ῥωμαῖοι ὁλοσχερέστερον κατ' αὐτῶν ἐπιβρίσαντες λαμπρὰν ἤδη τὴν ἐπαγωγὴν ἐποίουν. πολλοὶ μὲν οὖν βαρβάρων ἔπεσον, ἑάλωσαν δὲ καὶ εἰς ἑκατὸν μάλιστα, ἐν οἷς καὶ Λάζαρος ἦν, ἀνὴρ ἐπὶ πλεῖστον μὲν ἀνδρείας ἥκων, ἐπὶ τοῖς ἐν σφίσι φυλάρχοις ἀπόβλεπτος ὤν· τοὺς δ' ἄλλους ἵππων τε ἀρετὴ καὶ τὸ τῶν ὀρῶν διεσώσατο λάσιον, ἃ τῇδε πολλὰ παρατέταται. Ῥωμαῖοι δὲ τὰ ἐκ προνομῆς ἀνελόμενοι πάντα ὀπίσω λοιπὸν ἀνεχώρουν, ὅτε δὴ καὶ Σότας ἐκεῖνος, ὃν πλούτῳ τε καὶ γένει καθάπερ εἴρηται διε- B νεγκόντα ἀνδραποδισθῆναι Σκύθαις ξυνέβη, ἀδείας λαβόμενος φυγὰς ἐπὶ τὸ στρατόπεδον ἦλθε.

7. ἄνδρες] „Nil nisi prima littera extat in codice; reliquas macula obtexit," Heyse. 10. ἀποκτιννὺς] Cod. ἀποκτεινύς. 15. ἐπὶ τοῖς] Ita Tollius. Cod. $\overset{\varepsilon}{\pi}$. malim παρὰ τοῖς, sive potius παρὰ δὲ τοῖς.

festim accederet, sollicitavit. his acceptis, arma continuo induit princeps, armatur perinde et totus exercitus. mox a tergo Scythas simul adorti, cum iis manus conserunt. primo quidem stetere Scythae, velut subeuntes excepturi: ac in phalangem ordinati, voluere ut auxilia, tum pro se, tum pro praeda quam fecerant, primos impetus sustinerent. validum utrimque fit praelium. complures Romani praeclare factis ibi inclaruere, atque inprimis imperator. hostibus enim cominus acriter urgentibus, ipse invectus hasta dissolvit confertos pugnantium ordines; neque singulatim duntaxat, sed et binos simul interdum, multis eorum caesis. ita invicto principis impetu proturbatis hostibus, Romani viribus integris ingruentes, totam aciem perrupere. plurimi tum cecidere barbarorum, centum circiter capti, atque in iis Lazarus, animi robore praestans, et inter Scythicos phylarchos conspicuus. reliquos equorum virtus et densa montium, qui complures ibi sunt, servavere; Romani autem, postquam cuncta pabulationibus absumpserant, retro deinde cesserunt. quo tum tempore Sotas ille, quem genere et divitiis praepollentem, ut diximus, ceperant Scythae, arrepta occasione, fuga in castra pervenit.

4. Τοῦτο τὸ τρόπαιον ἐξ ὑπογυίου κατωρθωκὼς ὁ αὐτοκράτωρ ἐκεῖθεν ἀπήλαυνε πρὸς τὸν κατὰ Σικελίας ἤδη συσκευαζόμενος πόλεμον. τοσοῦτον γὰρ αὐτῷ τὸ περὶ τοὺς πολεμικοὺς καμάτους ἄτρυτον ἦν, ὅσον οὐδέπω οὐδενὶ οἶμαι ὑπῆρξε καὶ τῶν τῆς κοινῆς καὶ στρατιωτικῆς γεγονότων μοίρας, μὴ ὅτι γε βασιλεῦσιν ἢ στρατηγοῖς. ᾔει τοίνυν Σικελίαν τε περινοῶν καὶ Ἰταλίαν πᾶσαν· ἀλλ' ὡς ἔοικε τύχη καὶ δόξαν ἀληθῆ παραιτεῖται καὶ τὴν σὺν ἐπιστήμῃ στρατηγίαν πόνῳ οὐδενὶ ἐς τοὐναντίον ἅπαν
C ἀποκρίνειν ἐπίσταται. ὁ μὲν γὰρ καίτοι τῶν Σκυθικῶν μεταξὺ περιεσπακότων ὅμως ἔφθη ἐπικαιρότατα τῷ χώρῳ ἐπιστάς, ὅθεν καὶ τὴν ἀπόπλοιαν ποιεῖσθαι ἐχρῆν· τὸν δὲ στόλον ξυνέβαινεν, εἴτε πνεύμασιν ἐναντίοις τῆς ἐπὶ τὰ πρόσω ἀνακοπέντα, εἴτε καὶ τῇ τοῦ δουκὸς περὶ ταῦτα ἀμαθίᾳ, ὀψὲ καὶ κατόπιν ἐλθεῖν τοῦ καιροῦ. ἔαρος γὰρ τῶν Βυζαντίων ἀναχθεὶς λιμένων, φθινούσης ἤδη τῆς ὥρας ἐς βασιλέα κατῆρεν ἐντεῦθέν τε τὰ Ῥωμαίων ἔσφηλε πράγματα. ἀνέβη μὲν γὰρ καὶ τὴν διήρη ὁ βασιλεὺς καὶ τὸ ναυτικὸν ἅπαν πρὸς ταῖς κώπαις ἐκάθητο ὡς αὐτίκα ἀποπλευσόμενον, ἀλλὰ χειμὼν ἄγριος καὶ πνευμάτων βίαι αἰφνίδιον καταρραγεῖσαι ἀπεῖρξαν αὐτὸν τοῦ ἐγχειρήματος. πελάγη τε γὰρ ἐνταῦθα δεινῶς ἀχανῆ τέταται, καὶ ἔστιν ἐπιεικῶς κινδυνώδης ὁ
D πλοῦς καὶ μάλιστα χειμῶνος. ὅθεν καὶ αὐτὸς μὲν ἐπί τινα χῶρον ἀγχοῦ τῆς Βερροίας ἀναζεύξας, ἐνταῦθα διεχείμαζε· τὸν δὲ

1. ἐξ ὑπογυίου] Ita Tollius. Cod. ἐξ ὑπ . reliqua evanuerunt. 5. στρατιωτικῆς] Ita Tollius. Cod. στρατιωτικῶν. 18. βίαι] Cod. βία.

4. Hac subitanea parta victoria, inde recessit imperator ad bellum contra Siciliam sese comparans. tantum enim in illo erat patientiae ad bellicos labores, quantum ut arbitror ne ulli quidem adfuit vel vulgarium in exercitu militum, nedum imperatorum vel ducum. ibat igitur non Siciliam modo, sed et universam Italiam animo complexus: at veram, ut videtur, aversatur gloriam fortuna, imperandique artem militari scientiae coniunctam labore nullo vertere in contrarium probe novit. ille quidem etsi a rebus Scythicis interea vocaretur, nihilo minus tamen opportune in eum locum venerat, ex quo navigationem institui oportebat. tum quoque accidit ut classis, sive reflantibus detenta ventis, sive ducis imperitia, serius nec opportune advenerit. quippe circa vernum tempus Byzantino egressa portu, exacta demum aestate ad imperatorem delata res Romanas haud mediocriter afflixit. biremem enim conscenderat imperator, totaque classis, velut statim discessura, remos expediverat, cum tempestas valida, visque repente suboriens ventorum, illius praepedivere consilia. vasta quippe hic porriguntur maria, eoque periculis magis est obnoxia navigatio, maxime hieme: unde in locum haud procul Berrhoea concessit princeps, ibique hiemavit. sororium vero

γαμβρὸν Στέφανον, ὃν Κοντοστέφανον σμικρολογούμενοι οἶμαι ἐκάλουν (βραχὺς γὰρ τὴν ἡλικίαν ἦν), ἐπὶ Κέρκυραν ὑπὸ Σικελῶν τῷ τηνικάδε καθάπερ εἴρηται ἐχομένην σὺν παντὶ τῷ ναυτικῷ ἔστελλε, Ῥωμαίοις ταύτην ἀνασωσόμενον. ἀλλ' ὁ μὲν πρὸς τῇ πόλει γενόμενος πεῖράν τε παντοδαπῇ τῷ περιβόλῳ προσαγαγὼν, ἐνταῦθα τὸν βίον κατέλυσεν ἔτι τῶν πραγμάτων ᾐωρημένων, τρόπῳ ᾧπερ αὐτὸς ἐρῶν ἔρχομαι. κλίμακα λίαν ἐπιμήκη P 56 σχεδιάσας πολλῷ τε τειχέων ὑπερανισταμένην τῶν ἐκτός, διὰ ταύτην ἐπὶ τὴν πόλιν ἀνῆγε τὸ στράτευμα. λίθου τοίνυν μέγα τι χρῆμα τῆς ἀκροπόλεως ἐκ μηχανῆς τινος ἀφεθὲν τῇ κλίμακι προσαράσσει, ὑπὸ σφοδρότητός τε κατεαγὸς τεμάχια πολλαχοῦ διαφῆκεν, ὧν ἓν ἐπὶ τὸν δοῦκα μετενεχθὲν καιρίαν αὐτὸν ἔπληξεν. ὁ δὲ καίτοι θνήσκοντος ὅσον οὐκ ἤδη αἰσθόμενος αὐτοῦ ὅμως πολλὴν ἐποιεῖτο πρόνοιαν ὅπως ἂν μὴ συναισθήσεως ἀμφοτέροις γεγενημένης, Ῥωμαίοις μὲν δειλία ὡς τὸ εἰκός, θάρσος δὲ Σικελοῖς ἤδη ἐνδιδοῦσι γένοιτο. διὸ καὶ αὐτὸν μὲν ἡσυχῇ ἐπὶ τῶν τῆς νεὼς ἐκέλευεν ἐνθεμένους καταστρωμάτων ἔργου καὶ πάλιν ἔχεσθαι, Ἀνδρόνικον δέ, ὃς ὕστατος αὐτῷ τῶν παίδων ἐγένετο, B καὶ τῶν πελεκηφόρων προσκαλεσάμενος τὸν ἐξάρχοντα, παραινέσεις προσῆγε μηδαμῇ τοῦ θάρσους ἐνδοῦναι Ῥωμαίους, V 44 ἀλλὰ νῦν ἔτι μάλιστα πρὸς ἔργοις γίνεσθαι, ὅτε οὐ μακρὰν ἐλπίδων ἑστήκασι τοῦ τὴν πόλιν ἑλεῖν. ἀλλ' ἦσαν ταῦτα ψυχῆς μὲν οἶμαι γνωρίσματα ἀνδρικῆς καὶ τὸ ὅλον ἀρεϊκῆς τε καὶ φι-

11. τεμάχια] Cod. τεμμάχια.

Stephanum, quem diminuendi ergo Contostephanum vocabant (erat namque statura exigua), ad Corcyram, quae tum temporis, ut scripsimus, parebat Siculis, cum omni navium apparatu dimisit, quo hanc Romano rursum imperio assereret. verum ille ut ad civitatem appulit, oppugnatis et tentatis undequaque moenibus, vitam istic finivit, rebus adhuc infectis ac dubiis, eo, quem nunc dicturus sum, modo. exstructa perquam altissima scala, murisque exterioribus longe excelsiore, per eam transmittere militem in urbem statuit. lapis autem ingentis magnitudinis ex machina quadam emissus, et ad scalam allisus, prae vehementi quo impulsus est impetu, in varia frustula dissectus est, quorum unum ad ducem perlatum letali eum vulnere percussit. ille vero etsi mortem sibi videret imminere, maxime tamen in id incubuit, ne utrimque cognito quod acciderat, metus, ut erat vero simile, Romanis; animus autem Siculis, iamiam deficientibus, adderetur. quapropter, ut se in navigii tabulatis clam deposito, coeptis denuo insisterent, praecepit. Andronicum vero, qui filiorum erat ultimus, et bipenniferorum praefectum, advocatos, multis est cohortatus, ut id efficerent, ne a priori audacia remitterent Romani, sed operi potissimum instarent, cum capiendae mox urbis spes adesset. verum fuerunt haec virilis, ut arbitror, et martii,

λοπάτριδος. τὸ δὲ πρᾶγμα ἅμα τε ἐπέπρακτο καὶ ἅμα τοῖς πλήθεσιν ἔκπυστον γεγονὸς εἰς τοὐναντίον περιήνεγκε πάντα. Ῥωμαίους τε γὰρ καίτοι τειχέων ὕπερθεν ἤδη γεγενημένους ἀπεώσαντο Σικελοί, καὶ σύγχυσις εἶχε πάντα καὶ θροῦς.

C 5. Καὶ τὰ μὲν τῶν Ῥωμαίων ἐν τούτοις ἦσαν. βασιλεὺς δὲ τούτων ἀκούσας ἠνιάθη μὲν ὡς τὸ εἰκός, στολάρχην δὲ ἀντ' αὐτοῦ προκεχειρισμένος ἀνενδότως τῆς πολιορκίας ἐκέλευεν ἔχεσθαι. τοῦ δὲ καὶ αὐτοῦ οὐδὲν ὅ τι καὶ λόγου ἄξιον ἐνδειξαμένου (στάσις μὲν γὰρ Ῥωμαίων μεταξὺ καὶ Οὐεννέτων, οἳ τῇδε σὺν αὐτοῖς ἐστράτευον ἐξαπιναίως ἀναφθεῖσα τὸ κατορθωτικὸν τοῦ Ῥωμαίων παρείλετο στρατοῦ) τέλος ἠνάγκαστο αὐτὸς βασιλεὺς ἐνταῦθα γεγονὼς τῆς πολιορκίας ἅψασθαι. Οὐεννέτοις γοῦν καὶ τῷ Ῥωμαίων στρατῷ τὰ διάφορα λύσας δίκας τε τοῖς ἐξ
D ἀμφοτέρων αἰτίοις πραξάμενος τὰς προσηκούσας κραταιότατα τῷ περιβόλῳ ἐπέθετο. καὶ ὁ μὲν πρὸς τούτοις ἦν. Ῥογέριος δὲ ὁ Σικελῶν τύραννος πρὸς τῇ Κερκύρᾳ διατρίβειν βασιλέα πυθόμενος στόλον ἐπὶ γῆν τὴν Ῥωμαίων ἔπεμπεν, ἐκεῖνο κατὰ νοῦν ἔχων ὅπως δηλαδὴ τῇ πρὸς ἐκεῖνα μεταφορᾷ τῆς πολιορκίας ἀποσχέσθαι καταναγκάσειε. βασιλεὺς δὲ μοῖράν τινα τῶν σὺν αὐτῷ ἀποθέμενος νεῶν αὐτὰς μὲν ὑπὸ στρατηγοῦντι τῷ Χουρούπῃ Σικελοῖς ἐπὶ τὴν Ῥωμαίων, ὥσπερ ἔφην, ἰοῦσιν ἀντιταξομένας σπουδῇ ἔπεμπεν, αὐτὸς δὲ ἔτι μᾶλλον ἐνέκειτο πικρότατα Σικελοὺς πολιορκῶν. κλίμακας γὰρ ὑπερμεγέθεις διὰ τῶν νεῶν τοῖς τείχεσι προσε-

20. ἀποθέμενος] Fort. ἀποτεμόμενος.

patriaeque amantis animi argumenta. quippe statim atque in vulgus res coepit disseminari, omnia in contrarium cessere. nam et Romanos qui moenia iam ascenderant, Siculi exegerunt, tumultuque et consternatione omnia repleta sunt.

5. Atque is tum fuit rei Romanae status. his cognitis, non modice, ut par erat, commotus imperator, classis praefecto, qui in defuncti locum designatus fuerat, praecepit, ut urbem absque ulla remissione oppugnaret. sed et ab illo nulla memorabili re gesta (quippe Romanos inter et Venetos, qui tum iis merebant, exorta praeter opinionem contentio, Romano exercitui felicitatem ademerat), coactus tandem est ipsemet princeps eo se conferre et oppugnationem aggredi. diremptis itaque Romani Venetique exercitus simultatibus et utrimque iis qui causam praebuerant mulctatis, magno impetu moenia impugnavit. his rebus occupato principe, Rogerius Siciliae tyrannus ut ad Corcyram imperatorem agere intellexit, classem mittit in fines Romanorum, eo animo ut hac belli translatione solvendae obsidionis necessitatem imponeret. at imperator divisa classe, partem alteram misit duce Churupo, quae Siculis Romanas terras incursantibus continuo occurreret, resisteretque: ille autem in oppugnanda pertinacissime Corcyra magis institit. per scalas namque magnitudinis immensae e navigiis non sine diffi-

ρείσας, μόγις μὲν καὶ ξὺν βίᾳ ἀνῆγε δ' οὖν ὅμως τὸ στράτευμα. ὅτε ξυνέβη μίαν τῶν κλιμάκων τῷ τῶν ἀνιόντων ἄχθει κατασπασθεῖσαν εἰς θάλασσαν πολλοὺς ἐνεγκεῖν, οὗ δὴ τλήμονες τὰς ψυχὰς P 57 ἐκφυσήσαντες πολύν τινα τῆς αὐτῶν ἀρετῆς Ῥωμαίοις ἀπολελοίπασι λόγον. ἀλλὰ Σικελοὶ καίτοι ἔνδον ἤδη τειχέων Ῥωμαίους γεγονότας ἰδόντες ἐνδιδόναι βασιλεῖ τὴν πόλιν οὐδαμῇ ἤθελον. ὅθεν καὶ ἐπὶ τὴν ἀκρόπολιν ὡς εἶχον τάχους ἀναδραμόντες ἐντεῦθεν ἠμύνοντο λίθους καὶ βέλη καὶ ἅπαν τὸ παρατυχὸν ὡς ἐξ οὐρανοῦ τινος ὀμβρηδὸν ἐπ' ἐκείνους ἀφιέντες. ἐπὶ τοσοῦτον γὰρ ὕψος ἀνέρπει τὸ φρούριον, ὡς μηδ' ὀφθαλμῷ ῥᾳδίως ἐξεῖναι τὴν οἰκοδομίαν ἀναταθέντι περιαθρεῖν. ὅτε δὴ λέγεται θυμῷ τὸν βασιλέα περιζέσαντα πρὸς τὸ ἐκ τῆς τύχης ἐκεῖνο δυσκλήρημα B ὄρθιόν τε ἐφ' ἧς ἐφέρετο στῆναι διήρους καὶ τοῖς ἐπὶ τῆς εἰρεσίας κελεύειν προσάγειν αὐτίκα τοῖς τείχεσι τὴν ναῦν, ὡς αὐτὸς οἶμαι ἀνόδου πειράσαιτο. ἀλλὰ τοῦτο μὲν τῶν στρατηγῶν τινες καὶ πρὸς αἷμα ἐγγιζόντων αὐτῷ παντὶ σθένει διεκώλυσαν, δοκῶ μὴ οὐδὲ αὐτῷ σφόδρα ἐθέλοντι. πρὸς γὰρ τῷ γενναίῳ καὶ ἀσφαλὴς ἦν τὰ πολλά. ἤδη δέ τινων ἔγωγε καὶ θράσους αἰτίαν προστριβόντων ἤκουσα αὐτῷ· δαιμόνιον γὰρ ἀεὶ καὶ ἀνδρείας πρόσω ἔτρεφε λῆμα. ἀμέλει καὶ ἑκκαίδεκα ἐνιαυτῶν πολλάκις ἑνὸς χερσὶν οἰκείαις ζωγρείας παρέσχετο βαρβάρους. δι' ἃ ποτε καὶ ἡ ἐξ Ἀλαμανῶν αὐτῷ ξυνοικήσασα ἐπὶ μέσης ἐξελάλησε τῆς συγ- C

14. ναῦν] Cod. ut supra p. 14. c. et bis infra p. 57. d. et 121. d. ναῦ, quod vide ne servari possit. 16. δοκῶ μὴ] Fort. δοκῶ μέν. 20. λῆμα] Cod. λῆμμα. ibid. ἐνιαυτῶν] Fort. addendum ὤν.

cultate ad moenia applicatas, milites eduxit: quarum una conscendentium pondere effracta, in mare complures deiecit, ubi miserandum in modum effusa anima egregiam virtutis suae memoriam Romanis reliquerunt. verum Siculi, etiamsi intra moenia iam Romanos conspicerent, non ideo tamen urbem imperatori tradere voluerunt; sed in arcem quanta potuerunt celeritate contendentes, inde se tuiti sunt lapidibus telisque ac rebus aliis quae ad manus occurrebant, imbris de coelo fusi instar, in oppugnantes proiectis. tantum enim in altitudinem assurgit acropolis ut ne oculis quidem illius structura comprehendi facile possit. aiunt eo tum tempore propter reluctantem fortunam graviter succensum imperatorem, rectum in biremi qua vehebatur constitisse ac mandasse remigibus, ut appellerent navem ad moenia, quo ipse ascenderet. verum ducum aliqui, praesertim consanguinei, totis hoc viribus prohibuere, ut equidem opinor ipso nequaquam volente. nam praeterquam quod animi generositate praestabat, erat etiam imperterritus. nonnullos audivi qui et temeritatis illi crimen affingerent, siquidem divinum prope et humano maiorem animum semper prae se tulit; adeo ut cum annum ageret decimum sextum, sua unius manu captos saepe barbaros adduxerit. unde uxor, quae ex Alemannia ortum ducebat, in medio aliquando senatu

κλήτου βουλῆς, μεγάλου μὲν καὶ αὐτὴ καὶ πολεμικωτάτου ὡρμῆσθαι γένους εἰποῦσα, μηδέπω δὲ μηδένα τῶν ἁπάντων ἀκοῦσαι τοσούτοις εἰς ἐνιαυτὸν ἐγκαλλωπισάμενον ἀριστεύμασιν. ὅτε γε V 45 μὴν πρὸς τῷ Κερκυραίων τείχει ἐγένετο ναῦς τῶν ἐκ τοῦ Ῥωμαϊκοῦ στόλου, οὐ τῶν κουφοτέρων οὐδ' ὁποῖαι χθαμαλαὶ τυγχάνουσιν αὗται καὶ ἐπιμήκεις, ἀλλὰ ὕψους μὲν καὶ εὔρους ἱκανῶς ἔχουσα, ἵππων δὲ πλήρης καὶ ὅπλων μεστὴ παντάπασιν οὖσα, βίᾳ πνεύματος ἐπί τι τοῦ περιβόλου παρενεχθεῖσα μέρος, ἔνθα πετρῶν προβολαὶ ῥαχίων ἱκανῶς ἐπιστοιβαζόμεναι δυσπρόσοδον πάνυ τὸν χῶρον ποιοῦσι, δεινῶς ἐκλονεῖτο. λίθοι γὰρ ἀμαξοπληθεῖς καὶ βέλη καὶ πᾶν τὸ παρατυχὸν ὁμοῦ ἐπ' αὐτὴν ἐφέ- D ρετο πάντα, ὡς τοὺς ἐν αὐτῇ ἀπαγορεύσαντας ἤδη τοῖς ξυμπεσοῦσι περιδείλους τε καὶ κατεπτηχότας τὰ τῆς νεὼς ὑπελθεῖν καταστρώματα. ὃ κατανοήσας βασιλεὺς θατέρᾳ μὲν χειρὶ ἀσπίδα εἵλετο, οὐ τῶν συνήθων δὴ τούτων οὐδὲ ἐξ ὧν σῶμα φράγνυται ἕν, εὐρεῖαν δὲ μάλιστα καὶ ἣν οὐδὲ κουφίσαι ἀνδρὶ ῥᾴδιον γίνεται, θατέρᾳ δὲ τὸ ἐπὶ τῆς βασιλικῆς συνήθως τεταμένον διήρους χειρισάμενος ἔπιπλον εὖ τε ξυναγαγών, ὡς δι' αὐτοῦ ἅτε μὴ ἀντιτυποῦντος τὰς ἐκ τοῦ τείχους βολὰς ἀποκρούοιτο, ἐπὶ τὴν ναῦν ἐφέρετο, καλῳδίοις τε οὕτω ξυνδήσας ἑλκύσαι τε ἐκεῖθεν αὐτὴν P 58 ἴσχυσε καὶ τοῦ κινδύνου διασώσασθαι. ὅτε δὴ λέγεται ὡς ὁ τὴν Κερκύρας πρὸς τοῦ Ῥογερίου ἐπιτετραμμένος φρουράν, λίθους

1. ὡρμῆσθαι] Cod. ὁρμεῖσθαι. 6. αὗται] Tollius e coniectura οὖσαι. 9. προβολαὶ] Ita Tollius ex coniectura. Cod. προσβολαί. Ante ῥαχίων Tollius καὶ inseruit. Fort. πετρῶν προβολαὶ τραχειῶν.

in haec verba prorupit: praeclaro quidem et bellicosissimo genere se esse oriundam, at neminem unquam auditum a se fuisse, qui tot egregiis facinoribus anno uno editis claruerit. cum forte ad Corcyraeorum muros e classe Romana navis, non ex levium genere aut earum quae planae sunt et oblongae, sed altitudine idonea perinde ac latitudine, plena equis armisque refertissima, vi ventorum ad murorum partem quamdam esset adacta, ubi rupes subinde prominentes locum aditu plane difficilem efficiunt, graviter affligebatur. quippe ingentes lapides et tela et quidquid occurrebat simul in eam coniiciebantur, adeo ut ex tali casu desponderent animum qui in ea erant, trepidique ac pavidi subirent tabulata. quod ubi rescivit imperator, altera quidem manu scutum arripuit, non ex iis quae gestari consueta sunt aut ex quibus unicum tegitur corpus, sed amplum et quod erigere haud facile homini esset, altera vero prehendit armamenta, quae in imperatoria biremi intendi solent, et apte convolvit, ut iis non resistentibus telorum e muro ictus propelleret, ac deinde ad navem fertur. mox funibus colligatam detrahere inde et periculo eximere summa ope annixus est. tum vero eum cui demandatum a Rogerio fuerat Corcyrae praesidium, oppidanis crebros in

τῶν ἐκ τῆς πόλεως ἐπὶ βασιλέα συχνοὺς ἐπαφιέντων "μὴ δῆτα πρὸς τῆς ὑμῶν, ἔφησε, σωτηρίας, μὴ δῆτα ὦ συστρατιῶται βέλος παρ' ὑμῶν σώματι τηλικούτῳ ἐπαφείσθω μηδέν. κἂν λόγους ὑπὲρ τούτου δεδωκέναι χρεὼν, αὐτὸς ὑποίσω τὴν ἀγανάκτησιν." ταῦτα μὲν οὖν τῇδε ἐφέρετο· ὁ δὲ Σικελὸς στόλος εἰς χεῖρας τοῖς ἀμφὶ τὸν Χουροὺπ ἐλθὼν ὁ μὲν πλεῖστος κατηγώνιστο, τετταράκοντα δὲ νῆες ἐξ αὐτῶν τὸν κίνδυνον διαφυγοῦσαι ἐπὶ Βυζάντιον ἦλθον. ἔνθα καταχθέντες οὐδὲν ὅ τι καὶ λόγου ἄξιον ἔδρασαν· ταῖς δὲ περὶ τὴν Δαμάλεως περαίαν πῦρ ἐπαφεῖναι πειρασάμενοι καταγωγαῖς αἰσχρῶς ἐκεῖθεν ἀπηλλάγησαν πολλοὺς τῶν σφετέρων ἀποβαλόντες. οὐ μὴν οὐδ' ὅσοι τὸν κίνδυνον ἔφυγον ἐρρύσθησαν ἐς τὸ παντελές. ναυσὶ γὰρ περιτυχόντες, αἳ τὸ δημόσιον Κρήτηθεν ἐκόμιζον νόμισμα, τῆς μάχης οἱ πλείους γεγόνασι λάφυρον. βασιλεὺς δὲ λιμῷ καὶ πολιορκίᾳ τὴν πόλιν παραστησάμενος ἐκεῖθεν ἀνέζευξε. καὶ τοῦ λοιποῦ περί τε Σικελίας καὶ τῆς Ἰταλῶν ἐσκέπτετο γῆς ὡς καὶ ταύτας Ῥωμαίοις ἀνασώσαιτο. B

6. Πυθόμενος δὲ ὅτι δὴ Ἀλαμανοὶ καὶ Δαλμάται καὶ Παίονες ἐπὶ τὸν κατὰ Σικελίας συσκευάζεσθαι πόλεμον μεμαθηκότες αὐτὸν αὐτοὶ μὲν ἐξ ἑσπέρας Ῥωμαίοις ἐπιτεθήσεσθαι εἰς ὁμολογίαν ἀλλήλοις ξυνῆλθον, Ἰαγουπασὰν δὲ ὁ Περσῶν φύλαρχος τῷ σουλτὰν ἅμα Ἀσίαν ληΐζεσθαι ἔγνωσαν, αὐτὸς μὲν ἐπὶ Δαλμάτας ἐφέρετο τὸν ἐν σφίσιν ἀρχιζουπάνον ἤδη καὶ χειρῶν C

10. πειρασάμενοι] Cod. πειρασάμεναι.

imperatorem lapides coniicientibus dixisse ferunt "ne per vestram salutem, ne quaeso, commilitones, ullum a vobis adversus tale corpus vibretur telum. quodsi haec improbari contingat, ipse solus indignationem sustinebo." ea tum quidem istic agebantur. classis autem Siculorum congressa cum iis qui sub Churupo erant, maiorem partem devicta est. quadraginta autem naves eorum vitato periculo versus Byzantium pervenere, ac re nulla alia memorabili gesta aedificiis, quae in continenti circa Damalim adiacent, ignem iniicere conati turpiter inde recesserunt, multis suorum amissis. neque tamen quotquot discrimen evaserant incolumes omnino rediere. quippe incidentes in naves quae publicum e Creta apportabant vectigal, maximam partem praelio devicti capti sunt. imperator interea fame et oppugnatione Corcyram adeptus inde abscessit, in Siciliam et Italiam expeditionem animo volvens, quo utramque provinciam Romano rursum imperio assereret.

6. Ut autem accepit Alemannos et Dalmatas et Pannones adversus Siciliam bellum apparari edoctos de impugnandis ex Occidente Romanis pacta inter se fecisse: Iagupasanem praeterea Persarum phylarchum una cum Sultano decrevisse Asiam incursionibus infestare: ipse in Dalmatas proficiscitur, ut Archizupanum, qui iis imperitabat, primusque bellum inceperat, con-

ἄρξαντα τῷ τέως ἀμυνεῖσθαι διὰ σπουδῆς ἔχων, τὸ δὲ ναυτικὸν
ἅπαν Ἰωάννῃ τῷ τῶν ἀνατολικῶν καὶ ἑσπερίων δομεστίκῳ πι-
στεύσας ἐκέλευε τῷ Ἀγκῶνι προσεσχηκέναι (ἐπίνειον δὲ Ἰταλίας
ἐστὶν ὁ Ἀγκὼν) ἐντεῦθέν τε ὡς ἐξ ὁρμητηρίου κατὰ τῆς Ἰταλίας
ἰέναι. ἀλλ' ὁ μὲν Ἰωάννης μέχρι ποταμοῦ Βοόσης ἐλθὼν περαι-
τέρω ἰέναι οὐδαμῇ ἐφρόντισεν. εἴτε δὲ ἀπειρίᾳ τῇ περὶ τὰ ναυ-
μαχικὰ τοῦτο τῷ δομεστίκῳ διημάρτητο, εἴτε καὶ ταῖς Οὐεννέ-
D των ἡγμένῳ ξυμβουλαῖς ὡς μὴ Ἰταλίας ἐγκρατεῖς Ῥωμαῖοι γεγο-
νότες χώρᾳ τε ἐν γειτόνων ἤδη καταστάντες τῇ αὐτῶν περιφρο-
νεῖν αὐτοὺς ὡς τὸ εἰκὸς ἔχοιεν καὶ ξυμμαχίας ὀλίγα τῆς ἐξ αὐ-
V 46 τῶν χρήζοιεν· εἴτε οὖν οὕτως εἴτ' ἐκείνως, οὐδὲν ὅμως ὁ δομέ-
στικος ὧν πρὸς βασιλέως ἐντέταλτο πέρατι διδοὺς εἰκῇ τὸν και-
ρὸν ἔτριβεν. ὅθεν καὶ λαίλαπος ἀθρόον ἐπιγεγονότος πολλοῦ
(ἤδη γὰρ ἀμφὶ τροπὰς ἦν μετοπωρινὰς) συνέβη τῶν νεῶν ὡς
πλείστας θραυσθῆναι περιοραθείσας ὀλιγωρίᾳ τοῦ στρατηγοῦ.
P 59 ἐξὸν γὰρ ἐς τὸν ποταμὸν ἀναχθείσας παρ' ἑκάτερα πάσας ἀνελ-
κυσθῆναι, ὁ δὲ ἐν τῇ τῆς θαλάσσης ἀκτῇ μετεώρους αὐτὰς εἴα-
σεν. ὁ δὲ βασιλεὺς ἐς Δαλματίαν ἐμβαλὼν τὸ Ῥᾶσόν τε κατε-
στρέψατο φρούριον καὶ τὰ ἐν ποσὶν ἐληΐσατο πάντα· πλῆθός τε
ἀνάριθμον ἐν δορυαλώτων μοίρᾳ πεποιηκὼς Κωνσταντίνῳ μὲν
σεβαστοϋπερτάτῳ, ὃν Ἄγγελον ἐπεκάλουν, αὐτοῦ σὺν δυνάμεσιν
ἔλιπεν, ὃ δὲ προσωτέρω ἐχώρει Νικαβάν τε καταλαβὼν χώραν
ὑπὸ τῷ Ἀρχιζουπάνῳ τελοῦσαν καὶ αὐτὴν φρούρια μὲν τὰ ὅλα
ὅσα τῇδε ἵδρυται πόνῳ οὐδενὶ παρεστήσατο· ἐν δὲ Γαλίτζῃ γε-

21. σεβαστοϋπερτάτῳ] Malim σεβαστῷ ὑπερτάτῳ.

festim ulcisceretur. classe vero universa Ioanni Orientalium et Occidentalium thematum domestico commissa, iussit ut Anconam tenderet (est autem Ancona Italiae emporium) atque inde tamquam e sede belli Italiam impeteret. at Ioannes ad fluvium Boosem cum pervenisset, omnem ulterius pergendi curam abiecit; seu domesticus rei nauticae imperitia hac parte peccaverit, sive suasionibus inductus Venetorum, ne scilicet Italia potiti Romani et vicinae eorum regionis possessores facti ipsos ut par erat contemnerent, et rarius ab iis auxilia accerserent: sive igitur hanc sive illam ob causam nihil eorum quae ab imperatore iussus erat executus domesticus tempus inutiliter consumpsit. sed et turbine validius ingruente (imminebat quippe iam aequinoctium autumnale) pleraeque naves laceratae sunt negligentia ducis; qui, cum adactae in flumen utrimque potuissent subduci, eas ad littus maris in alto tenuit. imperator vero facta in Dalmatiam irruptione, Rasum castellum evertit, et obvia quaeque depopulatus est; multitudine deinde innumera, quam in servitutem redegerat, Constantino sebastohypertato, cognomine Angelo, commissa, eoque ibi cum copiis relicto, ulterius perrexit. Nicabam regionem ingressus, quae Archizupano et ipsa parebat, quotquot erant ibi praesidia nullo labore expugnavit. mox Galitzam assecutus, cum videret

γονὸς, ἐπειδὴ τοὺς ἐνταῦθα βαρβάρους πλήθει τε καὶ τῇ ἐκ τοῦ τόπου δυσχερείᾳ πεποιθότας οὐκ ἐνδιδόντας αὐτῷ τὸ κρησφύγετον εὗρε, χάρακα πηξάμενος βέλεσι καὶ λίθοις τοῖς ἀπὸ σφεν- B δόνης τοὺς ἐπὶ τῶν προπυργίων βάλλειν ἐκέλευε μηδένα καιρὸν ἀνιέντας, οὕτω τε τρίτῃ ὕστερον ἡμέρᾳ καὶ κατὰ κράτος εἷλεν αὐτό. ἔνθα πλήθει βαρβάρων περιτετυχηκὼς, μοίρᾳ τε τῆς ὁπλιτικῆς, καὶ ἄλλως ἀγελαίων τυγχάνοντι, ἐκεῖθεν ἀνάστατον ἦγεν αὐτό. καὶ αὐτὸ μὲν, ἐπειδὴ παλινοστήσας ἐπὶ τὸ Ῥᾶσον ἦλθεν, ἔν τε Σαρδικῇ καὶ τοῖς ἄλλοις Ῥωμαίων χωρίοις ἐγκατοικισθησόμενον ἔπεμψεν, ὁ δὲ πρὸς τοῦ Ἀγγέλου πεπυσμένος ὅτι δὴ καιροφυλακήσας ὁ ζουπάνος μετὰ τὴν αὐτοῦ ἐνθένδε ἀναχώρησιν ἐπικαταβαίνειν τε Ῥωμαίοις ἤρξατο καὶ τὴν μάχην ἀπὸ χειρὸς ἤδη κρατεῖν, τὴν ταχίστην ἐκεῖθεν ἀπήλαυνε καταλήψεσθαι τοῦτον προθυμηθείς. ἀλλ' ὁ μὲν ἐπιόντας Ῥωμαίους ἀκηκοὼς C ἐς τὰς τῶν ὀρῶν ἀνατρέχων ὑπερβολὰς τὸν παρὰ πόδας ἀπεδίδρασκε κίνδυνον· βασιλεὺς δὲ ἐπὶ τὴν χώραν ἐτράπετο, ἀλλ' αὐτὴν μὲν κατ' ἐρημίαν τοῦ κωλύσοντος ἐλῄσατο πᾶσαν καὶ τοὺς ἐνταῦθα τῷ ἀρχιζουπάνῳ εἰς ἀρχεῖον ἀποτεταγμένους δόμους πυρὶ φλέξας παρῆλθεν.

7. Ἐπεὶ δὲ χειμὼν ἤδη κατέσχε δεινὸς, ὡς τοῦ φύσει θερμοῦ περὶ τὴν καρδίαν ἀντιπεριϊσταμένου τῷ γένει τῷ ζωικῷ πολλοῖς ἤδη λώβην περὶ τοῖς ἄκροις ἐμπεπτωκέναι, τότε μὲν τῆς ἐπὶ Βυζάντιον ἐμέμνητο. ἐς δὲ τὸ ἐπιὸν ἔτος φθινούσης ἤδη τῆς ὥρας, πηνίκα καὶ μάλιστα εὐέφοδα πολεμίοις τὰ κατὰ τὴν

16. ἀλλ' αὐτὴν] Fort. καὶ αὐτήν. 24. πηνίκα] ὁπηνίκα?

barbaros hominum multitudine locique difficultatibus fretos, nolle sibi arcem dedere, castris positis, suis imperavit ut tela et lapides e fundis sine ulla intermissione in eos qui exteriora munimenta defendebant, iacerent. ita tertio die locum vi expugnavit. ibi cum barbarorum multitudinem cum armatam tum gregariam reperisset, eam inde abduxit. deinde, postquam reditu instituto, venit ad Rasum, illos ut Sardicam et alias Romanorum regiones incolerent, dimisit. ab Angelo certior factus Zupanum captata post suum inde recessum occasione coepisse Romanos adoriri praeliumque iam exarsisse, motis castris ut eum opprimeret summa celeritate contendit. at ille ubi intellexit adventare Romanos, secessit in montium iuga, eaque ratione praesens vitavit periculum. imperator igitur in eam regionem effusus, totam utpote orbam defensore populatus est, consumptisque incendio aedificiis, quae palatiorum vice Archizupano erant, abscessit.

7. Cum vero adeo valida tunc esset hiems, ut naturali calore animantium circa cor collecto, extremae membrorum partes laborarent, de reditu Byzantium cogitavit. sequenti vero anno sub aestatis exitum, cum maxime

D Σερβικὴν γίνεται, ἅτε τοῦ ἀμφιλαφοῦς ἐπιλιπόντος ἤδη τοῖς δέν-
δροις, ἐπὶ Ναϊσὸν τὸ στράτευμα ἤγειρεν. ἔνθα δυνάμεις ἐκ
Παιονίας ἐπὶ συμμαχίᾳ Δαλμάταις στέλλεσθαι μαθὼν, σπουδὴν
ἐποιεῖτο διὰ τοῦ Λογγομηροῦ λεγομένου χώρου διαβιβάζειν τὸ
στράτευμα, ὡς τοῖς Παίοσιν ἐν δεξιᾷ πορευομένοις συμμῖξαι γέ-
νοιτο τῷ Ῥωμαίων στρατῷ. ἐπεὶ δὲ ἐγγὺς Σάου ἐγένετο, ἐφ᾽ ἕτε-
ρον ἐκεῖθεν μετῆλθε ποταμὸν Δρυνᾶν ὄνομα, ὅς ἄνωθέν ποθεν
τὴν ἐκβολὴν ποιούμενος Βόσθναν τῆς ἄλλης Σερβικῆς διαιρεῖ.
ἔστι δὲ ἡ Βόσθνα οὐ τῷ Σερβίων ἀρχιζουπάνῳ καὶ αὐτὴ εἴκουσα,
ἀλλ᾽ ἔθνος ἰδίᾳ παρὰ ταύτῃ καὶ ζῶν καὶ ἀρχόμενον. ὅθεν γε
P 60 μὴν Οὔννους Ῥωμαίοις συγκεκρουκέναι ξυνέβη αὐτίκα δηλώσω.
ἦν τις ἐν τῷ Δαλματῶν ἔθνει, ὄνομα μὲν οὐκ οἶδα ὅπερ αὐτῷ
ἔκειτο, ἀδελφὸς δὲ αὐτῷ Βέλοσις ἦν, ἄμφω λογίμω παρὰ Δαλ-
μάταις ὄντε. οὗτος τοῦ ἀρχιζουπάνου μὲν ἀδελφῇ ξυνοικῶν ἦν,
τὼ ὀφθαλμὼ δὲ πηρωθῆναι τυχὼν τρόπῳ ᾧπερ αὐτὸς οὐδαμῇ
ἐρεῖν ἔχω, ἐς Παιονίαν ἀνεχώρησεν. ἐνταῦθά τε πολύν τινα
V 47 διατρίψας χρόνον Γειτζᾷ τῷ ῥηγὶ αἰδεσιμώτατος μάλιστα κατέ-
στη, ἅτε τῆς ἐκ παίδων αὐτῷ τροφῆς μεταδοὺς καὶ παιδεύσεως.
διὰ δὴ ταῦτα χάριτας ὀφλων Γειτζᾷ Δαλματίαν ὑπόσπονδον
αὐτῷ καθιστᾶν ἐπεχείρει, ξυμβουλεύων τε ἑκάστοτε περὶ τούτου
τῇ ἀειλογίᾳ πείθειν ἔσχε τὸν ἄνθρωπον. ὅθεν ἐπειδὴ τὴν ἐπὶ
B Δαλματίας Ῥωμαίων ὁ Γειτζᾶς ἤκουσεν ὁρμὴν, δυνάμεις ἐπὶ
συμμαχίᾳ Δαλμάταις ἔπεμψεν. αἰτία μὲν Ῥωμαίοις τῆς ἐς τοὺς
Οὔννους δυσμενείας αὕτη ἦν. τοῦ δὲ Ῥωμαίων στρατοῦ προσω-

pervia sunt hostibus in Serviam itinera, et arboribus comae decidunt, castra ad Naisum transtulit. sed ut ex Pannonia Dalmatis mitti auxiliares copias percepit, summo studio annixus est, ut traductis per regionem, Longomerem dictam, copiis, cum Pannonibus a dextra incedentibus Romani manus consererent. cum ad Savum proxime pervenisset, ad aliud inde flumen deflexit, Drynam nomine, quod in superiori sese loco effundens Bossenam a reliqua Servia disterminat. Bossena autem haud subest Archizupani imperio, sed vicina Serviis gens est quae et suos mores et suum agnoscit principem. unde vero cum Romanis ibi conflixerint Hungari, mox commemorabo. erat apud Dalmatas quidam, cuius nomen quale fuerit ignoro, fratrem autem habebat Belosim: ambo clari erant apud suos: hic uxorem duxerat sororem Archizupani. cum vero utroque oculo privatus esset (quo casu mihi plane incompertum) in Pannoniam sese recepit. longo hic tempore commoratus apud Geizam regem maximo in honore fuit, ut qui a pueris cum illo enutritus fuerat et educatus. eapropter quo Geizae gratias rependeret, Dalmatiam illi beneficii iure obnoxiam facere est annixus: idque continuis consiliis et adhortationibus homini tandem persuasit. simul atque igitur accepit Geiza in Dalmatiam irrupisse Romanos, copias auxilio Dalmatis submisit. ea quidem simultatum adversus Hungaros causa Romanis fuit. ulterius itaque pro-

τέρω χωροῦντος οἱ ἐπὶ χορταγωγίαν ἐξιόντες τοῖς Οὔννοις ὁδῷ πορευομένοις ἐντετυχηκότες εἰς χεῖρας ἦλθον. βασιλεὺς δὲ συναισθήσεως αὐτῷ γενομένης Ἰωάννην ἅμα στρατεύματι τὸν πρωτοσέβαστον ἐπιβοηθήσοντα ἔπεμψε. καὶ δὴ συμβολῆς γενομένης Οὖννοι πρὸς τῶν Ῥωμαίων ἡττηθέντες φεύγοντες ἐς τὸ τοῦ ποταμοῦ Στρυμόνος ῥεῦμα καθῆκαν ἑαυτούς. ἔνθα μετρίους ἀποβαλόντες ᾤχοντο ἀμεταστρεπτί, Ῥωμαῖοι δὲ φεύγουσι κατὰ νώτου ἀεὶ εἵποντο, ἐπὶ Τάραν τε ποταμὸν ἐλθόντες ἐπειδήπερ οὐ- C δένα σφίσιν ἀντεπεξιόντα ἔβλεπον, παλινοδίας ἐμέμνηντο. βασιλεὺς δὲ ἐπὶ μέσης τῆς εἰς Σετζενίτζαν φερούσης τὸν χάρακα πηξάμενος οὐκ ἔχων τε μαθεῖν ἔνθα τὸν ἀρχιζουπάνον εἶναι ξυνέβαινεν, ἐν τῷ τέως μὲν ἐν ἀπόρῳ ἐγένετο, ἐπεὶ δὲ πρὸς τῶν ἁλισκομένων Δαλματῶν δυνάμεις περιμένειν αὐτοὺς ἤκουσεν Οὐννικὰς ἐπὶ συμμαχίᾳ ὅσον οὐκ ἤδη ἀφιξομένας, ἐπὶ τὰ πρόσω λοιπὸν μετῆγε τὸ στράτευμα. μέχρι μὲν ποταμοῦ Τάρα γεγονόσιν οὐδὲν οὐδαμόθεν Ῥωμαίοις διεφάνη πολέμιον· ἐπεὶ δὲ ἐνταῦθα ἦλθον, Δαλματῶν ἀνάριθμος ὅμιλος οὔπω ἡλίου τὸν δυτικὸν ὁρίζοντα παραμείψαντος ὅπλοις κατάφρακτος ἐξεφάνη. ὅπερ D οἱ θεασάμενοι ἀγωνίᾳ καὶ δέει ἐχόμενοι Ῥωμαῖοι ἦλθον ἀγγέλλοντες. βασιλεὺς δὲ τὴν ἐκ Παιόνων ἀφικέσθαι προσδοκωμένην Δαλμάταις ἰσχὺν ταύτην εἶναι τὴν ὁρωμένην εὐστοχώτατα τεκμηριωσάμενος, ἅμα δὲ καὶ σκοπῷ τῷ Χουρούπῃ πρὸς τοῦτο χρησάμενος "νῦν αἰφνίδιον Δαλμάται Ῥωμαίοις ἐπεισπεσεῖσθαι δια-

4. συμβολῆς] Ita Tollius. Cod. συμβουλῆς. 6. Στρυμόνος] Cod. Στρυμμόνος. 23. νῦν αἰφνίδιον] Fort. cum Tollio νῦν, ἔφη, αἰφνίδιον. ibid. ἐπεισπεσεῖσθαι] Ita Tollius. Cod. ἐσπειπεσεῖσθαι.

cedente Romanorum exercitu, qui pabulatum exierant cum Hungaris, qui et ipsi iter agebant, obviam factis manus conserunt. quo cognito imperator in auxilium cum copiis Ioannem protosebastum mittit. commisso praelio Hungari a Romanis superati fuga se ad Strymonem fluvium receperunt, indeque aliquot ex suis amissis abscesserunt, a tergo instantibus semper Romanis. ut ad flumen Taran pervenere, cum nullum adverterent hostem a quo impeterentur, rediere ad suos. imperator autem medio itinere quod Setzenitzam ducit, positis castris, cum rescire haud posset quo ageret loco Archizupanus, eo usque quidem animi dubius haesit. intellecto dein ex captivis Dalmatis expectare illum auxiliares copias ex Hungaria iamiam adventuras, exercitum ulterius traduxit. sed usque ad fluvium Taran nulli adhuc visi fuere hostes. eo vero ut ventum est, Dalmatarum vis innumera armis instructa ante solis occasum apparuit. qua conspecta angore et metu perculsi Romani id confestim nuntiatum veniunt. at imperator felici assecutus coniectura, copias quae conspiciebantur eas esse quas ab Hungaris in auxilium expectabant Dalmatae, id firmante praeterea Churupo quo speculatore usus erat "nunc igitur" inquit "Romanos invadere decreverunt Dalmatae."

τῶν τετολμημένων Σκύθαι δώσουσι δίκας." διὸ δὴ τὸ μὲν λοι-
πὸν τοῦ στρατεύματος αὐτοῦ που καὶ ἐπὶ ταῖς ὄχθαις ἐνστρατο-
πεδευσόμενον ἔλιπεν, αὐτὸς δὲ τῶν νεῶν οὔπω καθάπερ εἴρηται
ἀφικομένων τοὺς λέμβους ἀλλήλοις ξυνδήσας καὶ ἁρμοσάμενος
σὺν πεντακοσίοις τῶν ἀμφ' αὐτὸν τὸν Ἴστρον διέβη· μέλλων τε
ἐπίπροσθεν ἰέναι δυσὶν ἄλλοις ἐντυγχάνει ποταμοῖς ναυσιπόροις.
ὡς οὖν οὐδαμῇ λεμβάδιον ἐνταῦθα διεφαίνετο, ᾧ χρήσαιτο ἄν
τις ἐς τὴν περαίωσιν, ἐκέλευε τοῖς περὶ αὐτὸν τοῖς τῶν ἵππων
οὐραίοις τὰ ἐπὶ τῷ Ἴστρῳ ἀκάτια ξυνδήσαντας εἰς τοὺς εἰρημέ-
C νους μετάγειν τῶν ποταμῶν. οὗ γεγονότος ἀμογητὶ διέβαινον,
χῶρόν τέ τινα δολιχὸν διαμείψαντες ἄχρι καὶ ἐπὶ ὄρος τένου ὅρ-
μον ἦλθον, ὅπερ ἀγχοῦ τῶν Ταυροσκυθικῆς ὁρίων ἀνέχει. ἔνθα
τὸ τῶν Σκυθῶν στρατόπεδον ἀνδρῶν παντάπασιν ἔρημον εὑρη-
κότες (ᾤχοντο γὰρ οὐ πολλῷ πρότερον ἀπιόντες) προσωτέρω ἐχώ-
ρουν. ἐπεὶ δὲ ἀμφὶ μέσην ἡμέραν ἤδη ἦν καὶ οὐδεὶς οὐδαμῇ
πολεμίων διεφαίνετο, Σκύθας τοὺς ὅσοι Ῥωμαίοις ξυνεστράτευον
ἀπολεξάμενος βασιλεὺς ὑποστρατηγοῦντι Γιφάρδῳ, ἀνδρὶ πο-
λέμων ἐμπείρῳ πολλῶν, αὐτοὺς μὲν ὀπίσω τῶν πολεμίων ἰέναι
ἔπεμψεν, ἰχνοσκοπήσοντάς τε καὶ ὅπῃ δυνατὰ ἔσται μαχησομέ-
νους, αὐτὸς δὲ κατόπιν ἐπορεύετο σχολαιότερον. οὐκ εἰς μα-
D κρὰν οὖν ὁ Γιφάρδος τοῖς πολεμίοις ἐντετυχηκώς, ἐπειδὴ μὴ
ἐθάρρει τῇ συμβολῇ (τὸ γὰρ βαρβάρων πλῆθος ἀριθμοῦ κρεῖσ-
σον αὐτῷ κατεφάνη), πέμψας ἐπὶ τὸν βασιλέα ἥκειν αὐτὸν τὴν
ταχίστην ἐδεῖτο. ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσεν, αὐτός τε

11. τένου ὅρμον] Duc. Τενούορμον.

ciae poenas dederint Scythae." quapropter reliquum exercitus eo loci, et ad ripas castra metatum reliquit. ipse quia nondum, uti dictum est, advenerant naves, aptatis connexisque inter se lembis, cum quingentis, ex iis qui sibi aderant, Istrum superavit: cumque ultra vellet procedere, in duos alios navigabiles fluvios incidit. ut vero nullum ibi apparuit navigium, quo ad traiectionem uteretur, suis imperavit, ut actuarias quae in Istro erant equis alligarent, atque ita ad fluvios transveherent. quo facto, nullo labore traiecerunt. loco deinde spatioso transmisso, ad montem usque (τένου ὅρμον), qui Tauroscythicae finibus adiacet, pervenere. ibi cum vacua prorsus ac deserta invenissent Scytharum castra (nam illi paulo ante se inde receperant) ulterius progrediuntur. medio autem die cum ex hostibus nemo appareret, Scythas, qui Romanis militabant, seligit imperator, et Giphardo duce, viro rei militaris peritissimo, mittit, ut a tergo insisterent hostibus, et si daretur occasio, manus consererent, dum ipse lento interea gradu subsequeretur. nondum plurimum consumpserat itineris Giphardus, cum in hostes incidit. sed praelium committere non ausus, quod longe numerosior barbarorum sibi videretur acies, imperatorem per nuntios, ut con-

πρὸς τοῖς ὅπλοις αὐτίκα ἐγένετο καὶ τὸ στράτευμα ἐξώπλιστο ἅπαν. ὀπίσω τε Σκυθῶν διώξαντες εἰς χεῖρας ἤδη ἦλθον αὐτοῖς. Σκύθαι τοίνυν τὸ μὲν πρῶτον ἔστησάν τε ὡς ὑποδεξόμενοι σφᾶς καὶ ἐς φάλαγγα ταξάμενοι βοήθειαν σφῶν τε αὐτῶν καὶ ὧν ἐπήγοντο λαφύρων προπονεῖσθαι ἤθελον, ἥ τε ξυμβολὴ ἑκατέρωθεν σὺν ὠθισμῷ καὶ βίᾳ ἐγίνετο. ὅτε δὴ πολλοὶ μὲν καὶ ἄλλοι Ῥωμαίων ἄνδρες ἐγένοντο ἀγαθοί, βασιλεὺς δὲ πάντων μάλιστα. τῶν γὰρ πολεμίων ἔγγιστα ἐγκειμένων ἰσχυρῶς, αὐτὸς P 55 σὺν τῷ δόρατι ἐπελαύνων τὸν συνασπισμὸν αὐτοῖς ἔλυεν, οὐ καθ' V 43 ἕνα μόνον, ἀλλ' ἤδη καὶ σύνδυο πολλοὺς ἐκείνων ἀποκτιννύς. ὅθεν καὶ τῷ ἀνυποστάτῳ τῆς βασιλέως παρακεκινημένων ὁρμῆς, Ῥωμαῖοι ὁλοσχερέστερον κατ' αὐτῶν ἐπιβρίσαντες λαμπρὰν ἤδη τὴν ἐπαγωγὴν ἐποίουν. πολλοὶ μὲν οὖν βαρβάρων ἔπεσον, ἑάλωσαν δὲ καὶ εἰς ἑκατὸν μάλιστα, ἐν οἷς καὶ Λάζαρος ἦν, ἀνὴρ ἐπὶ πλεῖστον μὲν ἀνδρείας ἥκων, ἐπὶ τοῖς ἐν σφίσι φυλάρχοις ἀπόβλεπτος ὤν· τοὺς δ' ἄλλους ἵππων τε ἀρετὴ καὶ τὸ τῶν ὀρῶν διεσώσατο λάσιον, ἃ τῇδε πολλὰ παρατέταται. Ῥωμαῖοι δὲ τὰ ἐκ προνομῆς ἀνελόμενοι πάντα ὀπίσω λοιπὸν ἀνεχώρουν, ὅτε δὴ καὶ Σότας ἐκεῖνος, ὃν πλούτῳ τε καὶ γένει καθάπερ εἴρηται διε- B νεγκόντα ἀνδραποδισθῆναι Σκύθαις ξυνέβη, ἀδείας λαβόμενος φυγὰς ἐπὶ τὸ στρατόπεδον ἦλθε.

7. ἄνδρες] „Nil nisi prima littera extat in codice; reliquas macula obtexit." Heyse. 10. ἀποκτιννὺς] Cod. ἀποκτεινύς. 15. ἐπὶ τοῖς] Ita Tollius. Cod. π. (ἐ) malim παρὰ τοῖς, sive potius παρὰ δὲ τοῖς.

festim accederet, sollicitavit. his acceptis, arma continuo induit princeps, armatur perinde et totus exercitus. mox a tergo Scythas simul adorti, cum iis manus conserunt. primo quidem stetere Scythae, velut subeuntes excepturi: ac in phalangem ordinati, voluere ut auxilia, tum pro se, tum pro praeda quam fecerant, primos impetus sustinerent. validum utrimque fit praelium. complures Romani praeclare factis ibi inclaruere, atque inprimis imperator. hostibus enim cominus acriter urgentibus, ipse invectus hasta dissolvit confertos pugnantium ordines; neque singulatim duntaxat, sed et binos simul interdum, multis eorum caesis. ita invicto principis impetu proturbatis hostibus, Romani viribus integris ingruentes, totam aciem perrupere. plurimi tum cecidere barbarorum, centum circiter capti, atque in iis Lazarus, animi robore praestans, et inter Scythicos phylarchos conspicuus. reliquos equorum virtus et densa montium, qui complures ibi sunt, servavere; Romani autem, postquam cuncta pabulationibus absumpserant, retro deinde cesserunt. quo tum tempore Sotas ille, quem genere et divitiis praepollentem, ut diximus, ceperant Scythae, arrepta occasione, fuga in castra pervenit.

4. Τοῦτο τὸ τρόπαιον ἐξ ὑπογυίου κατωρθωκὼς ὁ αὐτοκράτωρ ἐκεῖθεν ἀπήλαυνε πρὸς τὸν κατὰ Σικελίας ἤδη συσκευαζόμενος πόλεμον. τοσοῦτον γὰρ αὐτῷ τὸ περὶ τοὺς πολεμικοὺς καμάτους ἄτρυτον ἦν, ὅσον οὐδέπω οὐδενὶ οἶμαι ὑπῆρξε καὶ τῶν τῆς κοινῆς καὶ στρατιωτικῆς γεγονότων μοίρας, μὴ ὅτι γε βασιλεῦσιν ἢ στρατηγοῖς. ᾔει τοίνυν Σικελίαν τε περινοῶν καὶ Ἰταλίαν πᾶσαν· ἀλλ' ὡς ἔοικε τύχη καὶ δόξαν ἀληθῆ παραιτεῖται καὶ τὴν σὺν ἐπιστήμῃ στρατηγίαν πόνῳ οὐδενὶ ἐς τοὐναντίον ἅπαν
C ἀποκρίνειν ἐπίσταται. ὁ μὲν γὰρ καίτοι τῶν Σκυθικῶν μεταξὺ περιεσπακότων ὅμως ἔφθη ἐπικαιρότατα τῷ χώρῳ ἐπιστάς, ὅθεν καὶ τὴν ἀπόπλοιαν ποιεῖσθαι ἐχρῆν· τὸν δὲ στόλον ξυνέβαινεν, εἴτε πνεύμασιν ἐναντίοις τῆς ἐπὶ τὰ πρόσω ἀνακοπέντα, εἴτε καὶ τῇ τοῦ δουκὸς περὶ ταῦτα ἀμαθίᾳ, ὀψὲ καὶ κατόπιν ἐλθεῖν τοῦ καιροῦ. ἔαρος γὰρ τῶν Βυζαντίων ἀναχθεὶς λιμένων, φθινούσης ἤδη τῆς ὥρας ἐς βασιλέα κατῆρεν ἐντεῦθέν τε τὰ Ῥωμαίων ἔσφηλε πράγματα. ἀνέβη μὲν γὰρ καὶ τὴν διήρη ὁ βασιλεὺς καὶ τὸ ναυτικὸν ἅπαν πρὸς ταῖς κώπαις ἐκάθητο ὡς αὐτίκα ἀποπλευσόμενον, ἀλλὰ χειμὼν ἄγριος καὶ πνευμάτων βίαι αἰφνίδιον καταρραγεῖσαι ἀπεῖρξαν αὐτὸν τοῦ ἐγχειρήματος. πελάγη τε γὰρ ἐνταῦθα δεινῶς ἀχανῆ τέταται, καὶ ἔστιν ἐπιεικῶς κινδυνώδης ὁ
D πλοῦς καὶ μάλιστα χειμῶνος. ὅθεν καὶ αὐτὸς μὲν ἐπί τινα χῶρον ἀγχοῦ τῆς Βερροίας ἀναζεύξας, ἐνταῦθα διεχείμαζε· τὸν δὲ

1. ἐξ ὑπογυίου] Ita Tollius. Cod. ἐξ ὑπ . reliqua evanuerunt. 5. στρατιωτικῆς] Ita Tollius. Cod. στρατιωτικῶν. 18. βίαι] Cod. βία.

4. Hac subitanea parta victoria, inde recessit imperator ad bellum contra Siciliam sese comparans. tantum enim in illo erat patientiae ad bellicos labores, quantum ut arbitror ne ulli quidem adfuit vel vulgarium in exercitu militum, nedum imperatorum vel ducum. ibat igitur non Siciliam modo, sed et universam Italiam animo complexus: at veram, ut videtur, aversatur gloriam fortuna, imperandique artem militari scientiae coniunctam labore nullo vertere in contrarium probe novit. ille quidem etsi a rebus Scythicis interea vocaretur, nihilo minus tamen opportune in eum locum venerat, ex quo navigationem institui oportebat. tum quoque accidit ut classis, sive reflantibus detenta ventis, sive ducis imperitia, serius nec opportune advenerit. quippe circa vernum tempus Byzantino egressa portu, exacta demum aestate ad imperatorem delata res Romanas haud mediocriter afflixit. biremem enim conscenderat imperator, totaque classis, velut statim discessura, remos expediverat, cum tempestas valida, visque repente suboriens ventorum, illius praepedivere consilia. vasta quippe hic porriguntur maria, eoque periculis magis est obnoxia navigatio, maxime hieme: unde in locum haud procul Berrhoea concessit princeps, ibique hiemavit. sororium vero

γαμβρὸν Στέφανον, ὃν Κοντοστέφανον σμικρολογούμενοι οἶμαι
ἐκάλουν (βραχὺς γὰρ τὴν ἡλικίαν ἦν), ἐπὶ Κέρκυραν ὑπὸ Σικε-
λῶν τῷ τηνικάδε καθάπερ εἴρηται ἐχομένην σὺν παντὶ τῷ ναυ-
τικῷ ἔστελλε, Ῥωμαίοις ταύτην ἀνασωσόμενον. ἀλλ' ὁ μὲν πρὸς
τῇ πόλει γενόμενος πεῖράν τε παντοδαπῇ τῷ περιβόλῳ προσαγα-
γών, ἐνταῦθα τὸν βίον κατέλυσεν ἔτι τῶν πραγμάτων ᾐωρημέ-
νων, τρόπῳ ᾧπερ αὐτὸς ἐρῶν ἔρχομαι. κλίμακα λίαν ἐπιμήκη P 56
σχεδιάσας πολλῷ τε τειχέων ὑπερανισταμένην τῶν ἐκτός, διὰ
ταύτην ἐπὶ τὴν πόλιν ἀνῆγε τὸ στράτευμα. λίθου τοίνυν μέγα
τι χρῆμα τῆς ἀκροπόλεως ἐκ μηχανῆς τινος ἀφεθὲν τῇ κλίμακι
προσαράσσει, ὑπὸ σφοδρότητός τε κατεαγὸς τεμάχια πολλαχοῦ
διαφῆκεν, ὧν ἓν ἐπὶ τὸν δοῦκα μετενεχθὲν καιρίαν αὐτὸν ἔπλη-
ξεν. ὁ δὲ καίτοι θνήσκοντος ὅσον οὐκ ἤδη αἰσθόμενος αὐτοῦ
ὅμως πολλὴν ἐποιεῖτο πρόνοιαν ὅπως ἂν μὴ συναισθήσεως ἀμ-
φοτέροις γεγενημένης, Ῥωμαίοις μὲν δειλία ὡς τὸ εἰκός, θάρσος
δὲ Σικελοῖς ἤδη ἐνδιδοῦσι γένοιτο. διὸ καὶ αὐτὸν μὲν ἡσυχῇ ἐπὶ
τῶν τῆς νεὼς ἐκέλευεν ἐνθεμένους καταστρωμάτων ἔργου καὶ πά-
λιν ἔχεσθαι, Ἀνδρόνικον δέ, ὃς ὕστατος αὐτῷ τῶν παίδων ἐγέ- B
νετο, καὶ τῶν πελεκηφόρων προσκαλεσάμενος τὸν ἐξάρχοντα,
παραινέσεις προσῆγε μηδαμῇ τοῦ θάρσους ἐνδοῦναι Ῥωμαίους, V 44
ἀλλὰ νῦν ἔτι μάλιστα πρὸς ἔργοις γίνεσθαι, ὅτε οὐ μακρὰν ἐλ-
πίδων ἑστήκασι τοῦ τὴν πόλιν ἑλεῖν. ἀλλ' ἦσαν ταῦτα ψυχῆς
μὲν οἶμαι γνωρίσματα ἀνδρικῆς καὶ τὸ ὅλον ἀρεϊκῆς τε καὶ φι-

11. τεμάχια] Cod. τεμμάχια.

Stephanum, quem diminuendi ergo Contostephanum vocabant (erat namque statura exigua), ad Corcyram, quae tum temporis, ut scripsimus, parebat Siculis, cum omni navium apparatu dimisit, quo hanc Romano rursum imperio assereret. verum ille ut ad civitatem appulit, oppugnatis et tentatis undequaque moenibus, vitam istic finivit, rebus adhuc infectis ac dubiis, eo, quem nunc dicturus sum, modo. exstructa perquam altissima scala, murisque exterioribus longe excelsiore, per eam transmittere militem in urbem statuit. lapis autem ingentis magnitudinis ex machina quadam emissus, et ad scalam allisus, prae vehementi quo impulsus est impetu, in varia frustula dissectus est, quorum unum ad ducem perlatum letali eum vulnere percussit. ille vero etsi mortem sibi videret imminere, maxime tamen in id incubuit, ne utrimque cognito quod acciderat, metus, ut erat vero simile, Romanis; animus autem Siculis, iamiam deficientibus, adderetur. quapropter, ut se in navigii tabulatis clam deposito, coeptis denuo insisterent, praecepit. Andronicum vero, qui filiorum erat ultimus, et bipenniferorum praefectum, advocatos, multis est cohortatus, ut id efficerent, ne a priori audacia remitterent Romani, sed operi potissimum instarent, cum capiendae mox urbis spes adesset. verum fuerunt haec virilis, ut arbitror, et martii,

λοπάτριδος. τὸ δὲ πρᾶγμα ἅμα τε ἐπέπρακτο καὶ ἅμα τοῖς πλήθεσιν ἔκπυστον γεγονὸς εἰς τοὐναντίον περιήνεγκε πάντα. Ῥωμαίους τε γὰρ καίτοι τειχέων ὕπερθεν ἤδη γεγενημένους ἀπεώσαντο Σικελοί, καὶ σύγχυσις εἶχε πάντα καὶ θροῦς.

C 5. Καὶ τὰ μὲν τῶν Ῥωμαίων ἐν τούτοις ἦσαν. βασιλεὺς δὲ τούτων ἀκούσας ἠνιάθη μὲν ὡς τὸ εἰκός, στολάρχην δὲ ἀντ' αὐτοῦ προκεχειρισμένος ἀνενδότως τῆς πολιορκίας ἐκέλευεν ἔχεσθαι. τοῦ δὲ καὶ αὐτοῦ οὐδὲν ὅ τι καὶ λόγου ἄξιον ἐνδειξαμένου (στάσις μὲν γὰρ Ῥωμαίων μεταξὺ καὶ Οὐεννέτων, οἳ τῇδε σὺν αὐτοῖς ἐστράτευον ἐξαπιναίως ἀναφθεῖσα τὸ κατορθωτικὸν τοῦ Ῥωμαίων παρείλετο στρατοῦ) τέλος ἠνάγκαστο αὐτὸς βασιλεὺς ἐνταῦθα γεγονὼς τῆς πολιορκίας ἅψασθαι. Οὐεννέτοις γοῦν καὶ τῷ Ῥωμαίων στρατῷ τὰ διάφορα λύσας δίκας τε τοῖς ἐξ
D ἀμφοτέρων αἰτίοις πραξάμενος τὰς προσηκούσας κραταιότατα τῷ περιβόλῳ ἐπέθετο. καὶ ὁ μὲν πρὸς τούτοις ἦν. Ῥογέριος δὲ ὁ Σικελῶν τύραννος πρὸς τῇ Κερκύρᾳ διατρίβειν βασιλέα πυθόμενος στόλον ἐπὶ γῆν τὴν Ῥωμαίων ἔπεμπεν, ἐκεῖνο κατὰ νοῦν ἔχων ὅπως δηλαδὴ τῇ πρὸς ἐκεῖνα μεταφορᾷ τῆς πολιορκίας ἀποσχέσθαι καταναγκάσειε. βασιλεὺς δὲ μοῖράν τινα τῶν σὺν αὐτῷ ἀποθέμενος νεῶν αὐτὰς μὲν ὑπὸ στρατηγοῦντι τῷ Χουρούπῃ Σικελοῖς ἐπὶ τὴν Ῥωμαίων, ὥσπερ ἔφην, ἰοῦσιν ἀντιταξομένας σπουδῇ ἔπεμπεν, αὐτὸς δὲ ἔτι μᾶλλον ἐνέκειτο πικρότατα Σικελοὺς πολιορκῶν. κλίμακας γὰρ ὑπερμεγέθεις διὰ τῶν νεῶν τοῖς τείχεσι προσε-

20. ἀποθέμενος] Fort. ἀποτεμόμενος.

patriaeque amantis animi argumenta. quippe statim atque in vulgus res coepit disseminari, omnia in contrarium cessere. nam et Romanos qui moenia iam ascenderant, Siculi exegerunt, tumultuque et consternatione omnia repleta sunt.

5. Atque is tum fuit rei Romanae status. his cognitis, non modice, ut par erat, commotus imperator, classis praefecto, qui in defuncti locum designatus fuerat, praecepit, ut urbem absque ulla remissione oppugnaret. sed et ab illo nulla memorabili re gesta (quippe Romanos inter et Venetos, qui tum iis merebant, exorta praeter opinionem contentio, Romano exercitui felicitatem ademerat), coactus tandem est ipsemet princeps eo se conferre et oppugnationem aggredi. diremptis itaque Romani Venetique exercitus simultatibus et utrimque iis qui causam praebuerant mulctatis, magno impetu moenia impugnavit. his rebus occupato principe, Rogerius Siciliae tyrannus ut ad Corcyram imperatorem agere intellexit, classem mittit in fines Romanorum, eo animo ut hac belli translatione solvendae obsidionis necessitatem imponeret. at imperator divisa classe, partem alteram misit duce Churupo, quae Siculis Romanas terras incursantibus continuo occurreret, resisteretque: ille autem in oppugnanda pertinacissime Corcyra magis institit. per scalas namque magnitudinis immensae e navigiis non sine diffi-

ῥείσας, μόγις μὲν καὶ ξὺν βίᾳ ἀνῆγε δ' οὖν ὅμως τὸ στράτευμα.
ὅτε ξυνέβη μίαν τῶν κλιμάκων τῷ τῶν ἀνιόντων ἄχθει κατασπα-
σθεῖσαν εἰς θάλασσαν πολλοὺς ἐνεγκεῖν, οὗ δὴ τλήμονες τὰς ψυχὰς P 57
ἐκφυσήσαντες πολύν τινα τῆς αὐτῶν ἀρετῆς Ῥωμαίοις ἀπολελοίπασι
λόγον. ἀλλὰ Σικελοὶ καίτοι ἔνδον ἤδη τειχέων Ῥωμαίους γεγο-
νότας ἰδόντες ἐνδιδόναι βασιλεῖ τὴν πόλιν οὐδαμῇ ἤθελον. ὅθεν
καὶ ἐπὶ τὴν ἀκρόπολιν ὡς εἶχον τάχους ἀναδραμόντες ἐντεῦθεν
ἠμύνοντο λίθους καὶ βέλη καὶ ἅπαν τὸ παρατυχὸν ὡς ἐξ οὐρα-
νοῦ τινος ὀμβρηδὸν ἐπ' ἐκείνους ἀφιέντες. ἐπὶ τοσοῦτον γὰρ
ὕψος ἀνέρπει τὸ φρούριον, ὡς μηδ' ὀφθαλμῷ ῥᾳδίως ἐξεῖναι τὴν
οἰκοδομίαν ἀναταθέντι περιαθρεῖν. ὅτε δὴ λέγεται θυμῷ τὸν
βασιλέα περιζέσαντα πρὸς τὸ ἐκ τῆς τύχης ἐκεῖνο δυσκλήρημα B
ὄρθιόν τε ἐφ' ἧς ἐφέρετο στῆναι διήρους καὶ τοῖς ἐπὶ τῆς εἰρε-
σίας κελεύειν προσάγειν αὐτίκα τοῖς τείχεσι τὴν ναῦν, ὡς αὐτὸς
οἶμαι ἀνόδου πειράσαιτο. ἀλλὰ τοῦτο μὲν τῶν στρατηγῶν τινες
καὶ πρὸς αἷμα ἐγγιζόντων αὐτῷ παντὶ σθένει διεκώλυσαν, δοκῶ
μὴ οὐδὲ αὐτῷ σφόδρα ἐθέλοντι. πρὸς γὰρ τῷ γενναίῳ καὶ ἀσφα-
λὴς ἦν τὰ πολλά. ἤδη δέ τινων ἔγωγε καὶ θράσους αἰτίαν προσ-
τριβόντων ἤκουσα αὐτῷ· δαιμόνιον γὰρ ἀεὶ καὶ ἀνδρείας πρόσω
ἔτρεφε λῆμα. ἀμέλει καὶ ἑκκαίδεκα ἐνιαυτῶν πολλάκις ἑνὸς χερ-
σὶν οἰκείαις ζωγρείας παρέσχετο βαρβάρους. δι' ἅ ποτε καὶ ἡ
ἐξ Ἀλαμανῶν αὐτῷ ξυνοικήσασα ἐπὶ μέσης ἐξελάλησε τῆς συγ- C

14. ναῦν] Cod. ut supra p. 14. c. et bis infra p. 57. d. et 121. d. ναῦ, quod vide ne servari possit. 16. δοκῶ μὴ] Fort. δοκῶ μέν. 20. λῆμα] Cod. λῆμμα. ibid. ἐνιαυτῶν] Fort. addendum ὤν.

cultate ad moenia applicatas, milites eduxit: quarum una conscendentium pondere effracta, in mare complures deiecit, ubi miserandum in modum effusa anima egregiam virtutis suae memoriam Romanis reliquerunt. verum Siculi, etiamsi intra moenia iam Romanos conspicerent, non ideo tamen urbem imperatori tradere voluerunt; sed in arcem quanta potuerunt celeritate contendentes, inde se tuiti sunt lapidibus telisque ac rebus aliis quae ad manus occurrebant, imbris de coelo fusi instar, in oppugnantes proiectis. tantam enim in altitudinem assurgit acropolis ut ne oculis quidem illius structura comprehendi facile possit. aiunt eo tum tempore propter reluctantem fortunam graviter succensum imperatorem, rectum in biremi qua vehebatur constitisse ac mandasse remigibus, ut appellerent navem ad moenia, quo ipse ascenderet. verum ducum aliqui, praesertim consanguinei, totis hoc viribus prohibuere, ut equidem opinor ipso nequaquam volente. nam praeterquam quod animi generositate praestabat, erat etiam imperterritus. nonnullos audivi qui et temeritatis illi crimen affingerent, siquidem divinum prope et humano maiorem animum semper prae se tulit; adeo ut cum annum ageret decimum sextum, sua unius manu captos saepe barbaros adduxerit. unde uxor, quae ex Alemannia ortum ducebat, in medio aliquando senatu

κλήτου βουλῆς, μεγάλου μὲν καὶ αὐτὴ καὶ πολεμικωτάτου ὡρμῆσθαι γένους εἰποῦσα, μηδέπω δὲ μηδένα τῶν ἁπάντων ἀκοῦσαι τοσούτοις εἰς ἐνιαυτὸν ἐγκαλλωπισάμενον ἀριστεύμασιν. ὅτε γε
V 45 μὴν πρὸς τῷ Κερκυραίων τείχει ἐγένετο ναῦς τῶν ἐκ τοῦ Ῥωμαϊκοῦ στόλου, οὐ τῶν κουφοτέρων οὐδ' ὁποῖαι χθαμαλαὶ τυγχάνουσιν αὗται καὶ ἐπιμήκεις, ἀλλὰ ὕψους μὲν καὶ εὔρους ἱκανῶς ἔχουσα, ἵππων δὲ πλήρης καὶ ὅπλων μεστὴ παντάπασιν οὖσα, βίᾳ πνεύματος ἐπί τι τοῦ περιβόλου παρενεχθεῖσα μέρος, ἔνθα πετρῶν προβολαὶ ῥαχίων ἱκανῶς ἐπιστοιβαζόμεναι δυσπρόσοδον πάνυ τὸν χῶρον ποιοῦσι, δεινῶς ἐκλονεῖτο. λίθοι γὰρ ἁμαξοπληθεῖς καὶ βέλη καὶ πᾶν τὸ παρατυχὸν ὁμοῦ ἐπ' αὐτὴν ἐφέ-
D ρετο πάντα, ὡς τοὺς ἐν αὐτῇ ἀπαγορεύσαντας ἤδη τοῖς ξυμπεσοῦσι περιδείλους τε καὶ κατεπτηχότας τὰ τῆς νεὼς ὑπελθεῖν καταστρώματα. ὃ κατανοήσας βασιλεὺς θατέρᾳ μὲν χειρὶ ἀσπίδα εἵλετο, οὐ τῶν συνήθων δὴ τούτων οὐδὲ ἐξ ὧν σῶμα φράγνυται ἕν, εὐρεῖαν δὲ μάλιστα καὶ ἣν οὐδὲ κουφίσαι ἀνδρὶ ῥᾴδιον γίνεται, θατέρᾳ δὲ τὸ ἐπὶ τῆς βασιλικῆς συνήθως τεταμένον διήρους χειρισάμενος ἔπιπλον εὖ τε ξυναγαγών, ὡς δι' αὐτοῦ ἅτε μὴ ἀντιτυποῦντος τὰς ἐκ τοῦ τείχους βολὰς ἀποκρούοιτο, ἐπὶ τὴν ναῦν ἐφέρετο, καλῳδίοις τε οὕτω ξυνδήσας ἑλκύσαι τε ἐκεῖθεν αὐτὴν
P 58 ἴσχυσε καὶ τοῦ κινδύνου διασώσασθαι. ὅτε δὴ λέγεται ὡς ὁ τὴν Κερκύρας πρὸς τοῦ Ῥογερίου ἐπιτετραμμένος φρουράν, λίθους

1. ὡρμῆσθαι] Cod. ὁρμεῖσθαι. 6. αὗται] Tollius e coniectura οὖσαι. 9. προβολαὶ] Ita Tollius ex coniectura. Cod. προσβολαί. Ante ῥαχίων Tollius καὶ inseruit. Fort. πετρῶν προβολαὶ τραχειῶν.

in haec verba prorupit: praeclaro quidem et bellicosissimo genere se esse oriundam, at neminem unquam auditum a se fuisse, qui tot egregiis facinoribus anno uno editis claruerit. cum forte ad Corcyraeorum muros e classe Romana navis, non ex levium genere aut earum quae planae sunt et oblongae, sed altitudine idonea perinde ac latitudine, plena equis armisque refertissima, vi ventorum ad murorum partem quamdam esset adacta, ubi rupes subinde prominentes locum aditu plane difficilem efficiunt, graviter affligebatur. quippe ingentes lapides et tela et quidquid occurrebat simul in eam coniiciebantur, adeo ut ex tali casu desponderent animum qui in ea erant, trepidique ac pavidi subirent tabulata. quod ubi rescivit imperator, altera quidem manu scutum arripuit, non ex iis quae gestari consueta sunt aut ex quibus unicum tegitur corpus, sed amplum et quod erigere haud facile homini esset, altera vero prehendit armamenta, quae in imperatoria biremi intendi solent, et apte convolvit, ut iis non resistentibus telorum e muro ictus propelleret, ac deinde ad navem fertur. mox funibus colligatam detrahere inde et periculo eximere summa ope annixus est. tum vero eum cui demandatum a Rogerio fuerat Corcyrae praesidium, oppidanis crebros in

τῶν ἐκ τῆς πόλεως ἐπὶ βασιλέα συχνοὺς ἐπαφιέντων "μὴ δῆτα πρὸς τῆς ὑμῶν, ἔφησε, σωτηρίας, μὴ δῆτα ὦ συστρατιῶται βέλος παρ' ὑμῶν σώματι τηλικούτῳ ἐπαφείσθω μηδέν. κἂν λόγους ὑπὲρ τούτου δεδωκέναι χρεών, αὐτὸς ὑποίσω τὴν ἀγανάκτησιν." ταῦτα μὲν οὖν τῇδε ἐφέρετο· ὁ δὲ Σικελὸς στόλος εἰς χεῖρας τοῖς ἀμφὶ τὸν Χουροὺπ ἐλθὼν ὁ μὲν πλεῖστος κατηγώνιστο, τετταράκοντα δὲ νῆες ἐξ αὐτῶν τὸν κίνδυνον διαφυγοῦσαι ἐπὶ Βυζάντιον ἦλθον. ἔνθα καταχθέντες οὐδὲν ὅ τι καὶ λόγου ἄξιον ἔδρασαν· ταῖς δὲ περὶ τὴν Δαμάλεως περαίαν πῦρ ἐπαφεῖναι πειρασάμενοι καταγωγαῖς αἰσχρῶς ἐκεῖθεν ἀπηλλάγησαν πολλοὺς τῶν σφετέρων ἀποβαλόντες. οὐ μὴν οὐδ' ὅσοι τὸν κίνδυνον ἔφυγον ἐρρύσθησαν ἐς τὸ παντελές. B ναυσὶ γὰρ περιτυχόντες, αἳ τὸ δημόσιον Κρήτηθεν ἐκόμιζον νόμισμα, τῆς μάχης οἱ πλείους γεγόνασι λάφυρον. βασιλεὺς δὲ λιμῷ καὶ πολιορκίᾳ τὴν πόλιν παραστησάμενος ἐκεῖθεν ἀνέζευξε. καὶ τοῦ λοιποῦ περί τε Σικελίας καὶ τῆς Ἰταλῶν ἐσκέπτετο γῆς ὡς καὶ ταύτας Ῥωμαίοις ἀνασώσαιτο.

6. Πυθόμενος δὲ ὅτι δὴ Ἀλαμανοὶ καὶ Δαλμάται καὶ Παίονες ἐπὶ τὸν κατὰ Σικελίας συσκευάζεσθαι πόλεμον μεμαθηκότες αὐτὸν αὐτοὶ μὲν ἐξ ἑσπέρας Ῥωμαίοις ἐπιτεθήσεσθαι εἰς ὁμολογίαν ἀλλήλοις ξυνῆλθον, Ἰαγουπασὰν δὲ ὁ Περσῶν φύλαρ- C χος τῷ σουλτὰν ἅμα Ἀσίαν ληΐζεσθαι ἔγνωσαν, αὐτὸς μὲν ἐπὶ Δαλμάτας ἐφέρετο τὸν ἐν σφίσιν ἀρχιζουπάνον ἤδη καὶ χειρῶν

10. πειρασάμενοι] Cod. πειρασάμεναι.

imperatorem lapides conicientibus dixisse ferunt "ne per vestram salutem, ne quaeso, commilitones, ullum a vobis adversus tale corpus vibretur telum. quodsi haec improbari contingat, ipse solus indignationem sustinebo." ea tum quidem istic agebantur. classis autem Siculorum congressa cum iis qui sub Churupo erant, maiorem partem devicta est. quadraginta autem naves eorum vitato periculo versus Byzantium pervenere, ac re nulla alia memorabili gesta aedificiis, quae in continenti circa Damalim adiacent, ignem iniicere conati turpiter inde recesserunt, multis suorum amissis. neque tamen quotquot discrimen evaserant incolumes omnino rediere. quippe incidentes in naves quae publicum e Creta apportabant vectigal, maximam partem praelio devicti capti sunt. imperator interea fame et oppugnatione Corcyram adeptus inde abscessit, in Siciliam et Italiam expeditionem animo volvens, quo utramque provinciam Romano rursum imperio assereret.

6. Ut autem accepit Alemannos et Dalmatas et Pannones adversus Siciliam bellum apparari edoctos de impugnandis ex Occidente Romanis pacta inter se fecisse: Iagupasanem praeterea Persarum phylarchum una cum Sultano decrevisse Asiam incursionibus infestare: ipse in Dalmatas proficiscitur, ut Archizupanum, qui iis imperitabat, primusque bellum inceperat, con-

ἄρξαντα τῷ τέως ἀμυνεῖσθαι διὰ σπουδῆς ἔχων, τὸ δὲ ναυτικὸν
ἅπαν Ἰωάννῃ τῷ τῶν ἀνατολικῶν καὶ ἑσπερίων δομεστίκῳ πι-
στεύσας ἐκέλευε τῷ Ἀγκῶνι προσεσχηκέναι (ἐπίνειον δὲ Ἰταλίας
ἐστὶν ὁ Ἀγκὼν) ἐντεῦθέν τε ὡς ἐξ ὁρμητηρίου κατὰ τῆς Ἰταλίας
ἰέναι. ἀλλ' ὁ μὲν Ἰωάννης μέχρι ποταμοῦ Βοόσης ἐλθὼν περαι-
τέρω ἰέναι οὐδαμῇ ἐφρόντισεν. εἴτε δὲ ἀπειρίᾳ τῇ περὶ τὰ ναυ-
μαχικὰ τοῦτο τῷ δομεστίκῳ διημάρτητο, εἴτε καὶ ταῖς Οὐεννέ-
D των ἡγμένῳ ξυμβουλαῖς ὡς μὴ Ἰταλίας ἐγκρατεῖς Ῥωμαῖοι γεγο-
νότες χώρᾳ τε ἐν γειτόνων ἤδη καταστάντες τῇ αὐτῶν περιφρο-
νεῖν αὐτοὺς ὡς τὸ εἰκὸς ἔχοιεν καὶ ξυμμαχίας ὀλίγα τῆς ἐξ αὐ-
V 46 τῶν χρήζοιεν· εἴτε οὖν οὕτως εἴτ' ἐκείνως, οὐδὲν ὅμως ὁ δομέ-
στικος ὧν πρὸς βασιλέως ἐντέταλτο πέρατι διδοὺς εἰκῇ τὸν και-
ρὸν ἔτριβεν. ὅθεν καὶ λαίλαπος ἀθρόον ἐπιγεγονότος πολλοῦ
(ἤδη γὰρ ἀμφὶ τροπὰς ἦν μετοπωρινὰς) συνέβη τῶν νεῶν ὡς
πλείστας θραυσθῆναι περιορασθείσας ὀλιγωρίᾳ τοῦ στρατηγοῦ.
P 59 ἐξὸν γὰρ ἐς τὸν ποταμὸν ἀναχθείσας παρ' ἑκάτερα πάσας ἀνελ-
κυσθῆναι, ὁ δὲ ἐν τῇ τῆς θαλάσσης ἀκτῇ μετεώρους αὐτὰς εἴα-
σεν. ὁ δὲ βασιλεὺς ἐς Δαλματίαν ἐμβαλὼν τὸ Ῥᾶσόν τε κατε-
στρέψατο φρούριον καὶ τὰ ἐν ποσὶν ἐληΐσατο πάντα· πλῆθός τε
ἀνάριθμον ἐν δορυαλώτων μοίρᾳ πεποιηκὼς Κωνσταντίνῳ μὲν
σεβαστοϋπερτάτῳ, ὃν Ἄγγελον ἐπεκάλουν, αὐτοῦ σὺν δυνάμεσιν
ἔλιπεν, ὁ δὲ προσωτέρω ἐχώρει Νικαβάν τε καταλαβὼν χώραν
ὑπὸ τῷ Ἀρχιζουπάνῳ τελοῦσαν καὶ αὐτὴν φρούρια μὲν τὰ ὅλα
ὅσα τῇδε ἵδρυται πόνῳ οὐδενὶ παρεστήσατο· ἐν δὲ Γαλίτζῃ γε-

21. σεβαστοϋπερτάτῳ] Malim σεβαστῷ ὑπερτάτῳ.

festim ulcisceretur. classe vero universa Ioanni Orientalium et Occidentalium thematum domestico commissa, iussit ut Anconam tenderet (est autem Ancona Italiae emporium) atque inde tamquam e sede belli Italiam impeteret. at Ioannes ad fluvium Boosem cum pervenisset, omnem ulterius pergendi curam abiecit; seu domesticus rei nauticae imperitia hac parte peccaverit, sive suasionibus inductus Venetorum, ne scilicet Italia potiti Romani et vicinae eorum regionis possessores facti ipsos ut par erat contemnerent, et rarius ab iis auxilia accerserent: sive igitur hanc sive illam ob causam nihil eorum quae ab imperatore iussus erat executus domesticus tempus inutiliter consumpsit. sed et turbine validius ingruente (imminebat quippe iam aequinoctium autumnale) pleraeque naves laceratae sunt negligentia ducis; qui, cum adactae in flumen utrimque potuissent subduci, eas ad littus maris in alto tenuit. imperator vero facta in Dalmatiam irruptione, Rasum castellum evertit, et obvia quaeque depopulatus est; multitudine deinde innumera, quam in servitutem redegerat, Constantino sebastohypertato, cognomine Angelo, commissa, eoque ibi cum copiis relicto, ulterius perrexit. Nicabam regionem ingressus, quae Archizupano et ipsa parebat, quotquot erant ibi praesidia nullo labore expugnavit. mox Galitzam assecutus, cum videret

γνούς, ἐπειδὴ τοὺς ἐνταῦθα βαρβάρους πλήθει τε καὶ τῇ ἐκ τοῦ τόπου δυσχερείᾳ πεποιθότας οὐκ ἐνδιδόντας αὐτῷ τὸ κρησφύγετον εὗρε, χάρακα πηξάμενος βέλεσι καὶ λίθοις τοῖς ἀπὸ σφεν- B δόνης τοὺς ἐπὶ τῶν προπυργίων βάλλειν ἐκέλευε μηδένα καιρὸν ἀνιέντας, οὕτω τε τρίτῃ ὕστερον ἡμέρᾳ καὶ κατὰ κράτος εἷλεν αὐτό. ἔνθα πλήθει βαρβάρων περιτετυχηκώς, μοίρᾳ τε τῆς ὁπλιτικῆς, καὶ ἄλλως ἀγελαίων τυγχάνοντι, ἐκεῖθεν ἀνάστατον ἦγεν αὐτό. καὶ αὐτὸ μέν, ἐπειδὴ παλινοστήσας ἐπὶ τὸ Ῥᾶσον ἦλθεν, ἔν τε Σαρδικῇ καὶ τοῖς ἄλλοις Ῥωμαίων χωρίοις ἐγκατοικισθησόμενον ἔπεμψεν, ὁ δὲ πρὸς τοῦ Ἀγγέλου πεπυσμένος ὅτι δὴ καιροφυλακήσας ὁ ζουπάνος μετὰ τὴν αὐτοῦ ἐνθένδε ἀναχώρησιν ἐπικαταβαίνειν τε Ῥωμαίοις ἤρξατο καὶ τὴν μάχην ἀπὸ χειρὸς ἤδη κρατεῖν, τὴν ταχίστην ἐκεῖθεν ἀπήλαυνε καταλήψεσθαι τοῦτον προθυμηθείς. ἀλλ' ὁ μὲν ἐπιόντας Ῥωμαίους ἀκηκοὼς C ἐς τὰς τῶν ὀρῶν ἀνατρέχων ὑπερβολὰς τὸν παρὰ πόδας ἀπεδίδρασκε κίνδυνον· βασιλεὺς δὲ ἐπὶ τὴν χώραν ἐτράπετο, ἀλλ' αὐτὴν μὲν κατ' ἐρημίαν τοῦ κωλύσοντος ἐληΐσατο πᾶσαν καὶ τοὺς ἐνταῦθα τῷ ἀρχιζουπάνῳ εἰς ἀρχεῖον ἀποτεταγμένους δόμους περὶ φλέξας παρῆλθεν.

7. Ἐπεὶ δὲ χειμὼν ἤδη κατέσχε δεινός, ὡς τοῦ φύσει θερμοῦ περὶ τὴν καρδίαν ἀντιπεριϊσταμένου τῷ γένει τῷ ζωικῷ πολλοῖς ἤδη λώβην περὶ τοῖς ἄκροις ἐμπεπτωκέναι, τότε μὲν τῆς ἐπὶ Βυζάντιον ἐμέμνητο. ἐς δὲ τὸ ἐπιὸν ἔτος φθινούσης ἤδη τῆς ὥρας, πηνίκα καὶ μάλιστα εὐέφοδα πολεμίοις τὰ κατὰ τὴν

16. ἀλλ' αὐτὴν] Fort. καὶ αὐτήν. 24. πηνίκα] ὁπηνίκα?

barbaros hominum multitudine locique difficultatibus fretos, nolle sibi arcem dedere, castris positis, suis imperavit ut tela et lapides e fundis sine ulla intermissione in eos qui exteriora munimenta defendebant, iacerent. ita tertio die locum vi expugnavit. ibi cum barbarorum multitudinem cum armatam tum gregariam reperisset, eam inde abduxit. deinde, postquam reditu instituto, venit ad Rasum, illos ut Sardicam et alias Romanorum regiones incolerent, dimisit. ab Angelo certior factus Zupanum captata post suum inde recessum occasione coepisse Romanos adoriri praeliumque iam exarsisse, motis castris ut eum opprimeret summa celeritate contendit. at ille ubi intellexit adventare Romanos, secessit in montium iuga, eaque ratione praesens vitavit periculum. imperator igitur in eam regionem effusus, totam utpote orbam defensore populatus est, consumptisque incendio aedificiis, quae palatiorum vice Archizupano erant, abscessit.

7. Cum vero adeo valida tunc esset hiems, ut naturali calore animantium circa cor collecto, extremae membrorum partes laborarent, de reditu Byzantium cogitavit. sequenti vero anno sub aestatis exitum, cum maxime

D Σερβικὴν γίνεται, ἅτε τοῦ ἀμφιλαφοῦς ἐπιλιπόντος ἤδη τοῖς δένδροις, ἐπὶ Ναϊσὸν τὸ στράτευμα ἤγειρεν. ἔνθα δυνάμεις ἐκ Παιονίας ἐπὶ συμμαχίᾳ Δαλμάταις στέλλεσθαι μαθών, σπουδὴν ἐποιεῖτο διὰ τοῦ Λογγομηροῦ λεγομένου χώρου διαβιβάζειν τὸ στράτευμα, ὡς τοῖς Παίοσιν ἐν δεξιᾷ πορευομένοις συμμῖξαι γένοιτο τῷ Ῥωμαίων στρατῷ. ἐπεὶ δὲ ἐγγὺς Σάου ἐγένετο, ἐφ' ἕτερον ἐκεῖθεν μετῆλθε ποταμὸν Δρυνᾶν ὄνομα, ὃς ἄνωθέν ποθεν τὴν ἐκβολὴν ποιούμενος Βόσθναν τῆς ἄλλης Σερβικῆς διαιρεῖ. ἔστι δὲ ἡ Βόσθνα οὐ τῷ Σερβίων ἀρχιζουπάνῳ καὶ αὐτὴ εἴκουσα, ἀλλ' ἔθνος ἰδίᾳ παρὰ ταύτῃ καὶ ζῶν καὶ ἀρχόμενον. ὅθεν γε
P 60 μὴν Οὔννους Ῥωμαίοις συγκεκρουκέναι ξυνέβη αὐτίκα δηλώσω. ἦν τις ἐν τῷ Δαλματῶν ἔθνει, ὄνομα μὲν οὐκ οἶδα ὅπερ αὐτῷ ἔκειτο, ἀδελφὸς δὲ αὐτῷ Βέλοσις ἦν, ἄμφω λογίμω παρὰ Δαλμάταις ὄντε. οὗτος τοῦ ἀρχιζουπάνου μὲν ἀδελφῇ ξυνοικῶν ἦν, τὼ ὀφθαλμὼ δὲ πηρωθῆναι τυχὼν τρόπῳ ᾧπερ αὐτὸς οὐδαμῇ ἐρεῖν ἔχω, ἐς Παιονίαν ἀνεχώρησεν. ἐνταῦθά τε πολύν τινα
V 47 διατρίψας χρόνον Γειτζᾷ τῷ ῥηγὶ αἰδεσιμώτατος μάλιστα κατέστη, ἅτε τῆς ἐκ παίδων αὐτῷ τροφῆς μεταδοὺς καὶ παιδεύσεως. διὰ δὴ ταῦτα χάριτας ὀφλών Γειτζᾷ Δαλματίαν ὑπόσπονδον αὐτῷ καθιστᾶν ἐπεχείρει, ξυμβουλεύων τε ἑκάστοτε περὶ τούτου τῇ ἀειλογίᾳ πείθειν ἔσχε τὸν ἄνθρωπον. ὅθεν ἐπειδὴ τὴν ἐπὶ
B Δαλματίας Ῥωμαίων ὁ Γειτζᾶς ἤκουσεν ὁρμήν, δυνάμεις ἐπὶ συμμαχίᾳ Δαλμάταις ἔπεμψεν. αἰτία μὲν Ῥωμαίοις τῆς ἐς τοὺς Οὔννους δυσμενείας αὕτη ἦν. τοῦ δὲ Ῥωμαίων στρατοῦ προσω-

pervia sunt hostibus in Serviam itinera, et arboribus comae decidunt, castra ad Naisum transtulit. sed ut ex Pannonia Dalmatis mitti auxiliares copias percepit, summo studio annixus est, ut traductis per regionem, Longomerem dictam, copiis, cum Pannonibus a dextra incedentibus Romani manus consererent. cum ad Savum proxime pervenisset, ad aliud inde flumen deflexit, Drynam nomine, quod in superiori sese loco effundens Bossenam a reliqua Servia disterminat. Bossena autem haud subest Archizupani imperio, sed vicina Serviis gens est quae et suos mores et suum agnoscit principem. unde vero cum Romanis ibi conflixerint Hungari, mox commemorabo. erat apud Dalmatas quidam, cuius nomen quale fuerit ignoro, fratrem autem habebat Belosim: ambo clari erant apud suos: hic uxorem duxerat sororem Archizupani. cum vero utroque oculo privatus esset (quo casu mihi plane incompertum) in Pannoniam sese recepit. longo hic tempore commoratus apud Geizam regem maximo in honore fuit, ut qui a pueris cum illo enutritus fuerat et educatus. eapropter quo Geizae gratias rependeret, Dalmatiam illi beneficii iure obnoxiam facere est annixus: idque continuis consiliis et adhortationibus homini tandem persuasit. simul atque igitur accepit Geiza in Dalmatiam irrupisse Romanos, copias auxilio Dalmatis submisit. ea quidem simultatum adversus Hungaros causa Romanis fuit. ulterius itaque pro-

τέρω χωροῦντος οἱ ἐπὶ χορταγωγίαν ἐξιόντες τοῖς Οὔννοις ὁδῷ πορευομένοις ἐντετυχηκότες εἰς χεῖρας ἦλθον. βασιλεὺς δὲ συναισθήσεως αὐτῷ γενομένης Ἰωάννην ἅμα στρατεύματι τὸν πρωτοσέβαστον ἐπιβοηθήσοντα ἔπεμψε. καὶ δὴ συμβολῆς γενομένης Οὖννοι πρὸς τῶν Ῥωμαίων ἡττηθέντες φεύγοντες ἐς τὸ τοῦ ποταμοῦ Στρυμόνος ῥεῦμα καθῆκαν ἑαυτούς. ἔνθα μετρίους ἀποβαλόντες ᾤχοντο ἀμεταστρεπτί, Ῥωμαῖοι δὲ φεύγουσι κατὰ νώτου ἀεὶ εἵποντο, ἐπὶ Τάραν τε ποταμὸν ἐλθόντες ἐπειδήπερ οὐ- C δένα σφίσιν ἀντεπεξιόντα ἔβλεπον, παλινοδίας ἐμέμνηντο. βασιλεὺς δὲ ἐπὶ μέσης τῆς εἰς Σετζενίτζαν φερούσης τὸν χάρακα πηξάμενος οὐκ ἔχων τε μαθεῖν ἔνθα τὸν ἀρχιζουπάνον εἶναι ξυνέβαινεν, ἐν τῷ τέως μὲν ἐν ἀπόρῳ ἐγένετο, ἐπεὶ δὲ πρὸς τῶν ἁλισκομένων Δαλματῶν δυνάμεις περιμένειν αὐτοὺς ἤκουσεν Οὐννικὰς ἐπὶ συμμαχίᾳ ὅσον οὐκ ἤδη ἀφιξομένας, ἐπὶ τὰ πρόσω λοιπὸν μετῆγε τὸ στράτευμα. μέχρι μὲν ποταμοῦ Τάρα γεγονόσιν οὐδὲν οὐδαμόθεν Ῥωμαίοις διεφάνη πολέμιον· ἐπεὶ δὲ ἐνταῦθα ἦλθον, Δαλματῶν ἀνάριθμος ὅμιλος οὔπω ἡλίου τὸν δυτικὸν ὁρίζοντα παραμείψαντος ὅπλοις κατάφρακτος ἐξεφάνη. ὅπερ D οἱ θεασάμενοι ἀγωνίᾳ καὶ δέει ἐχόμενοι Ῥωμαῖοι ἦλθον ἀγγέλλοντες. βασιλεὺς δὲ τὴν ἐκ Παιόνων ἀφικέσθαι προσδοκωμένην Δαλμάταις ἰσχὺν ταύτην εἶναι τὴν ὁρωμένην εὐστοχώτατα τεκμηριωσάμενος, ἅμα δὲ καὶ σκοπῷ τῷ Χουρούπῃ πρὸς τοῦτο χρησάμενος "νῦν αἰφνίδιον Δαλμάται Ῥωμαίοις ἐπεισπεσεῖσθαι δια-

4. συμβολῆς] Ita Tollius. Cod. συμβουλῆς. 6. Στρυμόνος] Cod. Στρυμμόνος. 23. νῦν αἰφνίδιον] Fort. cum Tollio νῦν, ἔφη, αἰφνίδιον. ibid. ἐπεισπεσεῖσθαι] Ita Tollius. Cod. ἐσπειπεσεῖσθαι.

cedente Romanorum exercitu, qui pabulatum exierant cum Hungaris, qui et ipsi iter agebant, obviam factis manus conserunt. quo cognito imperator in auxilium cum copiis Ioannem protosebastum mittit. commisso praelio Hungari a Romanis superati fuga se ad Strymonem fluvium receperunt, indeque aliquot ex suis amissis abscesserunt, a tergo instantibus semper Romanis. ut ad flumen Taran pervenere, cum nullum adverterent hostem a quo impeterentur, rediere ad suos. imperator autem medio itinere quod Setzenitzam ducit, positis castris, cum rescire haud posset quo ageret loco Archizupanus, eo usque quidem animi dubius haesit. intellecto dein ex captivis Dalmatis expectare illum auxiliares copias ex Hungaria iamiam adventuras, exercitum ulterius traduxit. sed usque ad fluvium Taran nulli adhuc visi fuere hostes. eo vero ut ventum est, Dalmatarum vis innumera armis instructa ante solis occasum apparuit. qua conspecta angore et metu perculsi Romani id confestim nuntiatum veniunt. at imperator felici assecutus coniectura, copias quae conspiciebantur eas esse quas ab Hungaris in auxilium expectabant Dalmatae, id firmante praeterea Churupo quo speculatore usus erat "nunc igitur" inquit "Romanos invadere decreverunt Dalmatae."

τοῦνται· ἦσαν γὰρ οὐ μακρὰν ἄποθεν ἤδη ποιούμενοι τὴν παρεμβολήν. ἐπειδὴ γοῦν τάχιστα νὺξ ἤδη ἐγένετο, τοιάδε τινὰ ἐνενόει. ἔθος ἐστὶ Ῥωμαίοις ἐπὶ πόλεμον ἰοῦσιν, εἴ που διατριβὴν ποιεῖσθαι χρεὼν τὸν στρατόν, σάλπιγγα τῆς ἡμέρας ἀλαλάζειν ὀψέ, καὶ σύνθημα τοῦτο τοῖς πλήθεσι γίνεται τοῦ καὶ τὴν ἑξῆς
P 61 πρὸς ἐκείνῳ διακαρτερήσειν τῷ χώρῳ. ὅπως οὖν ἐνταῦθα ἀπατηθῆναι γένοιτο τοῦτο δὴ τὸ Ῥωμαίων ἔθος εἰδόσι καὶ αὐτοῖς, σαλπίζειν μὲν ἐν τῷ παραντίκα παρεκελεύσατο, λαθραιότατα δὲ καθ' ἕνα τοῖς στρατηγοῖς ἐμήνυε τὰ βουλευθέντα, καὶ ὡς χρὴ τούτους ἅμα ἡλίῳ ἀνίσχοντι τῆς περὶ αὐτὸν ἕκαστον φάλαγγος ὁπόσον ὅπλοις τε φράττοιτο καὶ ἐν ἐπιλέκτοις ἐστὶν εὐπρεπὲς ἔχοντα ἡσυχῇ ἵστασθαι καὶ τὴν παρ' αὐτοῦ προσδέχεσθαι κέλευσιν. ὅπως γε μὴν οὐκ ἐπίδηλοι γένοιντο, ἐκέλευσε περιχλαινίσμασι τῶν εὐτελεστέρων περιαμπίσχειν τὴν ὅπλισιν.

8. Οἱ μὲν οὖν κατὰ ταῦτα ἐποίουν· ἐπεὶ δὲ ἤδη ἡμέρα διαφανῶς ἦν, ἐξῄει σὺν αὐτοῖς τοῦ στρατοπέδου ὡς ἐπὶ χορτα-
B γωγίαν δῆθεν ἰών. ὅθεν καί τινας ἀνόπλους τὸ παράπαν σκαπάναις ἅμα καὶ πτύοις, οἷς ἔθος ἐστὶ τοὺς ὑπογαίους ἀνερευνᾶσθαι σιτῶνας τοῖς τὰ ἐπιτήδεια τῷ στρατῷ ἐσκομιζομένοις, ἔμπροσθεν ἐκέλευεν ἰέναι. ἐπειδὰν μέντοι πολεμίους κατ' αὐτῶν ἰόντας ἴδοιεν, φεύγειν ἐπήγγελλεν ἕως τοῖς κατόπιν ἰοῦσι Ῥωμαίων συμμίξαντες ἤδη ἐν τῷ ἀσφαλεῖ γένωνται. ὡς γὰρ ἐν ἀκαρεῖ τῶν γινομένων αἴσθησις γίνοιτο τῷ στρατηγῷ, ἐκέλευε
V 48 δύο μὲν τὸ πρῶτον, ἑξῆς δὲ καὶ οὐ πολλῷ ἄποθεν τέτταρας,

11. εὐπρεπὲς] Fort. εὐτρεπές. 16. διαφανῶς] Duc. διαφανής.

neque haud ita procul castra ii posuerant. sed quia nox instabat, eiusmodi capit consilium. moris est euntibus in bellum Romanis, sicubi morari necesse est exercitum, praecipiti iam die tuba canere: idque pro signo est multitudini etiam posterum diem eo in loco transigendum. quo igitur consuetudinis huius Romanae haud ignari hostes fallerentur, canere tubas continuo imperat: singulis autem ducibus mentem suam quam potest occultissime aperit: oportere nimirum orto statim sole quemque cum delectis ex sua phalange cataphractis immotum stare suumque expectare mandatum: sed ne manifesti forent, praecepit ut vilissimis tegumentis armaturam circumducerent.

8. Illi prout imperatum erat faciunt. postquam autem illuxit dies, cum illis velut pabulatum iturus excedit e castris: eoque inermes aliquot praecedere iubet cum ligonibus et dolabris, quibus subterranea investigare solent granaria qui commeatum et res necessarias exercitui provident: simul autem invadentes hostes cernerent, fugere imperat, donec subsequentibus a tergo Romanis adiuncti in tutum reciperentur. ut enim quae gerebantur confestim duci essent cognita, primum duos, inde parvo intervallo quatuor, tum sex.

εἶτα ἓξ καὶ αὖ δέκα καὶ ἑξῆς πλείους χωρεῖν, ἄλλην τε φαρετροφόρον καταστησάμενος φάλαγγα ἑτέρωθεν ἐπὶ τοὺς πολεμίους ἰέναι προὐτρέπετο· κἂν μὲν Δαλμάται χειρῶν ἄρχοιεν φεύγειν C ἐλασσουμένους τῷ πλήθει, ἑστάναι δὲ ἡσυχῇ πρὸ τῆς παρεμβολῆς εἰ μηδεὶς σφίσιν ἀντεπεξήει. ἔπραττε δὲ ταῦτα ὡς ἂν εἴ γε αὐτοῦ σὺν τῷ ἄλλῳ ἐπιστάντος στρατεύματι φεύγειν ἐπιβάλλωνται τὸ Δαλματικόν, ὑπὸ τῶν κουφοτέρων τούτων κτείνοιντο καταλαμβανόμενοι. οὔπω τοίνυν μακρὰν ἐγένοντο πορευόμενοι, καὶ τῶν ἐπὶ κατασκοπῇ τινες δρομαῖοι ἐς τὸν βασιλέα ἦλθον, συγκεκομμένοι τε τὴν φωνὴν καὶ δεινῶς ὠχριῶντες ἀριθμοῦ κρείσσω ἔλεγον στρατιὰν ἐπὶ θάτερα τοῦ ποταμοῦ ἐπὶ φάλαγγος ἵστασθαι, οὐχ ὅσον μόνον ἐγχώριον, ἀλλὰ καὶ μυριόν τι φῦλον συμμαχικὸν ἔκ τε Οὔννων ἱππέων καὶ δὴ καὶ τῶν παρ' αὐτοῖς ἑτεροδοξούντων Χαλισίων. Οὔννων γὰρ τὰ Χριστιανῶν πρεσβευόντων, οὗτοι D Μωσαϊκοῖς καὶ τούτοις οὐ πάντῃ ἀκραιφνέσιν εἰσέτι καὶ νῦν διεξάγονται νόμοις. τούτους τε οὖν Δαλμάταις συστρατεύειν ἔλεγον καὶ δὴ καὶ Πετζινάκους. ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσεν, ἐννοησάμενος μή τι καὶ βιασθεῖεν ὀλίγοι πρὸς πολλῶν κυκλωθέντες Ῥωμαῖοι οἳ ἐπίπροσθεν ἐπορεύοντο, συντονώτερον ἤλαυνεν ἐπείγων ἕπεσθαι καὶ τὸν σημειοφόρον· ἐπεὶ δ' ἐκεῖνος κεκμηκότος αὐτῷ τοῦ ἵππου σχολῇ τὴν ὁδὸν ἐποιεῖτο, αὐτὸς βασιλεὺς τὴν σημαίαν ἀναλαβὼν κατετάχει τὸν δρόμον, ἐπί τινός τε περιωπῆς γεγονὼς ἑαυτόν τε ὅστις εἴη καὶ τὸ σημεῖον ἐδίδου γνωρίζειν τοὺς

5. ἀντεπεξήει] Fort. ἀντεπεξίοι. 11. ἔλεγον] Ita Duc. Cod. ἔλεγε. ibid. ἐπὶ θάτερα] Tollius ἐπὶ θατέρᾳ.

postea decem, denique complures iubet praeire: aliamque ad haec phalangem pharetratam cum ordinasset, aliunde in hostes ire praecipit cum mandatis, ut si praelium inirent Dalmatae, terga verterent velut numero inferiores: sin vero nemo occurreret, quieti ante vallum consisterent. non alio haec instituit consilio, quam ut si, ipso cum ceteris copiis ingruente, fugere inciperent Dalmatae, ab expeditioribus iis comprehensi caederentur. haud igitur longe processerant, cum quidam speculatores celeri cursu reversi ad imperatorem vacillante lingua metuque pallidi nuntiarunt, innumerum in adversa ripa fluminis instructa acie stare exercitum; neque illum tantum ex indigenis, sed immensum etiam alium ex auxiliaribus copiis conflatum, praesertim Hungaricis equitibus, et qui apud illos diversae sunt religionis Chalisiis. Hungaris quippe Christianam amplexis, isti Mosaïcis legibus iisque non omnino genuinis etiamnum vivunt. hos igitur ut et Petzinacas Dalmatis adiunctos esse referebant. ea ut audivit imperator, veritus ne pauci, qui praecedebant, Romani a pluribus circumclusi perfringerentur, confestim citatiore cursu pergebat et signiferum ut subsequeretur urgebat. qui cum defesso equo lentius incederet, ipse arrepto signo princeps maturavit cursum, ac loco editiore consistens, et se qualis esset et vexillum ho-

ἀντιπάλους. ἐν ταύτῳ δὲ καὶ οἱ τοξοφόροι τὸν ποταμὸν κατει-
ληφότες ἀντιμέτωποι Δαλμάταις ἵσταντο. ἐπὶ πλεῖστον δὲ οὐδέ-
P 62 τεροι μάχης ἀρχόμενοι ἡσυχῆ ἔμενον. ἐπεὶ δὲ ἤδη ἡ βασιλέως
αὐτοῖς διεφάνη σημαία, τῆς τε γεφύρας ἀπέσχοντο Δαλμάται
καὶ ἄδειαν Ῥωμαίοις ἐδίδοσαν ἀκροβολισμοῦ. ὁ γνοὺς βασιλεὺς
(ἑστήκει γὰρ ἄνωθέν ποθεν, ὥσπερ εἴρηται, τὰ πρασσόμενα
κατανοῶν) ἤλαυνε καὶ αὐτὸς ὡς σὺν αὐτοῖς τὸν ποταμὸν διαβη-
σόμενος. ἦν γάρ, ὡς μοι πολλάκις ἐρρέθη, δαιμόνιόν τινα καὶ
ἀνδρείας πρόσω τρόπον τὰ ἐς τὰς μάχας κεκινημένος ἀεί. Δαλ-
μάται δὲ καίτοι ὑπὸ εὐαριθμήτων διωκόμενοι στρατιωτῶν ἔφευ-
B γον ὅμως ἕως ἐν δυσχωρίαις ἐγένοντο. τὸ δὲ ἀπὸ τοῦδε ἐπι-
στραφέντες ὁμόσε τούτοις ἐχώρουν, ξυμβολῆς τε γενομένης ὀλί-
γοι ἐξ ἀμφοῖν ἔπεσον. Δαλμάται γὰρ τῆς βασιλέως αἰσθόμενοι
παρουσίας διελύοντο αὖθις, Ῥωμαῖοί τε φεύγουσιν ἀεὶ ἐφεπόμε-
νοι πολλοὺς Παιόνων τε καὶ αὐτῶν ἔκτειναν. ὅτε δὴ Γουρδέσης
τε καὶ Βουλτζῖνος, ἄνδρε ὀνομαστοτάτω ἐπὶ Δαλμάταις, ὑπὸ τὰς
Ῥωμαίων ἐγενέσθην χεῖρας. βασιλεὺς δὲ περὶ πλείονος τοῦ λοι-
ποῦ ἐποιεῖτο, ὅπως ἂν αὐτῷ πανοπλίαν ὑποδῦναι τὴν αὐτοῦ γέ-
νοιτο. χρόνου δέ τινος διὰ τοῦτο τριβέντος αὐτῷ (οὐ γὰρ ἐκ
τοῦ σχεδὸν αὐτῷ παρῆσαν οἳ ταύτην ἐκόμιζον) συνέβη τῶν παρὰ
Ῥωμαίοις στρατηγούντων τινάς, ἐν οἷς Γιφάρδος τε ἦν καὶ Μι-
χαὴλ ᾧ ἐπώνυμον Βρανᾶς, καὶ πλεῖστοι ἕτεροι ἄνδρες αὐτουρ-
γῆσαι ἱκανοὶ καὶ στρατηγῆσαι δεξιοί, ἐπί τινος δυσπορεύτου καὶ

11. δυσχωρίαις] Ita Duc. Cod. δυσχερίαις. 13. τῆς βασιλέως] Ita Tollius. Cod. τοῖς βασιλέως.

stibus conspiciendum praebuit. delati interea ad flumen sagittarii Dalmatis stabant obversi, sed neutris pugnam concitantibus, quievere. simul autem ac imperatoris conspectum est vexillum, a ponte abscessere Dalmatae Romanisque sagittas mittendi potestatem dederunt. id ubi princeps videt (stabat enim in loco eminentiori, ut dictum est, et quae gerebantur advertebat), velut cum ceteris flumen traiecturus advolat. namque, ut non semel innui, supra fortitudinis humanae modum pugnas semper et certamina affectabat. Dalmatae vero, licet haud magno numero milites insequerentur, fugere nihilo minus, donec ad loca difficilia pervenerunt. mox inde conversi, occurrerunt hostibus: verum facto congressu cecidere utrimque pauci. quippe Dalmatae ubi imperatorem adesse percipiebant, dissolvebantur iterum. at Romani fugientibus semper instantes, eorum multos ut et Pannonum ceciderunt. quo tum casu in manus venere Romanas celeberrimi inter Dalmatas viri, Gurdeses et Bultzinus. imperator interea suis indui armis vehementer exoptabat. eius rei gratia cum aliquantum insumpsisset temporis (neque enim prope aderant qui ea ferebant), accidit ut quidam e Romanorum ducibus, in quibus fuere Giphardus et Michaël cognomento Branas, complurесque alii manu perinde ac regendis copiis strenui, dum effusius hostes in-

ἀνάντους ἐν τῷ διώκειν γεγονότας λοχμῆς ἀγωνιᾶν ὥστε εἰς προὖπτον κίνδυνον ἐληλακότας. Δαλμάται γὰρ πόρρω τῶν ἄλλων Ῥωμαίων γεγονότας αὐτοὺς κατανοήσαντες ἐπεστράφησάν τε καὶ ἀντιμέτωποι ἔστησαν. C

9. Οἱ μὲν οὖν ἐν τούτοις ἦσαν. βασιλεὺς δὲ ἤδη τὴν ὅπλισιν περιθέμενος ἀνέτῳ ῥυτῆρι διώκων ἐπ' αὐτοὺς ἦλθεν, ἐν χρῷ τε ἀλλήλοις ἐφ' ἕνα χῶρον συνιόντας εὑρὼν ἐκατηγόρει τε ἀναφανδὰ καὶ πικρότατα ἐλοιδορεῖτο, δειλίαν αὐτοῖς προσονειδίζων καὶ πολεμικῶν ἀμαθίαν ἔργων. (V 49) τῶν δὲ τοῦ χώρου τὴν φύσιν καὶ τὸ τῆς χιόνος προφερόντων ἄμετρον, αὐτὸς τῆς ὁδοῦ κατάρχων ἕπεσθαι σφίσιν ἐκέλευεν. ἤδη γὰρ καὶ ἄλλο αὐτοῖς Ῥωμαίων συνίστατο πλῆθος. ἐν ᾧ δὲ τὴν πορείαν ἐτίθεντο, ἐνέδρα πολεμίων ἐκ τοῦ ἀφανοῦς ἐκπηδήσασα τοῖς ἐν ἀριστερᾷ Ῥωμαίοις ἐπετίθετο. (D) ἀλλὰ ταύτην μὲν ἐπειδήπερ ὀλιγανδροῦσαν βασιλεὺς ἔγνω, οὐδὲ ὅσον ἐπιστραφῆναι ἠξίωσεν· ἀεὶ γὰρ ἀνεπιστρόφως ἐδίωκεν, εἴ πως ἢ αὐτὸν χειρώσασθαί οἱ γένοιτο τὸν ἀρχιζουπάνον ἢ τὸν παρὰ τοῖς Παίοσιν εἰς ἐκείνην στρατηγοῦντα τὴν ἡμέραν ἀνδρείας εὖ ἥκοντα. οἱ μὲν οὖν ἐκ τῆς ἐνέδρας μηδὲν ἄξιον λόγου πεπραχότες διελύοντο αὖθις. βασιλεὺς δὲ μικρὰ διώξας, ἐπειδὴ τοὺς ἀμφ' αὐτὸν ἔγνω ἐκκακήσαντας ἤδη, αὐτοὺς μὲν παρῆλθε, δύο δὲ ξυγγενῶν παρειληφὼς τῶν αὐτοῦ, ὧν ὁ μὲν Ἰωάννης ὁ Δούκας ἦν, ἕτερος δὲ ὃς τὴν Ἀνδρονίκου τοῦ σεβαστοκράτορος ἔγημε παῖδα, (P 63) ὄνομα Ἰωάννης καὶ αὐτὸς ἐπίκλησιν Κανταχουζηνός, σὺν αὐτοῖς ἐπὶ τοὺς πολεμίους ἐχώρει. οἱ δὲ ἐκ τῆς ὁπλίσεως αὐτὸν κα-

10. προφερόντων] Cod. προσφερόντων.

sequuntur, in ardua et avia loca delati manifesto periculo involverentur. Dalmatae quippe Romanos longe a suis seiunctos conspicati, reverterant stabantque obversi.

9. Ea cum se ita haberent, iam armis indutus imperator totis habenis in illos fertur: quos cum uno in loco arctissime in se coeuntes advertisset, palam reprehendit increpatque acerbissime, et metum et militiae imperitiam exprobrat. at iis loci situm et immensam nivium vim causantibus, praecedit ipse ac reliquis ut sequerentur imperavit: iam enim et aliae advenerant Romanorum copiae. dum itaque iter faciunt, hostium aliqui ex insidiis repente coorti Romanos, qui ad sinistram erant, adoriuntur. sed imperator videns eos numero pauciores, contemptis illis, continuo hostes insequebatur pertinaciter, quo aut Archizupanum ipsum caperet, aut qui tum Pannoniciis praeerat copiis fortissimum ducem. qui igitur ex insidiis prodierant, nullo edito facinore rursum dissipati sunt. aliquanto spatio hostes insecutus princeps, ubi suos delassatos advertit, relictis iis ac duobus assumptis cognatis, quorum alter fuit Ioannes Ducas, alter qui uxorem duxerat Andronici sebastocratoris filiam, nomine Ioannes, cognomento vero Cantacuzenus, cum iis in hostes perrexit. sed illo ab iis agnito ex armis quae multo obducta erant

ἀντιπάλους. ἐν τούτῳ δὲ καὶ οἱ τοξοφόροι τὸν ποταμὸν κατει-
ληφότες ἀντιμέτωποι Δαλμάταις ἵσταντο. ἐπὶ πλεῖστον δὲ οὐδέ-
P 62 τεροι μάχης ἀρχόμενοι ἡσυχῇ ἔμενον. ἐπεὶ δὲ ἤδη ἡ βασιλέως
αὐτοῖς διεφάνη σημαία, τῆς τε γεφύρας ἀπέσχοντο Δαλμάται
καὶ ἄδειαν Ῥωμαίοις ἐδίδοσαν ἀκροβολισμοῦ. ὁ γνοὺς βασιλεὺς
(ἑστήκει γὰρ ἄνωθέν ποθεν, ὥσπερ εἴρηται, τὰ πρασσόμενα
κατανοῶν) ἤλαυνε καὶ αὐτὸς ὡς σὺν αὐτοῖς τὸν ποταμὸν διαβη-
σόμενος. ἦν γάρ, ὥς μοι πολλάκις ἐρρέθη, δαιμόνιόν τινα καὶ
ἀνδρείας πρόσω τρόπον τὰ ἐς τὰς μάχας κεκινημένος ἀεί. Δαλ-
μάται δὲ καίτοι ὑπὸ εὐαριθμήτων διωκόμενοι στρατιωτῶν ἔφευ-
B γον ὅμως ἕως ἐν δυσχωρίαις ἐγένοντο. τὸ δὲ ἀπὸ τοῦδε ἐπι-
στραφέντες ὁμόσε τούτοις ἐχώρουν, ξυμβολῆς τε γενομένης ὀλί-
γοι ἐξ ἀμφοῖν ἔπεσον. Δαλμάται γὰρ τῆς βασιλέως αἰσθόμενοι
παρουσίας διελύοντο αὖθις, Ῥωμαῖοί τε φεύγουσιν ἀεὶ ἐφεπόμε-
νοι πολλοὺς Παιόνων τε καὶ αὐτῶν ἔκτειναν. ὅτε δὴ Γουρδέσης
τε καὶ Βουλτζῖνος, ἄνδρε ὀνομαστοτάτω ἐπὶ Δαλμάταις, ὑπὸ τὰς
Ῥωμαίων ἐγενέσθην χεῖρας. βασιλεὺς δὲ περὶ πλείονος τοῦ λοι-
ποῦ ἐποιεῖτο, ὅπως ἂν αὐτῷ πανοπλίαν ὑποδῦναι τὴν αὐτοῦ γέ-
νοιτο. χρόνου δέ τινος διὰ τοῦτο τριβέντος αὐτῷ (οὐ γὰρ ἐκ
τοῦ σχεδὸν αὐτῷ παρῆσαν οἱ ταύτην ἐκόμιζον) συνέβη τῶν παρὰ
Ῥωμαίοις στρατηγούντων τινάς, ἐν οἷς Γιφάρδος τε ἦν καὶ Μι-
χαὴλ ᾧ ἐπώνυμον Βρανᾶς, καὶ πλεῖστοι ἕτεροι ἄνδρες αὐτουρ-
γῆσαι ἱκανοὶ καὶ στρατηγῆσαι δεξιοί, ἐπί τινος δυσπορεύτου καὶ

11. δυσχωρίαις] Ita Duc. Cod. δυσχερίαις. 13. τῆς βασιλέως] Ita Tollius. Cod. τοῖς βασιλέως.

stibus conspiciendum praebuit. delati interea ad flumen sagittarii Dalmatis stabant obversi, sed neutris pugnam concitantibus, quievere. simul autem ac imperatoris conspectum est vexillum, a ponte abscessere Dalmatae Romanisque sagittas mittendi potestatem dederunt. id ubi princeps videt (stabat enim in loco eminentiori, ut dictum est, et quae gerebantur advertebat), velut cum ceteris flumen traiecturus advolat. namque, ut non semel innui, supra fortitudinis humanae modum pugnas semper et certamina affectabat. Dalmatae vero, licet haud magno numero milites insequerentur, fugere nihilo minus, donec ad loca difficilia pervenerunt. mox inde conversi, occurrerunt hostibus: verum facto congressu cecidere utrimque pauci. quippe Dalmatae ubi imperatorem adesse percipiebant, dissolvebantur iterum. at Romani fugientibus semper instantes, eorum multos ut et Pannonum ceciderunt. quo tum casu in manus venere Romanas celeberrimi inter Dalmatas viri, Gurdeses et Bultzinus. imperator interea suis indui armis vehementer exoptabat. eius rei gratia cum aliquantum insumpsisset temporis (neque enim prope aderant qui ea ferebant), accidit ut quidam e Romanorum ducibus, in quibus fuere Giphardus et Michaël cognomento Branas, compluresque alii manu perinde ac regendis copiis strenui, dum effusius hostes in-

ἀνάντους ἐν τῷ διώκειν γεγονότας λοχμῆς ἀγωνιᾶν ὥστε εἰς προῦπτον κίνδυνον ἐληλακότας. Δαλμάται γὰρ πόῤῥω τῶν ἄλλων Ῥωμαίων γεγονότας αὐτοὺς κατανοήσαντες ἐπιστράφησάν τε καὶ ἀντιμέτωποι ἔστησαν. C

9. Οἱ μὲν οὖν ἐν τούτοις ἦσαν. βασιλεὺς δὲ ἤδη τὴν ὅπλισιν περιθέμενος ἀνέτῳ ῥυτῆρι διώκων ἐπ' αὐτοὺς ἦλθεν, ἐν χρῷ τε ἀλλήλοις ἐφ' ἕνα χῶρον συνιόντας εὑρὼν ἐκατηγόρει τε ἀναφανδὰ καὶ πικρότατα ἐλοιδορεῖτο, δειλίαν αὐτοῖς προσονειδίζων καὶ πολεμικῶν ἀμαθίαν ἔργων. τῶν δὲ τοῦ χώρου τὴν φύσιν καὶ τὸ τῆς χιόνος προφερόντων ἄμετρον, αὐτὸς τῆς ὁδοῦ κατάρχων ἕπεσθαι σφίσιν ἐκέλευεν. ἤδη γὰρ καὶ ἄλλο αὐτοῖς Ῥωμαίων συνίστατο πλῆθος. ἐν ᾧ δὲ τὴν πορείαν ἐτίθεντο, ἐνέδρα πολεμίων ἐκ τοῦ ἀφανοῦς ἐκπηδήσασα τοῖς ἐν ἀριστερᾷ Ῥωμαίοις ἐπετίθετο. ἀλλὰ ταύτην μὲν ἐπειδήπερ ὀλιγανδροῦσαν βασιλεὺς ἔγνω, οὐδὲ ὅσον ἐπιστράφθαι ἠξίωσεν· ἀεὶ γὰρ ἀνεπιστρόφως ἐδίωκεν, εἴ πως ἢ αὐτὸν χειρώσασθαί οἱ γένοιτο τὸν ἀρχιζουπάνον ἢ τὸν παρὰ τοῖς Παίοσιν εἰς ἐκείνην στρατηγοῦντα τὴν ἡμέραν ἀνδρείας εὖ ἥκοντα. οἱ μὲν οὖν ἐκ τῆς ἐνέδρας μηδὲν ἄξιον λόγου πεπραχότες διελύοντο αὖθις. βασιλεὺς δὲ μικρὰ διώξας, ἐπειδὴ τοὺς ἀμφ' αὐτὸν ἔγνω ἐκκακήσαντας ἤδη, αὐτοὺς μὲν παρῆλθε, δύο δὲ ξυγγενῶν παρειληφὼς τῶν αὐτοῦ, ὧν ὁ μὲν Ἰωάννης ὁ Δούκας ἦν, ἅτερος δὲ ὃς τὴν Ἀνδρονίκου τοῦ σεβαστοκράτορος ἔγημε παῖδα, ὄνομα Ἰωάννης καὶ αὐτὸς ἐπίκλησιν Κανταχουζηνός, σὺν αὐτοῖς ἐπὶ τοὺς πολεμίους ἐχώρει. οἱ δὲ ἐκ τῆς ὁπλίσεως αὐτὸν κα- V 49 D P 63

10. προφερόντων] Cod. προσφερόντων.

sequantur, in ardua et avia loca delati manifesto periculo involverentur. Dalmatae quippe Romanos longe a suis seiunctos conspicati, reverterant stabantque obversi.

9. Ea cum se ita haberent, iam armis indutus imperator totis habenis in illos fertur: quos cum uno in loco arctissime in se coeuntes advertisset, palam reprehendit increpatque acerbissime, et metum et militiae imperitiam exprobrat. at iis loci situm et immensam nivium vim causantibus, praecedit ipse ac reliquis ut sequerentur imperavit: iam enim et aliae advenerant Romanorum copiae. dum itaque iter faciunt, hostium aliqui ex insidiis repente coorti Romanos, qui ad sinistram erant, adoriuntur. sed imperator videns eos numero pauciores, contemptis illis, continuo hostes insequebatur pertinaciter, quo aut Archizupanum ipsum caperet, aut qui tum Pannonicis praeerat copiis fortissimum ducem. qui igitur ex insidiis prodierant, nullo edito facinore rursum dissipati sunt. aliquanto spatio hostes insecutus princeps, ubi suos delassatos advertit, relictis iis ac duobus assumptis cognatis, quorum alter fuit Ioannes Ducas, alter qui uxorem duxerat Andronici sebastocratoris filiam, nomine Ioannes, cognomento vero Cantacuzenus, cum iis in hostes perrexit. sed illo ab iis agnito ex armis quae multo obducta erant

τανοήσαντες (χρυσῷ γὰρ κατακόρως ἀλήλειπτο πᾶσα) καὶ τῆς τοῦ σώματος δὲ ἀναδρομῆς τε καὶ εὐφυΐας τεκμηριωσάμενοι μάλιστα (ἥρωσι γὰρ ἀτεχνῶς ἐῴκει, ἅτε τῷ ξένῳ τῆς ἱππασίας καὶ τῆς ἀμφιδεξίου περὶ τὰ ὅπλα κινήσεως πολλῷ διενεγκὼν) νῶτα διδόναι οὐδαμῇ ᾐσχύνοντο. ὁ δὲ φεύγουσιν ἐπιθέμενος λέγεται ὅτι μιᾷ δόρατος προσβολῇ πεντεκαίδεκα τῶν πολεμίων εἰς γῆν ἔβαλλεν. ἐν γὰρ ταράχῳ καὶ συγχύσει φερομένους συγκρούειν ἀλλήλοις οὐδενὶ κόσμῳ συνέβαινεν αὐτούς· τετταράκοντα δὲ τοὺς πάντας ἐπὶ
B *στόμα κατενεγκὼν τοὺς ἄλλους ἐτρέψατο, φεύγουσί τε ἐφεπόμενος συνέκοπτεν ἀεὶ κατὰ νώτου καὶ ξίφει καὶ δόρατι χρώμενος. ὅτε συνέπεσέ τι καὶ τοιοῦτον· τῶν τις προκαταδορατισθέντων αὐτῷ τοῦ πτώματος ἀνενεγκὼν (οὐ γὰρ καιρίαν ἐτύγχανε πεπληγμένος) ἔφευγεν ἐκ ποδὸς τὴν πορείαν ὁ τάλας ποιούμενος. ἐπειδή τε ἀγχοῦ βασιλέα γεγονότα εἶδε σπασάμενος τὸ ξίφος πατάξων ἐφέρετο τοῦτον. ὁ δὲ λὰξ τῷ στήθει ἐπιβὰς αὐτὸν μὲν εἰς γῆν ἤνεγκε, σημειωσάμενος δὲ ἔκ τινος ἐπισήμου περὶ τὸν ὀφθαλμὸν πάθους παρῆλθε. κάμνοντος δὲ τοῦ ἵππου αἰσθόμενος ἤδη τῷ βάρει τῶν ὅπλων, παλινδρομεῖν μὲν οὐδὲ ὡς ἤθελε, τῷ δὲ Καντακουζηνῷ*
C *(ἐτύγχανε γὰρ ἤδη τῶν βασιλέως ἐποχούμενος) ἐκέλευε πρόσω χωρήσαντι συμμίγνυσθαι τοῖς βαρβάροις, ὡς ἂν οὕτω τῇ πρὸς αὐτὸν ἀσχολίᾳ ἐπικαταλαβεῖν σφᾶς καὶ αὐτὸν γένοιτο. καὶ ἔτυχέ γε τοῦ σκοποῦ. ἐπειδὴ γὰρ τάχιστα τῶν πολεμίων ὁ Ἰωάννης ἐγγύθεν ἐγένετο, Βαχχῖνον τὸν ἀρχιζουπάνον παίει μὲν κατὰ τοῦ μεταφρένου, διελάσαι τὸ δόρυ προθυμηθείς· οὐ μέντοι γε καὶ*

auro, cum praeterea corporis statura excelsiore satis proderetur (vere enim heroem referebat, quippe qui equitandi ratione non vulgari et in armis tractandis dexteritate longe praecelleret), terga nullo pudore dederunt. fugientibus incumbentem aiunt uno hastae ictu quindecim ex hostibus in terram prostravisse: in tumultu quippe et confusione ita collidebantur, ut se invicem impellerent. ipsis autem quadraginta prostratis, reliquos fudit, fusos insecutus gladio et hasta in terga fugientium irruit: quo tempore id quoque accidit. quidam ex iis qui hasta prius ab imperatore fuerant caesi, cum surrexisset ex lapsu (neque enim letaliter fuerat vulneratus) fugam inde pedibus miser paravit. ubi autem in propinquo imperatorem conspicit, stricto gladio in eum velut percussurus fertur. at ille pede in pectus impacto, protrusum humi atque insigni circa oculum vulnere notatum relinquit. equum vero etiamsi adgravatum sentiret armorum pondere, non ideo tamen sistere impetum voluit. Cantacuzeno autem (unicus quippe adequitabat ex imperatoriis cognatis) ut progrederetur et cum barbaris manus conferret imperavit, ut nimirum dum circa illum sic occuparentur, ipse vicissim eos assequeretur. nec aberravit a consilio. postquam enim quam citissime sese in hostes intulit Ioannes, Bacchini Archizupani tergum percussit, totumque hasta transverberasset hominem, ni praepedivissent arma. is autem conver-

ἠδυνήθη τῆς ὁπλίσεως ἀντισχούσης. ὁ δὲ ἐπιστραφεὶς ἔγνω πρὸς ἀνδρῶν διωκόμενος δυοῖν. συμπαρῆν γὰρ βασιλεῖ καὶ θάτερος Ἰωάννης, οὗπερ ἤδη ἐμνήσθην. ἑπτὰ γοῦν τῶν ἀμφ' αὐτὸν ἐπαγόμενος ξυμπλέκεται τῷ Καντακουζηνῷ, καὶ ἡ μάχη ἀπὸ χειρὸς ἤδη ἐγίνετο. ἐν τούτῳ δὲ τῶν βαρβάρων ἄλλου ἀλλαχόθεν συρρέοντος ἀεὶ ἐν ἐσχάτοις ὁ Καντακουζηνὸς ἦν, καὶ εἰ μὴ βασιλεὺς ἐγγύθεν ἤδη παραφανεὶς ἐξεῖλεν αὐτὸν τοῦ κινδύνου, ἐδέησεν οἶμαι D
οὐδὲν βαρβαρικῆς ἔργον μαχαίρας γενέσθαι τὸν ἄνθρωπον. οὐ μὴν οὐδὲ αὐτὸς βασιλεὺς ἔξω κινδύνου ἐγένετο. λογισάμενος γὰρ ὡς εἰ τοῖς τὸν Ἰωάννην κυκλοῦσιν ἑπτὰ τέως οὖσιν αὐτὸς ἀντιτάξοιτο, ἐξέσται τοῖς ἄλλοις εἰς τριακοσίους ἤδη ἀριθμουμένοις κατ' ἀμφοτέρων ἰέναι, δεῖν ἔγνω τῷ πλήθει ξυμπλακήσεσθαι πρότερον· ἐκείνων γὰρ ὑποχωρούντων ξυναποστῆναι καὶ τοὺς τὸν V 50
Ἰωάννην περιστοιχίζοντας εἰκὸς ἦν· καὶ δὴ τὸν ἵππον μυωπίσας περὶ μέσους εἰσήλασεν. ἀλλά τινα τούτων παῖσαι τῷ δόρατι προθυμηθεὶς τούτου μὲν διήμαρτεν. ἰσχιάσαντι γὰρ τῷ βαρβάρῳ P 64
ξυνέβαινε κενὴν τῆς πλευρᾶς διεκπεσεῖν τὴν αἰχμήν. ἀπὸ χειρὸς δὲ λοιπὸν αὐτῷ συνεπλέκετο. ὅπερ ὁ Βαχχῖνός τε αὐτὸς καὶ οἱ περὶ ἐκεῖνον ἰδόντες Ἰωάννην μὲν αὐτοῦ ἔλιπον, ἐπὶ δὲ βασιλέα δρόμῳ ἦλθον. καὶ τὸ πρᾶγμα φρίκης μεστὸν ἦν. ἀλλὰ βασιλεὺς τὸ μὲν δόρυ μεθίει, ὃ δὲ παρήρτητο ξίφος ἑλκύσας πυκνὰ παρ' αὐτοῖς ἐστρέφετο παίων ἀεὶ καὶ παιόμενος, ἕως τῶν ἄλλων σκεδασθέντων εἰς αὐτόν τε καὶ Βαχχῖνον τὰ τῆς μάχης ἀπεκρίνατο πάσης, ἀνδρείᾳ τε διαφέροντα καὶ σώματι μεγάλῳ ἐς ἄγαν κεχρημέ-

5. συρρέοντος] Fort. συρρεόντων.

sus, videt se a duobus impeti: namque imperatori iam etiam alter aderat Ioannes, cuius modo mentio facta est. septem igitur suorum adscitis cum Cantacuzeno congreditur, fitque collato pede praelium. sed dum subinde advenere undecumque barbari, in extremum periculum adductus est Cantacuzenus, et ab iis fuisset obtruncatus, nisi imperator ex propinquo subveniens discrimini eum exemisset. at neque ipse expers fuit discriminis. quippe cum animo reputaret, si occurreret iis qui numero adhuc septem Ioannem circumsteterant, integrum fore aliis iam numero trecentis utrumque adoriri, primo oportere censuit cum multitudine decernere. illis enim cedentibus, recessuros pariter qui Ioannem circumstabant. concitato inde equo in medios invehitur. sed cum ex iis quemdam hasta vellet percutere, aberravit ictus hac atque illac inclinante barbaro, atque innoxius a latere hastae mucro decidit. deinceps vero certamen conseritur. quod cum Bacchinus ipse et qui cum illo erant conspexere, omisso Ioanne, ad imperatorem cursu contenderunt. atque inde horribile quid videre erat. verum abiecta protinus hasta imperator ensem quo accinctus erat stringens crebrius in eos versat, ferit vicissim et feritur; donec dissipatis aliis, in illum et Bacchinum, fortitudine praecellentem et procero admodum corpore virum, tota praelii vis

ἄρξαντα τῷ τέως ἀμυνεῖσθαι διὰ σπουδῆς ἔχων, τὸ δὲ ναυτικὸν
ἅπαν Ἰωάννῃ τῷ τῶν ἀνατολικῶν καὶ ἑσπερίων δομεστίκῳ πι-
στεύσας ἐκέλευε τῷ Ἀγκῶνι προσεσχηκέναι (ἐπίνειον δὲ Ἰταλίας
ἐστὶν ὁ Ἀγκὼν) ἐντεῦθέν τε ὡς ἐξ ὁρμητηρίου κατὰ τῆς Ἰταλίας
ἰέναι. ἀλλ' ὁ μὲν Ἰωάννης μέχρι ποταμοῦ Βοόσης ἐλθὼν περαι-
τέρω ἰέναι οὐδαμῇ ἐφρόντισεν. εἴτε δὲ ἀπειρίᾳ τῇ περὶ τὰ ναυ-
μαχικὰ τοῦτο τῷ δομεστίκῳ διημάρτητο, εἴτε καὶ ταῖς Οὐεννέ-
D των ἡγμένῳ ξυμβουλαῖς ὡς μὴ Ἰταλίας ἐγκρατεῖς Ῥωμαῖοι γεγο-
νότες χώρᾳ τε ἐν γειτόνων ἤδη καταστάντες τῇ αὐτῶν περιφρο-
νεῖν αὐτοὺς ὡς τὸ εἰκὸς ἔχοιεν καὶ ξυμμαχίας ὀλίγα τῆς ἐξ αὐ-
V 46 τῶν χρήζοιεν· εἴτε οὖν οὕτως εἴτ' ἐκείνως, οὐδὲν ὅμως ὁ δομέ-
στικος ὧν πρὸς βασιλέως ἐντέταλτο πέρατι διδοὺς εἰκῇ τὸν και-
ρὸν ἔτριβεν. ὅθεν καὶ λαίλαπος ἀθρόον ἐπιγεγονότος πολλοῦ
(ἤδη γὰρ ἀμφὶ τροπὰς ἦν μετοπωρινὰς) συνέβη τῶν νεῶν ὡς
πλείστας θραυσθῆναι περιορασθείσας ὀλιγωρίᾳ τοῦ στρατηγοῦ.
P 59 ἐξὸν γὰρ ἐς τὸν ποταμὸν ἀναχθείσας παρ' ἑκάτερα πάσας ἀνελ-
κυσθῆναι, ὁ δὲ ἐν τῇ τῆς θαλάσσης ἀκτῇ μετεώρους αὐτὰς εἴα-
σεν. ὁ δὲ βασιλεὺς ἐς Δαλματίαν ἐμβαλὼν τὸ Ῥασόν τε κατε-
στρέψατο φρούριον καὶ τὰ ἐν ποσὶν ἐληΐσατο πάντα· πλῆθός τε
ἀνάριθμον ἐν δορυαλώτων μοίρᾳ πεποιηκὼς Κωνσταντίνῳ μὲν
σεβαστοϋπερτάτῳ, ὃν Ἄγγελον ἐπεκάλουν, αὐτοῦ σὺν δυνάμεσιν
ἔλιπεν, ὁ δὲ προσωτέρω ἐχώρει Νικαβάν τε καταλαβὼν χώραν
ὑπὸ τῷ Ἀρχιζουπάνῳ τελοῦσαν καὶ αὐτὴν φρούρια μὲν τὰ ὅλα
ὅσα τῇδε ἵδρυται πόνῳ οὐδενὶ παρεστήσατο· ἐν δὲ Γαλίτζῃ γε-

21. σεβαστοϋπερτάτῳ] Malim σεβαστῷ ὑπερτάτῳ.

festim ulcisceretur. classe vero universa Ioanni Orientalium et Occidentalium thematum domestico commissa, iussit ut Anconam tenderet (est autem Ancona Italiae emporium) atque inde tamquam e sede belli Italiam impeteret. at Ioannes ad fluvium Boosem cum pervenisset, omnem ulterius pergendi curam abiecit; seu domesticus rei nauticae imperitia hac parte peccaverit, sive suasionibus inductus Venetorum, ne scilicet Italia potiti Romani et vicinae eorum regionis possessores facti ipsos ut par erat contemnerent, et rarius ab iis auxilia accerserent: sive igitur hanc sive illam ob causam nihil eorum quae ab imperatore iussus erat executus domesticus tempus inutiliter consumpsit. sed et turbine validius ingruente (imminebat quippe iam aequinoctium autumnale) pleraeque naves laceratae sunt negligentia ducis; qui, cum adactae in flumen utrimque potuissent subduci, eas ad littus maris in alto tenuit. imperator vero facta in Dalmatiam irruptione, Rasum castellum evertit, et obvia quaeque depopulatus est; multitudine deinde innumera, quam in servitutem redegerat, Constantino sebastohypertato, cognomine Angelo, commissa, eoque ibi cum copiis relicto, ulterius perrexit. Nicabam regionem ingressus, quae Archizupano et ipsa parebat, quotquot erant ibi praesidia nullo labore expugnavit. mox Galitzam assecutus, cum videret

γονώς, ἐπειδὴ τοὺς ἐνταῦθα βαρβάρους πλήθει τε καὶ τῇ ἐκ τοῦ τόπου δυσχερείᾳ πεποιθότας οὐκ ἐνδιδόντας αὐτῷ τὸ κρησφύγετον εὗρε, χάρακα πηξάμενος βέλεσι καὶ λίθοις τοῖς ἀπὸ σφενδόνης B τοὺς ἐπὶ τῶν προπυργίων βάλλειν ἐκέλευε μηδένα καιρὸν ἀνιέντας, οὕτω τε τρίτῃ ὕστερον ἡμέρᾳ καὶ κατὰ κράτος εἷλεν αὐτό. ἔνθα πλήθει βαρβάρων περιτετυχηκώς, μοίρᾳ τε τῆς ὁπλιτικῆς, καὶ ἄλλως ἀγελαίων τυγχάνοντι, ἐκεῖθεν ἀνάστατον ἦγεν αὐτό. καὶ αὐτὸ μέν, ἐπειδὴ παλινοστήσας ἐπὶ τὸ Ῥᾶσον ἦλθεν, ἔν τε Σαρδικῇ καὶ τοῖς ἄλλοις Ῥωμαίων χωρίοις ἐγκατοικισθησόμενον ἔπεμψεν, ὃ δὲ πρὸς τοῦ Ἀγγέλου πεπυσμένος ὅτι δὴ καιροφυλακήσας ὁ ζουπάνος μετὰ τὴν αὐτοῦ ἐνθένδε ἀναχώρησιν ἐπικαταβαίνειν τε Ῥωμαίοις ἤρξατο καὶ τὴν μάχην ἀπὸ χειρὸς ἤδη κρατεῖν, τὴν ταχίστην ἐκεῖθεν ἀπήλαυνε καταλήψεσθαι τοῦτον προθυμηθείς. ἀλλ᾽ ὁ μὲν ἐπιόντας Ῥωμαίους ἀκηκοὼς C ἐς τὰς τῶν ὀρῶν ἀνατρέχων ὑπερβολὰς τὸν παρὰ πόδας ἀπεδίδρασκε κίνδυνον· βασιλεὺς δὲ ἐπὶ τὴν χώραν ἐτράπετο, ἀλλ᾽ αὐτὴν μὲν κατ᾽ ἐρημίαν τοῦ κωλύσοντος ἐληΐσατο πᾶσαν καὶ τοὺς ἐνταῦθα τῷ ἀρχιζουπάνῳ εἰς ἀρχεῖον ἀποτεταγμένους δόμους περὶ φλέξας παρῆλθεν.

7. Ἐπεὶ δὲ χειμὼν ἤδη κατέσχε δεινός, ὡς τοῦ φύσει θερμοῦ περὶ τὴν καρδίαν ἀντιπεριϊσταμένου τῷ γένει τῷ ζωικῷ πολλοῖς ἤδη λώβην περὶ τοῖς ἄκροις ἐμπεπτωκέναι, τότε μὲν τῆς ἐπὶ Βυζάντιον ἐμέμνητο. ἐς δὲ τὸ ἐπιὸν ἔτος φθινούσης ἤδη τῆς ὥρας, πηνίκα καὶ μάλιστα εὐέφοδα πολεμίοις τὰ κατὰ τὴν

16. ἀλλ᾽ αὐτὴν] Fort. καὶ αὐτήν. 24. πηνίκα] ὁπηνίκα?

barbaros hominum multitudine locique difficultatibus fretos, nolle sibi arcem dedere, castris positis, suis imperavit ut tela et lapides e fundis sine ulla intermissione in eos qui exteriora munimenta defendebant, iacerent. ita tertio die locum vi expugnavit. ibi cum barbarorum multitudinem cum armatam tum gregariam reperisset, eam inde abduxit. deinde, postquam reditu instituto, venit ad Rasum, illos ut Sardicam et alias Romanorum regiones incolerent, dimisit. ab Angelo certior factus Zupanum captata post suum inde recessum occasione coepisse Romanos adoriri praeliumque iam exarsisse, motis castris ut eum opprimeret summa celeritate contendit. at ille ubi intellexit adventare Romanos, secessit in montium iuga, eaque ratione praesens vitavit periculum. imperator igitur in eam regionem effusus, totam utpote orbam defensore populatus est, consumptisque incendio aedificiis, quae palatiorum vice Archizupano erant, abscessit.

7. Cum vero adeo valida tunc esset hiems, ut naturali calore animantium circa cor collecto, extremae membrorum partes laborarent, de reditu Byzantium cogitavit. sequenti vero anno sub aestatis exitum, cum maxime

D Σερβικὴν γίνεται, ἅτε τοῦ ἀμφιλαφοῦς ἐπιλιπόντος ἤδη τοῖς δένδροις, ἐπὶ Ναϊσὸν τὸ στράτευμα ἤγειρεν. ἔνθα δυνάμεις ἐκ Παιονίας ἐπὶ συμμαχίᾳ Δαλμάταις στέλλεσθαι μαθὼν, σπουδὴν ἐποιεῖτο διὰ τοῦ Λογγομηροῦ λεγομένου χώρου διαβιβάζειν τὸ στράτευμα, ὡς τοῖς Παίοσιν ἐν δεξιᾷ πορευομένοις συμμῖξαι γένοιτο τῷ Ῥωμαίων στρατῷ. ἐπεὶ δὲ ἐγγὺς Σάου ἐγένετο, ἐφ' ἕτερον ἐκεῖθεν μετῆλθε ποταμὸν Δρυνᾶν ὄνομα, ὃς ἄνωθέν ποθεν τὴν ἐκβολὴν ποιούμενος Βόσθναν τῆς ἄλλης Σερβικῆς διαιρεῖ. ἔστι δὲ ἡ Βόσθνα οὐ τῷ Σερβίων ἀρχιζουπάνῳ καὶ αὐτὴ εἴκουσα, ἀλλ' ἔθνος ἰδίᾳ παρὰ ταύτῃ καὶ ζῶν καὶ ἀρχόμενον. ὅθεν γε
P 60 μὴν Οὔννους Ῥωμαίοις συγκεκρουκέναι ξυνέβη αὐτίκα δηλώσω. ἦν τις ἐν τῷ Δαλματῶν ἔθνει, ὄνομα μὲν οὐκ οἶδα ὅπερ αὐτῷ ἔκειτο, ἀδελφὸς δὲ αὐτῷ Βέλοσις ἦν, ἄμφω λογίμω παρὰ Δαλμάταις ὄντε. οὗτος τοῦ ἀρχιζουπάνου μὲν ἀδελφῇ ξυνοικῶν ἦν, τὼ ὀφθαλμὼ δὲ πηρωθῆναι τυχὼν τρόπῳ ᾧπερ αὐτὸς οὐδαμῇ ἐρεῖν ἔχω, ἐς Παιονίαν ἀνεχώρησεν. ἐνταῦθά τε πολύν τινα
V 47 διατρίψας χρόνον Γειτζᾷ τῷ ῥηγὶ αἰδεσιμώτατος μάλιστα κατέστη, ἅτε τῆς ἐκ παίδων αὐτῷ τροφῆς μεταδοὺς καὶ παιδεύσεως. διὰ δὴ ταῦτα χάριτας ὀφλῶν Γειτζᾷ Δαλματίαν ὑπόσπονδον αὐτῷ καθιστᾶν ἐπεχείρει, ξυμβουλεύων τε ἑκάστοτε περὶ τούτου τῇ ἀειλογίᾳ πείθειν ἔσχε τὸν ἄνθρωπον. ὅθεν ἐπειδὴ τὴν ἐπὶ
B Δαλματίας Ῥωμαίων ὁ Γειτζᾶς ἤκουσεν ὁρμὴν, δυνάμεις ἐπὶ συμμαχίᾳ Δαλμάταις ἔπεμψεν. αἰτία μὲν Ῥωμαίοις τῆς ἐς τοὺς Οὔννους δυσμενείας αὕτη ἦν. τοῦ δὲ Ῥωμαίων στρατοῦ προσω-

pervia sunt hostibus in Serviam itinera, et arboribus comae decidunt, castra ad Naisum transtulit. sed ut ex Pannonia Dalmatis mitti auxiliares copias percepit, summo studio annixus est, ut traductis per regionem, Longomerem dictam, copiis, cum Pannonibus a dextra incedentibus Romani manus consererent. cum ad Savum proxime pervenisset, ad aliud inde flumen deflexit, Drynam nomine, quod in superiori sese loco effundens Bossenam a reliqua Servia disterminat. Bossena autem haud subest Archizupani imperio, sed vicina Serviis gens est quae et suos mores et suum agnoscit principem. unde vero cum Romanis ibi conflixerint Hungari, mox commemorabo. erat apud Dalmatas quidam, cuius nomen quale fuerit ignoro, fratrem autem habebat Belosim: ambo clari erant apud suos: hic uxorem duxerat sororem Archizupani. cum vero utroque oculo privatus esset (quo casu mihi plane incompertum) in Pannoniam sese recepit. longo hic tempore commoratus apud Geizam regem maximo in honore fuit, ut qui a pueris cum illo enutritus fuerat et educatus. eapropter quo Geizae gratias rependeret, Dalmatiam illi beneficii iure obnoxiam facere est annixus: idque continuis consiliis et adhortationibus homini tandem persuasit. simul atque igitur accepit Geiza in Dalmatiam irrupisse Romanos, copias auxilio Dalmatis submisit. ea quidem simultatum adversus Hungaros causa Romanis fuit. ulterius itaque pro-

τέρω χωροῦντος οἱ ἐπὶ χορταγωγίαν ἐξιόντες τοῖς Οὔννοις ὁδῷ
πορευομένοις ἐντετυχηκότες εἰς χεῖρας ἦλθον. βασιλεὺς δὲ συναι-
σθήσεως αὐτῷ γενομένης Ἰωάννην ἅμα στρατεύματι τὸν πρωτο-
σέβαστον ἐπιβοηθήσοντα ἔπεμψε. καὶ δὴ συμβολῆς γενομένης
Οὖννοι πρὸς τῶν Ῥωμαίων ἡττηθέντες φεύγοντες ἐς τὸ τοῦ πο-
ταμοῦ Στρυμόνος ῥεῦμα καθῆκαν ἑαυτούς. ἔνθα μετρίους ἀπο-
βαλόντες ᾤχοντο ἀμεταστρεπτί, Ῥωμαῖοι δὲ φεύγουσι κατὰ νώ-
του ἀεὶ εἵποντο, ἐπὶ Τάραν τε ποταμὸν ἐλθόντες ἐπειδήπερ οὐ- C
δένα σφίσιν ἀντεπεξιόντα ἔβλεπον, παλινοδίας ἐμέμνηντο. βασι-
λεὺς δὲ ἐπὶ μέσης τῆς εἰς Σετζενίτζαν φερούσης τὸν χάρακα πη-
ξάμενος οὐκ ἔχων τε μαθεῖν ἔνθα τὸν ἀρχιζουπάνον εἶναι ξυνέ-
βαινεν, ἐν τῷ τέως μὲν ἐν ἀπόρῳ ἐγένετο, ἐπεὶ δὲ πρὸς τῶν
ἁλισκομένων Δαλματῶν δυνάμεις περιμένειν αὐτοὺς ἤκουσεν Οὐν-
νικὰς ἐπὶ συμμαχίᾳ ὅσον οὐκ ἤδη ἀφιξομένας, ἐπὶ τὰ πρόσω
λοιπὸν μετῆγε τὸ στράτευμα. μέχρι μὲν ποταμοῦ Τάρα γεγο-
νόσιν οὐδὲν οὐδαμόθεν Ῥωμαίοις διεφάνη πολέμιον· ἐπεὶ δὲ ἐν-
ταῦθα ἦλθον, Δαλματῶν ἀνάριθμος ὅμιλος οὔπω ἡλίου τὸν δυ-
τικὸν ὁρίζοντα παραμείψαντος ὅπλοις κατάφρακτος ἐξεφάνη. ὅπερ D
οἱ θεασάμενοι ἀγωνίᾳ καὶ δέει ἐχόμενοι Ῥωμαῖοι ἦλθον ἀγγέλ-
λοντες. βασιλεὺς δὲ τὴν ἐκ Παιόνων ἀφικέσθαι προσδοκωμένην
Δαλμάταις ἰσχὺν ταύτην εἶναι τὴν ὁρωμένην εὐστοχώτατα τεκμη-
ριωσάμενος, ἅμα δὲ καὶ σκοπῷ τῷ Χουρούπῃ πρὸς τοῦτο χρη-
σάμενος "νῦν αἰφνίδιον Δαλμάται Ῥωμαίοις ἐπεισπεσεῖσθαι δια-

4. *συμβολῆς*] Ita Tollius. Cod. *συμβουλῆς*. 6. *Στρυμόνος*] Cod. *Στρυμμόνος*. 23. *νῦν αἰφνίδιον*] Fort. cum Tollio *νῦν, ἔφη, αἰφνίδιον*. *ibid.* *ἐπεισπεσεῖσθαι*] Ita Tollius. Cod. *ἐσπεισπεσεῖσθαι*.

cedente Romanorum exercitu, qui pabulatum exierant cum Hungaris, qui et ipsi iter agebant, obviam factis manus conserunt. quo cognito imperator iis auxilium cum copiis Ioannem protosebastum mittit. commisso praelio Hungari a Romanis superati fuga se ad Strymonem fluvium receperunt, indeque aliquot ex suis amissis abscesserunt, a tergo instantibus semper Romanis. ut ad flumen Taran pervenere, cum nullum adverterent hostem a quo impeterentur, rediere ad suos. imperator autem medio itinere quod Setzenitzam ducit, positis castris, cum rescire haud posset quo ageret loco Archizupanus, eo usque quidem animi dubius haesit. intellecto dein ex captivis Dalmatis expectare illum auxiliares copias ex Hungaria iamiam adventuras, exercitum ulterius traduxit. sed usque ad fluvium Taran nulli adhuc visi fuere hostes. eo vero ut ventum est, Dalmatarum vis innumera armis instructa ante solis occasum apparuit. qua conspecta angore et metu perculsi Romani id confestim nuntiatum veniunt. at imperator felici assecutus coniectura, copias quae conspiciebantur eas esse quas ab Hungaris in auxilium expectabant Dalmatae, id firmante praeterea Churupo quo speculatore usus erat "nunc igitur" inquit "Romanos invadere decreverunt Dalmatae."

νοῦνται" ἦσαν γὰρ οὐ μακρὰν ἄποθεν ἤδη ποιούμενοι τὴν παρεμβολήν. ἐπειδὴ γοῦν τάχιστα νὺξ ἤδη ἐγένετο, τοιάδε τινὰ ἐνενόει. ἔθος ἐστὶ Ῥωμαίοις ἐπὶ πόλεμον ἰοῦσιν, εἴ που διατριβὴν ποιεῖσθαι χρεὼν τὸν στρατόν, σάλπιγγα τῆς ἡμέρας ἀλαλάζειν ὀψέ, καὶ σύνθημα τοῦτο τοῖς πλήθεσι γίνεται τοῦ καὶ τὴν ἑξῆς P 61 πρὸς ἐκείνῳ διακαρτερήσειν τῷ χώρῳ. ὅπως οὖν ἐνταῦθα ἀπατηθῆναι γένοιτο τοῦτο δὴ τὸ Ῥωμαίων ἔθος εἰδόσι καὶ αὐτοῖς, σαλπίζειν μὲν ἐν τῷ παραυτίκα παρεκελεύσατο, λαθραιότατα δὲ καθ' ἕνα τοῖς στρατηγοῖς ἐμήνυε τὰ βουλευθέντα, καὶ ὡς χρὴ τούτους ἅμα ἡλίῳ ἀνίσχοντι τῆς περὶ αὐτὸν ἕκαστον φάλαγγος ὁπόσον ὅπλοις τε φράττοιτο καὶ ἐν ἐπιλέκτοις ἐστὶν εὐπρεπὲς ἔχοντα ἡσυχῇ ἵστασθαι καὶ τὴν παρ' αὐτοῦ προσδέχεσθαι κέλευσιν. ὅπως γε μὴν οὐκ ἐπίδηλοι γένοιντο, ἐκέλευσε περιχλαινίσμασι τῶν εὐτελεστέρων περιαμπίσχειν τὴν ὅπλισιν.

8. Οἱ μὲν οὖν κατὰ ταῦτα ἐποίουν· ἐπεὶ δὲ ἤδη ἡμέρα διαφανῶς ἦν, ἐξῄει σὺν αὐτοῖς τοῦ στρατοπέδου ὡς ἐπὶ χορτα- B γωγίαν δῆθεν ἰών. ὅθεν καί τινας ἀνόπλους τὸ παράπαν σκαπάναις ἅμα καὶ πτύοις, οἷς ἔθος ἐστὶ τοὺς ὑπογαίους ἀνερευνᾶσθαι σιτῶνας τοῖς τὰ ἐπιτήδεια τῷ στρατῷ ἐσκομιζομένοις, ἔμπροσθεν ἐκέλευεν ἰέναι. ἐπειδὰν μέντοι πολεμίους κατ' αὐτῶν ἰόντας ἴδοιεν, φεύγειν ἐπήγγελεν ἕως τοῖς κατόπιν ἰοῦσι Ῥωμαίων συμμίξαντες ἤδη ἐν τῷ ἀσφαλεῖ γένωνται. ὡς γὰρ ἐν ἀκαρεῖ τῶν γινομένων αἴσθησις γίνοιτο τῷ στρατηγῷ, ἐκέλευε V 48 δύο μὲν τὸ πρῶτον, ἑξῆς δὲ καὶ οὐ πολλῷ ἄποθεν τέτταρας,

11. εὐπρεπὲς] Fort. εὐτρεπές. 16. διαφανῶς] Duc. διαφανής.

neque haud ita procul castra ii posuerant. sed quia nox instabat, eiusmodi capit consilium. moris est euntibus in bellum Romanis, sicubi morari necesse est exercitum, praecipiti iam die tuba canere: idque pro signo est multitudini etiam posterum diem eo in loco transigendum. quo igitur consuetudinis huius Romanae haud ignari hostes fallerentur, canere tubas continuo imperat: singulis autem ducibus mentem suam quam potest occultissime aperit: oportere nimirum orto statim sole quemque cum delectis ex sua phalange cataphractis immotum stare suumque expectare mandatum: sed ne manifesti forent, praecepit ut vilissimis tegumentis armaturam circumducerent.

8. Illi prout imperatum erat faciunt. postquam autem illuxit dies, cum illis velut pabulatum iturus excedit e castris: eoque inermes aliquot praecedere iubet cum ligonibus et dolabris, quibus subterranea investigare solent granaria qui commeatum et res necessarias exercitui provident: simul autem invadentes hostes cernerent, fugere imperat, donec subsequentibus a tergo Romanis adiuncti in tutum reciperentur. ut enim quae gerebantur confestim duci essent cognita, primum duos, inde parvo intervallo quatuor, tum sex.

εἶτα ἓξ καὶ αὖ δέκα καὶ ἑξῆς πλείους χωρεῖν, ἄλλην τε φαρετροφόρον καταστησάμενος φάλαγγα ἑτέρωθεν ἐπὶ τοὺς πολεμίους ἰέναι προὐτρέπετο· κἂν μὲν Δαλμάται χειρῶν ἄρχοιεν φεύγειν C ἐλασσουμένους τῷ πλήθει, ἑστάναι δὲ ἡσυχῇ πρὸ τῆς παρεμβολῆς εἰ μηδεὶς σφίσιν ἀντεπεξήει. ἔπραττε δὲ ταῦτα ὡς ἂν εἴ γε αὐτοῦ σὺν τῷ ἄλλῳ ἐπιστάντος στρατεύματι φεύγειν ἐπιβάλλωνται τὸ Δαλματικόν, ὑπὸ τῶν κουφοτέρων τούτων κτείνοιντο καταλαμβανόμενοι. οὔπω τοίνυν μακρὰν ἐγένοντο πορευόμενοι, καὶ τῶν ἐπὶ κατασκοπῇ τινες δρομαῖοι ἐς τὸν βασιλέα ἦλθον, συγκεχομμένοι τε τὴν φωνὴν καὶ δεινῶς ὠχριῶντες ἀριθμοῦ κρείσσω ἔλεγον στρατιὰν ἐπὶ θάτερα τοῦ ποταμοῦ ἐπὶ φάλαγγος ἵστασθαι, οὐχ ὅσον μόνον ἐγχώριον, ἀλλὰ καὶ μυριόν τι φῦλον συμμαχικὸν ἔκ τε Οὔννων ἱππέων καὶ δὴ καὶ τῶν παρ' αὐτοῖς ἑτεροδοξούντων Χαλισίων. Οὔννων γὰρ τὰ Χριστιανῶν πρεσβευόντων, οὗ- D τοι Μωσαϊκοῖς καὶ τούτοις οὐ πάντῃ ἀκραιφνέσιν εἰσέτι καὶ νῦν διεξάγονται νόμοις. τούτους τε οὖν Δαλμάταις συστρατεύειν ἔλεγον καὶ δὴ καὶ Πετζινάκους. ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσεν, ἐννοησάμενος μή τι καὶ βιασθεῖεν ὀλίγοι πρὸς πολλῶν κυκλωθέντες Ῥωμαῖοι οἳ ἐπίπροσθεν ἐπορεύοντο, συντονώτερον ἤλαυνεν ἐπείγων ἕπεσθαι καὶ τὸν σημειοφόρον· ἐπεὶ δ' ἐκεῖνος κεκμηκότος αὐτῷ τοῦ ἵππου σχολῇ τὴν ὁδὸν ἐποιεῖτο, αὐτὸς βασιλεὺς τὴν σημαίαν ἀναλαβὼν κατετάχει τὸν δρόμον, ἐπί τινός τε περιωπῆς γεγονὼς ἑαυτόν τε ὅστις εἴη καὶ τὸ σημεῖον ἐδίδου γνωρίζειν τοὺς

5. ἀντεπεξήει] Fort. ἀντεπεξίοι. 11. ἔλεγον] Ita Duc. Cod. ἔλεγε. ibid. ἐπὶ θάτερα] Tollius ἐπὶ θατέρᾳ.

postea decem, denique complures iubet praeire: aliamque ad haec phalangem pharetratam cum ordinasset, aliunde in hostes ire praecipit cum mandatis, ut si praelium inirent Dalmatae, terga verterent velut numero inferiores: sin vero nemo occurreret, quieti ante vallum consisterent. non alio haec instituit consilio, quam ut si, ipso cum ceteris copiis ingruente, fugere inciperent Dalmatae, ab expeditioribus iis comprehensi caederentur. haud igitur longe processerant, cum quidam speculatores celeri cursu reversi ad imperatorem vacillante lingua metuque pallidi nuntiarunt, innumerum in adversa ripa fluminis instructa acie stare exercitum; neque illum tantum ex indigenis, sed immensum etiam alium ex auxiliaribus copiis conflatum, praesertim Hungaricis equitibus, et qui apud illos diversae sunt religionis Chalisiis. Hungaris quippe Christianam amplexis, isti Mosaïcis legibus iisque non omnino genuinis etiamnum vivunt. hos igitur ut et Petzinacas Dalmatis adiunctos esse referebant. ea ut audivit imperator, veritus ne pauci, qui praecedebant, Romani a pluribus circumclusi perfringerentur, confestim citatiore cursu pergebat et signiferum ut subsequeretur urgebat. qui cum defesso equo lentius incederet, ipse arrepto signo princeps maturavit cursum, ac loco editiore consistens, et se qualis esset et vexillum ho-

ἀντιπάλους. ἐν τούτῳ δὲ καὶ οἱ τοξοφόροι τὸν ποταμὸν κατειληφότες ἀντιμέτωποι Δαλμάταις ἵσταντο. ἐπὶ πλεῖστον δὲ οὐδέ- P 62 τεροι μάχης ἀρχόμενοι ἡσυχῇ ἔμενον. ἐπεὶ δὲ ἤδη ἡ βασιλέως αὐτοῖς διεφάνη σημαία, τῆς τε γεφύρας ἀπέσχοντο Δαλμάται καὶ ἄδειαν Ῥωμαίοις ἐδίδοσαν ἀκροβολισμοῦ. ὃ γνοὺς βασιλεὺς (ἑστήκει γὰρ ἄνωθέν ποθεν, ὥσπερ εἴρηται, τὰ πρασσόμενα κατανοῶν) ἤλαυνε καὶ αὐτὸς ὡς σὺν αὐτοῖς τὸν ποταμὸν διαβησόμενος. ἦν γάρ, ὥς μοι πολλάκις ἐρρέθη, δαιμόνιόν τινα καὶ ἀνδρείας πρόσω τρόπον τὰ ἐς τὰς μάχας κεκινημένος ἀεί. Δαλμάται δὲ καίτοι ὑπὸ εὐαριθμήτων διωκόμενοι στρατιωτῶν ἔφευ- B γον ὅμως ἕως ἐν δυσχωρίαις ἐγένοντο. τὸ δὲ ἀπὸ τοῦδε ἐπιστραφέντες ὁμόσε τούτοις ἐχώρουν, ξυμβολῆς τε γενομένης ὀλίγοι ἐξ ἀμφοῖν ἔπεσον. Δαλμάται γὰρ τῆς βασιλέως αἰσθόμενοι παρουσίας διελύοντο αὖθις, Ῥωμαῖοί τε φεύγουσιν ἀεὶ ἐφεπόμενοι πολλοὺς Παιόνων τε καὶ αὐτῶν ἔκτειναν. ὅτε δὴ Γουρδέσης τε καὶ Βουλτζῖνος, ἄνδρε ὀνομαστοτάτω ἐπὶ Δαλμάταις, ὑπὸ τὰς Ῥωμαίων ἐγενέσθην χεῖρας. βασιλεὺς δὲ περὶ πλείονος τοῦ λοιποῦ ἐποιεῖτο, ὅπως ἂν αὐτῷ πανοπλίαν ὑποδῦναι τὴν αὐτοῦ γένοιτο. χρόνου δέ τινος διὰ τοῦτο τριβέντος αὐτῷ (οὐ γὰρ ἐκ τοῦ σχεδὸν αὐτῷ παρῆσαν οἳ ταύτην ἐκόμιζον) συνέβη τῶν παρὰ Ῥωμαίοις στρατηγούντων τινάς, ἐν οἷς Γιφάρδος τε ἦν καὶ Μιχαὴλ ᾧ ἐπώνυμον Βρανᾶς, καὶ πλεῖστοι ἕτεροι ἄνδρες αὐτουργῆσαι ἱκανοὶ καὶ στρατηγῆσαι δεξιοί, ἐπί τινος δυσπορεύτου καὶ

11. δυσχωρίαις] Ita Duc. Cod. δυσχερίαις. 13. τῆς βασιλέως] Ita Tollius. Cod. τοῖς βασιλέως.

stibus conspiciendum praebuit. delati interea ad flumen sagittarii Dalmatis stabant obversi, sed neutris pugnam concitantibus, quievere. simul autem ac imperatoris conspectum est vexillum, a ponte abscessere Dalmatae Romanisque sagittas mittendi potestatem dederunt. id ubi princeps videt (stabat enim in loco eminentiori, ut dictum est, et quae gerebantur advertebat), velut cum ceteris flumen traiecturus advolat. namque, ut non semel innui, supra fortitudinis humanae modum pugnas semper et certamina affectabat. Dalmatae vero, licet haud magno numero milites insequerentur, fugere nihilo minus, donec ad loca difficilia pervenerunt. mox inde conversi, occurrerunt hostibus: verum facto congressu cecidere utrimque pauci. quippe Dalmatae ubi imperatorem adesse percipiebant, dissolvebantur iterum. at Romani fugientibus semper instantes, eorum multos ut et Pannonum ceciderunt. quo tum casu in manus venere Romanas celeberrimi inter Dalmatas viri, Gurdeses et Bultzinus. imperator interea suis indui armis vehementer exoptabat. eius rei gratia cum aliquantum insumpsisset temporis (neque enim prope aderant qui ea ferebant), accidit ut quidam e Romanorum ducibus, in quibus fuere Giphardus et Michaël cognomento Branas, compluresque alii manu perinde ac regendis copiis strenui, dum effusius hostes in-

ἀνάντους ἐν τῷ διώκειν γεγονότας λοχμῆς ἀγωνιᾶν ὥστε εἰς προῦ- C
πτον κίνδυνον ἐληλακότας. Δαλμάται γὰρ πόῤῥω τῶν ἄλλων Ῥωμαίων γεγονότας αὐτοὺς κατανοήσαντες ἐπεστράφησάν τε καὶ ἀντιμέτωποι ἔστησαν.

9. Οἱ μὲν οὖν ἐν τούτοις ἦσαν. βασιλεὺς δὲ ἤδη τὴν ὅπλισιν περιθέμενος ἀνέτῳ ῥυτῆρι διώκων ἐπ' αὐτοὺς ἦλθεν, ἐν χρῷ τε ἀλλήλοις ἐφ' ἕνα χῶρον συνιόντας εὑρὼν ἐκατηγόρει τε ἀναφανδὰ καὶ πικρότατα ἐλοιδορεῖτο, δειλίαν αὐτοῖς προσονειδί- V 49
ζων καὶ πολεμικῶν ἀμαθίαν ἔργων. τῶν δὲ τοῦ χώρου τὴν φύσιν καὶ τὸ τῆς χιόνος προφερόντων ἄμετρον, αὐτὸς τῆς ὁδοῦ κατάρχων ἕπεσθαι σφίσιν ἐκέλευεν. ἤδη γὰρ καὶ ἄλλο αὐτοῖς Ῥωμαίων συνίστατο πλῆθος. ἐν ᾧ δὲ τὴν πορείαν ἐτίθεντο, ἐνέδρα πολεμίων ἐκ τοῦ ἀφανοῦς ἐκπηδήσασα τοῖς ἐν ἀριστερᾷ Ῥωμαίοις ἐπε- D
τίθετο. ἀλλὰ ταύτην μὲν ἐπειδήπερ ὀλιγανδροῦσαν βασιλεὺς ἔγνω, οὐδὲ ὅσον ἐπεστράφθαι ἠξίωσεν· ἀεὶ γὰρ ἀνεπιστρόφως ἐδίωκεν, εἴ πως ἢ αὐτὸν χειρώσασθαί οἱ γένοιτο τὸν ἀρχιζουπάνον ἢ τὸν παρὰ τοῖς Παίοσιν εἰς ἐκείνην στρατηγοῦντα τὴν ἡμέραν ἀνδρείας εὖ ἥκοντα. οἱ μὲν οὖν ἐκ τῆς ἐνέδρας μηδὲν ἄξιον λόγου πεπραχότες διελύοντο αὖθις. βασιλεὺς δὲ μικρὰ διώξας, ἐπειδὴ τοὺς ἀμφ' αὐτὸν ἔγνω ἐκκακήσαντας ἤδη, αὐτοὺς μὲν παρῆλθε, δύο δὲ ξυγγενῶν παρειληφὼς τῶν αὐτοῦ, ὧν ὁ μὲν Ἰωάννης ὁ Δούκας ἦν, ἅτερος δὲ ὃς τὴν Ἀνδρονίκου τοῦ σεβαστοκράτορος ἔγημε παῖ- P 63
δα, ὄνομα Ἰωάννης καὶ αὐτὸς ἐπίκλησιν Κανταχουζηνός, σὺν αὐτοῖς ἐπὶ τοὺς πολεμίους ἐχώρει. οἱ δὲ ἐκ τῆς ὁπλίσεως αὐτὸν κα-

10. προφερόντων] Cod. προσφερόντων.

sequuntur, in ardua et avia loca delati manifesto periculo involverentur. Dalmatae quippe Romanos longe a suis seiunctos conspicati, reverterant stabantque obversi.

9. Ea cum se ita haberent, iam armis indutus imperator totis habenis in illos fertur: quos cum uno in loco arctissime in se coeuntes advertisset, palam reprehendit increpatque acerbissime, et metum et militiae imperitiam exprobrat. at iis loci situm et immensam nivium vim causantibus, praecedit ipse ac reliquis ut sequerentur imperavit: iam enim et aliae advenerant Romanorum copiae. dum itaque iter faciunt, hostium aliqui ex insidiis repente coorti Romanos, qui ad sinistram erant, adoriuntur. sed imperator videns eos numero pauciores, contemptis illis, continuo hostes insequebatur pertinaciter, quo aut Archizupanum ipsum caperet, aut qui tum Pannonicis praeerat copiis fortissimum ducem. qui igitur ex insidiis prodierant, nullo edito facinore rursum dissipati sunt. aliquanto spatio hostes insecutus princeps, ubi suos delassatos advertit, relictis iis ac duobus assumptis cognatis, quorum alter fuit Ioannes Ducas, alter qui uxorem duxerat Andronici sebastocratoris filiam, nomine Ioannes, cognomento vero Cantacuzenus, cum iis in hostes perrexit. sed illo ab iis agnito ex armis quae multo obducta erant

ταναστήσαντες (χρυσῷ γὰρ κατακόρως ἀλήλιπτο πᾶσα) καὶ τῆς τοῦ
σώματος δὲ ἀναδρομῆς τε καὶ εὐφυΐας τεκμηριωσάμενοι μάλιστα
(ἥρωσι γὰρ ἀτεχνῶς ἐῴκει, ἅτε τῷ ξένῳ τῆς ἱππασίας καὶ τῆς
ἀμφιδεξίου περὶ τὰ ὅπλα κινήσεως πολλῷ διενεγκὼν) νῶτα διδόναι
οὐδαμῇ ᾐσχύνοντο. ὁ δὲ φεύγουσιν ἐπιθέμενος λέγεται ὅτι μιᾷ
δόρατος προσβολῇ πεντεκαίδεκα τῶν πολεμίων εἰς γῆν ἔβαλλεν.
ἐν γὰρ ταράχῳ καὶ συγχύσει φερομένους συγκρούειν ἀλλήλοις οὐ-
δενὶ κόσμῳ συνέβαινεν αὐτούς· τετταράκοντα δὲ τοὺς πάντας ἐπὶ
B στόμα κατενεγκὼν τοὺς ἄλλους ἐτρέψατο, φεύγουσί τε ἑφεπόμενος
συνέκοπτεν ἀεὶ κατὰ νώτου καὶ ξίφει καὶ δόρατι χρώμενος. ὅτε
συνέπεσέ τι καὶ τοιοῦτον· τῶν τις προκαταδορατισθέντων αὐτῷ
τοῦ πτώματος ἀνενεγκὼν (οὐ γὰρ καιρίαν ἐτύγχανε πεπληγμένος)
ἔφευγεν ἐκ ποδὸς τὴν πορείαν ὁ τάλας ποιούμενος. ἐπειδή τε ἀγ-
χοῦ βασιλέα γεγονότα εἶδε σπασάμενος τὸ ξίφος πατάξων ἐφέρετο
τοῦτον. ὁ δὲ λὰξ τῷ στήθει ἐπιβὰς αὐτὸν μὲν εἰς γῆν ἤνεγκε,
σημειωσάμενος δὲ ἔκ τινος ἐπισήμου περὶ τὸν ὀφθαλμὸν πάθους
παρῆλθε. κάμνοντος δὲ τοῦ ἵππου αἰσθόμενος ἤδη τῷ βάρει τῶν
ὅπλων, παλινδρομεῖν μὲν οὐδὲ ὣς ἤθελε, τῷ δὲ Καντακουζηνῷ
C (ἐτύγχανε γὰρ ἤδη τῶν βασιλέως ἐποχούμενος) ἐκέλευε πρόσω
χωρήσαντι συμμίγνυσθαι τοῖς βαρβάροις, ὡς ἂν οὕτω τῇ πρὸς
αὐτὸν ἀσχολίᾳ ἐπικαταλαβεῖν σφᾶς καὶ αὐτὸν γένοιτο. καὶ ἔτυχέ
γε τοῦ σκοποῦ. ἐπειδὴ γὰρ τάχιστα τῶν πολεμίων ὁ Ἰωάννης ἐγ-
γύθεν ἐγένετο, Βαχχῖνον τὸν ἀρχιζουπάνον παίει μὲν κατὰ τοῦ
μεταφρένου, διελάσαι τὸ δόρυ προθυμηθείς· οὐ μέντοι γε καὶ

auro, cum praeterea corporis statura excelsiore satis proderetur (vere enim heroem referebat, quippe qui equitandi ratione non vulgari et in armis tractandis dexteritate longe praecelleret), terga nullo pudore dederunt. fugientibus incumbentem aiunt uno hastae ictu quindecim ex hostibus in terram prostravisse: in tumultu quippe et confusione ita collidebantur, ut se invicem impellerent. ipsis autem quadraginta prostratis, reliquos fudit, fusos insecutus gladio et hasta in terga fugientium irruit: quo tempore id quoque accidit. quidam ex iis qui hasta prius ab imperatore fuerant caesi, cum surrexisset ex lapsu (neque enim letaliter fuerat vulneratus) fugam inde pedibus miser paravit. ubi autem in propinquo imperatorem conspicit, stricto gladio in eum velut percussurus fertur. at ille pede in pectus impacto, protrusum humi atque insigni circa oculum vulnere notatum relinquit. equum vero etiamsi adgravatum sentiret armorum pondere, non ideo tamen sistere impetum voluit. Cantacuzeno autem (unicus quippe adequitabat ex imperatoriis cognatis) ut progrederetur et cum barbaris manus conferret imperavit, ut nimirum dum circa illum sic occuparentur, ipse vicissim eos assequeretur. nec aberravit a consilio. postquam enim quam citissime sese in hostes intulit Ioannes, Bacchini Archizupani tergum percussit, totumque hasta transverberasset hominem, ni praepedivissent arma. is autem conver-

ἐδυνήθη τῆς ὁπλίσεως ἀντισχούσης. ὁ δὲ ἐπιστραφεὶς ἔγνω πρὸς ἀνδρῶν διωκόμενος δυοῖν. συμπαρῆν γὰρ βασιλεῖ καὶ θάτερος Ἰωάννης, οὗπερ ἤδη ἐμνήσθην. ἑπτὰ γοῦν τῶν ἀμφ' αὐτὸν ἐπαγόμενος ξυμπλέκεται τῷ Καντακουζηνῷ, καὶ ἡ μάχη ἀπὸ χειρὸς ἤδη ἐγίνετο. ἐν τούτῳ δὲ τῶν βαρβάρων ἄλλου ἀλλαχόθεν συρρέοντος ἀεὶ ἐν ἐσχάτοις ὁ Καντακουζηνὸς ἦν, καὶ εἰ μὴ βασιλεὺς ἐγγύθεν ἤδη παραφανεὶς ἐξεῖλεν αὐτὸν τοῦ κινδύνου, ἐδέησεν οἶμαι D οὐδὲν βαρβαρικῆς ἔργον μαχαίρας γενέσθαι τὸν ἄνθρωπον. οὐ μὴν οὐδὲ αὐτὸς βασιλεὺς ἔξω κινδύνου ἐγένετο. λογισάμενος γὰρ ὡς εἰ τοῖς τὸν Ἰωάννην κυκλοῦσιν ἑπτὰ τέως οὖσιν αὐτὸς ἀντιτάξοιτο, ἐξέσται τοῖς ἄλλοις εἰς τριακοσίους ἤδη ἀριθμουμένοις κατ' ἀμφοτέρων ἰέναι, δεῖν ἔγνω τῷ πλήθει ξυμπλακήσεσθαι πρότερον· ἐκείνων γὰρ ὑποχωρούντων ξυναποστῆναι καὶ τοὺς τὸν V 50 Ἰωάννην περιστοιχίζοντας εἰκὸς ἦν· καὶ δὴ τὸν ἵππον μυωπίσας περὶ μέσους εἰσήλασεν. ἀλλά τινα τούτων παῖσαι τῷ δόρατι προθυμηθεὶς τούτου μὲν διήμαρτεν. ἰσχιάσαντι γὰρ τῷ βαρβάρῳ P 64 ξυνέβαινε κενὴν τῆς πλευρᾶς διεκπεσεῖν τὴν αἰχμήν. ἀπὸ χειρὸς δὲ λοιπὸν αὐτῷ συνεπλέκετο. ὅπερ ὁ Βακχῖνός τε αὐτὸς καὶ οἱ περὶ ἐκεῖνον ἰδόντες Ἰωάννην μὲν αὐτοῦ ἔλιπον, ἐπὶ δὲ βασιλέα δρόμῳ ἦλθον. καὶ τὸ πρᾶγμα φρίκης μεστὸν ἦν. ἀλλὰ βασιλεὺς τὸ μὲν δόρυ μεθίει, ὃ δὲ παρήρτητο ξίφος ἑλκύσας πυκνὰ παρ' αὐτοῖς ἐστρέφετο παίων ἀεὶ καὶ παιόμενος, ἕως τῶν ἄλλων σκεδασθέντων εἰς αὐτόν τε καὶ Βακχῖνον τὰ τῆς μάχης ἀπεκρίνατο πάσης, ἀνδρείᾳ τε διαφέροντα καὶ σώματι μεγάλῳ ἐς ἄγαν κεχρημέ-

5. συρρέοντος] Fort. συρρεόντων.

sus, videt se a duobus impeti: namque imperatori iam etiam alter aderat Ioannes, cuius modo mentio facta est. septem igitur suorum adscitis cum Cantacuzeno congreditur, fitque collato pede praelium. sed dum subinde advenere undecumque barbari, in extremum periculum adductus est Cantacuzenus, et ab iis fuisset obtruncatus, nisi imperator ex propinquo subveniens discrimini eum exemisset. at neque ipse expers fuit discriminis. quippe cum animo reputaret, si occurreret iis qui numero adhuc septem Ioannem circumsteterant, integrum fore aliis iam numero trecentis utrumque adoriri, primo oportere censuit cum multitudine decernere. illis enim cedentibus, recessuros pariter qui Ioannem circumstabant. concitato inde equo in medios invehitur. sed cum ex iis quemdam hasta vellet percutere, aberravit ictus hac atque illac inclinante barbaro, atque innoxius a latere hastae mucro decidit. deinceps vero certamen conseritur. quod cum Bacchinus ipse et qui cum illo erant conspexere, omisso Ioanne, ad imperatorem cursu contenderunt. atque inde horribile quid videre erat. verum abiecta protinus hasta imperator ensem quo accinctus erat stringens crebrius in eos versat, ferit vicissim et feritur; donec dissipatis aliis, in illum et Bacchinum, fortitudine praecellentem et procero admodum corpore virum, tota praelii vis

νον. μετὰ πολλὴν γοῦν τινα συμπλοκὴν Βακχῖνος μὲν τῷ βασιλεῖ B τῆς σιαγόνος τὸ ξίφος κατενεγκὼν ἔπληξεν, οὐ μὴν καὶ διελάσαι τὸ ἐκ τοῦ κράνους ἐπὶ τὰς ὄψεις ἠρτημένον ἠδυνήθη παραπέτασμα. οὕτω μέντοι ἰσχυρὰ ἡ πληγὴ γέγονεν, ὡς τοὺς κρίκους ἱκανῶς τῇ σαρκὶ ἐνιζήσαντας ἐπὶ πλεῖστον ἐκτυπωθῆναι. ὁ δὲ βασιλεὺς τῆς χειρὸς τὸν βάρβαρον ἀφελόμενος τῷ ξίφει τῷ ἐξαδέλφῳ παρεδίδου φέρων, ὁ δὲ καὶ πάλιν ἐπὶ τοὺς πολεμίους ἐσφάδαζεν ἰέναι· ἀλλ' ἀμφοτέρω τε τὼ Ἰωάννα καὶ Βακχῖνος ὁ βάρβαρος ἐπισχεῖν αὐτῷ τὴν ὁρμὴν ἴσχυσαν. ἤδη γὰρ τὸ εὔνουν ἐκεῖνος δεδουλωμένος ἐσχηματίζετο. τὰς οὖν τῆς κεφαλῆς αὐτῷ τρίχας ὑποδεικνὺς ἐντεῦθέν πως τὸ ὑπαντιάσον αὐτῷ πλῆθος ὑπεσημαίνετο. ἐν τούτῳ C τῷ πόνῳ δυοῖν ὁ Καντακουζηνὸς δακτύλοιν θατέρας ἐστέρητο χειρός. βασιλεὺς δὲ ἀμφὶ τετταράκοντα πολεμίων ὑπαγόμενος δορυαλώτους ἐπὶ τὸ στρατόπεδον ἦλθεν. ὅτε δὴ κἀκείνου εἰς μνήμην ἐλθών, ὃν ἤδη καταβαλὼν ἐκ τοῦ κατὰ τὸν ὀφθαλμὸν ἐπισήμου παρῆλθε τεκμηριωσάμενος, ἀνεζήτει τοῦτον ἐπὶ τοῦ στρατοπέδου τὸ σημεῖον εἰπών· ἐγένετο τοίνυν κἀκεῖνος καὶ ἀνεγνώριζε τὸν νενικηκότα καὶ ἀνεγνωρίζετο. οὐκ εἰς μακρὰν δὲ πρέσβεις παρὰ τοῦ ἀρχιζουπάνου ἐπὶ τὸ στρατόπεδον ἵκοντο ἀμνηστίαν αὐτῷ κακῶν ἐξαιτούμενοι. καὶ δὴ βασιλέως κελεύσαντος ἧκε μετὰ μικρὸν ὁ ἀνὴρ ἱκέτην ἐλεινὸν ἑαυτὸν παρεχόμενος. καὶ βασιλεὺς μὲν ἱκετεύοντα D προσηκάμενος, ἀφῆκε τούτῳ τὴν ἁμαρτάδα. ὁ δὲ τοῦ

11. ὑπαντιάσον] Ita Duc. Cod. ὑπαντιάσαν. Ad αὐτῷ quod sequitur in Cod. glossa marg. adscripta est: βασιλεῖ. 13. ὑπαγόμενος] Malim ἐπαγόμενος. 18. παρὰ] Cod. π. Tollius ἐπί. Duc. ἀπό. παρὰ Heyse.

incubuit. post longum ergo certamen Bacchinus maxillam imperatoris gladio percussit: nec tamen dissecare potuit dependens ex galea super oculos velamen. adeo autem vehemens ictus fuit ut galeae circuli non modice carni inhaererent notasque imprimerent: at princeps arreptum e barbari manibus ensem patrueli suo tradidit. inde iterum in hostem contendere vehementius gestiebat, sed impetum inhibuere uterque Ioannes et Bacchinus. quippe captus barbarus benevolentiam simulabat: capillis igitur capitis sui ostensis ingentem innuebat illi occursuram multitudinem. eo in praelio duobus in una manu digitis privatus est Cantacuzenus. tandem quadraginta circiter captivis hostibus adductis in castra reversus est imperator. ibi eum subiit illius memoria, quem paulo ante prostratum et signo circa oculos notatum reliquerat. hunc ergo indicato signo quaesivit in castris: qui inventus agnovit victorem et vicissim ab illo agnitus est. nec ita multo post legati ab Archizupano in castra venerunt, qui praeteritorum oblivionem deprecarentur: statimque iubente principe venit ipse miserandi hominis ac supplicis habitu: atque ab imperatore benevole exceptus veniam delicti obtinuit. tum paulis-

ἐδάφους μικρὸν ἀνανεύσας, ἔνθα πρὸ τῶν βασιλέως ποδῶν ἰχνῶν
ἔκειτο καταβαλὼν ἑαυτόν, ὅρκοις τὰ δεδογμένα ἐπίστου, δοῦλος
ἐς τὸν πάντα ἔσεσθαι Ῥωμαίοις αἰῶνα βεβαιῶν· κἂν μὲν ἐπὶ τὴν
ἑσπέραν στρατεύοιε, σὺν δισχιλίοις ἕπεσθαι ὡμολόγει, πολεμοῦσί
γε μὴν ἐπὶ τῆς Ἀσίας πρὸς οἷς τὸ πρότερον εἰώθει τριακοσίοις καὶ
διακοσίους ἤδη προσεπιπέμπειν. ταῦτα κατωρθωκὼς βασιλεὺς
ἐπὶ τὴν Κωνσταντίνου παλινδρομεῖ. ἐν τούτῳ δὲ καὶ ὁ στόλος
τῶν ἀμφὶ τῇ Ἰταλίᾳ διαπεπραγμένος οὐδὲν ἐς Βυζάντιον ἦλθε.
Δαλμάται μέντοι οὕτω δὴ τὸ ἐς Ῥωμαίους ἐτήρησαν δούλιον,
ὥστε χρόνοις πολλοῖς ὕστερον Οὔρεσιν τῆς ἀρχῆς παραλύσαντες, P 65
ἐπειδὴ βασιλέως μηδὲν συνειδότος θατέρῳ τῶν ἀδελφῶν αὐτὴν
ἐνεχείρισαν, ἔδεισάν τε ὡς τὸ εἰκὸς μή τι αὐτοῖς χαλεπήνῃ, καὶ
Δέσε καὶ Οὔρεσιν ἄγοντες παρ' αὐτὸν ἦλθον, ὅτῳ αὐτὸς ἐπιψη-
φιεῖται ἀναγκαίως ὑπακούσεσθαι λέγοντες. δίκης τοίνυν αὐτοῖς
ἀνοιγείσης βραβεῖόν τι ἐκ βασιλέως Οὔρεσις αὖθις τὴν ἀρχὴν
ἔσχεν. ἀλλὰ ταῦτα μὲν ὕστερον.

10. Βασιλεὺς δὲ ἐπὶ τὴν Οὐννικὴν ἐχώρει, τὴν εἰς Δαλ-
μάτας πρότερον καθάπερ εἴρηται συμμαχίαν ὑπόθεσιν πολέμου
πεποιημένος αὐτοῖς. οὐ μὴν ἀκηρυκτὶ ἐπ' αὐτοὺς ἦλθεν, ἀλλὰ V 51
γράμμασι πρότερον τά τε ἐς αὐτὸν ἡμαρτημένα σφίσιν ἐδήλου καὶ
τὴν Ῥωμαίων αὐτίκα ἐμήνυεν ἔφοδον. ἐπειδὴ γοῦν πρὸς ταῖς B
Ἴστρου ὄχθαις ἐγένετο, νεῶν οὐδαμῇ παρουσῶν ἃς ἐκ Βυζαντίου

1. ποδῶν ἰχνῶν] Alterutrum delendum videtur. 9. μέντοι οὕτω] Cod. μὲν τοιούτῳ. Duc. μὲν τοιοῦτο.

per ab humo exsurgens, ubi ad imperatoris pedes prostratus iacebat, iureiurando pacta confirmavit fidemque dedit servum se Romanorum omni tempore futurum, et si in Occidentem arma princeps circumferret, cum duobus se millibus secuturum illum professus est: si vero in Asia bellum gereretur, trecentis quos prius mittere consueverat ducentos additurum. his rebus feliciter gestis Constantinopolim imperator rursum rediit. eodem tempore classis relata est Byzantium, nullo in Italia confecto negotio. ita quidem Romanorum imperium agnovere Dalmatae, ut et longo post tempore, cum Uresin principatu deturbassent, atque inscio imperatore illum alteri eius fratri tradidissent; veriti, ut par erat, ne is ipsis succenseret, Dese et Uresi adductis, ad eum venerunt, dictitantes ei cui suffragaturus ille foret, sese parituros. pronuntiato igitur iudicio, Uresis praemii vice principatum ab imperatore obtinuit. sed de his postea.

10. Inde in Hungariam perrexit princeps, belli causam obtendens submissa, ut dictum est, Dalmatis auxilia. neque tamen indicto bello aggressus est Hungaros, sed iis quae in se deliquissent per literas primo expositis, proximum Romanorum adventum illis indicavit. ubi itaque ad Istri ripam pervenit, cum nullae adessent naves ex iis quas Byzantii apparaverat,

ἑτοιμασάμενος εἶχεν, ὡς μὴ τὴν ὀξύτητα τοῦ καιροῦ καταπροήσεται, ὃ καὶ μάλιστα κατορθωτικὸν ἐν τοῖς τοιούτοις φιλεῖ γίνεσθαι, λεμβάδιόν τι ἀναβάς, ὁποῖα πρὸς ταῖς ἀκταῖς ἐνταῦθα διασαλεύει αὐτόξυλα, ἐπὶ τὴν περαίαν ἐφέρετο ἀπὸ ῥυτῆρος ἑλκόμενον τὸν ἵππον αὐτὸς ἔχων. ἑξῆς δὲ καὶ Ῥωμαίων στρατὸς τρόπῳ τῷ αὐτῷ περαιωσάμενοι τὴν Οὐννικὴν ἐπάτουν, ἐνδοτέρω τε προχωροῦντες ἀφειδῶς ἀεὶ τὰ ἐν ποσὶν ἔκειρον. ἦν δέ τι κρησφύγετον ἐνταῦθα ἐπὶ θάτερα τοῦ ποταμοῦ ἱδρυμένον Ζεύγμινον ὄνομα, τειχέων τε καρτερότητι καὶ τῇ ἄλλῃ ἀσφαλείᾳ ἱκανῶς ἔχον. τοῦτο
C ἐπειδὴ μὴ ἐξ ἐπιδρομῆς ἑλεῖν εἶχεν, αὐτοῦ Θεόδωρον τὸν Βατάτζην σὺν στρατεύματι ἔλιπε γαμβρὸν αὐτῷ ἐπ' ἀδελφῇ γεγονότα· ὁ δὲ τὰς τῇδε κώμας περιϊὼν ἄρδην ἠνδραποδίζετο. ὅτε καὶ Οὔννων στρατὸς ἐχώρει μὲν ὡς Ῥωμαίοις ἀντιταξόμενος· ἐπεὶ δὲ ἔγνω ἀνεφίκτοις ἐπιχειρεῖν μέλλων, προσεχώρει καὶ αὐτὸς τῷ βασιλεῖ, καὶ τὸ λοιπὸν κατ' ἐξουσίαν ἤγετό τε καὶ ἐφέρετο πάντα. ἦν οὖν ἰδεῖν ἡλικίαν πᾶσαν δορύκτητον ἐλαυνομένην καὶ ἔθνη ὅλα κινούμενά τε καὶ ἀναστατούμενα, καὶ ἣν Ἴστρος καὶ Σάος ποταμοὶ ἐξ Ἄλπεων ῥέοντες ἐπὶ Οὐννικῆς αὐτοματίζουσι νῆσον ἄνωθεν ἐφ' ἑκάτερα σχιζόμενοι καὶ μετὰ πλείστην ὅσην ἐς ταυτὸ πάλιν
D ἰόντες περίοδον, κενουμένην πᾶσαν καὶ κατοίκων σπανίζουσαν. ὅτε καὶ αὐτὴν τὴν ῥηγικὴν Ῥωμαῖοι κατεστρέψαντο οἰκίαν, πρᾶγμα ἐν τοῖς Ῥωμαίων μεγίστοις εὐτυχήμασιν ἀναγεγράφθαι ἄξιον. ταῦτα κατωρθωκὼς βασιλεὺς ἐπὶ Ζεύγμινον ἦλθεν, ἔνθα ὁ Βατάτζης καθάπερ εἴρηται λειφθεὶς τὴν προσεδρείαν ἐποιεῖτο. ἀλλ' οἱ

ne temporis occasionem negligeret, quae in iis rebus, ut cuncta prospere cedant, maximi momenti esse solet, lintrem, cuiusmodi ibi multae ad littus reperiuntur uno ex ligno cavatae, atque una equum freno attrahens in adversam ripam traiecit. exinde eodem pariter modo in Hungarorum fines irrupit Romanorum exercitus: atque interiora petens obvia quaevis effuse depopulatus est. erat in altera situm fluminis ripa castrum Zeugminum nomine, murorum ceterarumque munitionum robore satis validum. atque illud cum primo impetu expugnare haud posset, Theodorum Batatzem sororium suum reliquit cum exercitu: ipse regionis illius vicos circumiens plurimos in potestatem recepit. Hungarorum interea processit exercitus Romanos excepturus. at cum viribus longe se vidit imparem, dedidit sese pariter imperatori, qui deinceps rapuit sustulitque pro libitu omnia. videre itaque erat omnis aetatis multitudinem bello captam agi, gentemque totam aliam in sedem transferri: quamque Savus et Ister, fluvii ex Alpibus profluentes, in Hungariae finibus efficiunt insulam (superius enim diffissi a se invicem, post multum circuitum in unum denuo coëunt) vacuam omnino nulloque cultam habitatore. quo tum casu everterunt Romani etiam domum regiam: res sane quae inter maximos Romanorum fortunae successus referri mereatur. his ita prospere gestis ad Zeugminum rediit imperator, ubi Batatzes, qui relictus ibi fuerat, obsidionem urgebat. sed qui loci praesidium

τὸ φυλακτήριον ἔχοντες, ἕως μὲν οὐκ εἰς μακρὰν ἐπιβεβοηθηκέναι
σφίσι τὸν ῥῆγα ἠλπίζετο, ἰσχυρῶς αὐτοῦ μετεποιοῦντο· ἐπεὶ δὲ ὁ
μὲν ἠγγέλλετο παρὼν οὐδαμοῦ, Ῥωμαῖοι δὲ πρὸς τὸ τειχομαχεῖν ἤδη
ἐγίνοντο, πρὸς τὸν ἐπηρτημένον κατορρωδήσαντες κίνδυνον ἔχρῃ- P 66
ζον βασιλέως, ὡς ἐπ' ἀθῴοις ἐντεῦθεν ἀπαλλαγησόμενοι σώμασιν
ἐνδῶσι τὸ φρούριον αὐτῷ. τοῦ δὲ πρὸς τοῦτο ἀνανεύοντος, σχοί-
νους τε τῶν τραχήλων ἐξῆψαν καὶ τὰ καλύμματα τῶν κεφαλῶν
ἀποθέμενοι ξὺν ἀτιμίᾳ τῷ βασιλεῖ παρεῖχον ἑαυτούς. ὁ δὲ ἀπεῖπε
Ῥωμαίοις τούτων μὲν ἀποκτιννύναι μηδένα, τὸ φρούριον δὲ μεγά-
λων μεστὸν ὂν ληΐζεσθαι ἀγαθῶν.

11. Ταῦτα Ῥωμαῖοι καταπραξάμενοι ὡς ἐπὶ Σάον περαιω-
σόμενοι ἐφέροντο, πολλῷ στρατοπέδου τοῦ αὐτῶν πλείω τὴν ἀν-
δραποδισθεῖσαν τῶν Οὔννων ἄγοντες ἡλικίαν. ἀλλ' οὔπω ἐπεραιώ-
σαντο, καὶ διήγγειλεν ἡ φήμη τὸν Παιόνων ῥῆγα χεῖρα ἐπαγόμενον B
βαρεῖαν θυμῷ πολλῷ κατὰ Ῥωμαίων ἥκειν, ἤδη τὸν κατὰ Γαλί-
τζης χώρας Ταυροσκυθικῆς πόλεμον εὐτυχῶς διενεγκόντα. οὗ δὴ
ἕνεκα μάλιστα βασιλεὺς αὐτὸν ἠμύνατο, ἅτε παρὰ γνώμην τὴν
αὐτοῦ Βλαδιμηρῷ ἐπιφυέντα (τοῦτο γὰρ ὄνομα τῷ Γαλίτζης ἄρ-
χοντι ἔκειτο) ἀνδρὶ ὑποσπόνδῳ Ῥωμαίοις ὄντι. τούτων ἀκούσας
ὁ βασιλεὺς τὸ μὲν ἄλλο στράτευμα καὶ ὅσον ἐν σκευοφόροις ἦν καὶ
τὰ πλεῖστα τῶν ζωγρηθέντων πλήθει ἀριθμοῦ κρείσσω τυγχάνοντα
ἐκέλευε διαπορθμευσαμένους ἐπὶ τῆς ἀντιπέρας μεῖναι ὄχθης· ὁ δὲ V 52
τὸ ἀπόλεκτον τοῦ στρατοπέδου ἀναλαβών, καίτοι πολλὰ τῶν στρα-

3. πρὸς τὸ] Fort. πρὸς τῷ. 23. πολλὰ] Fort. πολλῶν.

tenebant, quamdiu spes erat brevi cum auxilio regem adfuturum, defendebant sese acriter. verum ut intellexere nequaquam illum adesse, ac iamiam moenia acrius impugnantibus Romanis, periculo imminente conterriti, rogavere principem ut tradita arce salvis inde corporibus liceret iis excedere. quam rem cum abnueret, funibus collo appensis abiectisque capitum operculis, per summum dedecus sese ipsos imperatori dedidere. tum ille, ne eorum quisquam a Romanis interficeretur, prohibuit; arcem vero gravi refertam praeda iis diripiendam concessit.

11. His confectis Romani versus Savum velut traiecturi pergunt, numero maiorem captivorum adducentes multitudinem quam esset exercitus: sed necdum flumen transierant, cum nuntiatur Pannoniorum regem cum ingentibus istic adesse copiis summo animi ardore cum Romanis pugnare gestientem, rebus iam in Galitza, regione Thauroscythicae, praeclare feliciterque peractis. huius quippe rei potissimum causa imperator bellum istud aggressus erat, quod se invito Bladimerum (id nomen erat Galitzae principi), virum Romanis foederatum, invasisset. quo cognito imperator reliquam aciem, impedimenta, ingentemque et innumeram captivorum multitudinem in adversam transferri ripam iubet ibique considere: ipse cum delectis militibus, etsi consilium haud probarent ducum plerique, summa celeritate

C τηγῶν οὐκ ἐπιψηφισαμένων τοῖς δόξασιν, ἐπείγετο τὴν ταχίστην συμπλακησόμενος αὐτῷ, λύκων οὐ λεόντων εἶναι φάμενος ἔργον τοῦ μὲν τῶν προβάτων κατεπείγεσθαι πλήθους, ποιμένων δέ ποθεν ἢ κυνῶν ἐκφανέντων φεύγειν μηδὲν αἰσχυνομένους, μόνῳ τῷ αὐτοὺς καὶ τὰ θηραθέντα περισώζειν μόγις καὶ ἀγαπητῶς ἀρκουμένους. ὅτε λέγεταί τι καὶ τοιοῦτον, ὁποῖον εἰ μὲν καὶ ἀντικρὺς προελομένῳ ἔδοξεν αὐτῷ, οὐκ ἔχω ἐπαινεῖν, εἰ δὲ καὶ προμηθείας τινὸς ὅπερ οἶμαι ἕνεκα καὶ τοῦ εὐψυχότατα Ῥωμαίους ἀμφ' αὐτῷ ἀγωνιεῖσθαι, στρατηγικῆς ἥγημαι ἐπινοίας ἄξιον εἶναι. ἐπειδὴ γὰρ τῶν Σάου ναμάτων ἀπαίρειν ὡς ὑπαντιάσων τοῖς Παίοσι συνε-
D σκεύαστο ἤδη, παρηγγύα τῷ τὴν στολαρχίαν ἐμπεπιστευμένῳ θατέρᾳ τοῦ ποταμοῦ ὄχθῃ προσεσχηκότα αὐτοῦ σὺν ταῖς ναυσὶν ἵστασθαι, ἢν δέ ποτε Ῥωμαίων τις φυγὰς ἐπὶ τὴν ἑτέραν ἰὼν διαπορθμεύεσθαι ἀξιοίη, τὸν δὲ ἀλλὰ μηδὲ ὁρᾶν προσποιεῖσθαι τὸν ἄνθρωπον. "κἂν αὐτὸς" ἔλεγε "παρέσομαι βασιλεὺς ἕτερα τῶν παρόντων ἑλόμενος, ἀποπροσποιεῖσθαί σε τοὺς λόγους χρεών, ἢ μὴν μὴ οὕτω ποιῶν τὸν αὐτίκα οὐκ ἐκφεύξῃ ἀνασκολοπισμόν." ταῦτα μὲν ὧδε διετάξατο, θάρσους οἶμαι θύραν τοῖς στρατιώταις, ὅπερ ἤδη ἔφην, ἐντεῦθεν ὑπανοιγνύς. τῆς γὰρ ἐκ δειλίας ὀνήσεως οὐδαμῇ παρούσης ἀνάγκη ἐς τὴν ἐπὶ τοῦ θάρσους μετασκευά-
P 67 ζεσθαι ἀρωγήν. μέλλοντι δὲ ἄρτι που ἐκεῖθεν ἀπελαύνειν ἧκέ τις δορυαλώτων Ῥωμαίων φυγὰς ἐκ Παιόνων τὴν τοῦ ῥηγὸς ὅσον οὐκ ἤδη μηνύων ἔφοδον. τούτων ἀκούσας ὁ βασιλεὺς οὐκέτι κατέχειν

5. καὶ τὰ θηραθέντα] Ita Duc. Cod. καταθηραθέντα. 13. δέ ποτε] Cod. δή ποτε.

in hostem contendit, luporum esse, non leonum dictitans pecorum greges incessere: ceterum pastoribus aut canibus conspectis sine pudore ullo fugere, eo solo si sese et captam praedam retineant aegre licet ac vix contentos. illud etiam de eo fertur, quod quidem, si id egit ex animi consilio, laudare vix possim: sin autem quia tum quidpiam praeviderit, quod reor, aut tutari ac defendere voluerit qui circa se erant Romanos, militaris prorsus providentiae facinus memoratu dignum esse arbitror. cum enim ab Savo statueret discedere, quo Hungaris occurreret, vasaque iam collegisset, imperavit navium praefecto ut in alteram fluvii ripam traiiceret ibique consisteret cum navibus: ac si quis ex Romanis fugam meditatus se traiici postularet, quasi non videret hominem nihil moraretur. "vel si ipse" aiebat "imperator adero, aliaque ac modo videntur in animum induxero, quae iussero negligas necesse est. sin secus feceris, continuo palo affixus supplicium non effugies." ea quidem ille sic tum ordinavit, ut ad audaciam et magnanimitatem aditum, quemadmodum diximus, militibus quodammodo faceret. ubi enim nullum ex metu compendium adest, tum ab audacia necessario petendum est auxilium. abitum itaque inde paranti quidam a Romanis captivis, qui ab Hungaris evaserat, iamiam adventurum regem indicat. hoc accepto

ἑαυτὸν οἷός τε ἐγένετο, ὡς μὴ πρότερον ἀφικόμενον τὸ Οὐννικὸν φεύγουσιν ἐπιθέσθαι δόξειε Ῥωμαίοις. ταξάμενος τοίνυν ἐχώρει παλίμπους. ὡς δὲ ὁ ῥὴξ μὲν οὐ παρῆν, Βέλοσις δὲ ὁ τὰ πρῶτα παρ' ἐκείνῳ φέρων (Μπάνον ταύτην καλοῦσιν Οὖννοι τὴν ἀρχὴν) οὐ μακρὰν εἶναι ἠγγέλλετο, σπουδῇ ἐπ' ἐκεῖνον ἐφέρετο. ἐπειδή τε συνεσκόταζεν ἤδη, τοῦ ἵππου ἀποβὰς αὐτός τε ἐπὶ τῆς ἀσπίδος ὑπτίου πρὸς τοῖς ὅπλοις ὕπνωσε τοῖς αὐτοῦ καὶ τὸ στράτευμα ἐπὶ τοῖς αὐτοῖς ξυνδιήγαγεν ἅπαν. τῇ δ' ὑστεραίᾳ Βέλοσις μὲν ἐπιόντα βασιλέα πυθόμενος ᾤχετο πανστρατὶ σκήψεις τινὰς οὐχ ὑγιεῖς ἀναπλάσας. B πρόφασιν γὰρ τοῦ φεύγειν ἐκποριζόμενος μεμηνῦσθαι αὐτῷ πρὸς τοῦ ῥηγὸς ἔφασκε τῆς προκειμένης ἀποκλίνοντι ὡς ἐπὶ Βρανιτζόβαν πόλιν ἰέναι, ὅπως ἐντεῦθεν μᾶλλον Ῥωμαίοις ἰέναι ἐλθεῖν αὐτὸν γένοιτο. βασιλεὺς δὲ τοῦ καὶ εἰσέτι διώκειν ἀποσχόμενος ἐπὶ τὸν ποταμὸν ἐλθὼν ἐπεραιοῦτο, ἐν Βρανιτζόβῃ τε γεγονὼς ἐνταῦθα ηὐλίζετο. ὀλίγῳ δὲ ὕστερον καὶ κατ' ἄλλο που τῆς Οὐννικῆς μέρος, οὗ δὴ τὸ ὄρος ἐστὶν ὃ Τεμίσης πρὸς τῶν ἐγχωρίων ὠνόμασται, προνομεῦσαι διανοηθεὶς Βορίσην ἅμα στρατεύματι ἔπεμπεν, ὃς καὶ αὐτὸς ἐκ τῶν αὐτῶν ἐλέγετο τῷ Ἰατζᾷ φυῆναι σπερμάτων κατὰ διένεξιν δέ τινα ἐς βασιλέα Ἰωάννην φυγὰς ἔτυχε πολλῷ πρότερον ἐλθών. ὁ δὲ τιμῆς τε μετέδωκεν ἱκανῶς C καὶ κῆδος ξυγγενοῦς τινος ξυνῆψε κόρης αὐτῷ. οὗτος δὲ ὁ Βορίσης πρὸς τῷ χωρίῳ γενόμενος περιῄει τὰς τῇδε κωμοπόλεις ἀναστατῶν, πλήθεσί τε κατοίκων μονονουχὶ στενοχωρουμένας καὶ παν-

12. ἰέναι ἐλθεῖν] Duc. ἐπελθεῖν. Fort. ἰέναι delendum. Tollius coniec. Ῥωμαίους περιελθεῖν. 19. διένεξιν] διένεγξιν?

nuntio imperator vix sese continere potuit, veritus, ne cum prior adveniret, fugientes Romanos aggredi videretur Hungarorum exercitus. ordinata igitur acie retro cessit. ut vero constitit non ipsum adesse regem, sed Belosim, qui primas apud eum obtinebat (Banum vocant eiusmodi dignitatem Hungari) appropinquare cum exercitu, in eum citato impetu fertur. verum cum nox ingrueret, equo desiliens, totus armatus, super inverso et supino clypeo somnum cepit, idemque ut milites facerent imperavit. postero autem die Belosis adventare principem certior factus, cum universo exercitu recessit, nescio quos haud sanae mentis simulans praetextus. quo enim fugae captaret occasionem, mandatum sibi aiebat a rege, ut ab hac regione abscederet, iterque intenderet ad Branizobam, ut inde facilius Romanos adoriretur. at imperator, cum necdum fugientes insequi cessaret, superato fluvio, Branizobam pervenit ibique castra posuit. paulo post in aliam Hungariae partem, ubi mons est, Temises ab incolis dictus, quo vastaret adiacentes agros, mittit cum exercitu Borizem. ex eadem ille qua Geiza familia dicebatur esse: propter autem nescio quam simultatem ad Ioannem imperatorem profugerat, a quo et magnis fuerat auctus honoribus, unamque e consanguineis obtinuerat uxorem. eum in locum postquam venit Borizes, maiores vicos, incolarum frequentia late extensos omnibusque refertos bonis circumeundo

τοίοις περιβριθεῖς οὔσας καλοῖς. ὅτε δὴ καὶ φάλαγξι τρισὶν Οὐννικαῖς εἰς χεῖρας ἐλθὼν ἐτρέψατό τε κατὰ κράτος αὐτὸν βασιλέα παρεῖναι οἰηθείσας, καὶ βαρὺς ταῖς ὠφελείαις ἐκεῖθεν ἀναστρέψας V 53 εἰς τὸ Ῥωμαίων ἦλθε στρατόπεδον. ὁ δὲ ῥὴξ γνοὺς ὡς Βορίσης ταῦτα οὐ βασιλεὺς Ῥωμαίων εἰργασμένος ἔτυχε Παιονίαν τὰ δεινά, θυμομαχήσας ὀπίσω ἐδίωκεν. οὐ μὴν καὶ ἐδυνήθη Βορίσῃ συμ- D μῖξαι ἤδη νυκτὸς ὑπὸ λαμπάσι περαιωσαμένῳ, ἃς πολλὰς ἐκ τοῦ στρατοπέδου βασιλεὺς ὑπανῆψεν αὐτῷ. ὅτε καὶ δύο τῶν ἐκ τοῦ πεζῶν καταλόγου ἐπὶ τῆς ἀντιπέρας ἔτι λειφθέντες ὄχθης τῶν Οὔννων ἀφικομένων τὰς τῇδε ὑπελθόντες λόχμας λαθεῖν ἴσχυσαν. ταῦτα κατωρθωκὼς βασιλεὺς πόλεις τε τὰς Παριστρίους ὡς ἐνῆν κρατυνάμενος ἐνταῦθα διατριβὴν ἐποιεῖτο, σκεπτόμενος τὸν Ἴστρον τε αὖθις διαβῆναι καὶ τῷ ῥηγὶ συμπλακήσεσθαι περὶ θατέραν τοῦ Ἴστρου ὄχθην ἐνστρατοπεδευομένῳ καὶ αὐτῷ. ὅπερ ἐκεῖνος μα- P 68 θών, πρὸς τὴν ἀπὸ τῆς τύχης ἀποδειλιάσας ἔκβασιν, μὴ καὶ ἐν τούτῳ δυστυχήσαντος πανωλεθρίᾳ λοιπὸν τὸ Οὐννικὸν ἐκτριβῇ, ἐς βασιλέα πέμψας εἰρηναῖα διελέξατο, τοῦ λοιποῦ τε βασιλεὺς ἐς Βυζάντιον ἦλθεν ὑπὸ θριάμβῳ τε πομπεύσας λαμπρὰ θεῷ τὰ χαριστήρια ἔθυσεν. ὑπὸ τοῦτον τὸν χρόνον καὶ θυγάτριον αὐτῷ πρώτως ἄρτι ἐκ τῆς Αὐγούστης ἐτέχθη Εἰρήνης κάλλει διενεγκὸν Μαρία τε ὠνομάσθη καὶ βασιλὶς ἀνεβοήθη.

12. Ῥωμαῖοι μὲν ἐν τούτοις ἦσαν. Ῥογερίου δὲ τοῦ Σικελῶν τυράννου τὸ ζῆν καταστρέψαντος, Γιλίελμος ὁ ἐκείνου παῖς

1. Οὐννικαῖς] Cod. Οὐννικοῖς. Correxit Duc. 18. λαμπρὰ] Cod. λαμπρῷ.

depopulatur. ad haec cum tribus Hungaricis phalangibus consertis manibus, hostes plane fudit, qui adesse principem putaverant, rediitque in castra praeda gravis. rex autem ubi intellexit Borizem, non Romanorum imperatorem, haec intulisse Hungariae damna, totus praelium spirans a tergo insequitur. sed enim non potuit assequi Borizem, qui sub noctem excesserat praelucentibus facibus, quas crebras princeps accensas submiserat e castris. quo tempore etiam accidit ut in adversa ripa relicti adhuc duo e pedestribus numeris, cum virgulta istic subiissent, advenientes Hungaros laterent. his feliciter gestis imperator, expugnatisque quantum licuit Transistrianis oppidis, ibi aliquamdiu moratus, Istrum superare rursum et cum rege qui in altera fluvii ripa castra habebat, praelium conserere statuit. quod postquam ille advertit, veritus fortunae exitum et si male res cederent, ne Hungari internecione delerentur, legatos ad petendam pacem ad imperatorem misit, qui tandem Byzantium redux, acto triumpho, praeclaras deo gratias retulit. sub idem tempus prima illi ex Irene Augusta nascitur, insigni pulchritudine filia, et Mariae nomen sortita imperatrix renuntiata est.

12. Haec apud Romanos gesta. mortuo autem Rogerio Siciliae tyranno Gulielmus filius regnum excepit. multa ille in imperium Romanum a

τὴν ἡγεμονίαν παραλαβὼν πολλά τε ξυνειδὼς ἐς τὴν Ῥωμαίων ἀρ- B
χὴν τῷ πατρὶ διημαρτημένα, δεῖν ἔγνω πρέσβεις ἐς βασιλέα πέμ-
ψαι οὕτω τε τὰ διάφορα λῦσαι. ἧκον οὖν ἄνδρες ἐπίσκοπον ἕκα-
στος περικείμενος ἀρχήν. ἦν δὲ ὁ τῆς πρεσβείας νοῦς τοιοῦτος.
χρήματα μὲν καὶ σώματα ὁπόσα Ῥογέριος Εὐβοίας τε καὶ Θηβῶν
τῶν ἐν Ἑλλάδι πόλεώς τε Κορίνθου, καθάπερ μοι δεδιήγηται,
ναυσὶ περιαρπασάμενος ἔτυχε, ταῦτα δὲ πάντα ἀποδοῦναι ἀπηγ-
γέλλετο, βασιλεῖ δὲ πάντα ὅσα βουλομένῳ ἔσται ὑπηρετήσειν ἄσμε-
νος ὡμολόγει. ἀλλὰ βασιλεὺς τοὺς πρέσβεις μὲν ἀπεπέμψατο,
στόλον δὲ νεῶν ἀγείρας στρατόν τε ἐμβιβάσας αὐτῷ, στρατηγοῦντι
Κωνσταντίνῳ ὃν Ἄγγελον ἐπεκάλουν θεῖον αὐτῷ γεγονότα, ἐκέλευε
περί που τὴν Λακωνικὴν προσεσχηκότα ἐνταῦθα καὶ τὸ λοιπὸν τοῦ C
στόλου ὅσον οὐδέπω ἀφιξόμενον περιμεῖναι μέρος. ὁ μὲν οὖν ἄρας
ἐκ Βυζαντίου πνεύματός τε ἐπιφόρου τυχὼν ἀκρωτηρίῳ τῆς Λα-
κωνικῆς προσέσχεν, ὃ Μονεμβασία ἐκ τῆς τοῦ τόπου θέσεως πρὸς
τῶν πολλῶν ὀνομάζεται. βασιλεὺς δὲ Ἰατζᾶν τῶν Παιόνων ῥῆγα
τοῖς φθάσασιν ὠδίνοντα ἐξαπιναίως ταῖς Παριστρίοις ἐπιτεθήσε-
σθαι πόλεσι διανοεῖσθαι μαθών, προφθάνειν ἠπείγετο τὴν ἐγχεί-
ρησιν. καὶ δὴ πρὸς ταῖς τοῦ Ἴστρου καὶ πάλιν ὄχθαις ἢ τάχους
εἶχε γενόμενος ἀντεκάθητο τῷ Οὐννικῷ ἐπὶ θάτερα ἐνεστρατοπε-
δευμένῳ καὶ αὐτῷ. μέχρι μὲν οὖν τινος οὐδέτεροι χειρῶν ἄρχειν D
ἤθελον, ἄλλως τε καὶ νεῶν οὔπω Ῥωμαίοις ἐν τῷ τέως παρουσῶν.

2. διημαρτημένα] Cod. διημαρτημένῳ. 7. ταῦτα δὲ] Fort. ταῦτα δή. ibid. ἀπηγγέλλετο] Fort. ἐπηγγέλλετο. 8. βασιλεῖ] Ita Tollius. Cod. βασιλεύς. 20. ἐνεστρατοπεδευμένῳ] Cod. ἐνστρατοπεδευμένῳ.

parente delicta esse conscius, necessum putavit ad dirimendas simultates legatos ad principem mittere. venerunt ergo viri episcopali dignitate insignes, eratque ea fere legationis sententia: res omnes, captivos, quaeque Rogerius ex Euboea et Thebis Helladicis, urbeque Corintho, sicut ante narravimus, erepta navibus avexerat, redditurum, quaeque vellet imperatori libentissime suppeditaturum se pollicebatur. at princeps, reiectis legatis, classe apparata idoneoque in eam immisso exercitu, Constantinum cognomento Angelum, avunculum suum, ducem ei praeficit, datque in mandatis ut circa Laconicam appelleret ibique reliquam classem iamiam adventuram opperiretur. ille igitur Byzantio relicto, vento usus secundo, ad Laconicae promontorium defertur, quod vulgo ob situm Monembasiam vocant. ut vero accepit imperator Geizam Hungariae regem praeteritis irritatum calamitatibus Transistriana oppida ex improviso aggredi velle, praevertere hominis conatus occupat. itaque ad Istri ripam quanta potuit celeritate reversus, Hungaricis copiis in altera fluvii ripa considentibus se obiecit. aliquamdiu pars utraque a praelio cessavit, quod neutra vellet incipere: ac Romanorum praesertim, quorum naves nondum advenerant. sed ubi aliquot post

ἐπεὶ δὲ ἡμέραις τισὶν ὕστερον Ῥωμαῖοι ἐκ τῶν παρόντων ναυπηγησάμενοι ἀκάτια ὅτι πλεῖστα καθείλκυσαν εἰς τὸν ποταμόν, γνοὺς τὰ πρασσόμενα τῶν Παιόνων ὁ ῥὴξ δείσας τε, ὅπερ ἔφην, μὴ καὶ δεύτερον ἠτυχηκὼς περὶ αὐτοῦ κινδυνεύσῃ τῇ ἀρχῇ, ἐπὶ συμβάσεις καὶ πάλιν ἐχώρει. πρέσβεις τε πέμψας ᾐτεῖτο χιλιάσιν οὐ πλέον δέκα ζημιωθὲν τὸ Οὐννικόν, τὴν ἄλλην τῶν αἰχμαλώτων πληθὺν ἀπολαμβάνειν αὖθις. οὕτω γὰρ φίλα διὰ βίου Ῥωμαίοις φρονήσειν ἔλεγε καὶ ἐν ὑποσπόνδοις τετάξεσθαι αἰῶνα τὸν πάντα. ἐπὶ τούτοις οὖν τῆς εἰρήνης τελεσθείσης ἐκεῖθεν ὁ Ῥωμαίων ἀνεζεύγνυ στρατός.

P 69 13. Ἐν τοιούτοις μὲν τὰ κατὰ τὴν ἤπειρον εἶχε. τὰ δὲ
V 54 κατὰ θάλασσαν κακότητι στρατηγοῦ εἰς τοὐναντίον ἐτελεύτα. ὁ γὰρ Ἄγγελος ἐκ τῆς κατ' Αἴγυπτον γῆς καὶ ποταμοῦ Νείλου τὸν Γιλιέλμου στόλον ἀνάγεσθαι μαθὼν λαφύρου πλησάμενον ὄλβου τε τοῦ ἐνταῦθα, μέγα τι δρᾶσαι ᾠήθη. ὅθεν καὶ τὸν ἐκ Βυζαντίου λοιπὸν οὐκ ἀναμείνας στόλον ὡς εἶχε τάχους ἀνήγετο, ὑπαντιάσειν αὐτῷ προθυμούμενος, καίτοι πολλὰ πρὸς τοῦτο βασιλέως ἀπολέγοντος γράμμασί τε παρεγγυωμένου μὴ ἂν οὕτως ὀλιγανδρούσῃ δυνάμει πρὸς πολλῷ πλέονα διαγωνίσασθαι ἰσχύν. κωλῦσαι γὰρ ἐμαρτύρετο οὐδὲν αὐτὸν πρὸς τῶν βαρβάρων ἁλῶναι τὸν Ἄγγελον
B καὶ οὐδὲ ἄγγελον γοῦν ἐκεῖθεν ἐπανήξειν, ὃ δὴ λέγεται. ἀλλ' ἐκεῖνος περὶ ἐλάσσονος ταῦτα πεποιημένος τῷ Σικελικῷ ἤδη παραφανέντι ξυνέμιξε στόλῳ. Σικελοὶ τοίνυν τὸ μὲν πρῶτον πρύμναν

9. τελεσθείσης] Cod. τελευθείσης.

diebus, confectas ex ea, quae occurrebat materia, naviculas complures deduxere in flumen, tum quae gererentur edoctus Hungariae rex, veritusque, ut dixi, ne rursum belli fortuna inclinante, principatum ipsum discrimini exponeret, iterum se ad pacis conditiones contulit. missis igitur legatis petiit ut decem non amplius millibus Hungarorum multatis, reliquam captivorum multitudinem reciperet: his conditionibus amicum se quamdiu viveret Romanorum et foederatum semper fore pollicitus. his ergo conditionibus sancita pace, Romanae copiae redierunt.

13. Sic in continenti se res habuere: at maritimae ducis improbitate non eundem sortitae sunt exitum. quippe Angelus, ubi agnovit Gulielmi classem ex Aegypto et Nilo flumine praedis opibusque quales Aegyptus praebet onustam adnavigare, magnum facinus edere statim in animum inducit. hinc non expectata Byzantio altera classis parte, avidus pugnae, vela in hostem quam celerrime contrahit, licet vetante id principe, literisque monente, ne cum tam exigua manu cum multo maioribus copiis congrederetur. dictitabat enim nihil impedimento fore, quo minus a barbaris caperetur Angelus, ac ne nuntius quidem, ut proverbio dicitur, inde reverteretur. at ille isthaec non curans, cum obvia Siculorum classe manus conserit. Siculi

ἐκρούσαντο παλίντροποί τε συντεταγμένως ἐχώρουν. ἐπεὶ δὲ Ῥωμαίους ἀταξίᾳ πολλῇ ἔχεσθαι ἔγνωσαν τό τε εὐαρίθμητον αὐτοῖς τῶν νεῶν ἤδη καταφανὲς ἦν, αἴφνης ἐπιστραφέντες ἐφέροντο κατ᾽ αὐτοῦ, τοῦ κατὰ πρύμναν Ῥωμαίοις ἱσταμένου πνεύματος τύχῃ τινὶ ἐπὶ τὴν πρώραν μεταθεμένου. αἱ μὲν οὖν ἄλλαι Ῥωμαίων νῆες τοῦ Ἀγγέλου κατάρξαντος, ὃς τῷ πρωτοστρατήγῳ ἀδελφὸς ἦν (ὀλίγων δὲ νεῶν καὶ αὐτὸς ἦρχε) φυγῇ ἀκόσμῳ ἐχρῶντο. Κωνσταντῖνος δ᾽ ἐν μέσοις τοῖς πολεμίοις ἀπολειφθεὶς C ὑπὸ ταῖς αὐτῶν ἐγεγόνει χερσί, τοῦτο τῆς ἀβουλίας ὀνάμενος τῆς αὐτοῦ. τοιαῦτα καινοτομῆσαν ἐξῆκεν ἤδη τὸ ἔτος ἐκεῖνο.

14. Βασιλεὺς δὲ νεωτερίζειν καὶ πάλιν τὸν Παιονάρχην ἀκούσας (οὐ γὰρ ἠνείχετο τηλικαῦτα περιυβρισμένος), ἤδη τῆς ἐπὶ τὸν Ἴστρον καὶ πάλιν φερούσης ἥπτετο. τοῦ δὲ πρὸς τὴν ἐπέλευσιν ἐκπλαγέντος περὶ εἰρήνης τε καὶ αὖθις διαπρεσβευσαμένου, τότε μὲν ἐλύετο σφίσιν ὁ πόλεμος καὶ τὰ τῆς εἰρήνης ἐγέλα καλά, ὀλίγῳ δ᾽ ὕστερον Ἀνδρονίκου τοῦ βασιλέως ἐξαδέλφου τὰς αἰτίας ἐνδόντος κατὰ Ῥωμαίων καὶ αὖθις ἐπολεμώθη. ἀλλὰ ταῦτα μὲν ὕστερον. τότε δὲ βασιλεὺς τοῦτον δὴ τὸν Ἀνδρόνικον ἐπὶ τὴν Κιλίκων καὶ Ἰσαύρων ἔπεμπε γῆν, στρατηγὸν αὐτοκράτορα τοῦ πολέμου τοῦδε καταστησάμενος. Τερόζης γὰρ ἀνὴρ τύχης ἐπιφανοῦς Ἀρμένιος γένος πρὸς βασιλέως Ἰωάννου δορυάλωτος ἐκ μα- D κροῦ γεγονώς, ὁπότε πρὸς τοῖς Ἰσαύρων ἐκεῖνος ἐστράτευεν ὅροις, φυγὰς ἐκ Βυζαντίου ἐπὶ Κιλικίαν ἦλθε καὶ ἀποστασίαν ὠδινήσας τῆς Ῥωμαίων χειρὸς ἀφιστᾷν ἐπεχείρει πόλεις τὰς τῇδε. Ἀνδρό-

primum inhibuere retro naves et ordinate cessere. ubi vero ferri incomposite Romanos conspexerunt, tum demum quam exigua eorum esset classis apparuit. itaque repente conversi eam invadunt, vento, quem primum a puppe habuerant Romani, nescio qua fortuna mutato et in proram spirante. quare aliae Romanorum naves, praeeunte Angelo classis praefecti fratre, qui paucis navibus et ipse praeerat, turpi fuga abscedunt. Constantinus in medio hostium relictus, in eorum venit potestatem, hocce temeritatis suae relato praemio. haec eo anno gesta sunt.

14. Imperator autem ut accepit rursum novare Hungarorum regem, cum eam ferre iniuriam nequaquam posset, iter denuo versus Istrum capessit. sed ille audito principis adventu, de pace rursum per legatos agit: solutoque tandem bello pacis apparuit serenitas. nec vero multo post, causam praebente Andronico principis patruele, bellum iterum adversus Romanos concitum est. sed de eo postea. tum vero eumdem Andronicum in Ciliciam Isauriamque misit imperator reique militari summo cum imperio praefecit. Torosus quippe vir felicitatis eximiae, gente Armenius, a Ioanne imperatore, cum bellum in Isauriae finibus gereret, captus quondam, Byzantio relicto in Ciliciam venerat, et defectionem animo agitans istius provinciae oppida a fide Romanorum avocare conabatur. hac igitur de causa misit eo

νικον μὲν δὴ τούτου ἕνεκα βασιλεὺς ἔπεμψε, καίσαρα δὲ ἐφ' ᾧ
Κωνστάντζᾳ τῇ Ῥαϊμούνδου τοῦ πρίγκιπος ἐς γάμον συνελθεῖν γυ-
ναικὶ ἐξ ἀνθρώπων ἤδη γεγενημένου τρόπῳ ὃν αὐτὸς ἄρτι δηλώσω.
φρούριόν τι ἀγχοῦ Βερροιαίων ἱδρυμένον Ἀντιοχεῦσιν ἐς φόρου
P 70 τυγχάνον ἀπαγωγὴν οἱ τῇδε περικαθίσαντες βάρβαροι, ἐπειδὴ τῶν
ἀναγκαίων ὑποσπανίζειν αὐτὸ ἔγνωσαν, πολιορκίᾳ παραστήσασθαι
ἐπεχείρουν. Ῥαϊμοῦνδος τοίνυν ἑτοιμότατος εἴπερ τις εἰς τὰ πο-
λέμια γεγονὼς πράγματα τούτων ἀκούσας σπουδῇ πολλῇ σὺν τῷ
ἀμφ' αὐτὸν στρατεύματι ἐπὶ τὸ φρούριον ἦλθεν, οὐχ ὑπομεινάν-
των τε τῶν πολεμίων τὰ ἐπιτήδεια τῷ φρουρίῳ ἐσκομίσας ἐκεῖθεν
ἀνεζεύγνυ. ἐπειδή τε ἀμφὶ δείλην ὀψίαν ἤδη ἦν, τῷ μὲν προσω-
τέρω ἔτι ἀπιέναι ἐδόκει, ἅτε χώρου τέως μηδαμῇ παρόντος, ἐφ' ᾧ
καταλύειν αὐτοὺς ἀσφαλὲς ἦν. τοῖς μέντοι περὶ αὐτὸν καμάτῳ τῷ
ἐκ τῆς ὁδοιπορίας πεπονηκόσιν ἤδη αὐτοῦ που σκηνοῦν ἤρεσκεν,
B χῶρόν τέ οἱ ὑπεδείκνυσαν μέρει μὲν τῷ πλείστῳ τέλμασι περιειλημ-
V 55 μένον, τῷ δ' ἄλλῳ βουνοῖς εἰργασμένῳ καὶ ἀκρολοφίαις αἳ τῇδε
ἀνεῖχον. ἀλλ' ὁ μὲν αὖθις ἰσχυρογνώμων ἦν καὶ δεδιέναι ἔλεγε
μὴ ἐντεῦθεν, τὸν λόφον δεικνύς, νύκτωρ τῶν πολεμίων ἐπιθεμέ-
νων ἀδιέξιτητα ἡμῖν ἔσται, καὶ τὸ λοιπὸν ἅτε ἄρνες ἔνδον ἐνσηκα-
σθέντες θνήσκοιμεν οὐδὲν ἀμύνεσθαι ἱκανοί. ἀλλὰ τῶν σὺν αὐτῷ
τις ἰταμοὺς ἐς τὸν ἄνδρα ἀπερρίπτει λόγους καὶ δειλίας ταῦτα, οὐ-
μενουν προμηθείας ἔλεγεν εἶναι. πρὸς ταῦτα θυμῷ Ῥαϊμοῦνδος
ὑποβληθεὶς "οἶδα" εἶπεν "ὦ βέλτιστε, ὥς εἴ γε ἐντεῦθεν παρέλ-

16. εἰργασμένῳ] Requiro εἰργμένον vel simile quid.

Andronicum imperator: Caesarem vero, ut sibi matrimonio adiungeret Constantiam, uxorem quondam Raimundi principis, qui eo quem referam modo vitam finierat. haud procul Berrhoeaea adiacet castrum, quo ad convehenda tributa utebantur Antiocheni. postquam qui istic circumhabitant barbari rerum illud necessariarum inopia laborare intellexerunt, obsidione cinxere. quibus intellectis Raimundus, vir si quisquam alius in rebus militaribus impiger, summa celeritate cum iis, quae tum aderant, copiis in castrum venit et recedentibus hostibus, convecto in arcem commeatu, inde digreditur. cum vero iam advesperasceret, ulterius procedendum censebat, quod idoneus locus non adesset, in quo considere tuto posset. at itineris laboribus sui iam fatigati ponenda ibi castra contendebant, monstrabantque locum maxima ex parte paludibus obductum, ceteris in colles et tumulos, qui crebri istic eminent, assurgentibus. at ille rursum factus obstinatior, "vereor" inquit, collem ostendens, "ne inde invadentibus noctu hostibus exitus nobis intercludatur, atque instar ovium stabulo inclusarum pereamus, nulla ad defensionem via." at eorum quidam qui aderant acerbius virum allocutus, metus haec esse ait, non prudentiae. ad quae Raimundus "novi" inquit "optime, si digrediamur inde, nunquam te id nobis obiicere cessaturum.

θοιμεν οὐ μήποτε ταῦτα ἐπεγκαλῶν ἡμῖν παύσαιο· ταύτῃ καὶ ἡμεῖς μέν, ἐπεί σοι δοκεῖ, ἐνταῦθα σκηνώσομεν, σὺ δὲ ὅρα μὴ οὐκ ἐπὶ C τῶν ἔργων δεικνύναι ἣν ἄρτι οὐδὲν δέον ἐπηγγείλω γενναιότητα ἱκανὸς ἡμῖν ἔσῃ, πηνίκα πολεμίων στρατὸς ὅθεν αὐτὸς ἔφην ἡμῖν εἰσπεσὼν δεινὰ ἐργάζεται." Ῥαϊμοῦνδος μὲν τοσαῦτα εἰπὼν εἴσω τοῦ χώρου ἐγένετο, ἔνθα καθείρξεσθαι διηνεκὲς αὐτῷ ἔκειτο· Πέρσαι δὲ ἐπειδὴ πόρρω τῶν νυκτῶν ἦν ἤδη, ὅθεν εἴρηται αὐτοῖς ἐπιθέμενοι ἵππους τε καὶ αὐτοὺς ἔκτειναν, οὐδὲν οὔτε ἀμύνεσθαι οὔτε ἄλλως σώζεσθαι δεδυνημένους. ἀλλ' ὅπερ ἐλέγομεν, Ἰωάννης μὲν καῖσαρ ἐπὶ τοιούτοις εἰς Ἀντιόχειαν ᾔει, ὧν δὲ ἕνεκα ἦλθε δράσας οὐδὲν (ὥτε γὰρ ἔξωρον ὄντα οὐ σὺν ἡδονῇ Κωνστάντζα εἶδεν) ἐπὶ Βυζάντιον ἀνεχώρει, νόσου τε ἐνσκηψάσης αὐτῷ, ἐκείρατό τε τὴν κόμην καὶ μέλαιναν ἠμφίεστο. D

15. Ἀνδρόνικος δὲ ἐπειδὴ τῆς Κιλίκων εἴσω ἐγενέτο γῆς, Τερόζου ἐπὶ Μοψουεστίας διατριβὴν ποιουμένου, πανστρατὶ εἰς πολιορκίαν καθίστατο. καὶ τάχα ἂν ἐξέδρασέ τι καὶ γενναῖον καὶ τὸν ἀποστάτην ἐν χερσὶ κατὰ πολλὴν ἐποιήσατο τὴν εὐπέτειαν, εἰ μὴ ῥᾳστώναις καὶ παιδιαῖς ἑαυτὸν ταῖς ἐπὶ σκηνῆς ἐδεδώκει οὕτω τε τὰ Ῥωμαίων ἔσφηλε πράγματα. Τερόζης γὰρ ἐπειδὴ τὴν Ἀνδρονίκου ἔγνω μαλακίαν καὶ τῆς οὐδὲν δέον ἐπικαθιζούσης αὐτῷ ξυνῆκεν ἀσελγείας, νύκτα τηρήσας ἀσέληνον, καθ' ἣν ὑετίζειν ἔτυχεν ἄσχετα, πολλὰ τοῦ Μοψουεστίας τείχους διαλύσας μέρη P 71 ἀθρόον τε τὸ σὺν αὐτῷ ἅπαν ἐξαγαγὼν πλῆθος, προσέβαλέ τε

4. πηνίκα] ὁπηνίκα? 13. μέλαιναν] Cod. μέλαινα.

hic igitur, quandoquidem sic placet tibi, castra locabimus. tu vero vide ne tum istius generositatis specimen factis ipsis edere non valeas, quam modo cum necessitas adest nulla tantopere ostentas, quando ab iis, quos indicavi locis, hostium exercitus irrumpens nos graviter afficiet." his dictis Raimundus locum subit, ubi perpetuo concludi eum fata decreverant. Persae autem multa iam nocte, unde dictum est ipsos aggressi, equos hominesque cecidere, cum neque tueri se neque alio quovis modo evadere possent. Ioannes autem Caesar eum in finem, quemadmodum retuli, Antiochiam profectus, cum iam aetate provectior Constantiae haud placuisset, rebus quarum causa venerat infectis, Byzantium rediit; aegraque usus valetudine, tonsa post morbum coma, monachicum habitum induit.

15. Cum in Ciliciam pervenisset Andronicus, Toroso Mopsuestiae agente, totis viribus urbem oppugnare aggreditur. et forte egisset aliquid viro dignum defectoremque cepisset nullo negotio, nisi inertiae se et ludicris scenicis totum dedisset, atque inde res Romanas labefactasset. Torosus enim, ubi Andronici agnovit mollitiem, eumque luxui, cum minime oporteret, indulgere advertit, noctem observans illunem, qua immensa vis imbrium decidebat, compluribus Mopsuestiae aditibus reseratis, atque omni

Ῥωμαίοις μηδὲν προειδόσι καὶ κατὰ κράτος ἐτρέψατο. Ἀνδρόνικος δὲ ὀψὲ τοῦ καιροῦ συναισθόμενος (ἐτύγχανε γάρ, καθάπερ ἔφην, ὀλιγωρίᾳ πολλῇ τινι κεχρημένος) ἵππον τε ἀνέβη καὶ σὺν τῷ δόρατι ἀπελαύνων ἔργα μὲν χειρὸς ἐπεδείξατο θαυμαστά (ὡς γὰρ πολλάκις ἔφην, τῶν τῆς γενναιότητος λόγων οὐδενὶ τῶν μεγάλων ὑπεχώρει), δρᾶσαι ὅμως δεδυνημένος οὐδὲν μόγις διαφυγὼν εἰς Ἀντιόχειαν ἦλθεν. ἐν ταύτῃ τῇ μάχῃ καὶ Θεόδωρος ὁ Κοντοστέφανος ἐς τὸ τῶν σεβαστῶν ἀξίωμα ἥκων τὸν ἵππον τοξεύματι ἀπο-
B *βαλὼν ὑπό του τῶν Ῥωμαίοις μισθαρνούντων τὴν κεφαλὴν ἀπηράχθη κατὰ ἔχθος τὸ πρὸς αὐτόν. λέγεται γὰρ ὡς ἐτύγχανε πολλῷ πρότερον ὁ Θεόδωρος τὸν κακοδαίμονα τοῦτον τῆς βασιλείου ἐπὶ κακῷ τῷ αὐτοῦ διωσάμενος αὐλῆς.*

16. *Ἃ μὲν ἐπὶ Κιλικίας κατ' ἐκεῖνον τὸν χρόνον ἐγένετο, τοιάδε τινὰ ἦσαν. Ἀνδρόνικος δὲ ἐξ Ἀντιόχου πόλεως ἐπὶ Βυζάντιον ἰὼν ἐν βασιλείοις καὶ πάλιν οὐδὲν ἧττον ἀπόβλεπτος ἦν παρρησίας τε παρὰ δόξαν ἀπέλαυε τῆς προτέρας. ἐλέγετο δὲ ὅτι λάθρα τοῦτον παραλαβὼν βασιλεὺς πικρότατα ἐλοιδορήσατο, ὀλιγωρίαν τε περὶ τὰ στρατιωτικὰ τῷ ἀνθρώπῳ ἐπικαλῶν καὶ τὰς παρα-*
C *καιρίους αὐτῷ προσονειδίζων ἀνέσεις· ἔν γε μὴν τῷ ἐμφανεῖ λαμπρῶς αὐτὸν ἐδωρεῖτο καὶ ὑπὲρ τοὺς ἄλλους ἐτίμα. ἀμέλει καὶ τότε Ναϊσοῦ τε καὶ Βρανιτζόβης προκεχείριστο δοῦκα, προσέτι καὶ Κα-*
V 56 *στορίαν αὐτῷ ἔδωκεν. ἀλλ' ἐκεῖνος εἰ μὲν καὶ ἀρχῆθεν ἀποστασίαν ὤδινε καὶ ταύτην παρ' ἑαυτῷ τὴν ἐπιθυμίαν εἶχεν, οὐκ ἔχω ἰσχυ-*

1. *προειδόσι*] Cod. *προϊδῶσι*. Fort. tamen praestat *προϊδοῦσι*.
4. *ἀπελαύνων*] An *ἐπελαύνων*? 5. *τῶν — λόγων*] *τῷ — λόγῳ*?

secum educta multitudine, Romanos inopinatos adoritur fundit fugatque. haec postquam serius Andronico comperta sunt (quippe ut diximus luxui et ignaviae tum operam dabat), insilit in equum, arreptaque hasta in ordines invectus admiranda manu facinora edidit. ut enim non semel innuimus, animi generositate nemini inferior fuit. at cum exequi nihil posset, vix evitato discrimine Antiochiam venit. eo in praelio et Theodorus Contostephanus, qui ad sebastorum dignitatem provectus fuerat, equo sagitta transfixo, ab aliquo eorum qui stipendia Romanis merebant, et quocum simultas ei intercedebat, capite truncatur. fertur enim diu ante Theodorus miserum illum ex palatio eiecisse, quod in ipsius perniciem postmodum cessit.

16. Quae in Cilicia gesta sunt, ciusmodi finem habuere. Andronicus Byzantium Antiochia reversus, nihilo minore loco et honore habitus, pristinae praeter opinionem consuetudinis libertate potitus est. sed imperatorem aiunt clam assumptum acerbissime perstrinxisse, negligentiam in rebus bellicis et intempestivas obiecisse illi relaxationes. propalam autem eum splendidis donabat muneribus ac prae ceteris honorabat. denique et Naisi et Branizobae ducem constituit, ac Castoriam insuper concessit. sed an primitus ille defectionem mente conceperit continueritque intra se eiusmodi consilium,

ῥίσασθαι· ἐξ ὅτου γε μὴν τὸ δυσμενὲς αὐτῷ κατεφάνη, ἐντεῦθεν ἑλὼν διηγήσομαι. βασιλεῖ Μανουὴλ ἄρτι τὴν βασιλείαν παραλαβόντι ἐπιμελὲς ἐγένετο μάλιστα ὅπως ἂν Ῥωμαῖοι ἐπὶ τὸ βέλτιον τοῦ λοιποῦ τὴν ὅπλισιν μεταβάλοιεν. ὅθεν καὶ ἀσπίσι κυκλοτερέσι φράγνυσθαι εἰθισμένον αὐτοῖς πρότερον φαρετροφορεῖν τε τὰ πλεῖστα καὶ τόξοις τὰς μάχας διαφέρειν, ὁ δὲ ταύτας μὲν ποδήρεις προβεβλῆσθαι αὐτοὺς ἐδιδάξατο, δόρατα δὲ κραδαίνειν μακρὰ καὶ D ἱπποσύνῃ δεξιώτατα χρῆσθαι ἠσκήσατο. τὰς γὰρ ἐκ τῶν πολέμων ἀνέσεις πολέμων αὐτὸς ποιεῖσθαι θέλων παρασκευάς, ἱππεύεσθαι εἰώθει τὰ πολλὰ σχῆμά τε πολέμου πεποιημένος παρατάξεις τινὰς ἀντιμετώπους ἀλλήλαις ἵστα. οὕτω τε δόρασιν ἐπελαύνοντες αὐτοξύλοις κίνησιν ἐγυμνάζοντο τὴν ἐν τοῖς ὅπλοις. τοίνυν καὶ ἐν βραχεῖ Ῥωμαῖος ἀνὴρ τὴν Γερμανῶν καὶ Ἰταλῶν ὑπερῆρεν αἰχμήν. οὐ μὴν οὐδὲ αὐτὸς βασιλεὺς τῶν ἀγώνων τούτων ἀπῆν, ἀλλ' ἐν τοῖς πρώτοις ἐτάττετο δόρυ κραδαίνων μήκει καὶ μεγέθει οὐδενὶ ξυμβλητόν. πρὸς γὰρ τοῖς εἰρημένοις καὶ ὑπερφυές τι χρῆμα ἐξῆ- P 72 πτο σημαίας, ἣν ἅτε μέρεσι διῃρημένην ὀκτὼ ὀκτώποδα καλεῖν ἔθος ἐστίν. ὃ δὴ καὶ Ῥαϊμοῦνδόν φασιν ἐκεῖνον θαυμάσαντα ἄνδρα κατὰ τοὺς θρυλλουμένους Ἡρακλεῖς, ὁπηνίκα ἐς Βυζάντιον ἦλθε, τέχνην τέ τινα τὸ πρᾶγμα εἶναι νομίσαι καὶ προσιόντα βασιλεῖ αὐτό τε τὸ δόρυ καὶ τὴν ἀσπίδα αἰτῆσαι, λαβόντα τε ἐπειδὴ τἀληθὲς ἔγνω, σὺν ἐκπλήξει τὸν σκοπὸν ἀνειπεῖν.

11. ἐπελαύνοντες] Ita Tollius e coniectura. Cod. ἐπελαύνων τοῖς.
16. πρὸς γὰρ] Nonne πρὸς δέ? 20. νομίσαι] Cod. νομίσας.

non ausim plane affirmare. ex quo autem prava illius apparuerit voluntas, facto inde initio expediam. Manuëli statim atque imperium accepit, curae cum maxime fuit, ut quam optime ornateque deinceps Romani armarentur. atque cum insuevissent primum clipeis muniri rotundis, pharetras ut plurimum deferre, sagittisque praelia conficere: ille scuta oblonga protendere eos docuit et longas vibrare hastas: praesertim vero in equitandi dexteritate arteque eos exercuit. quippe cum cessationes a bellis bellorum fieri vellet praeludia, in equo sedere saepius solebat, inque belli aut praelii speciem acies quasdam sibi invicem obversas locabat. ita dum hastis instructi ligneis equitabant, assuescebant moveri in armis. sic brevi spatio Germanorum Italorumque aciem longe superavit miles Romanus. neque ipse ab eiusmodi certaminibus abstinebat imperator, sed aderat inter primos, hastam vibrans longitudine ac magnitudine nulli comparandam. ad haec appendebatur vexillum, res prorsus admiratione digna, quod quia in octo distinctum erat partes, octopes solet appellari. id ipsum aiunt Raimundum, virum Herculi comparandum, cum Byzantium venisset, magnopere admiratum esse, cumque rem non sine fuco aliquo in vulgus spargi persuasum haberet, accessisse ad imperatorem hastamque poposcisse et clipeum: iis vero acceptis agnitoque eo quod revera erat, tum demum causam, quae ad id expetendum impulisset cum stupore esse confessum.

17. Τοῦτον δὴ τὸν ἀγῶνα πρὸς Ἡρακλείᾳ ποτὲ τῇ Μυσῶν γυμναζομένου βασιλέως, τετύχηκε τὸν Ἀνδρονίκου τοῦ σεβαστοκράτορος παῖδα Ἰωάννην, περικαλλῆ τινα νεανίαν καὶ ἀγαλματίαν,
B ἄντικρυς Ἰταλικοῦ τινος δόρατος προσβολῇ θάτερον πηρωθῆναι τοῖν ὀφθαλμοῖν. ὅθεν καὶ παραμυθεῖσθαι αὐτῷ τὸ δυστύχημα θέλων πρωτοβεστίαρχόν τε προὐβέβλητο καὶ ἐς τὸ τῶν πρωτοσεβάστων ἀνεβίβασεν ἀξίωμα. τοῦτο, φασί, μεγάλα τῆς Ἀνδρονίκου καθίκετο ψυχῆς. ὠδίνων τοίνυν ἐξ ἐκείνου καὶ δολώσεις ἀεὶ ἐπινοῶν, ὁπότε μὲν προσεχῶς ἐπὶ τῆς Κιλίκων ἐστράτευε γῆς, ῥῆγά τε τὸν Παλαιστίνης καὶ τῶν Περσῶν ὑπεποιεῖτο σουλτάν· τὴν Ναϊσοῦ δὲ καὶ Βρανιτζόβης ὥσπερ εἴρηται ἀρχὴν πιστευθείς, γράμμασι τῷ Παιόνων ὑπισχνεῖτο ῥηγί, εἴ γε βουλομένῳ ἐπιθέσθαι τυραννίδι συλλήψοιτο τῆς ἐγχειρήσεως αὐτῷ, ἐπειδὰν δὲ τοῦ ἐφε-
C τοῦ τύχῃ Βρανιτζόβης τε αὐτῷ καὶ Ναϊσοῦ ὑπεκστήσεσθαι πόλεως. ὅπως μέντοι μὴ ἔκπυστα ταῦτα γεγονότα ὑπαίτιον αὐτὸν τοῦ λοιποῦ καταστήσωνται, ἔγνω ἑτέραν τραπέσθαι. ἐδήλου τοίνυν βασιλεῖ βούλεσθαι τῶν κατὰ Παιονίαν τινὰς δυναστῶν φιλίως αὐτῷ προσφέρεσθαι ἀρξαμένους δόλῳ ὑπελθὼν ὑπὸ τὴν ἑαυτοῦ ῥᾳδίως θεῖναι παλάμην. βασιλεὺς δὲ ξυνίει μὲν τοῦ δόλου· ἔφθη γὰρ ἤδη καὶ εἰς χεῖρας αὐτῷ τὰ γράμματα ἐλθεῖν, δι' ὧν Ἀνδρόνικος τῷ Παιονάρχῃ τὰ προειρημένα ἐτύγχανε διωμολογηκώς. ἐξελέγχειν δὲ θέλων αὐτὸν ἐφίησι ποιεῖν κατὰ ταῦτα μηδὲν ὑποστελλομένῳ.
D ὁ δὲ πάντα αὐτῷ τοῦ λοιποῦ περιῃρῆσθαι τρόπον ὑποψίας οἰηθεὶς

6. πρωτοβεστίαρχον] Malim πρωτοβεστιάριον.

17. Id itaque certaminis ad Heracleam Mysorum edente principe, forte accidit, ut Ioannes Andronici sebastocratoris filius, elegans admodum et formosus adolescens, ictu adverso hastae cuiusdam Italicae alterum oculum amiserit. quem casum ut solatio levaret imperator, ad protovestiarii primum, mox ad protosebasti dignitatem illum evexit. eam rem ferunt graviter affecisse Andronicum. ex eo igitur tempore nescio quid clam fovens animo dolosque semper agitans, cum in Cilicia bellum proxime gereret, Palaestinae regem et Persarum Sultanum in suas traxit partes: ducatumque adeptus Naisi et Branizobae, ut modo dictum est, per literas Hungarorum regi pollicitus est, si ad invadendam tyrannidem sibi adesse vellet, simul atque imperium esset adeptus, Branizobam et Naisum continuo se ei cessurum. sed veritus ne, si haec vulgarentur, reum se proderet, alio deflexit. igitur significavit principi iam sibi quosdam e magnatibus Hungaricis conciliasse, istiusmodi circumventos dolo, in sua potestate haud difficulter sese habiturum. sed enim iam antea fraudem perceperat imperator ex literis ad se delatis Andronici, quibus supra dicta cum rege Hungarico depactus fuerat. cum autem convincere eum vellet manifestius, ut ea quae coeperat conficeret, illius prorsus permisit arbitrio. ille itaque omnem suspicionis occasio-

ἀδεῶς ἔς τε Οὔννους καὶ τὸν Ἀλαμανῶν διεπρεσβεύετο ῥῆγα, πρὸς
ἐπικουρίαν ἐν καιρῷ καὶ αὐτὸν ἐπισπώμενος. ταῦτα Ἀνδρόνικος V 57
ἐσκευωρηκὼς ἐπὶ Βυζάντιον ἦλθε, τὰς μεταξὺ Ῥωμαίων καὶ Οὔν-
νων σπονδὰς ἤδη τῷ φαινομένῳ τετελεκώς. βασιλεὺς δὲ οὐκ οἶδα
εἴτε κηδόμενος τοῦ ἀνθρώπου (ὑπερφυῶς γὰρ ἐφίλει τοῦτον ἅτε
καὶ ἡλικιώτην αὐτῷ γεγονότα τροφῆς τε αὐτῷ μεταλαχόντα καὶ
παιδείας τῆς αὐτῆς, ἀμέλει καὶ δρόμοις τε αὐτῷ καὶ πάλαις καὶ
ἀγῶσιν ἄλλοις συγγυμνασάμενον πολλοῖς) εἴτε καὶ ἄλλό τι ἐννοού-
μενος, τότε μὲν καὶ ἔτι ἠνείχετο κακουργοῦντος. ἐπεὶ δέ ποτε καὶ P 73
ἐν Ἡρακλείᾳ ἐγένετο τῇ Μυσῶν, ἣν Πελαγονίαν τινὶ γλώττῃ κα-
τακολουθοῦντες Ῥωμαῖοι νῦν ὀνομάζουσιν, ἐξῆλθε μὲν πρὸς θήραν
ὁ βασιλεὺς ἔννυχος, ὥσπερ εἰώθει τὰ πολλά, κοιτασάμενος. ἡ γὰρ
τοῦ σώματος αὐτῷ γενναιότης καὶ πρὸς ἄρκτους ἐξῆγε καὶ πρὸς
τοὺς ἀγρίους ἀνθώπλιζε τῶν συῶν πεζῇ τὰ πλεῖστα σὺν ἀκοντίῳ
ξυμπλεκόμενον. ἐλέγετο δὲ ὡς καὶ τεθωράκιστο τὰ πρῶτα καὶ σχε-
δόν τι ἑκάστοτε πρὸς τοῖς ὅπλοις ἦν, τὰς ὡς ἐφέρετο τοῦ σεβαστο-
κράτορος Ἰσαακίου καὶ τοῦ μεγάλου στρατάρχου φυλαττόμενος
ἐπιβουλάς, κἂν οὗτος οὐδὲν ἄλλο αὐτὸν μέχρι τέλους ἔδρασεν ἄχρι
ὅτι μὴ τὰς βασιλείους ἀφείλετο σφραγῖδας, δι᾽ ὧν ὑποσημαίνεσθαι B
τὰς δωρεὰς βασιλεὺς εἴωθεν. οὐ μὴν ἀπροφασίστως καὶ ταύτας,
ἀλλ᾽ ἀπ᾽ αἰτίας ἧς αὐτὸς ἐρῶν ἔρχομαι. διατρίβοντι ἐν Μελαγ-
γείοις τῷ βασιλεῖ περί τινα χῶρον ᾧ Μεταβολὴ ὄνομα, λόγοι προὔ-
φέροντο ἐπὶ ἀρίστου. ἔνθα τῶν ἄλλων καθάπαξ ἁπάντων τὰ βα-

12. κοιτασάμενος] Duc. κοιτασόμενος. Bekkero placet ἀποκοιτασόμενος. 13. αὐτῷ] Fort. αὐτόν.

nem sublatam ratus, confidenter ad Hungaros et ad Alemannorum regem missa legatione, ut auxilium in tempore ferrent, sollicitavit. his perfide et nequiter actis, Byzantium venit Andronicus, foedere uti apparebat Romanos inter et Hungaros iam sancito. imperator vero, nescio an ex quadam in eum propensione, cum mirum in modum hominem diligeret, utpote aequalem secumque a puero enutritum ac institutum, inque cursu et luctationibus et reliquo certaminum genere socium, an quidpiam cogitaret aliud, etiam tunc facinorosum toleravit. cum aliquando Heracleae in Mysia versaretur, quam nescio quo idiomate Pelagoniam nunc Romani vocant, noctu imperator venatum exiit, hanc, uti solebat plerumque, ibi traducturus. ea quippe erat corporis praestantia et animi indole, ut et ursos insectaretur invehereturque in apros et pedibus ut plurimum cum iisdem iaculo concurreret. induisse autem loricam tum primum aiunt ac fere semper in armis fuisse, quo Isaacii sebastocratoris et summi exercituum ducis vitaret insidias: etsi nihil ad extremum in eum quidquam aliud statuerit gravius, quam quod sigilla, quibus largitiones obsignare imperatores solent, abstulerit. neque id tamen egit nulla ratione, sed ob causam quam nunc commemorare aggredior. cum princeps in Melangiis moraretur, ad locum cui Metabole nomen, varii super coenam habebantur sermones; ubi omnibus res a principe gestas uno ore

σιλέως ἐξαιρόντων ἔργα, ὁ Ἰωάννης τὰ τοῦ πατρὸς μᾶλλον ὑπερῇρε καὶ ὑπερετίθει πολλῷ. ὁ μὲν οὖν βασιλεὺς ἔστεργε τοῖς λεγομένοις καὶ ἠγάπα τοῦ πατρὸς ἐλασσούμενος. ὡς δ' ἐπαχθὴς τοῖς ἄλλοις Ἰωάννης εἶναι ἐδόκει, ὁ δὲ οὐ μέχρι τούτου τὸν λόγον ἵστησιν. ἔδοξε γὰρ ἂν ἐπιδείξει πίστεως τῆς πρὸς τὸν οἰχόμενον αὐτοκρά-
C τορα ταῦτα προφέρειν, ὅπερ οἶμαι πολλοὶ τῶν ἀνθρώπων ποιεῖν ἴσασιν· αἱ γὰρ πρὸς τοὺς μηκέτι ὄντας εὔνοιαι ἐχέγγυοι τοῖς περιοῦσιν εὐγνωμοσύνης τῆς εἰς αὐτοὺς γίνονται. ὁ μὲν οὖν πρὸς τούτοις καὶ δριμύτερον ἥπτετο καὶ ἠγνωμόνει τῷ υἱῷ. ὅτε δὴ στάσεως ἀναφθείσης Ἀνδρόνικος μὲν οὗτος θυμοδακῆ τινα ἐς τὸν σεβαστοκράτορα ἐπιρρίψας παρ' ὀλίγον ἦλθε τοῦ ξίφει πρὸς αὐτοῦ τὴν κεφαλὴν ἀφῃρῆσθαι, εἰ μὴ βασιλεύς τε αὐτοῦ τὴν χεῖρα ὑπερέσχε καὶ Ἰωάννης ὁ Δούκας, ὃς καὶ αὐτὸς ἐξάδελφος τῷ βασιλεῖ ἦν, τὴν μάστιγα ᾗ τοὺς ἵππους ἐπείγειν εἴθισται τῷ ξίφει καταφερο-
D μένῳ ὑποθεὶς ἀμβλεῖαν ἐπὶ τὴν Ἀνδρονίκου γνάθον ἐνεχθῆναι ἐποίησε τὴν φοράν. ὁ μὲν οὖν τοῦτον ἐρρύσθη τὸν τρόπον· βασιλεὺς δὲ τὴν χεῖρα καθάπερ ἔφην τοῦ Ἀνδρονίκου ὑπερσχὼν ἐπλήγη, οὐ μέντοι καιρίαν ἀλλ' ὅσον ὀλίγον τὴν σάρκα διαστῆναι, ἧς τὴν οὐλὴν διὰ βίου ἐπὶ καρποῦ ἔφερεν. ἡ μὲν οὖν τούτου φιλονεικία ἐπὶ τοσοῦτον προελθοῦσα κατεσιγάσθη. βασιλεὺς δὲ Ἰσαάκιον μὲν ἀφ' ἑαυτοῦ ἐποιήσατο ἡμερῶν τινων ἄχρι, Ἰωάννην δὲ κρίσει παραδοὺς δίκην αὐτῷ τὴν εἰρημένην ἐπετίθει πολλῷ τῆς ἐκ τῶν νόμων ἐλάσσω. ἀλλ' ἐπανακτέον τὸν λόγον ἐπὶ τὰ πρότερα.

3. ἐπαχθὴς] Cod. ἐπαχθείς.

praedicantibus, Ioannes praeclara a Manuëlis parente peracta facinora longe extulit praetulitque. haud aegre quae dicebantur accepit imperator, nec sibi patrem praeferri moleste tulit. etsi vero aliis Ioannes iam videretur importunus, noluit tamen loquentem interpellare, cum ea (quod plerique facere solent) velut fidei suae in demortuum imperatorem argumentum protulisse visus esset. benevolentia siquidem qua defunctos prosequimur, pignus est iis qui superstites sunt nostrae in ipsos gratitudinis. sed cum in Manuëlem acerbius ille et ingrate satis magis ac magis commoveretur, orta inde contentione, Andronicus iste in sebastocratorem infesto animo invectus, gladio caput illius fere obtruncasset, nisi imperator interposuisset manum: et Ioannes Ducas, qui et ipse patruelis erat principis, flagellum, quo concitari solent equi, imminenti supponens gladio ictum debilem fractumque avertisset in maxillam Andronici. ita quidem periculum vitavit ille: at imperator, qui manum supra Andronicum protenderat, vulnus accepit, non letale quidem, sed quo paululum dissecta fuerit caro, cuius quamdiu vixit cicatricem in carpo tulit. ita acrior ista contentio conquievit. princeps vero aliquamdiu Isaacium a conspectu removit: Ioannem vero eo ipso incusatum supra dicta multavit poena, sed longe quam decernunt leges mitiore. verum ad superiora redeamus.

18. Ἐπειδήπερ ὁ Ἀνδρόνικος νυκτέρῳ κυνηγεσίῳ βασιλέα P 74 διατρίβοντα ἔγνω, ἱκανοὺς Ἰσαύρων τῶν περὶ αὐτὸν ὁπλισάμενος, οἵπερ ὡς κατὰ παντὸς αὐτῷ ξυνασπίσωσι πίστεις ἔδοσαν φθάσαντες, ἵππον τε αὐτοῦ τὸν δρομικώτατον ἐπαγόμενος σὺν αὐτοῖς ἐπὶ τὸν τόπον ἦλθεν. ἀλλ᾽ αὐτοὺς μὲν ἀποτέρω ἐπὶ λόχμης τὸν ἵππον V 58 καθέξοντας ἔστησεν, ὃ δὲ ξὺν ἡμιόνῳ ἐγγὺς τῆς βασιλέως ἦλθε σκηνῆς, ἀποβάς τε ἡσυχῇ ἐπορεύετο βάδην ἐγχειρίδιον ἐπισείων τῇ δεξιᾷ. ὅπως γε μὴν μηδενὶ φωραθείη, Ἰταλὴν ἀντὶ τῆς ἐξ ἔθους ὑπέδυ στολήν. ὡς δὲ ἔγνω καταφανὴς γεγονὼς (ἤδη γὰρ καὶ ξίφη παρεγύμνουν οἱ τὸν βασιλέα ὑπνοῦντα περιεστῶτες, ἐν οἷς καὶ Ἰωάννης ἦν ὁ βασιλέως ἀδελφιδοῦς, πρῶτος φασὶ τὸν Ἀνδρόνικον B ἐπιόντα εἰδώς), ὡς οὖν ἔγνω ταῦτα ὁ Ἀνδρόνικος, ἐπὶ γόνυ κλιθεὶς τὸν τῆς γαστρὸς δῆθεν ἀποκρίνειν προσεποιεῖτο σκυβαλισμόν, οὕτω τε κατὰ βραχὺ ὑποποδίσας ᾤχετο ἀπιών. καὶ τὰ μὲν τῆς ἐπιβουλῆς ἐκείνης ἐνταῦθα ἐλύετο. ὀλίγῳ δὲ ὕστερον σὺν πλείοσιν Ἰσαύρων ἐξῄει νύκτωρ ἐπὶ βασιλέα στελλόμενος· οὗπερ ἀγγελθέντος τῇ βασιλίδι πρὸς Ἀλεξίου, ὃς τοῖς βασιλικοῖς τηνίκα ἱπποκομίαν ἐφεστὼς ἦν (πρωτοστράτορα τοῦτο καλοῦσι Ῥωμαῖοι τὸ λειτούργημα), ἐν μὲν τῷ παραυτίκα τῶν τις εὐζωνοτέρων ἐστέλλετο μηνύσων βασιλεῖ τὴν ἐπιβουλήν. εἶτα καὶ Ἰσάχ, ἀνὴρ βαρβαρογενὴς εὔνους δὲ βασιλεῖ μάλιστα, σὺν ὁπλοφοροῦσι τριακοσίοις C ἐπέμπετο. ἀλλ᾽ οὔπω τοῦ Ἰσὰχ ἐπὶ τὸν τόπον ἐλθόντος, πυθό-

2. διατρίβοντα] Fort. ἐνδιατρίβοντα. 8. ἐξ ἔθους] Ita Tollius. Cod. ἐξέθους. 17. ἱπποκομίαν] Fort. ἱπποκόμοις. nisi forte ἱπποκομίας scribendum et τῆς βασιλικῆς pro τοῖς βασιλικοῖς.

18. Postquam Andronicus nocturnae venationi operam dare principem intellexit, ex Isauris, qui adversus quemlibet cum ipso se militaturos fidem dederant, delectos armat, assumptoque equo pernicissimo ad locum cum iis venit. illis autem longius in silva locatis traditoque iis equo, ipse mulo insidens ad tabernaculum succedit imperatoris. ibi tum tacite desilit, et pugionem dextra vibrans lento progreditur gradu: neve deprehenderetur ab aliquo, Italicum pro consueto sagum induerat. mox vero ut se agnitum vidit (quippe iam gladios strinxerant qui dormientem principem circumstabant, atque in his Ioannes ipsius ex fratre nepos, qui primus ut aiunt Andronicum adverterat), ut igitur id vidit Andronicus, continuo in genua flexus exonerare se alvum simulavit, indeque sensim retro cedens abiit. ita conatus illi consiliaque Andronici evanuere. brevi interiecto tempore cum maiore Isaurorum manu ad imperatorem nocte proficiscitur. quod ubi nuntiatum est Augustae ab Alexio imperatorii stabuli praefecto (protostratorem id muneris vocant Romani) quidam extemplo in primis expeditus eas insidias principi indicaturus mittitur: moxque Isach, qui a barbaris ducebat genus, ceteroquin fidus cum maxime imperatori, cum trecentis armatis ad eum pariter proficiscitur. sed priusquam ad locum Isach perveniret, re percepta impe-

μενος ἤδη τὸ πρᾶγμα βασιλεύς, τῶν ἄλλων ἀγωνιώντων καὶ συνταραττομένων ἐφ' ἑαυτοὺς (ἐτύγχανον γὰρ οἱ πλείους ἡμιονίοις οὕτω τυχὸν ἐφεζόμενοι), αὐτὸς χρῆναι ἔλεγε τῆς εὐθείας ἀποσχομένους, ᾗ ἐπί τε τὸ στρατόπεδον καὶ τὴν βασίλειον σκηνὴν ἄγει, τὴν ἀσυνήθη ἐκείνην, ὑποδείξας τῇ χειρί, καὶ ἄστειπτον ἰέναι, μὴ μέντοι κατὰ πλάτος ἀλλ' ἕνα καθ' ἕνα ἐν διαστάσει τὴν πορείαν
D τιθεμένους. "οὕτω γὰρ" ἔφη "τῶν ἐκ τῆς χορταγωγίας ἐπανιόντων δόξαιμεν εἶναί τινες ἐπὶ σκηνάς τε τὰς τῇδε φαινομένας χωρεῖν." βασιλεὺς μὲν οὖν οὕτως ἀτρέστως ἐπὶ τὴν σκηνὴν ἐπορεύετο. Ἰωάννην δὲ οὗπερ ἄρτι ἐμνήσθην σῦς ὑπαντιάσας τοῖς ὀδοῦσι διεσπάραξεν. ὃ τάχιστα πυθόμενος βασιλεὺς ὀπισθόρμητος ἐπ' ἐκεῖνον ἦλθεν ἐπιμελησάμενός τε τὰ εἰκότα ἀπηλλάγη. οὕτω μέντοι μεγαλοψύχως τῷ πράγματι προσηνέχθη, ὡς μηδὲ ἄχρι καὶ βλέμματος Ἀνδρονίκῳ προσενεχθῆναι κακῶς. ὁ δὲ ὥσπερ τῶν πεπραγμένων οὐδὲν ἑαυτῷ ξυνειδὼς τοῦ τε ἵππου ὃν ἤδη ἔφην ἐς ἄγαν ἐπιμεμέληται καὶ πολὺς ἦν τῷ φαινομένῳ κατὰ Ἰωάννου καὶ λέγων ἀεὶ καὶ φρονῶν. ὅθεν καὶ πυνθανομένου ποτὲ τοῦ βασιλέως
P 75 τί βούλεται τούτῳ τὰ τῆς τοῦ ἵππου τοῦδε ἐπιμελήσεως; "ὡς ἂν" ἔφη ἐκεῖνος "τὸν πάντων ἐμοὶ δυσμενέστατον τῆς κεφαλῆς ἀφελόμενος οἰχήσομαι ἀπιών" διὰ τούτων δῆθεν τὸν πρωτοσέβαστον αἰνιττόμενος. ὡς οὖν ἔγνω ἀπόνοιαν νοσοῦντα τὸν ἄνθρωπον, κοινωνίας ἐκτεμὼν τῆς αὐτοῦ ἔμφρουρον ἐν παλατίῳ καθίστησιν.

19. Ὁ μὲν οὖν ἐκ ποδῶν ἐγίνετο. ὁ δὲ Παιονίας ῥὴξ μήπω τι πεπυσμένος τῶν Ἀνδρονίκῳ συμπεπτωκότων δυνάμεις ἐκ

rator, trementibus aliis et metu consternatis (forte enim sic casus tulerat ut mulis plerique veherentur), ipse a via recta quae ad castra et imperatorium tabernaculum tendebat, deflectendum censuit; insolita autem et minus trita illa, quam ostendebat manu, neque lato agmine, sed singulatim spatio intermisso incedendum. "ita enim pabulatores" inquit "videbimur, qui ad ea tendunt quae conspiciuntur tentoria." sic intrepide ad tabernaculum perrexit princeps. at Ioannem, cuius supra mentionem feci, cum obvius aper dentibus laceraret, ut id rescivit, continuo ad eum conversus revertitur, peractisque iis quae necessaria erant tandem excedit. tanta autem animi magnitudine rem istam accepit, ut ne vultu quidem quidquam Andronico fuerit testatus. at ille quasi nihil eorum, quae acciderant, sibi conscius, equum, de quo iam egimus, sedulo curat, multa interim propalam adversus Ioannem proferens ac mente volvens. unde rogante aliquando principe, quid haec sibi vellet equi affectata cura? "ut" inquit ille "omnium mihi infensissimi hostis truncato capite statim aufugiam." iis videlicet verbis protosebastum innuens. ubi igitur aegrum amentia vidit hominem, a consortio suo remotum, in palatio includendum curavit.

19. Sic ille in ordinem actus est. rex autem Hungariae nihildum edoctus eorum quae Andronico evenerant, contracto ex Tzechis et Saxonibus

α Τζέχων καὶ Σαξόνων ἄλλων τε πλείστων ἑαυτῷ συστησάμενος
ἐθνῶν εἰς τὴν Βρανιτζόβης πολιορκίαν καθίστατο, ἐπαρθεὶς οἶ-
μαι οἷς Ἀνδρόνικος αὐτῷ διομολογησάμενος ἔτυχε. τούτων βασι-
λεὺς ἀκούσας καταπέπληκτο μὲν πρὸς τὴν ἀκοὴν καὶ τὴν Οὔννων B
ἐθαύμαζεν ἀπιστίαν, εἰ τῶν ἔναγχος σφίσιν ὀμωμοσμένων ἐξ οὐδε-
μίας ἀλογήσειαν αἰτίας. ὀξύτητος δ' ὅμως δεῖσθαι τὸ πρᾶγμα
βουλευσάμενος, αὐτίκα τὴν ἐπὶ τὸν Ἴστρον ἐφέρετο. εἰδὼς δὲ
τοὺς σὺν αὐτῷ οὐκ ἀξιομάχους ὄντας τῇ Οὔννων στρατιᾷ (αἱ γὰρ
Ῥωμαίων δυνάμεις μηδενὸς ὅθεν δήποτε τῷ τέως ἀντιστατοῦντος V 39
ἐπὶ χώρας ἑκάστη ἔμενον), ἐνενόει τοιάδε. ἔστι τις χῶρος ἐρυ-
μνότητος ἱκανῶς ἔχων Σμήλης ὄνομα. τοῦτον ἔγνω καταλαβὼν
ὁρμητήριον τῆς ἐπὶ τοὺς Οὔννους θέσθαι ἐκδρομῆς. ὅπως μέν-
τοι Βρανιτζοβῖται τὴν πόλιν τῷ τέως αὐτῷ τηρήσωσι, γράμμα
χαράξας ὅσον οὐκ ἤδη ἀφίξεσθαι τοῦτον μηνῦον τῶν στρατιωτῶν C
τινὶ ἐνεχείρισε, κελεύσας ἐπὶ τὴν πόλιν αὐτὸ διαφεῖναι βέλει ξυν-
δήσαντα. ὁ μὲν οὖν κατὰ τὸ κελευσθὲν ἐποίει. τὸ δὲ βέλος
πορρωτέρω ἢ ἐχρῆν ἀφεθὲν Οὔννοις εἰς χεῖρας ἦλθεν. εὐθὺς οὖν
ταραγμὸς εἰσῆλθεν αὐτούς, καὶ δὴ τάς τε ἑλεπόλεις καὶ ὅσα πρὸς
τειχομαχίαν αὐτοῖς παρεσκεύαστο πυρὶ φλέξαντες ἐπὶ τὸν Ἴστρου
πορθμὸν ᾔεσαν. πλήθοντι δὲ αὐτῷ ἐντετυχηκότες, (χειμὼν γὰρ
ἐκ τῶν ἄνωθεν ἤπειγεν), ὡς ἐπὶ Βελέγραδα πόλιν ἐφέροντο. οὗ-
περ αἰσθόμενος βασιλεύς, πυθόμενος δὲ καὶ ὡς Βορίτζης ὁ Βό-
σθνης χώρας ἐξάρχων Δαλματικῆς εἰς συμμάχους τῷ Παιονάρχῃ D

6. ὀξύτητος] Ita Tollius. Cod. ὀξύτατος. 10. ἐρυμνότητος] Cod. ἐρυμνότατος. 15. ἐνεχείρισε] Ita Tollius. Cod. ἐχείρισε. ibid. διαφεῖναι] Cod. διαθεῖναι. 21. Βελέγραδα] Ita Duc. Cod. Βελέγαρδα.

et aliis gentibus compluribus exercitu, Branizobam urbem oppugnare contendit, pactis forte confidens, quae cum Andronico pepigerat. eius rei nuntio obstupefactus princeps miratus est perfidiam Hungarorum, quod quae sacramentis haud pridem sanciverant nulla de causa posthaberent. celeritate igitur egere rem opinatus, versus Istrum continuo iter intendit. at cum sciret suos nequaquam esse Hungaris pares (quippe Romanorum vires, nemine tum obsistente, in provinciis dispersae considebant), talia excogitat. locus est satis munitus nomine Smeles. hunc occupare instituit, ut esset sedes unde excurreret in Hungaros. ut vero civitatem sibi conservarent Branizobitae, literas, quibus se iamiam adventurum illis significat, militi cuidam tradit, imperatque ut telo alligatas in urbem coniiceret. quod ille uti iussum erat fecit. sed enim literae longius quam oportebat proiectae in manus venere Hungarorum. continuo igitur invasit illos metus, machinisque et rebus aliis, quae ad urbis oppugnationem apparatae fuerant, incensis ad Istrum transituri contenderunt. sed exundantem invenientes fluvium (quippe venti imbresque caelo effusi ruebant) versus Belegradam iter vertere. his cognitis imperator, acceptoque Borizem Bossinae regionis Dalmaticae principem,

τελέσας ἀναστρέφει ἐπὶ τὴν ἑαυτοῦ, τὸ ἀλκιμώτατον τῆς σὺν αὐ-
τῷ ἀπολεξάμενος στρατιᾶς Βορίτζῃ εἰς χεῖρας ἐλθεῖν ἔστελλεν,
ἦρχε δὲ ταύτης τῆς στρατιᾶς Βασίλειος, οὗπερ ἤδη ἐμνήσθην,
οἰκίας μὲν ἀφανοῦς γεγονώς, χαρτουλάριος δὲ βασιλεῖ χρηματί-
σας. ὁ δὲ βασιλεὺς κατόπιν σὺν τῷ ἄλλῳ Ῥωμαίων στρατῷ σχο-
λαιότερον ἔχων. ἀλλὰ Βασίλειος, ὥσπερ οἶμαι λαθόμενος ὅτου
δὴ χάριν καὶ τίνι πολεμησείοντα βασιλεὺς αὐτὸν ἔπεμψε, τὸν
δρόμον καταταχήσας ἔγγιστα τοῦ Οὔννων ἐγένετο στρατοῦ, προ-
δρόμοις τέ τισιν ἐντυχών, ἐπειδήπερ ἐτρέψατο τούτους, εἶτα καὶ
ἐς μέσην τὴν Οὔννων φάλαγγα ἐμπίπτει, μέγα τι κατορθώσειν
P 76 οἰόμενος, ἂν οὕτω πεφοβημένοις αὐτοῖς προσβαλὼν συνταράξῃ.
καὶ τάχα οὐ παντάπασιν ἄπο λογισμοῦ ταῦτα ἐποίει. Οὖννοι γὰρ
τὸ μὲν πρῶτον αὐτὸν βασιλέα τοῦ πολέμου τοῦδε στρατηγεῖν οἰη-
θέντες ἔφευγον οὐδενὶ κόσμῳ, πολλοί τε αὐτῶν ἅτε ἀθρόον τοῖς
σκάφεσι συμπιπτόντων τῷ ποταμῷ κατεδύοντο. ὡς δ' ἔγνωσαν
βασιλέα μὲν κατόπιν χωρεῖν, Βασίλειον δὲ τοῦ στρατεύματος ἐξη-
γεῖσθαι, ἀνεθάρσησάν τε καὶ ὀπισθόρμητοι γεγονότες Ῥωμαίοις
ἀντικαθίσταντο. Ῥωμαῖοι δὲ καίτοι παρὰ πολὺ πλήθει τῶν πο-
λεμίων ἐλασσούμενοι, ὅμως ὑφίσταντο τούτους. φόνος τε ἀμφο-
B τέρων πολὺς ἦν, ἕως οἱ περὶ Στέφανον τὸν Ἰατζᾶ παῖδα Οὖννοι
Ῥωμαίοις συστρατεύοντες πρότερον φυγῆς ἦρξαν. παλιντρόπου
γὰρ τὸ λοιπὸν γενομένης τῆς διώξεως, Οὔννων μὲν τῶν σὺν τῷ
Στεφάνῳ σχεδόν τι ἅπαντες, Ῥωμαίων δὲ πολλοὶ ἔπεσον· οἱ δ'

6. ἔχων] Fort. add. ἐπορεύετο vel simile verbum. cfr. p. 54. c.

qui auxilio venerat Hungariae regi, in suum redire principatum; fortissimos militum delectos, qui manus cum Borize consererent, dimittit. copiis istis praefuit Basilius, cuius supra memini, obscura quidem natus familia, ceteroquin chartularius principis. ipse imperator a tergo cum reliquo Romanorum exercitu lento sequebatur gradu. verum Basilius oblitus, opinor, cuius gratia et quo cum hoste pugnaturum se emisisset princeps, maturato itinere ad Hungaros quam proxime successit. cumque in praecursores quosdam incidisset, fugatis iis, in mediam deinde irruit hostium phalangem, egregium se facinus editurum credens, si eo conterritos metu aggressus ordines perturbasset. neque illa eum omnino spes frustrata est. namque Hungari primo quidem ipsum copiis istis praeesse imperatorem rati, nullo ordine fugam arripiunt: eorumque multi dum in scaphas conferti incidunt, flumine absorbentur. at ubi cognovere subsequi principem, aciem vero istam regere Basilium; sustulere animos et converso agmine Romanos excepere: qui etsi bellatorum numero hostibus longe inferiores, sustinuere tamen eos. magna utrimque facta est caedes: donec Hungari qui cum Stephano Geizae filio Romanis militabant, primi fugam cepere. mutata demum atque ab altera parte facta insecutione, Hungari qui cum Stephano erant fere omnes, ex Romanis vero multi cecidere: alii fuga evasere incolumes atque in iis dux

ἄλλοι φυγῇ ἐκεῖθεν ἐσώζοντο, ἐν οἷς καὶ Βασίλειος ὁ στρατηγὸς ἦν. ταῦτα τῷ βασιλεῖ ἀγγελθέντα, πρὸς δὲ καὶ ὅτι Βελέγραδα πόλιν Ῥωμαίων ἀφιστᾶν οἱ κάτοικοι διανοοῦνται, πολλὴν ἐνεποίησαν ἀθυμίαν. καὶ δὴ Ἰωάννην μὲν τὸν Καντακουζηνόν, τὸ μὲν στηρίξοντα τὴν πόλιν ἔστελλε λογισμοῖς ἀποστασίας καθάπερ ἔφην ἤδη σαλευομένην, τὸ δὲ καὶ ταφῇ τοὺς Ῥωμαίων δώσοντα νεκροὺς ἀνακαλεσόμενόν τε τοὺς ἐκ φυγῆς, ὅπου δήποτε γῆς τῆς ἐκεῖ κρυπτόμενοι ἦσαν. ὁ δὲ θυμαίνων ἄγαν ἐπὶ τοῖς συμπεσοῦσιν ἐσφάδαξε μὲν καὶ ἤθελεν ὀπίσω Οὔννων διῶξαι, Ῥωμαίων δὲ οὐκ ἐπαινούντων "ἀλλ' αἰσχύνη μοι" ἔλεγεν "ὦ ἄνδρες, πρὸ τραυμάτων οἴχεσθαι ὑπὲρ τῆς Ῥωμαίων ἀγωνιζόμενον εὐκληρίας." C ἐπεὶ δὲ πόρρω γεγονέναι τὸ Οὐννικὸν ἤκουσε, τῆς ὁρμῆς ἀνεκόπη. ἤδη δὲ καὶ ὁ Καντακουζηνὸς τὰ ἐφ' οἷς ἔσταλτο πέρατι δοὺς ἐπανῆκε δεσμώτας ἔχων καὶ τοὺς ὡς εἴρηται ἀποστασίαν ὠδίνοντας Βελεγραδιτῶν. τότε μὲν οὖν ἐκεῖθεν ἀναζεύξας ἀγχοῦ τῆς Βερροιαίων διεχειμέριζε πόλεως. ἔαρος δὲ τὰς δυνάμεις ἁπανταχόθεν ἀγείρας ἐπὶ τὴν Οὐννικὴν αὖθις ἐχώρει, ὁρμὴν ἔχων ἐς αὐτά που τὰ τῆς χώρας διαβῆναι μέσα. V 60 ὁ μὲν οὖν ἄρτι πρὸς ταῖς Ἴστρου πανστρατὶ αὐλισάμενος ἔμενεν ὄχθαις, καὶ αἱ νῆες ἐκ Βυζαντίου ἀναχθεῖσαι ἑστήκεσαν ἀθρόαι ἀναβαίνειν μένουσαι τὸ ὁπλιτικόν. ὁ δὲ Παιόνων ῥὴξ ἐπειδήπερ ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτὸν ἔγνω, ἐπὶ τὴν πρεσβείαν λοιπὸν ἔβλεψεν. D ἄνδρας τοίνυν τῶν παρ' αὐτῷ ἐπισήμων ἐς βασιλέα πέμψας, τούς τε δορυκτή-

2. ὅτι] Ita Heyse. Cod. ὁ. 5. στηρίξονεα] Cod. στηρίζοντα. 9. ἐσφάδαξε] Duc. ἐσφάδαζε. 11. ἀγωνιζόμενον] Cod. ἀγωνιζομένων. correxit Tollius.

ipse Basilius. haec imperatori nuntiata, cum etiam Belegradenses a Romanis deficere velle allatum esset, valde eius animum consternarunt. Ioannem igitur Cantacuzenum mittit, tum ut urbem in defectionis, ut dixi, proposito fluctuantem firmaret, tum ut humo mandaret Romanorum cadavera et fugientes quocumque laterent loco revocaret. eo casu maxime irritatus Hungaros a tergo insequi prorsus gestiebat: nequaquam vero id consilii probantibus Romanis "at plane" inquit "viri, mihi videtur inglorium, nullo accepto vulnere discedere, dum pro fortuna decerto Romanorum." ubi autem longius iam progressos Hungaros accepit, impetum remisit. interea Cantacuzenus confectis, ob quas missus erat, rebus rediit vinctosque adduxit ex Belegradensibus eos qui defectionem fuerant moliti. igitur motis inde castris haud procul Berrhoea civitate hiemavit. primo autem vere contracto undique exercitu iterum in Hungariam profectus est, quo in medios usque fines penetraret. iamque positis ad Istri ripam castris cum universo considebat exercitu: aderantque plurimae quae Byzantio venerant naves, ut copias transmitteret. at ubi undique se angustiis premi vidit Pannoniae rex, de mittendis tandem legatis cogitavit. missis igitur ad imperatorem viris illu-

τους Ῥωμαίων ἀποδώσειν αὐτίκα ἐπήγγελε καὶ εἰσέπειτα δὲ πάντα αὐτῷ ὑπηρετήσειν, ὅσαπερ ἂν βουλομένῳ ἔσται. βασιλεὺς δὲ τὰ μὲν πρῶτα ἀνανεύοντι ἰσχυρῶς ἐῴκει καὶ τοὺς περὶ εἰρήνης ἀποπροσποιουμένῳ λόγους, ἔπειτα προσήκατό τε δεομένους καὶ τὴν πρεσβείαν ἐπὶ τοῖς εἰρημένοις ἐπέρανεν. ἤχθησαν οὖν ἐν τῷ Ῥωμαίων στρατοπέδῳ οἵ τε δορυάλωτοι μάχῃ τῇ προηγησαμένῃ καθά-
P 77 περ εἴρηται γεγενημένοι, καὶ ὅπλα καὶ ἵπποι καὶ εἴ τί που ἄλλο πολέμου λάφυρον ἦν. ἵππων μέντοι καὶ ὑποζυγίων τῶν πεσόντων ζωοὺς ἐκ τῶν τοῖς Οὔννοις ἀντεκομίσαντο αὐτοχθόνων. οὕτω τε τὸν πόλεμον λύσαντες ἐπ' οἶκον ἀνεκομίσθησαν. καὶ τὸ ἐντεῦθεν τὰ τῶν Ἰταλικῶν πολέμων ἀρχὴν ἣν ἤδη ἔφην ἐσχηκότα λαμπρότερον ἄρτι κινεῖσθαι ἤρξατο. λέγωμεν δὲ ἀναλαβόντες μικρόν.

stribus, captivos Romanos continuo se redditurum, insuper etiam quaecumque imperaret, suppeditaturum pollicitus est. at princeps etsi primo renuenti similis verba sermonesque de pace reiecisset, admisit tandem supplices et cum legatis in supra dictas conditiones concessit. adducti igitur sunt in castra Romana qui superiore, ut memoravimus, praelio capti fuerant, et arma et equi et cetera belli praeda. ad haec pro iumentis equisque qui perierant vivi et in ipsa Hungaria geniti equi sunt restituti. ita soluto bello domum rediere. Italicum inde bellum inchoatum iam ante maioribus animis geri coepit. id autem nos paululum repetitis rebus memorare aggrediamur.

ΒΙΒΛΙΟΝ Δ.

P 78 V 61 1. Φρεδερίκος ὁ Κορράδου τοῦ Ἀλαμανῶν ἄρξαντος ἀδελφιδοῦς, οὗπερ ἱκανῶς ἐν τοῖς ἔμπροσθεν ἐπεμνήσθημεν λόγοις, Κορράδου τὸ χρεὼν ἀναπλήσαντος αὐτὸς τὴν ἀρχὴν ἔσχεν. οὗτος ἐπειδή ποτε λόγον εὐγενείας πέρι ποιούμενος (ἦν γὰρ αὐτῷ περὶ πλείστου γυναικὶ ξυνοικήσοντι τὴν εὐγενῆ μάλιστα ἐκ πασῶν ἐλέ-

15. τὸ χρεὼν] Ita Tollius. Cod. τῷ χρεών.

LIBER IV.

1. Fredericus Conradi Alemannorum principis ex fratre nepos, cuius in superioribus libris abunde meminimus, mortuo Conrado principatum obtinuit. hic cum aliquando sermonem faceret de nobilitate (quippe cum de uxore ducenda cogitaret, omnium nobilissimam deligere constituerat) audi-

σθαι) Μαρίαν τὴν Ἰσαακίου τοῦ σεβαστοκράτορος θυγατέρα γένει τε καὶ περιουσίᾳ κάλλους διάφορον οὖσαν ἐν Βυζαντίῳ τρέφεσθαι ἤκουσεν, ἥλω αὐτίκα τῆς κόρης καὶ πρέσβεις ἐς βασιλέα πέμψας ᾐτεῖτο πρὸς γάμον αὐτῷ κατεγγυηθῆναι ταύτην, πάντα ποιήσειν ἐπαγγελλόμενος ὁπόσα Κορράδος τε ὁ θεῖος καὶ αὐτός, ὁπηνίκα Παλαιστίνης ἀνέστρεφον, ἐπὶ τῇ Ἰταλίας κατακτήσει Ῥωμαίοις [P 79] ὑπηρετήσειν ὑπέσχοντο. ἡ μὲν Φρεδερίκου πρεσβεία ἐν τούτοις ἦν. βασιλεὺς δὲ τοὺς λόγους ἀποδεξάμενος πρέσβεις καὶ αὐτὸς ἐπὶ Φρεδερίκον ἔπεμψεν ἐμπεδοῦν τὰ δεδογμένα κελεύσας. ἀλλ' ἐκεῖνοι, ἐπειδήπερ εἰς λόγους ἦλθον αὐτῷ, μηδὲν ὑγιὲς βεβουλεῦσθαι τὸν ἄνδρα διαγνόντες ἄπρακτοι ἐκεῖθεν ἀπηλλάττοντο, δευτέρᾳ πρεσβείᾳ πρὸς βασιλέα χρῆσθαι αὐτὸν ἀναπείσαντες. ἧς καὶ αὐτῆς τῷ βασιλεῖ ἀποψηφισθείσης, ἄνδρες τῶν ἐπὶ δόξης ἐσαῦθις ἐστέλλοντο, Μιχαὴλ τε ὁ Παλαιολόγος καὶ Ἰωάννης ὁ Δούκας, ἄμφω εἰς τὸ τῶν σεβαστῶν ἀξίωμα ἥκοντε· ἐν οἷς ἦν καὶ Ἀλέξανδρος, Γραβίνης μὲν πόλεως ἄρξας Ἰταλικῆς, Ῥογερίου δὲ αὐτὸν ἀπελάσαντος βασιλεῖ πρότερον ἤδη προσπεφευγώς. ἐντέταλτο δὲ αὐτοῖς χρήματα μεγάλα πρὸς βασιλέα κεκομισμένοις, [B] εἰ μὲν ἐντὸς Ἄλπεων διατριβὴν ποιεῖσθαι τὸν Φρεδερίκον ἀκούσαιεν, ὁμοῦ πάντας ἐντυγχάνειν αὐτῷ· ἀποτέρω δὲ γεγονότος, τὸν Μιχαὴλ μὲν σὺν τοῖς χρήμασιν ἐπὶ Ἰταλίαν ἰέναι, τοὺς δὲ τὴν ἐπὶ Φρεδερίκον στέλλεσθαι, κἂν ἐκεῖνος τῶν δεδογμένων ἀμελήσῃ,

5. ἐπαγγελλόμενος] Ita Tollius. Cod. ἐπαγγελόμενος. 10. βεβουλεῦσθαι] Cod. βεβουλῆσθαι. 18. πρὸς βασιλέα] Fort. πρὸς βασιλέως.

retque Mariam Isaacii sebastocratoris filiam genere ac pulchritudine eximia praecellentem Byzantii educari: continuo captus amore virginis, missis ad imperatorem legatis eam sibi in matrimonium dari depoposcit, omnia se facturum spondens, quae et patruus Conradus et ipse, cum ex Palaestina redirent, de restituenda Romanis Italia polliciti erant. cum eum in finem venissent legati a Frederico missi, quae ab eo proposita sunt avide accepit imperator; qui et vicissim legatos misit ad Fredericum, ea de quibus invicem convenirent confirmaturos. at ubi cum illo in colloquium venere, cum nihil sani advertissent ab homine in medium afferri, rebus inde infectis regressi sunt, postquam regi ut alteram ad imperatorem legationem mitteret persuaserunt. quam quum et ipsam imperator infecta re dimisisset, viri duo mittuntur ex primariis, Michaël Palaeologus et Ioannes Ducas, ambo sebasti dignitate insignes, et cum his Alexander, qui Gravinae civitatis Italicae olim dominus a Rogerio expulsus ad principem confugerat. multa autem commendata iis ab imperatore pecunia, id potissimum in mandatis datur, ut si intra Alpes Fredericum agere perciperent, una omnes ad illum accederent: sin vero abesset procul, Michaël quidem cum pecunia in Italiam proficisceretur, ceteri pergerent ad Fredericum: quod si ille pactis stare neg-

17. Τοῦτον δὴ τὸν ἀγῶνα πρὸς Ἡρακλείᾳ ποτὲ τῇ Μυσῶν γυμναζομένου βασιλέως, τετύχηκε τὸν Ἀνδρονίκου τοῦ σεβαστοκράτορος παῖδα Ἰωάννην, περικαλλῆ τινα νεανίαν καὶ ἀγαλματίαν, B ἄντικρυς Ἰταλικοῦ τινος δόρατος προσβολῇ θάτερον πηρωθῆναι τοῖν ὀφθαλμοῖν. ὅθεν καὶ παραμυθεῖσθαι αὐτῷ τὸ δυστύχημα θέλων πρωτοβεστίαρχόν τε προὐβέβλητο καὶ ἐς τὸ τῶν πρωτοσεβάστων ἀνεβίβασεν ἀξίωμα. τοῦτο, φασί, μεγάλα τῆς Ἀνδρονίκου καθίκετο ψυχῆς. ὠδίνων τοίνυν ἐξ ἐκείνου καὶ δολώσεις ἀεὶ ἐπινοῶν, ὁπότε μὲν προσεχῶς ἐπὶ τῆς Κιλίκων ἐστράτευε γῆς, ῥῆγά τε τὸν Παλαιστίνης καὶ τῶν Περσῶν ὑπεποιεῖτο σουλτάν· τὴν Ναΐσοῦ δὲ καὶ Βρανιτζόβης ὥσπερ εἴρηται ἀρχὴν πιστευθείς, γράμμασι τῷ Παιόνων ὑπισχνεῖτο ῥηγί, εἴ γε βουλομένῳ ἐπιθέσθαι τυραννίδι συλλήψοιτο τῆς ἐγχειρήσεως αὐτῷ, ἐπειδὰν δὲ τοῦ ἐφε- C τοῦ τύχῃ Βρανιτζόβης τε αὐτῷ καὶ Ναΐσοῦ ὑπεκστήσεσθαι πόλεως. ὅπως μέντοι μὴ ἔκπυστα ταῦτα γεγονότα ὑπαίτιον αὐτὸν τοῦ λοιποῦ καταστήσωνται, ἔγνω ἑτέραν τραπέσθαι. ἐδήλου τοίνυν βασιλεῖ βούλεσθαι τῶν κατὰ Παιονίαν τινὰς δυναστῶν φιλίως αὐτῷ προσφέρεσθαι ἀρξαμένους δόλῳ ὑπελθὼν ὑπὸ τὴν ἑαυτοῦ ῥᾳδίως θεῖναι παλάμην. βασιλεὺς δὲ ξυνίει μὲν τοῦ δόλου· ἔφθη γὰρ ἤδη καὶ εἰς χεῖρας αὐτῷ τὰ γράμματα ἐλθεῖν, δι' ὧν Ἀνδρόνικος τῷ Παιονάρχῃ τὰ προειρημένα ἐτύγχανε διωμολογηκώς. ἐξελέγχειν δὲ θέλων αὐτὸν ἐφίησι ποιεῖν κατὰ ταῦτα μηδὲν ὑποστελλομένῳ. D ὁ δὲ πάντα αὐτῷ τοῦ λοιποῦ περιῃρῆσθαι τρόπον ὑποψίας οἰηθεὶς

6. πρωτοβεστίαρχον] Malim πρωτοβεστιάριον.

17. Id itaque certaminis ad Heracleam Mysorum edente principe, forte accidit, ut Ioannes Andronici sebastocratoris filius, elegans admodum et formosus adolescens, ictu adverso hastae cuiusdam Italicae alterum oculum amiserit. quem casum ut solatio levaret imperator, ad protovestiarii primum, mox ad protosebasti dignitatem illum evexit. eam rem ferunt graviter affecisse Andronicum. ex eo igitur tempore nescio quid clam fovens animo dolosque semper agitans, cum in Cilicia bellum proxime gereret, Palaestinae regem et Persarum Sultanum in suas traxit partes: ducatumque adeptus Naisi et Branizobae, ut modo dictum est, per literas Hungarorum regi pollicitus est, si ad invadendam tyrannidem sibi adesse vellet, simul atque imperium esset adeptus, Branizobam et Naisum continuo se ei cessurum. sed veritus ne, si haec vulgarentur, reum se proderet, alio deflexit. igitur significavit principi iam sibi quosdam e magnatibus Hungaricis conciliasse, istiusmodi circumventos dolo, in sua potestate haud difficulter sese habiturum. sed enim iam antea fraudem perceperat imperator ex literis ad se delatis Andronici, quibus supra dicta cum rege Hungarico depactus fuerat. cum autem convincere eum vellet manifestius, ut ea quae coeperat conficeret, illius prorsus permisit arbitrio. ille itaque omnem suspicionis occasio-

ἀδεῶς ἔς τε Οὔννους καὶ τὸν Ἀλαμανῶν διεπρεσβεύετο ῥῆγα, πρὸς
ἐπικουρίαν ἐν καιρῷ καὶ αὐτὸν ἐπισπώμενος. ταῦτα Ἀνδρόνικος V 57
σκευωρηκὼς ἐπὶ Βυζάντιον ἦλθε, τὰς μεταξὺ Ῥωμαίων καὶ Οὔν-
νων σπονδὰς ἤδη τῷ φαινομένῳ τετελεκώς. βασιλεὺς δὲ οὐκ οἶδα
εἴτε κηδόμενος τοῦ ἀνθρώπου (ὑπερφυῶς γὰρ ἐφίλει τοῦτον ἅτε
καὶ ἡλικιώτην αὐτῷ γεγονότα τροφῆς τε αὐτῷ μεταλαχόντα καὶ
παιδείας τῆς αὐτῆς, ἀμέλει καὶ δρόμοις τε αὐτῷ καὶ πάλαις καὶ
ἀγῶσιν ἄλλοις συγγυμνασάμενον πολλοῖς) εἴτε καὶ ἄλλό τι ἐννοού-
μενος, τότε μὲν καὶ ἔτι ἠνείχετο κακουργοῦντος. ἐπεὶ δέ ποτε καὶ P 73
ἐν Ἡρακλείᾳ ἐγένετο τῇ Μυσῶν, ἣν Πελαγονίαν τινὶ γλώττῃ κα-
τακολουθοῦντες Ῥωμαῖοι νῦν ὀνομάζουσιν, ἐξῆλθε μὲν πρὸς θήραν
ὁ βασιλεὺς ἔννυχος, ὥσπερ εἰώθει τὰ πολλά, κοιτασάμενος. ἡ γὰρ
τοῦ σώματος αὐτῷ γενναιότης καὶ πρὸς ἄρκτους ἐξῆγε καὶ πρὸς
τοὺς ἀγρίους ἀνθώπλιζε τῶν συῶν πεζῇ τὰ πλεῖστα σὺν ἀκοντίῳ
ξυμπλεκόμενον. ἐλέγετο δὲ ὡς καὶ τεθωράκιστο τὰ πρῶτα καὶ σχε-
δόν τι ἑκάστοτε πρὸς τοῖς ὅπλοις ἦν, τὰς ὡς ἐφέρετο τοῦ σεβαστο-
κράτορος Ἰσαακίου καὶ τοῦ μεγάλου στρατάρχου φυλαττόμενος
ἐπιβουλάς, κἂν οὗτος οὐδὲν ἄλλο αὐτὸν μέχρι τέλους ἔδρασεν ἄχαρι
ὅτι μὴ τὰς βασιλείους ἀφείλετο σφραγῖδας, δι' ὧν ὑποσημαίνεσθαι B
τὰς δωρεὰς βασιλεὺς εἴωθεν. οὐ μὴν ἀπροφασίστως καὶ ταύτας,
ἀλλ' ἀπ' αἰτίας ἧς αὐτὸς ἐρῶν ἔρχομαι. διατρίβοντι ἐν Μελαγ-
γείοις τῷ βασιλεῖ περί τινα χῶρον ᾧ Μεταβολὴ ὄνομα, λόγοι προὐ-
φέροντο ἐπὶ ἀρίστου. ἔνθα τῶν ἄλλων καθάπαξ ἁπάντων τὰ βα-

12. κοιτασάμενος] Duc. κοιτασόμενος. Bekkero placet ἀποκοιτασόμενος. 13. αὐτῷ] Fort. αὐτόν.

nem sublatam ratus, confidenter ad Hungaros et ad Alemannorum regem missa legatione, ut auxilium in tempore ferrent, sollicitavit. his perfide et nequiter actis, Byzantium venit Andronicus, foedere uti apparebat Romanos inter et Hungaros iam sancito. imperator vero, nescio an ex quadam in eum propensione, cum mirum in modum hominem diligeret, utpote aequalem secumque a puero enutritum ac institutum, inque cursu et luctationibus et reliquo certaminum genere socium, an quidpiam cogitaret aliud, etiam tunc facinorosum toleravit. cum aliquando Heracleae in Mysia versaretur, quam sermo quo idiomate Pelagoniam nunc Romani vocant, noctu imperator venatum exiit, hanc, uti solebat plerumque, ibi traducturus. ea quippe erat corporis praestantia et animi indole, ut et ursos insectaretur inveheretorque in apros et pedibus ut plurimum cum iisdem iaculo concurreret. induisse autem loricam tum primum aiunt ac fere semper in armis fuisse, quo Isaacii sebastocratoris et summi exercituum ducis vitaret insidias: etsi nihil ad extremum in eum quidquam aliud statuerit gravius, quam quod sigilla, quibus largitiones obsignare imperatores solent, abstulerit. neque id tamen egit nulla ratione, sed ob causam quam nunc commemorare aggredior. cum princeps in Melangiis moraretur, ad locum cui Metabole nomen, varii super coenam habebantur sermones; ubi omnibus res a principe gestas uno ore

σιλέως ἐξαιρόντων ἔργα, ὁ Ἰωάννης τὰ τοῦ πατρὸς μᾶλλον ὑπερῇρε καὶ ὑπερετίθει πολλῷ. ὁ μὲν οὖν βασιλεὺς ἔστεργε τοῖς λεγομένοις καὶ ἠγάπα τοῦ πατρὸς ἐλασσούμενος. ὡς δ' ἐπαχθὴς τοῖς ἄλλοις Ἰωάννης εἶναι ἐδόκει, ὁ δὲ οὐ μέχρι τούτου τὸν λόγον ἵστησιν. ἔδοξε γὰρ ἂν ἐπιδεῖξει πίστεως τῆς πρὸς τὸν οἰχόμενον αὐτοκρά- C τορα ταῦτα προφέρειν, ὅπερ οἶμαι πολλοὶ τῶν ἀνθρώπων ποιεῖν ἴσασιν· αἱ γὰρ πρὸς τοὺς μηκέτι ὄντας εὔνοιαι ἐχέγγυοι τοῖς περιοῦσιν εὐγνωμοσύνης τῆς εἰς αὐτοὺς γίνονται. ὁ μὲν οὖν πρὸς τούτοις καὶ δριμύτερον ἥπτετο καὶ ἠγνωμόνει τῷ υἱῷ. ὅτε δὴ στάσεως ἀναφθείσης Ἀνδρόνικος μὲν οὗτος θυμοδακῆ τινα ἐς τὸν σεβαστοκράτορα ἐπιρρίψας παρ' ὀλίγον ἦλθε τοῦ ξίφει πρὸς αὐτοῦ τὴν κεφαλὴν ἀφῃρῆσθαι, εἰ μὴ βασιλεύς τε αὐτοῦ τὴν χεῖρα ὑπερέσχε καὶ Ἰωάννης ὁ Δούκας, ὃς καὶ αὐτὸς ἐξάδελφος τῷ βασιλεῖ ἦν, τὴν μάστιγα ᾗ τοὺς ἵππους ἐπείγειν εἴθισται τῷ ξίφει καταφερο- D μένῳ ὑποθεὶς ἀμβλεῖαν ἐπὶ τὴν Ἀνδρονίκου γνάθον ἐνεχθῆναι ἐποίησε τὴν φοράν. ὁ μὲν οὖν τοῦτον ἐρρύσθη τὸν τρόπον· βασιλεὺς δὲ τὴν χεῖρα καθάπερ ἔφην τοῦ Ἀνδρονίκου ὑπερσχὼν ἐπλήγη, οὐ μέντοι καιρίαν ἀλλ' ὅσον ὀλίγον τὴν σάρκα διαστῆναι, ἧς τὴν οὐλὴν διὰ βίου ἐπὶ καρποῦ ἔφερεν. ἡ μὲν οὖν τούτου φιλονεικία ἐπὶ τοσοῦτον προελθοῦσα κατεσιγάσθη. βασιλεὺς δὲ Ἰσαάκιον μὲν ἀφ' ἑαυτοῦ ἐποιήσατο ἡμερῶν τινων ἄχρι, Ἰωάννην δὲ κρίσει παραδοὺς δίκην αὐτῷ τὴν εἰρημένην ἐπετίθει πολλῷ τῆς ἐκ τῶν νόμων ἐλάσσω. ἀλλ' ἐπανακτέον τὸν λόγον ἐπὶ τὰ πρότερα.

3. ἐπαχθὴς] Cod. ἐπαχθείς.

praedicantibus, Ioannes praeclara a Manuēlis parente peracta facinora longe extulit praetulitque. haud aegre quae dicebantur accepit imperator, nec sibi patrem praeferri moleste tulit. etsi vero aliis Ioannes iam videretur importunus, noluit tamen loquentem interpellare, cum ea (quod plerique facere solent) velut fidei suae in demortuum imperatorem argumentum protulisse visus esset. benevolentia siquidem qua defunctos prosequimur, pignus est iis qui superstites sunt nostrae in ipsos gratitudinis. sed cum in Manuēlem acerbius ille et ingrate satis magis ac magis commoveretur, orta inde contentione, Andronicus iste in sebastocratorem infesto animo invectus, gladio caput illius fere obtruncasset, nisi imperator interposuisset manum: et Ioannes Ducas, qui et ipse patruelis erat principis, flagellum, quo concitari solent equi, imminenti supponens gladio ictum debilem fractumque avertisset in maxillam Andronici. ita quidem periculum vitavit ille: at imperator, qui manum supra Andronicum protenderat, vulnus accepit, non letale quidem, sed quo paululum dissecta fuerit caro, cuius quamdiu vixit cicatricem in carpo tulit. ita acrior ista contentio conquievit. princeps vero aliquamdiu Isaacium a conspectu removit: Ioannem vero eo ipso incusatum supra dicta multavit poena, sed longe quam decernunt leges mitiore. verum ad superiora redeamus.

18. Ἐπειδήπερ ὁ Ἀνδρόνικος νυκτέρῳ κυνηγεσίῳ βασιλέα P 74 διατρίβοντα ἔγνω, ἱκανοὺς Ἰσαύρων τῶν περὶ αὐτὸν ὁπλισάμενος, οἵπερ ὡς κατὰ παντὸς αὐτῷ ξυνασπίσωσι πίστεις ἔδοσαν φθάσαντες, ἵππον τε αὐτοῦ τὸν δρομικώτατον ἐπαγόμενος σὺν αὐτοῖς ἐπὶ τὸν τόπον ἦλθεν. ἀλλ᾽ αὐτοὺς μὲν ἀποτέρω ἐπὶ λόχμης τὸν ἵππον V 58 καθέξοντας ἔστησεν, ὃ δὲ ξὺν ἡμιόνῳ ἐγγὺς τῆς βασιλέως ἦλθε σκηνῆς, ἀποβάς τε ἡσυχῇ ἐπορεύετο βάδην ἐγχειρίδιον ἐπισείων τῇ δεξιᾷ. ὅπως γε μὴν μηδενὶ φωραθείη, Ἰταλὴν ἀντὶ τῆς ἐξ ἔθους ὑπέδυ στολήν. ὡς δὲ ἔγνω καταφανὴς γεγονὼς (ἤδη γὰρ καὶ ξίφη παρεγύμνουν οἱ τὸν βασιλέα ὑπνοῦντα περιεστῶτες, ἐν οἷς καὶ Ἰωάννης ἦν ὁ βασιλέως ἀδελφιδοῦς, πρῶτος φασὶ τὸν Ἀνδρόνικον B ἐπιόντα εἰδώς), ὡς οὖν ἔγνω ταῦτα ὁ Ἀνδρόνικος, ἐπὶ γόνυ κλιθεὶς τὸν τῆς γαστρὸς δῆθεν ἀποκρίνειν προσεποιεῖτο σκυβαλισμόν, οὕτω τε κατὰ βραχὺ ὑποποδίσας ᾤχετο ἀπιών. καὶ τὰ μὲν τῆς ἐπιβουλῆς ἐκείνης ἐνταῦθα ἐλύετο. ὀλίγῳ δὲ ὕστερον σὺν πλείοσιν Ἰσαύρων ἐξῄει νύκτωρ ἐπὶ βασιλέα στελλόμενος· οὗπερ ἀγγελθέντος τῇ βασιλίδι πρὸς Ἀλεξίου, ὃς τοῖς βασιλικοῖς τηνίκα ἱπποκομίαν ἐφεστὼς ἦν (πρωτοστράτορα τοῦτο καλοῦσι Ῥωμαῖοι τὸ λειτούργημα), ἐν μὲν τῷ παραυτίκα τῶν τις εὐζωνοτέρων ἐστέλλετο μηνύσων βασιλεῖ τὴν ἐπιβουλήν. εἶτα καὶ Ἰσάχ, ἀνὴρ βαρβαρογενὴς εὔνους δὲ βασιλεῖ μάλιστα, σὺν ὁπλοφοροῦσι τριακοσίοις C ἐπέμπετο. ἀλλ᾽ οὔπω τοῦ Ἰσὰχ ἐπὶ τὸν τόπον ἐλθόντος, πυθό-

2. διατρίβοντα] Fort. ἐνδιατρίβοντα. 8. ἐξ ἔθους] Ita Tollius. Cod. ἐξέθους. 17. ἱπποκομίαν] Fort. ἱπποκόμοις. nisi forte ἱπποκομίας scribendum et τῆς βασιλικῆς pro τοῖς βασιλικοῖς.

18. Postquam Andronicus nocturnae venationi operam dare principem intellexit, ex Isauris, qui adversus quemlibet cum ipso se militaturos fidem dederant, delectos armat, assumptoque equo pernicissimo ad locum cum iis venit. illis autem longius in silva locatis traditoque iis equo, ipse mulo insidens ad tabernaculum succedit imperatoris. ibi tum tacite desilit, et pugionem dextra vibrans lento progreditur gradu: neve deprehenderetur ab aliquo, Italicum pro consueto sagum induerat. mox vero ut se agnitum vidit (quippe iam gladios strinxerant qui dormientem principem circumstabant, atque in his Ioannes ipsius ex fratre nepos, qui primus ut aiunt Andronicum adverterat), ut igitur id vidit Andronicus, continuo in genua flexus exonerare se alvum simulavit, indeque sensim retro cedens abiit. ita conatus illi consiliaque Andronici evanuere. brevi interiecto tempore cum maiore Isaurorum manu ad imperatorem nocte proficiscitur. quod ubi nuntiatum est Augustae ab Alexio imperatorii stabuli praefecto (protostratorem id muneris vocant Romani) quidam extemplo in primis expeditus eas insidias principi indicaturus mittitur: moxque Isach, qui a barbaris ducebat genus, ceteroquin fidus cum maxime imperatori, cum trecentis armatis ad eum pariter proficiscitur. sed priusquam ad locum Isach perveniret, re percepta impe-

μενος ἤδη τὸ πρᾶγμα βασιλεύς, τῶν ἄλλων ἀγωνιώντων καὶ συνταραττομένων ἐφ᾽ ἑαυτοὺς (ἐτύγχανον γὰρ οἱ πλείους ἡμιονίοις οὕτω τυχὸν ἐφεζόμενοι), αὐτὸς χρῆναι ἔλεγε τῆς εὐθείας ἀποσχομένους, ᾗ ἐπί τε τὸ στρατόπεδον καὶ τὴν βασίλειον σκηνὴν ἄγει, τὴν ἀσυνήθη ἐκείνην, ὑποδείξας τῇ χειρί, καὶ ἄστειπτον ἰέναι, μὴ μέντοι κατὰ πλάτος ἀλλ᾽ ἕνα καθ᾽ ἕνα ἐν διαστάσει τὴν πορείαν
D *τιθεμένους. "οὕτω γάρ" ἔφη "τῶν ἐκ τῆς χορταγωγίας ἐπανιόντων δόξαιμεν εἶναί τινες ἐπὶ σκηνάς τε τὰς τῇδε φαινομένας χωρεῖν." βασιλεὺς μὲν οὖν οὕτως ἀτρέστως ἐπὶ τὴν σκηνὴν ἐπορεύετο. Ἰωάννην δὲ οὗπερ ἄρτι ἐμνήσθην σῦς ὑπαντιάσας τοῖς ὀδοῦσι διεσπάραξεν. ὃ τάχιστα πυθόμενος βασιλεὺς ὀπισθόρμητος ἐπ᾽ ἐκεῖνον ἦλθεν ἐπιμελησάμενός τε τὰ εἰκότα ἀπηλλάγη. οὕτω μέντοι μεγαλοψύχως τῷ πράγματι προσηνέχθη, ὡς μηδὲ ἄχρι καὶ βλέμματος Ἀνδρονίκῳ προσενεχθῆναι κακῶς. ὁ δὲ ὥσπερ τῶν πεπραγμένων οὐδὲν ἑαυτῷ ξυνειδὼς τοῦ τε ἵππου ὃν ἤδη ἔφην ἐς ἄγαν ἐπιμεμέληται καὶ πολὺς ἦν τῷ φαινομένῳ κατὰ Ἰωάννου καὶ λέγων ἀεὶ καὶ φρονῶν. ὅθεν καὶ πυνθανομένου ποτὲ τοῦ βασιλέως*
P 75 *τί βούλεται τούτῳ τὰ τῆς τοῦ ἵππου τοῦδε ἐπιμελήσεως; "ὡς ἂν" ἔφη ἐκεῖνος "τὸν πάντων ἐμοὶ δυσμενέστατον τῆς κεφαλῆς ἀφελόμενος οἰχήσομαι ἀπιών" διὰ τούτων δῆθεν τὸν πρωτοσέβαστον αἰνιττόμενος. ὡς οὖν ἔγνω ἀπόνοιαν νοσοῦντα τὸν ἄνθρωπον, κοινωνίας ἐκτεμὼν τῆς αὐτοῦ ἔμφρουρον ἐν παλατίῳ καθίστησιν.*

19. *Ὁ μὲν οὖν ἐκ ποδῶν ἐγίνετο. ὁ δὲ Παιονίας ῥὴξ μήπω τι πεπυσμένος τῶν Ἀνδρονίκῳ συμπεπτωκότων δυνάμεις ἐκ*

rator, trementibus aliis et metu consternatis (forte enim sic casus tulerat ut mulis plerique veherentur), ipse a via recta quae ad castra et imperatorium tabernaculum tendebat, deflectendum censuit; insolita autem et minus trita illa, quam ostendebat manu, neque lato agmine, sed singulatim spatio intermisso incedendum. "ita enim pabulatores" inquit "videbimur, qui ad ea tendunt quae conspiciuntur tentoria." sic intrepide ad tabernaculum perrexit princeps. at Ioannem, cuius supra mentionem feci, cum obvius aper dentibus laceraret, ut id rescivit, continuo ad eum conversus revertitur, peractisque iis quae necessaria erant tandem excedit. tanta autem animi magnitudine rem istam accepit, ut ne vultu quidem quidquam Andronico fuerit testatus. at ille quasi nihil eorum, quae acciderant, sibi conscius, equum, de quo iam egimus, sedulo curat, multa interim propalam adversus Ioannem proferens ac mente volvens. unde rogante aliquando principe, quid haec sibi vellet equi affectata cura? "ut" inquit ille "omnium mihi infensissimi hostis truncato capite statim aufugiam." iis videlicet verbis protosebastum innuens. ubi igitur aegrum amentia vidit hominem, a consortio suo remotum, in palatio includendum curavit.

19. Sic ille in ordinem actus est. rex autem Hungariae nihildum edoctus eorum quae Andronico evenerant, contracto ex Tzechis et Saxonibus

τε Τζέχων καὶ Σαξόνων ἄλλων τε πλείστων ἑαυτῷ συστησάμενος
ἐθνῶν εἰς τὴν Βρανιτζόβης πολιορκίαν καθίστατο, ἐπαρθεὶς οἶ-
μαι οἷς Ἀνδρόνικος αὐτῷ διομολογησάμενος ἔτυχε. τούτων βασι-
λεὺς ἀκούσας καταπέπληκτο μὲν πρὸς τὴν ἀκοὴν καὶ τὴν Οὔννων B
ἐθαύμαζεν ἀπιστίαν, εἰ τῶν ἔναγχος σφίσιν ὀμωμοσμένων ἐξ οὐδε-
μίας ἀλογήσειαν αἰτίας. ὀξύτητος δ᾽ ὅμως δεῖσθαι τὸ πρᾶγμα
βουλευσάμενος, αὐτίκα τὴν ἐπὶ τὸν Ἴστρον ἐφέρετο. εἰδὼς δὲ
τοὺς σὺν αὐτῷ οὐκ ἀξιομάχους ὄντας τῇ Οὔννων στρατιᾷ (αἱ γὰρ
Ῥωμαίων δυνάμεις μηδενὸς ὅθεν δήποτε τῷ τέως ἀντιστατοῦντος V 39
ἐπὶ χώρας ἑκάστη ἔμενον), ἐνενόει τοιάδε. ἔστι τις χῶρος ἐρυ-
μνότητος ἱκανῶς ἔχων Σμήλης ὄνομα. τοῦτον ἔγνω καταλαβὼν
ὁρμητήριον τῆς ἐπὶ τοὺς Οὔννους θέσθαι ἐκδρομῆς. ὅπως μέν-
τοι Βρανιτζοβῖται τὴν πόλιν τῷ τέως αὐτῷ τηρήσωσι, γράμμα
χαράξας ὅσον οὐκ ἤδη ἀφίξεσθαι τοῦτον μηνῦον τῶν στρατιωτῶν C
τινι ἐνεχείρισε, κελεύσας ἐπὶ τὴν πόλιν αὐτὸ διαφεῖναι βέλει ξυν-
δήσαντα. ὁ μὲν οὖν κατὰ τὸ κελευσθὲν ἐποίει. τὸ δὲ βέλος
πορρωτέρω ἢ ἐχρῆν ἀφεθὲν Οὔννοις εἰς χεῖρας ἦλθεν. εὐθὺς οὖν
ταραγμὸς εἰσῆλθεν αὐτούς, καὶ δὴ τάς τε ἑλεπόλεις καὶ ὅσα πρὸς
τειχομαχίαν αὐτοῖς παρεσκεύαστο πυρὶ φλέξαντες ἐπὶ τὸν Ἴστρου
πορθμὸν ᾔεσαν. πλήθοντι δὲ αὐτῷ ἐντετυχηκότες, (χειμὼν γὰρ
ἐκ τῶν ἄνωθεν ἤπειγεν), ὡς ἐπὶ Βελέγραδα πόλιν ἐφέροντο. οὗ-
περ αἰσθόμενος βασιλεύς, πυθόμενος δὲ καὶ ὡς Βορίτζης ὁ Βό-
σθνης χώρας ἐξάρχων Δαλματικῆς εἰς συμμάχους τῷ Παιονάρχῃ D

6. ὀξύτητος] Ita Tollius. Cod. ὀξύτατος. 10. ἐρυμνότητος] Cod. ἐρυμνότατος. 15. ἐνεχείρισε] Ita Tollius. Cod. ἐχείρισε. ibid. διαφεῖναι] Cod. διαθεῖναι. 21. Βελέγραδα] Ita Duc. Cod. Βελέγαρδα.

et aliis gentibus compluribus exercitu, Branizobam urbem oppugnare contendit, pactis forte confidens, quae cum Andronico pepigerat. eius rei nuntio obstupefactus princeps miratus est perfidiam Hungarorum, quod quae sacramentis haud pridem sanciverant nulla de causa posthaberent. celeritate igitur egere rem opinatus, versus Istrum continuo iter intendit. at cum sciret suos nequaquam esse Hungaris pares (quippe Romanorum vires, nemine tum obsistente, in provinciis dispersae considebant), talia excogitat. locus est satis munitus nomine Smeles. hunc occupare instituit, ut esset sedes unde excurreret in Hungaros. ut vero civitatem sibi conservarent Branizobitae, literas, quibus se iamiam adventurum illis significat, militi cuidam tradit, imperatque ut telo alligatas in urbem coniiceret. quod ille uti iussum erat fecit. sed enim literae longius quam oportebat proiectae in manus venere Hungarorum. continuo igitur invasit illos metus, machinisque et rebus aliis, quae ad urbis oppugnationem apparatae fuerant, incensis ad Istrum transituri contenderunt. sed exundantem invenientes fluvium (quippe venti imbresque caelo effusi ruebant) versus Belegradam iter vertere. his cognitis imperator, acceptoque Borizem Bossinae regionis Dalmaticae principem,

τελέσας ἀναστρέφει ἐπὶ τὴν ἑαυτοῦ, τὸ ἀλκιμώτατον τῆς σὺν αὐτῷ ἀπολεξάμενος στρατιᾶς Βορίτζῃ εἰς χεῖρας ἐλθεῖν ἔστελλεν, ἦρχε δὲ ταύτης τῆς στρατιᾶς Βασίλειος, οὗπερ ἤδη ἐμνήσθην, οἰκίας μὲν ἀφανοῦς γεγονώς, χαρτουλάριος δὲ βασιλεῖ χρηματίσας. ὁ δὲ βασιλεὺς κατόπιν σὺν τῷ ἄλλῳ Ῥωμαίων στρατῷ σχολαιότερον ἔχων. ἀλλὰ Βασίλειος, ὥσπερ οἶμαι λαθόμενος ὅτου δὴ χάριν καὶ τίνι πολεμησείοντα βασιλεὺς αὐτὸν ἔπεμψε, τὸν δρόμον καταταχήσας ἔγγιστα τοῦ Οὔννων ἐγένετο στρατοῦ, προδρόμοις τέ τισιν ἐντυχών, ἐπειδήπερ ἐτρέψατο τούτους, εἶτα καὶ ἐς μέσην τὴν Οὔννων φάλαγγα ἐμπίπτει, μέγα τι κατορθώσειν
P 76 οἰόμενος, ἂν οὕτω πεφοβημένοις αὐτοῖς προσβαλὼν συνταράξῃ. καὶ τάχα οὐ παντάπασιν ἄπο λογισμοῦ ταῦτα ἐποίει. Οὖννοι γὰρ τὸ μὲν πρῶτον αὐτὸν βασιλέα τοῦ πολέμου τοῦδε στρατηγεῖν οἰηθέντες ἔφευγον οὐδενὶ κόσμῳ, πολλοί τε αὐτῶν ἅτε ἀθρόον τοῖς σκάφεσι συμπιπτόντων τῷ ποταμῷ κατεδύοντο. ὡς δ' ἔγνωσαν βασιλέα μὲν κατόπιν χωρεῖν, Βασίλειον δὲ τοῦ στρατεύματος ἐξηγεῖσθαι, ἀνεθάρσησάν τε καὶ ὀπισθόρμητοι γεγονότες Ῥωμαίοις ἀντικαθίσταντο. Ῥωμαῖοι δὲ καίτοι παρὰ πολὺ πλήθει τῶν πολεμίων ἐλασσούμενοι, ὅμως ὑφίσταντο τούτους. φόνος τε ἀμφο-
B τέρων πολὺς ἦν, ἕως οἱ περὶ Στέφανον τὸν Ἰατζᾶ παῖδα Οὖννοι Ῥωμαίοις συστρατεύοντες πρότερον φυγῆς ἦρξαν. παλιντρόπου γὰρ τὸ λοιπὸν γενομένης τῆς διώξεως, Οὔννων μὲν τῶν σὺν τῷ Στεφάνῳ σχεδόν τι ἅπαντες, Ῥωμαίων δὲ πολλοὶ ἔπεσον· οἱ δ'

6. ἔχων] Fort. add. ἐπορεύετο vel simile verbum. cfr. p. 54. c.

qui auxilio venerat Hungariae regi, in suum redire principatum; fortissimos militum delectos, qui manus cum Borize consererent, dimittit. copiis istis praefuit Basilius, cuius supra memini, obscura quidem natus familia, ceteroquin chartularius principis. ipse imperator a tergo cum reliquo Romanorum exercitu lento sequebatur gradu. verum Basilius oblitus, opinor, cuius gratia et quo cum hoste pugnaturum se emisisset princeps, maturato itinere ad Hungaros quam proxime successit. cumque in praecursores quosdam incidisset, fugatis iis, in mediam deinde irruit hostium phalangem, egregium se facinus editurum credens, si eo conterritos metu aggressus ordines perturbasset. neque illa eum omnino spes frustrata est. namque Hungari primo quidem ipsum copiis istis praeesse imperatorem rati, nullo ordine fugam arripiunt: eorumque multi dum in scaphas conferti incidunt, flumine absorbentur. at ubi cognovere subsequi principem, aciem vero istam regere Basilium; sustulere animos et converso agmine Romanos excepere: qui etsi bellatorum numero hostibus longe inferiores, sustinuere tamen eos. magna utrimque facta est caedes: donec Hungari qui cum Stephano Geizae filio Romanis militabant, primi fugam cepere. mutata demum atque ab altera parte facta insecutione, Hungari qui cum Stephano erant fere omnes, ex Romanis vero multi cecidere: alii fuga evasere incolumes atque in iis dux

ἄλλοι φυγῇ ἐκεῖθεν ἐσώζοντο, ἐν οἷς καὶ Βασίλειος ὁ στρατηγὸς ἦν. ταῦτα τῷ βασιλεῖ ἀγγελθέντα, πρὸς δὲ καὶ ὅτι Βελέγραδα πόλιν Ῥωμαίων ἀφιστᾶν οἱ κάτοικοι διανοοῦνται, πολλὴν ἐνεποίησαν ἀθυμίαν. καὶ δὴ Ἰωάννην μὲν τὸν Καντακουζηνόν, τὸ μὲν στηρίξοντα τὴν πόλιν ἔστελλε λογισμοῖς ἀποστασίας καθάπερ ἔφην ἤδη σαλευομένην, τὸ δὲ καὶ ταφῇ τοὺς Ῥωμαίων δώσοντα νεκροὺς ἀνακαλεσόμενόν τε τοὺς ἐκ φυγῆς, ὅπου δήποτε γῆς τῆς ἐκεῖ κρυπτόμενοι ἦσαν. ὁ δὲ θυμαίνων ἄγαν ἐπὶ τοῖς συμπεσοῦσιν ἐσφάδαξε μὲν καὶ ἤθελεν ὀπίσω Οὔννων διῶξαι, Ῥωμαίων δὲ οὐκ ἐπαινούντων "ἀλλ' αἰσχύνη μοι" ἔλεγεν "ὦ ἄνδρες, πρὸ τραυμάτων οἴχεσθαι ὑπὲρ τῆς Ῥωμαίων ἀγωνιζόμενον εὐκλη- C ρίας." ἐπεὶ δὲ πόρρω γεγονέναι τὸ Οὐννικὸν ἤκουσε, τῆς ὁρμῆς ἀνεκόπη. ἤδη δὲ καὶ ὁ Καντακουζηνὸς τὰ ἐφ' οἷς ἔσταλτο πέρατι δοὺς ἐπανῆκε δεσμώτας ἔχων καὶ τοὺς ὡς εἴρηται ἀποστασίαν ὠδίνοντας Βελεγραδιτῶν. τότε μὲν οὖν ἐκεῖθεν ἀναζεύξας ἀγχοῦ τῆς Βερροιαίων διεχειμέριζε πόλεως. ἔαρος δὲ τὰς δυνάμεις ἁπανταχόθεν V 60 ἀγείρας ἐπὶ τὴν Οὐννικὴν αὖθις ἐχώρει, ὁρμὴν ἔχων ἐς αὐτά που τὰ τῆς χώρας διαβῆναι· μέσα. ὁ μὲν οὖν ἄρτι πρὸς ταῖς Ἴστρου πανστρατὶ αὐλισάμενος ἔμενεν ὄχθαις, καὶ αἱ νῆες ἐκ Βυζαντίου ἀναχθεῖσαι ἑστήκεσαν ἀθρόαι ἀναβαίνειν μένουσαι τὸ ὁπλιτικόν. ὁ δὲ Παιόνων ῥὴξ ἐπειδήπερ ἐν στενῷ κομιδῇ τὰ κατ' D αὐτὸν ἔγνω, ἐπὶ τὴν πρεσβείαν λοιπὸν ἔβλεψεν. ἄνδρας τοίνυν τῶν παρ' αὐτῷ ἐπισήμων ἐς βασιλέα πέμψας, τούς τε δορυκτή-

2. ὅτι] Ita Heyse. Cod. ὁ. 5. στηρίξοντα] Cod. στηρίζοντα. 9. ἐσφάδαξε] Duc. ἐσφάδαζε. 11. ἀγωνιζόμενον] Cod. ἀγωνιζομένων. correxit Tollius.

ipse Basilius. haec imperatori nuntiata, cum etiam Belegradenses a Romanis deficere velle allatum esset, valde eius animum consternarunt. Ioannem igitur Cantacuzenum mittit, tum ut urbem in defectionis, ut dixi, proposito fluctuantem firmaret, tum ut humo mandaret Romanorum cadavera et fugientes quocumque laterent loco revocaret. eo casu maxime irritatus Hungaros a tergo insequi prorsus gestiebat: nequaquam vero id consilii probantibus Romanis "at plane" inquit "viri, mihi videtur inglorium, nullo accepto vulnere discedere, dum pro fortuna decerto Romanorum." ubi autem longius iam progressos Hungaros accepit, impetum remisit. interea Cantacuzenus confectis, ob quas missus erat, rebus rediit vinctosque adduxit ex Belegradensibus eos qui defectionem fuerant moliti. igitur motis inde castris haud procul Berrhoea civitate hiemavit. primo autem vere contracto undique exercitu iterum in Hungariam profectus est, quo in medios usque fines penetraret. iamque positis ad Istri ripam castris cum universo considebat exercitu: aderantque plurimae quae Byzantio venerant naves, ut copias transmitteret. at ubi undique se angustiis premi vidit Pannoniae rex, de mittendis tandem legatis cogitavit. missis igitur ad imperatorem viris illu-

τους Ῥωμαίων ἀποδώσειν αὐτίκα ἐπήγγελε καὶ εἰσέπειτα δὲ πάντα
αὐτῷ ὑπηρετήσειν, ὅσαπερ ἂν βουλομένῳ ἔσται. βασιλεὺς δὲ τὰ
μὲν πρῶτα ἀνανεύοντι ἰσχυρῶς ἐῴκει καὶ τοὺς περὶ εἰρήνης ἀπο-
προσποιουμένῳ λόγους, ἔπειτα προσήκατό τε δεομένους καὶ τὴν
πρεσβείαν ἐπὶ τοῖς εἰρημένοις ἐπέρανεν. ἤχθησαν οὖν ἐν τῷ Ῥω-
μαίων στρατοπέδῳ οἵ τε δορυάλωται μάχῃ τῇ προηγησαμένῃ καθά-
P 77 περ εἴρηται γεγενημένοι, καὶ ὅπλα καὶ ἵπποι καὶ εἴ τί που ἄλλο
πολέμου λάφυρον ἦν. ἵππων μέντοι καὶ ὑποζυγίων τῶν πεσόντων
ζωοὺς ἐκ τῶν τοῖς Οὔννοις ἀντεκομίσαντο αὐτοχθόνων. οὕτω τε
τὸν πόλεμον λύσαντες ἐπ' οἶκον ἀνεκομίσθησαν. καὶ τὸ ἐντεῦθεν
τὰ τῶν Ἰταλικῶν πολέμων ἀρχὴν ἣν ἤδη ἔφην ἐσχηκότα λαμπρό-
τερον ἄρτι κινεῖσθαι ἤρξατο. λέγωμεν δὲ ἀναλαβόντες μικρόν.

stribus, captivos Romanos continuo se redditurum, insuper etiam quaecumque imperaret, suppeditaturum pollicitus est. at princeps etsi primo renuenti similis verba sermonesque de pace reiecisset, admisit tandem supplices et cum legatis in supra dictas conditiones concessit. adducti igitur sunt in castra Romana qui superiore, ut memoravimus, praelio capti fuerant, et arma et equi et cetera belli praeda. ad haec pro iumentis equisque qui perierant vivi et in ipsa Hungaria geniti equi sunt restituti. ita soluto bello domum rediere. Italicum inde bellum inchoatum iam ante maioribus animis geri coepit. id autem nos paululum repetitis rebus memorare aggrediamur.

ΒΙΒΛΙΟΝ Δ.

P 78 V 61 1. Φρεδερίκος ὁ Κορράδου τοῦ Ἀλαμανῶν ἄρξαντος ἀδελφιδοῦς, οὗπερ ἱκανῶς ἐν τοῖς ἔμπροσθεν ἐπεμνήσθημεν λόγοις, Κορράδου τὸ χρεὼν ἀναπλήσαντος αὐτὸς τὴν ἀρχὴν ἔσχεν. οὗτος ἐπειδή ποτε λόγον εὐγενείας πέρι ποιούμενος (ἦν γὰρ αὐτῷ περὶ πλείστου γυναικὶ ξυνοικήσοντι τὴν εὐγενῆ μάλιστα ἐκ πασῶν ἑλέ-

15. τὸ χρεὼν] Ita Tollius. Cod. τῷ χρεών.

LIBER IV.

1. Fredericus Conradi Alemannorum principis ex fratre nepos, cuius in superioribus libris abunde meminimus, mortuo Conrado principatum obtinuit. hic cum aliquando sermonem faceret de nobilitate (quippe cum de uxore ducenda cogitaret, omnium nobilissimam deligere constituerat) audi-

σθαι) Μαρίαν τὴν Ἰσαακίου τοῦ σεβαστοκράτορος θυγατέρα γένει τε καὶ περιουσίᾳ κάλλους διάφορον οὖσαν ἐν Βυζαντίῳ τρέφεσθαι ἤκουσεν, ἥλω αὐτίκα τῆς κόρης καὶ πρέσβεις ἐς βασιλέα πέμψας ᾐτεῖτο πρὸς γάμον αὐτῷ κατεγγυηθῆναι ταύτην, πάντα ποιήσειν ἐπαγγελλόμενος ὁπόσα Κορράδος τε ὁ θεῖος καὶ αὐτός, ὁπηνίκα Παλαιστίνης ἀνέστρεφον, ἐπὶ τῇ Ἰταλίας καταστάσει Ῥωμαίοις P 79 ὑπηρετήσειν ὑπέσχοντο. ἡ μὲν Φρεδερίκου πρεσβεία ἐν τούτοις ἦν. βασιλεὺς δὲ τοὺς λόγους ἀποδεξάμενος πρέσβεις καὶ αὐτὸς ἐπὶ Φρεδερίκον ἔπεμψεν ἐμπεδοῦν τὰ δεδογμένα κελεύσας. ἀλλ' ἐκεῖνοι, ἐπειδήπερ εἰς λόγους ἦλθον αὐτῷ, μηδὲν ὑγιὲς βεβουλεῦσθαι τὸν ἄνδρα διαγνόντες ἄπρακτοι ἐκεῖθεν ἀπηλλάττοντο, δευτέρᾳ πρεσβείᾳ πρὸς βασιλέα χρῆσθαι αὐτὸν ἀναπείσαντες. ἧς καὶ αὐτῆς τῷ βασιλεῖ ἀποψηφισθείσης, ἄνδρες τῶν ἐπὶ δόξης ἐσαῦθις ἐστέλλοντο, Μιχαήλ τε ὁ Παλαιολόγος καὶ Ἰωάννης ὁ Δούκας, ἄμφω εἰς τὸ τῶν σεβαστῶν ἀξίωμα ἥκοντε· ἐν οἷς ἦν καὶ Ἀλέξανδρος, Γραβίνης μὲν πόλεως ἄρξας Ἰταλικῆς, Ῥογερίου δὲ αὐτὸν ἀπελάσαντος βασιλεῖ πρότερον ἤδη προσπεφευγώς. ἐντέταλτο δὲ αὐτοῖς χρήματα μεγάλα πρὸς βασιλέα κεκομισμένοις, B εἰ μὲν ἐντὸς Ἄλπεων διατριβὴν ποιεῖσθαι τὸν Φρεδερίκον ἀκούσαιεν, ὁμοῦ πάντας ἐντυγχάνειν αὐτῷ· ἀποτέρω δὲ γεγονότος, τὸν Μιχαὴλ μὲν σὺν τοῖς χρήμασιν ἐπὶ Ἰταλίαν ἰέναι, τοὺς δὲ τὴν ἐπὶ Φρεδερίκον στέλλεσθαι, κἂν ἐκεῖνος τῶν δεδογμένων ἀμελήσῃ,

5. ἐπαγγελλόμενος] Ita Tollius. Cod. ἐπαγγελόμενος. 10. βεβουλεῦσθαι] Cod. βεβουλῆσθαι. 18. πρὸς βασιλέα] Fort. πρὸς βασιλέως.

retque Mariam Isaacii sebastocratoris filiam genere ac pulchritudine eximia praecellentem Byzantii educari: continuo captus amore virginis, missis ad imperatorem legatis eam sibi in matrimonium dari depoposcit, omnia se facturum spondens, quae et patruus Conradus et ipse, cum ex Palaestina redirent, de restituenda Romanis Italia polliciti erant. cum eum in finem venissent legati a Frederico missi, quae ab eo proposita sunt avide accepit imperator; qui et vicissim legatos misit ad Fredericum, ea de quibus invicem convenirent confirmaturos. at ubi cum illo in colloquium venere, cum nihil sani advertissent ab homine in medium afferri, rebus inde infectis regressi sunt, postquam regi ut alteram ad imperatorem legationem mitteret persuaserunt. quam quum et ipsam imperator infecta re dimisisset, viri duo mittuntur ex primariis, Michaël Palaeologus et Ioannes Ducas, ambo sebasti dignitate insignes, et cum his Alexander, qui Gravinae civitatis Italicae olim dominus a Rogerio expulsus ad principem confugerat. multa autem commendata iis ab imperatore pecunia, id potissimum in mandatis datur, ut si intra Alpes Fredericum agere perciperent, una omnes ad illum accederent: sin vero abesset procul, Michaël quidem cum pecunia in Italiam proficisceretur, ceteri pergerent ad Fredericum: quod si ille pactis stare neg-

αὐτοὺς λοιπὸν καὶ καθ' ἑαυτοὺς Ἰταλίας μεταποιεῖσθαι. ὅπερ
δῆτα καὶ γέγονε.
V 62 2. Ῥογερίῳ γὰρ τῷ Σικελῶν τυράννῳ ἀδελφιδοῦς ἦν ὄνομα
Βασαβίλας. οὗτος Ῥογερίου μὲν ἔτι περιόντος τὴν Ἰταλίας διεῖ-
πεν ἀρχήν, ἐκείνου δὲ τετελευτηκότος ἐπὶ τὸν υἱόν τε Γιλιέλμον
C τῆς ἀρχῆς μετελθούσης, ἠνάγκαστο λοιπὸν ἐν ὑποστρατήγου λό-
γῳ διατελεῖν, ἑτέρου τὴν Ἰταλίαν διέποντος. καὶ δὴ τὴν ὕβριν
οὐκ ἐνεγκὼν εἰς ἀποστασίαν εἶδε. τοίνυν καὶ ἐπὶ Φρεδερίκον πέμ-
ψας Ἰταλίαν τε πᾶσαν καὶ Σικελίαν αὐτὴν ἐγχειριεῖν ἐπήγγελλε
τούτῳ. Φρεδερίκου δὲ πρὸς τὸ δυσχερὲς ὀκνήσει ἐχομένου, συν-
έβαινεν ἀπράκτους τοὺς Βασαβίλα πρέσβεις ἐπανιόντας Ἀλεξάν-
δρῳ συνηντηκέναι. ἤδη γὰρ καὶ οὗτος οὐδὲν ὧν ἕνεκα παρὰ
Φρεδερίκον ἦλθε πέρατι δούς, σὺν τῷ Δούκᾳ ἐκεῖθεν ἀπηλλάτ-
τετο. ὡς οὖν εἰς λόγους ἀλλήλοις ἦλθον Ἀλέξανδρός τε καὶ οἱ
D Βασαβίλα πρέσβεις, μαθὼν Ἀλέξανδρος ὅτου ἕνεκα παρὰ Φρεδε-
ρίκον ἦλθον "ἐγγύς," ἔφη πρὸς αὐτοὺς "ἄνδρες φίλοι, ὃς πέρατι
αὐτίκα τὴν πρεσβείαν ὑμῖν δώσει." τῶν δὲ μαθεῖν βουλομένων
"βασιλεὺς Ῥωμαίων" ὑπολαβὼν εἶπεν ὁ Ἀλέξανδρος, καὶ ἑξῆς
πάντα κατέλεγε προστιθεὶς ὅτι δὴ καὶ Παλαιολόγος ἀνὴρ βουλῆς
μὲν τῆς Ῥωμαίων ὢν εἰς δὲ τὸ τῶν σεβαστῶν ἀξίωμα [ἀναχθεὶς]
σὺν χρήμασι μεγάλοις ἐνταῦθά που παρὰ πόδας ἐστί, τούτου

9. ἐπήγγελλε τούτῳ] Malim ἐπηγγέλλετο τούτῳ vel ἐπηγγέλλετο αὐτῷ. 17. ὑμῖν] Ita Tollius. Cod. ἡμῖν. 20. ἀξίωμα] Post ἀξίωμα in Cod. octo litterarum spatium est, quod non videtur commodius expleri posse quam addito ἀναχθείς.

ligeret, tum vero suam ipsi ad Italiam recuperandam operam conferrent: quod et factum est, hac quae sese ultro obtulit occasione.

2. Bassavilla Rogerii Siciliae tyranni ex sorore nepos, avunculo superstite, rerum summam in Italia obtinuerat. sed mortuo illo translataque ad Gulielmum regia dignitate, cum alter Italiae administrationem obtinuisset, ipse secundum ab eo locum obtinere coactus est. hanc ille non passus iniuriam ad defectionem sese comparavit, missisque ad imperatorem legatis, Italiam universam Siciliamque ipsam in manus sese traditurum pollicitus est. sed enim Bassavillae legati, qui Frederico in re ardua ac difficili adhuc cessante, re infecta redibant, in Alexandrum inciderunt, qui nihil pariter eorum quorum causa venerat ad Fredericum executus una cum Duca revertebatur. ubi igitur in colloquium venere Alexander et Bassavillae legati, Alexander, qui quorsum ad Fredericum venissent, probe noverat "prope est" inquit "amici, qui legationi vestrae extremam manum imponet." quis ille esset, rogantibus iis "imperator Romanorum" subdit Alexander: moxque rerum enarrato statu, addidit Palaeologum, virum quidem ex curiae Romanae magnatibus, sed sebasti insignitum dignitate, cum immensa pecuniarum

ἕνεκα ἐνταῦθα παραγεγονὼς ὅπως ἂν Ἰταλίαν βασιλεῖ καταστήσαιτο. ταῦτα οἱ Βασαβίλα πρέσβεις ἀκούσαντες γράμμασιν αὐτῷ τὰ παρόντα ἐδήλουν. ὁ δὲ εἰς τὴν πόλιν Πεσχάραν Ῥωμαίοις P 80
λόγου κοινωνήσειν ἤθελεν. ὃ μαθὼν ὁ Παλαιολόγος ναυσὶ δέκα μηδὲν ὑπερθέμενος εἰς Πεσχάραν ἔπλει, πόλιν Βεστίαν βασιλεῖ προσχωρήσασαν μεταξὺ κρατηνάμενος. ἀλλὰ δόξαν αὖθις Βασαβίλᾳ ἐπὶ Βεστίαν αὐτῷ ἐντετυχηκέναι ὀπίσω ἔπλει, ἐνταῦθά τε ἐντετυχηκὼς αὐτῷ, πίστεις τε περὶ τῶν προκειμένων λαβὼν καὶ δεξάμενος ἔργου λοιπὸν εἴχετο. ὁ δὲ Δούκας στράτευμα ἤδη ἀθροίσας φρούριόν τι ἐρυμνόν, οὗ Προῦντζος ἦρχεν ἀνὴρ Ἰταλός, πολιορκεῖν ἐπεβάλετο. ἔνθα προσβολῆς γενομένης Ῥωμαῖοι τοὺς πολεμίους τρεψάμενοι ἐντὸς τειχέων συνέπεσον φεύγουσιν, οἱ δὲ πρῶτον μὲν ἐπὶ τὴν ἀκρόπολιν ἀνεχώρουν, ὡς δὲ Ῥωμαῖοι πῦρ B
ταῖς οἰκοδομαῖς ἤδη ἐνῆκαν τά τε οἴκοι διήρπαζον, ἐπικαταβαίνειν τε ἤρξαντο καὶ κύριον σφίσι βασιλέα μέγαν ἀναβοᾶν. τούτου μὲν δὴ οὕτως ἐγκρατεῖς ἐγένοντο. ἐπὶ δέ τινα πόλιν ἐλθόντων ἣ ἐπώνυμος τῷ ἐνταῦθα τιμωμένῳ ἁγίῳ Φλαβιανῇ κέκληται, ἐξεχεῖτο ἅπας ὁ δῆμος ὑπὲρ τῶν ἀγρῶν δεόμενοι καὶ τοῦ μηδὲν αὐτοῖς ἄχαρι πρὸς τῶν Ῥωμαίων πείσεσθαι στρατιωτῶν, δοῦλοί τε βασιλεῖ ὡμολόγουν καὶ τἆλλα ἔπραττον, ὅσα Ῥωμαίοις βουλομένοις ἦν. οὓς τῆς εὐνοίας ἀμειβόμενος ὁ στρατηγὸς ὡς διὰ φιλίας ἐπορεύετο τῆς χώρας. ἄρτι δὲ ἐκεῖθεν ἀπαίροντι Γιλιέλμος ὁ Βα- C

4. λόγου] Ita Duc. Cod. λόγον. 20. βασιλεῖ] Fort. add. εἶναι vel ἔσεσθαι.

vi prope adesse, ut Italiam imperatori denuo assereret. quibus intellectis, legati per literas quae audiverant Bassavillae significarunt. ille vero ut sibi liceret cum Romanis in civitate Peschara colloqui per eosdem expetiit. quod ubi accepit Palaeologus, nihil cunctatus navibus decem Pescharam adnavigavit, Voscia interea urbe, quae ad principem defecerat, communita. sed cum rursum Bassavilla ad Vosciam cum illo sese collocuturum nuntiasset, eo se contulit; congressuque habito ac de rebus praesentibus data acceptaque vicissim fide, operi sese accinxit. contracto deinde exercitu, castrum validum, cui Bruntzus Italus praeerat, oppugnare aggressus est Ducas. commisso ibi certamine, hostes fuderunt Romani, qui fugientes insecuti una cum iis moenia subiere. at illi in arcem sese primum recepere. verum ut aedificia sua igne consumi vastarique et auferri omnia a Romanis conspiciunt, tum vero descendunt, dominumque suum magnum imperatorem proclamant: atque hoc modo castro illi potiuntur. cum inde ad civitatem, cui a divo quodam, qui in ea colitur, Flavianae nomen inditum est, pergerent, populares omnes obviam effusi pro agris suis illos rogant, ac ne quid in se gravius insolescat miles obtestantur, servos se futuros deinceps imperatoris, et quaecumque vellent Romani se facturos polliciti. dux eiusmodi benevolentiae illorum gratiam rependens, per eorum agros amice ac pacate iter fe-

σαβίλλα μὲν ἀδελφός, εὔνους δὲ καὶ αὐτὸς Ῥωμαίοις ἤδη γεγονὼς γράμματα παρὰ τοῦ ἀδελφοῦ κομίζων ἦλθεν αὐτῷ θαρρεῖν τοῦ λοιποῦ προτρεπόμενα, ὡς τὸ ἑξῆς χώρας κατηκόου προκειμένης αὐτῷ.

3. Ὁ δὲ Παλαιολόγος ἐπειδὴ Βεστίαν, καθάπερ εἴρηται, ὁμολογίᾳ παρεστήσατο, ἐπὶ Τρᾶνιν ἦλθε. Τρανῖται τοίνυν ὡς τὸν Ῥωμαίων εἶδον στρατόν, ἐπειδὴ παραδιδόναι σφίσι τὴν πόλιν οὐδαμῇ ἤθελον, πρέσβεις παρὰ τὸν στρατηγὸν πέμψαντες ἠξίουν
D ἐνθένδε τοῦτον ἀπαίρειν. μὴ γὰρ πρότερον Βᾶριν παραστησα-
V 63 μένῳ ἀδύνατα αὐτῷ ἔσεσθαι Τρᾶνιν ἑλεῖν. ὁ δὲ ναῦς αὐτίκα οὐ πλέον ἢ δέκα ἐπαγόμενος ἐκεῖθέν τε μετέβη καὶ ἐπὶ Βᾶριν ἦλθεν, οὐχ ὅσον τοῖς στρατιωτῶν λόγοις ἀναπεισθεὶς (ἀγχίνους γὰρ ἦν καὶ τῇ περὶ τὰ πολεμικὰ ἐμπειρίᾳ οὐδενὸς ἥσσων), ἀλλὰ Τρᾶνιν οὐκ ἐπίμαχον εἰδὼς τρίβειν εἰκῇ τὸν καιρὸν ἀσύμφορον ᾤετο. ἐδόκει μὲν οὖν ἡ Βᾶρις ἀπρόσοδος αὐτῷ πάντῃ· τείχη τε γὰρ αὐτὴν περιεζώννυ καρτερά, καὶ βαρβάρων στρατιὰ οἱ μὲν ἐπὶ τῶν ἐπάλξεων ὁπλενδυτοῦντες ἐνέστησαν, οἱ δὲ ἀνάριθμός τις ὅμιλος πυλῶν προχυθέντες πεζοί τε καὶ ἱππεῖς ξὺν τοῖς ὅπλοις ἐπεφέροντο
P 81 αὐτῷ. ἡ θάλασσα δὲ σφοδρῶς ἐπεγειρομένη καταδύειν ἠπείλει τὰς ναῦς. ὁ δὲ καίτοι πανταχόθεν αὐτῷ τῶν πραγμάτων ἀπόρων ὄντων, οὐκ ἔξω πάντῃ ἐλπίδων ἐγένετο. τῇ ἐπιούσῃ γοῦν τῶν κυμάτων τέως ἀπηλλαγμένος ἔργου ἔχεσθαι ἤθελεν. ὡς δὲ μηδὲν αὐ-

18. ἐπεφέροντο] Cod. ἐφέρετο. Duc. ἐφέροντο. 22. ἀπηλλαγμένος] Ita coni. Tollius. Cod. ἀπηλλαγμένοι.

cit. cum inde excederet, Gulielmus Bassavillae frater, qui et ipse in Romanorum amicitiam concesserat, cum fratris literis venit, quibus ut confidenter dux accederet hortabatur, utpote circumiacente regione iam Romanis parente.

3. Palaeologus autem Voscia, ut dictum est, per conditiones potitus, ad Tranim venit: cuius incolae simul ac Romanum exercitum conspexere, cum nequaquam urbem dedere vellent, missis ad ducem legatis, ut finibus suis absccederet rogavere: neque enim prius quam Barim cepisset, Tranim posse ab illo expugnari. quare collectis decem non amplius navibus, discessit inde et ad urbem Barim venit, non tam militum secutus consilium (quippe solers erat admodum et rei militaris experientia nemine inferior), sed quod Tranim expugnari revera non posse sciret, proindeque tempus ibi terere parum consultum arbitraretur. sed et ad ipsam Barim copias admovere haud tam facile videbatur: cum praeterquam quod validis cingeretur muris, idoneo barbarorum praesidio esset munita: quorum alii in turribus armati stabant, alii ante portas infinito prope numero effusi pedites equitesque perinde cum armis consistebant. ad haec aestu insolito fervens et intumescens mare iamiam navibus interitum minitabatur. cum igitur ardua omnia undique ac difficilia prorsus viderentur, non ideo tamen spem ille omnem abiecerat. sedata igitur postridie tempestate, rem aggredi constituit. at cum nihil fere

τῷ προὐχώρει (τῶν γὰρ πολεμίων οἱ μὲν λίθους καὶ ξύλα καὶ πᾶν τὸ παρατυχὸν νιφάδων δίκην ἐκ τῶν ἐπάλξεων ἐπ᾽ αὐτὸν ἔπεμπον, οἱ δὲ καὶ ἀπὸ γῆς βέλεσι τὸν ἀέρα ἐσκίαζον), ἐντροπήν τινα ἐν τῷ παραυτίκα πεποιημένος ἔξω βελῶν ἐγίνετο, λόγοις τε ἐς αὐτοὺς ἐχρῆτο ἀγαθὰ ἃ μὲν αὐτίκα ποιήσειν ἐπαγγελλόμενος εἰ βασιλεῖ μεγάλῳ τὴν πόλιν ἀμαχητὶ παραθήσουσιν, ὧν δὲ καὶ ἐλπίδα B ὑποτείνων ἐξῆς· τούτων ἐπειδήπερ οἱ ἐπὶ τῆς πόλεως ἤκουσαν, ἱππέων ἐκδραμόντες τινές, οἱ δὲ καὶ λεμβαδίοις ἐμβάντες, παρεκάλουν αὐτὸν ἐπὶ τὴν πόλιν ἰέναι ἀνακεκλιμένας τὰς πύλας ὑποδεικνύντες. ὁ δὲ δείσας, ὅπερ ἦν μὴ ἐξαπάτη τις εἴη τὸ πρᾶγμα, ἐς πεῖραν ἐχώρει πρότερον. ἐκέλευε τοίνυν τῶν σὺν αὐτῷ μίαν νεῶν ἐπὶ τὴν ἀκτὴν ἰέναι δῆθεν ὁρμισομένην· ἀλλ᾽ ἅμα τε προσιοῦσαν εἶδον αὐτὴν οἱ πολέμιοι καὶ ἀμφὶ τοὺς πεντακοσίους ἐς τὰς ἐπάλξεις ἀνέβαινον. ὃ κατιδὼν Ἀλέξανδρος μήπω πρὸς τοῖς ὅπλοις ἐκείνων γεγενημένων χρυσίον κεχυμένον ἐπὶ τοῦ κόλπου λαβὼν ἀπέβαινέ τε τῆς νεὼς θᾶσσον καὶ τοῖς ἐπὶ τῆς πόλεως δεικνὺς "ὅς C ἂν πλούτου καὶ ἐλευθερίας ἐραστὴς εἴη δεῦρο παρίτω" ἀνέκραγεν "ὡς αὐτίκα τούτων ἀπολαυσόμενος." ὁ μὲν ταῦτα εἶπε, τῶν δ᾽ ἐκ τῆς πόλεως πλῆθος ἐκδραμόντες πολὺ παραυτὰ βασιλεῖ προσεχώρουν, οὓς ὅρκοις καταλαβὼν ὁ στρατηγὸς σπεύσας ἐπὶ τὴν πόλιν εἰσῆγε τὸ στράτευμα. οὕτω χρυσίνου δελέατος οὐδὲν ἀνθρώποις ἀπατηλότερον γίνεται. ταῦτα γνόντες πολῖται οἱ ἄλ-

5. ἐπαγγελλόμενος] Cod. ἐπαγγελόμενος. 9. ἀνακεκλιμένας] Duc. ἀνακεκλεισμένας. 15. κεχυμένον] Bekker. κεκομμένον.

ex animi sententia succederet (hostium enim alii lapides et ligna et quodcumque occurrebat ad manum nivium instar e turribus emittebant: alii, qui infra stabant, frequentibus telis obscurabant aërem) intermittendam in praesenti oppugnationem ratus extra teli iactum recessit et pacisci cum hostibus coepit, multa iis bona pollicitus, quae sese partim daturum confestim spondebat, si urbem citra praelium magno dederent imperatori, partim subinde speranda ingerebat. oppidani simul atque id accepere, alii equites excedunt, alii scaphas ingrediuntur, eumque invitant ut in urbem, cuius reclusas ostendebant portas, veniret. at ille ne dolus subesset veritus, primo animos illorum tentare statuit. iussit itaque navem ex suis unam ad littus agi, quasi eo appulsuram: quam ubi hostes vident accedere, numero circiter quingenti turres conscendunt. id conspicatus Alexander, cum necdum ii arma induissent, aurum, quod prae sinu effusum gestabat, accipiens statim nave egreditur; ostensoque eo oppidanis qui supra muros stabant, haec verba exclamat "qui divitiarum et libertatis desiderio tangitur, huc accedat, iis extemplo fruiturus." his dictis ingens e civitate advolat multitudo et imperatori continuo adiungitur: moxque dux fide ab iis accepta, cum multa celeritate exercitum in civitatem introducit. adeo nihil est ad inescandos iniciendosque mortalium animos auro validius. haec postquam cognovere cives alii, quibus vi-

λοι, οὓς οὐκ ἤρεσκε δηλονότι τὰ πραττόμενα, δρόμῳ ἐπὶ τὴν
ἀκρόπολιν ἐχώρουν, ἐντός τε ἤδη τειχέων γεγονότες περὶ τῶν ὅλων
ἐμάχοντο. ἦν τε πρᾶγμα πολλοῦ γε ὄντως θαύματος ἄξιον ὁρᾶν,
D τοὺς ἔναγχος καὶ φύσει καὶ γνώμαις συμβαίνοντας σήμερον ὥσπερ
ἐπὶ τειχίσματι τῷ χρυσῷ διειργμένους, ἐχθρὰ φρονοῦντας ἀλλή-
λοις καὶ διεστηκότας ἤδη τοῖς ἔργοις. ταῦτα μὲν οὖν τῇδε ἐφέ-
ρετο. ἦν δέ τι φρούριον ἀνὰ τὴν πόλιν ἕτερον, ἐφ' οὗ Νικο-
λάου τοῦ ἐν ἁγίοις ἵδρυτο νεώς, ὃ καὶ αὐτὸ ἐξελεῖν ὁ στρατηγὸς
διανοηθεὶς τοιάδε τινὰ ἐποίει. ἄνδρας τεθωρακισμένους μέλασι
περιστείλας ἀμφίοις ἐκέλευεν ὀρθρίσαντας ἐπὶ τὸν νεὼν ἐλθεῖν,
ἐπειδὰν δὲ καὶ ἔνδοθεν γένοιντο τὰ ξίφη σπασαμένους ἔργου ἔχε-
P 82 σθαι. οἱ μὲν οὖν ἔξωθεν τῷ φρουρίῳ προσιόντες τὴν πύλην ἔκο-
πτον· οἱ δ' ἔνδον μονήρεις τινὰς εἶναι τούτους ὑπειληφότες, τὰς
πύλας αὐτοῖς διαζυγώσαντες εἰσεδέχοντο. καὶ τὸ λοιπὸν οὕτω δὴ
καὶ τοῦτο Ῥωμαίοις ᾑρέθη. ἀλλὰ καὶ τούτου ἑαλωκότος οἱ ἐπὶ
τῆς ἀκροπόλεως ἰσχυρογνώμονες ἔτι ἦσαν. μέχρι μὲν οὖν καὶ ἐς
ἑβδόμην ἡμέραν οὕτω διετέλεσαν ἀντικαθήμενοι ἀλλήλοις, ἐπεὶ δὲ
καὶ Βασαβίλας ἐνταῦθα ἦλθε δύναμιν ὡς πλείστην ἐπαγόμενος,
V 64 τότε δὴ καὶ ταύτην Ῥωμαίοις παρέδοσαν. κατὰ ἔχθος γε μὴν τὸ
πρὸς Ῥογέριον ἅτε ἀπανθρώπως αὐτοῖς ὁποῖα τοῖς τυραννοῦσιν εἴ-
θισται προσφερόμενον, ἐς ἔδαφος αὐτὴν καθελόντες ἀφῆκαν, καί-
B τοι πολλὰ τοῦ στρατηγοῦ πρὸς τοῦτο διενισταμένου· καὶ χρημάτων
ὠνεῖσθαι ταύτην μεγάλων ἀξιοῦντος.

4. ὥσπερ ἐπὶ] Malim ὡσπερεί. 8. αὐτὸ] Cod. αὐτός. 12. πύλην] Ita Tollius. Cod. πόλϊν. Duc. πύλιν.

delicet quae facta fuerant haud placebant, in arcem confestim sese proripiunt: atque intra moenia iam recepti de summa rerum decertant. hic porro rem admiratione dignam erat intueri, eos nempe qui et natura et voluntate invicem nuper cohaerebant, nunc auro velut muro disiunctos hostiliter inter se agere, diversaque prorsus moliri et sentire. atque is fuit in urbe rerum status. erat praeterea in superiori civitatis parte arx altera, in qua exstructum erat divo Nicolao dicatum templum, quam cum occupare statueret Palaeologus, talia comminiscitur. armatos aliquot, nigris superindutos palliis, summo mane ad templum ire iubet, datque iis in mandatis, ut simul atque ingressi illud essent, tum demum strictis gladiis rem aggrederentur. illi ergo sub auroram accedentes ad arcem, portam pulsant. qui intus erant, monachos quosdam esse arbitrati, apertis ianuis illos intromisere: atque ita deinceps a Romanis captum est castellum. verum id etsi expugnatum, nihilo minus qui acropolim tenebant obstinatiori sese tuebantur animo, adeo ut per septem continuos dies certamen perduraret. at postquam eo accessit cum ingentibus copiis Bassavilla, tum et illam Romanis dediderunt: atque odio quo in Rogerium flagrabant, quod nimirum inhumane crudeliterque (ut solent tyranni) in eos saevisset, arce diruta soloque aequata, discessere, licet dux obsisteret eamque magno vellet emere.

4. Τὰ μὲν οὖν κατὰ Βᾶριν τῇδε ἐχώρησεν. ὁ δὲ Παλαιο-
λόγος ἐπειδὴ ταύτην ἔσχεν, ἐπὶ Τρᾶνιν ἀπέπλει· ὁμολογίᾳ τε καὶ
ταύτην παραστησάμενος, εἶτα καὶ Γιβενάτζιον, πόλιν λόγου
ἀξίαν, ὑπόσπονδον ἐποιήσατο. ἦν δέ τις Ῥιτζάρδος ὄνομα, ἀνὴρ
κολαστικός. ἄνθρωπον γὰρ καὶ ἐπὶ μικροῖς αὐτῷ προσκεκρουκότα
ὡς ἱερεῖον καταθῦσαι, ἢ σπλάγχνα ἀνατεμεῖν καὶ χειρῶν ἢ ποδῶν
ἀποστερῆσαι κόλασις αὐτῷ ἡ προχειροτάτη ἦν. οὗτος Ἄντρου
μὲν ἦρχε φρουρίου, Γιβενατζίου δὲ μεταποιεῖσθαι Ῥωμαίους ἀκη-
κοὼς ἠπείλει μὲν καὶ τὸ πρότερον ἀποσχέσθαι τῆς ἐγχειρήσεως,
ὡς δὲ τῶν ἀπειλῶν ἀφροντιστήσαντες Γιβενάτζιόν τε αὐτὸ ὁμολο-
γίᾳ ἔσχον καὶ περὶ τῶν λοιπῶν προϊόντες ἐσκέπτοντο, κόμησί τε C
ἄλλοις καὶ δὴ καὶ τῷ Γιλιέλμου καντζιλερίῳ συγγεγονώς, ὃν λο-
γοθέτην εἴποι ἄν τις ἑλληνίζων ἀνήρ, ἐπὶ Τρᾶνιν σὺν αὐτοῖς ἦλ-
θεν ὡς αὐτοβοεὶ τὴν πόλιν ἀναρπασόμενος. ἠκολούθει δὲ αὐτοῖς
στράτευμα, ἱππεῖς μὲν δισχίλιοι πεζῶν δὲ καὶ ὁπλιτῶν μύριος ἄγαν
ὅμιλος. Ῥωμαῖοι τοίνυν σὺν βραχείᾳ τινὶ καὶ ὀλιγανδρούσῃ δυ-
νάμει ἔνδον ἀπολειφθέντες περί τε τῇ πόλει αὐτῇ καὶ τοῖς ὅλοις
ἔδεισαν πράγμασιν. ὅθεν καὶ ταχὺ τὸν Δούκαν μετεπέμποντο
γράμμασι τύχην αὐτῷ τὴν ἐνεστῶσαν παραδηλοῦντες. ὁ δὲ ἐπειδὴ
τὰ γράμματα ἐδέξατο, συσκευασάμενος αὐθημερὸν τὴν ἐπὶ Τρᾶ- D
νιν ἠπείγετο. γενομένῳ γοῦν περί τινα χῶρον ᾧ Βουνὸς ἡ κλῆσίς
ἐστιν, ἐξῄεσαν οἱ ταύτῃ ἄνθρωποι παραλήψεσθαι σφίσι τὴν πό-
λιν ἀμαχητὶ τὸν Ῥωμαίων προτρεπόμενοι στρατόν. ἀλλ' ὁ Δού-

22. ταύτῃ] Cod. ταύτην.

4. Haec tum ad Barim contigere, qua capta Palaeologus versus Tranim navigat. ea civitate similiter certis conditionibus in deditionem accepta, Iuvenatium non contemnendam urbem foedere sibi adiungit. erat iis in locis Richardus quidam homo vindictae sumendae mire cupidus. quippe hominem, a quo vel levissime esset offensus, quasi victimam caedere, manibus pedibusque truncare, visceraque illius avellere, levissima ei videbatur animadversio. Antro hic castello praeerat: qui ubi Iuvenatium in Romanorum potestatem iamiam venturum accepit, vi ab incepto desisterent Romanis comminatus est. sed spretis eiusmodi minis Iuvenatioque in fidem recepto, cum quid deinceps agendum esset deliberarent Romani ulteriusque pergerent, ille comitibus aliis adiunctus atque adeo ipsi Gulielmi cancellario, quem logothetam Graeci vocant, cum iis versus Tranim tendit, urbem primo impetu expugnaturus. hos subsequebatur exercitus equitum duorum millium, peditum vero aliorumque armatorum infinitae multitudinis. qui in civitate cum exiguis admodum copiis relicti fuerant Romani, tum sibi tum civitati metuentes celeriter Ducam advocant et fortunam illi praesentem per literas exponunt. quas ubi ille accepit, motis eodem die castris ad Tranim ire pergit. cum ad locum quemdam, cui nomen Buno, venisset, egressi obviam incolae ut civitatem citra certamen reciperet Romanus exercitus cohortabantur. sed

κας διατριβήν τινα ἐνταῦθα ποιεῖσθαι ἀσύμφορον οἰηθείς, ὡς μὴ Ῥιτζάρδῳ κατ' ἐξουσίαν τὴν τοῦ πολέμου διοικεῖσθαι δώσει ῥοπήν, ταῦτα μὲν ἐν τῷ τέως παρῆλθε, δυνατὸν ὂν καὶ εἰσέπειτα κατὰ καιρὸν ἀνθέξεσθαι τούτων, ἐπὶ δὲ τὸν Ῥιτζάρδον ὅλαις ἐφέρετο ὁρμαῖς. ἔστι δέ τι ἐπιθαλάττιον πόλισμα Βαρλὲτ ὄνομα, ἔνθα τὸν καντζιλέριον συνέβαινεν εἶναι. τούτου δὴ ἄγχιστα γενομένῳ
P 83 τῷ Δούκᾳ ἱππεῖς ἐκ τῆς ἐκείνου στρατιᾶς τριακόσιοι μάλιστα ἐκδρομὴν ποιησάμενοι ἅμα πεζῶν φάλαγγι αἰφνίδιον ὑπηντίαζον. ὁ δὲ τῷ ἀπροόπτῳ μηδὲν καταπλαγεὶς ἐς φάλαγγά τε ἐπυκνοῦτο ταχὺ καὶ σὺν ῥύμῃ σφοδρᾷ κατ' αὐτῶν ἵετο, πρὸς βραχύ τε ὑποστάντες ἐτρέψαντο. ἔνθα Ῥωμαίοις μὲν τοῖς ἄλλοις οὐκ ἔχω λέγειν ὅπως ἑκάστῳ ἀνδραγαθίσασθαι ἐξεγένετο, ὅ γε μὴν Δούκας ἐς τριάκοντά φασιν ἐπὶ στόμα κατήνεγκε ξὺν τῷ δόρατι ἐπελαύνων, ἕως πυλῶν ἔνδον πολλοὺς τῶν σφετέρων ἀποβαλόντες ἐγένοντο. Ῥωμαῖοι δὲ ὀπίσω διώξαντες, ἐπειδὴ συνεσκόταζεν ἤδη, ἐπὶ τὸ στρατόπεδον ἀνεχώρουν, οὐδενὶ ἑτέρῳ ὅ τι μὴ τῶν μισθο-
B φορούντων ζημιωθέντες ἱππέων τινί. τὴν μὲν οὖν νύκτα ἐκείνην
V 65 ἐνταῦθά που ηὐλίσαντο, ἅμα δὲ ἡμέρᾳ ὁδοῦ εἴχοντο. τοῦτο μαθὼν ὁ Ῥιτζάρδος, ὡς μὴ κύκλωσίν τινα αὐτοῦ Ῥωμαῖοι ποιησάμενοι ἀνήκεστα δράσωσι, τὴν ταχίστην ἐκεῖθεν ἐφέρετο, ἐν Ἄντρῳ τε γεγονὼς ἐνταῦθα ἔμενεν. ὁ δὲ Δούκας τὸ σὺν τῷ Παλαιολόγῳ ῥυσάμενος στράτευμα ἐπὶ Ῥιτζάρδον μετέβαινε, καίτοι τῆς περὶ αὐτὸν δυνάμεως πολλῷ τὴν Ῥωμαίων πλήθει ὑπερβαλλούσης.

5. *Βαρλὲτ*] Nonne *Βαρλέτον?* ut infra *Μαλφέτον*. 12. *ἀνδραγαθίσασθαι*] Cod. *ἀνδραγαθήσασθαι*. 18. *εἴχοντο*] Ita Tollius e coniectura. Cod. *εἴχετο*.

Ducas longius ibi immorari haud e re sua fore arbitratus, ne Richardo belli pro arbitrio gerendi occasionem praeberet, id in praesens quidem omisit, tum etiam quod eo in posterum opportuniori tempore potiri se posse non diffideret. in Richardum igitur toto impetu contendit, qui in maritimo quodam oppido tum agebat, cui Barleti nomen, ubi etiam aderat cancellarius. cum proxime ad urbem accessisset Ducas, de exercitu Richardi trecenti equites cum peditum phalange, irruptione facta, obviam improviso venerunt. verum re inopinata haudquaquam perculsus Ducas, in densam se aciem collegit totisque viribus in hostes irruit, qui vix sustinentes impetum versi sunt in fugam. eo in certamine ut ceteri sese gesserint Romani et unusquisque eorum praeclarum ediderit facinus, haud equidem dicere possim. id fama constat, Ducam hasta invectum triginta prostrasse, donec multis suorum amissis intra portas sese receperunt. fugientes insecuti Romani, appetente iam nocte, in castra reversi sunt, nullo alio praeterquam uno ex conductitiis equitibus interempto. nocte illa ibi castra metati sunt: sed ubi illuxit dies, itineri sese accinxere. his acceptis Richardus, veritus ne si undique circumveniretur a Romanis, damnum haud facile sarciendum incurreret, inde

τοὺς μὲν γὰρ ἑξακοσίους, οὐ πλείονας συνέβαινεν εἶναι, πεζῶν
ἄνευ, οἳ καὶ αὐτοὶ τοῦ σὺν τῷ Ῥιτζάρδῳ πεζικοῦ πλείστου ἀπο-
δέοντες ἦσαν. Ῥιτζάρδῳ δὲ ἱππεῖς μὲν ὀκτακόσιοι καὶ χίλιοι, πε-
ζῶν δὲ οὐκ εὐαρίθμητος εἵπετο στρατιά. ἐπιόντας τοίνυν Ῥω- C
μαίους ὁ Ῥιτζάρδος ἀναμαθὼν ἀντεξῆγε τὸ στράτευμα καὶ αὐτός.
ἐπειδή τε ἐγγὺς ἤδη ἐγένοντο, Ῥωμαῖοι μὲν τριχῇ διαιρεθέντες
ἐτάξαντο ὧδε. Σκύθαι δὲ καὶ ὅσοι ἐπὶ τόξοις ἦσαν πεζῇ φαλαγ-
γηδὸν ἐπὶ μέτωπον ἔστησαν. ἱππέων δὲ ἐς ἥμισυ μάλιστα καὶ
μοῖραν Σκυθῶν ὁ Δούκας ἔχων αὐτὸς μὲν τὴν ὀπισθίαν, Βασα-
βίλας δὲ σὺν τῶν ἄλλων κομήτων τισὶ τὸ λοιπὸν ἔχων ἱππικὸν τὴν
μέσην ἐκληροῦτο χώραν. Ῥιτζάρδος δὲ πολλῷ ἐχόμενος θυμῷ,
οὐδὲ ὅσον τακτικῆς τι μεταποιήσασθαι ἀνασχόμενος ἀπήλαυνε σὺν
τοῖς ἀμφ' αὐτὸν ἱππεῦσιν, ἕως ἐς αὐτὸ τὸ μεσαίτατον τοῦ Ῥωμαϊ-
κοῦ καταντήσας στρατεύματος σταδὴν ἤδη τὴν μάχην ἐποιεῖτο,
τοῦ κατὰ μέτωπον τοξικοῦ οὐδὲ κατὰ βραχὺ ἀντισχόντος αὐτῷ.
εἶτα δὴ καὶ Βασαβίλαν βιασάμενος ἐτρέψατό τε κατὰ κράτος καὶ D
τοῖς ἀμφὶ τὸν Δούκαν ἤδη ἐπέθετο. ἐνταῦθα μάχη συνίσταται
καρτερά, καὶ πίπτουσι μὲν τῶν περὶ τὸν Ῥιτζάρδον πολλοί· ἅτε
δὲ ἐν πολλῷ τῷ πλήθει πιπτόντων, συναίσθησις οὐδεμία τῷ στρα-
τεύματι ἐγίνετο. ὠθισμός τε γοῦν πολὺς ἦν καὶ δοράτων πρὸς
ταῖς ἀσπίσιν ἀποκαυλιζομένων δοῦπος ἠγείρετο· συχνά τε βέλη

7. Σκύθαι δὲ] Immo Σκύθαι μέν. nisi potius delendum est δέ. ibid. πεζῇ] Malim πεζοί. 12. ἀπήλαυνε] ἐπήλαυνε? 16. Βασαβίλαν] Cod. Βασαβίλας.

ocius pedem retulit et in Antro sese continuit. Ducas autem acceptis Palaeologi copiis, in Richardum procedit, licet illius exercitus bellatorum numero Romanum longe superaret. neque enim amplius erant quam sexcenti in Ducae acie, praeter pedites, qui et ipsi pedestribus Richardi copiis multo erant inferiores. is autem mille octingentorum equitum, peditum vero innumerae multitudinis habebat exercitum. ut igitur adventare Romanos rescivit Richardus, ipse perinde suas eduxit copias: cumque iam prope essent, trifariam Romani exercitum divisere, acie in hunc modum instructa. Scythae et quotquot erant sagittarii pedites turmatim in fronte stabant: Ducas cum dimidia equitum parte et aliquot Scythis postremum, Bassavilla vero cum comitum nonnullis aliis et cetero equitatu medium obtinuere locum. at Richardus cum summo pugnandi ardore flagraret, nec curaret ordinare aciem, cum equitibus suis in hostes fortiter invehitur, usque dum mediis eorum copiis obviam factus, collato pede praelium conserit, ei ne leviter quidem obsistentibus in fronte locatis sagittariis. mox et Bassavilla fuso fugatoque in eos, qui cum Duca erant, impetum facit. tum vero acre ibi instituitur certamen, caduntque ex Richardi militibus quamplures: et quod in magna evenire solet multitudine, vix tanta caedes ab exercitu percipiebatur. fit igitur crebra utrimque propulsio, et hastarum in clipeos impulsarum fragor

ἐπεπέτετο καὶ πανταχόθεν ἐστήρικτο τὸ δεινόν, ἕως Ῥιτζάρδος σὺν
ῥύμῃ ἐπιβρίσας νῶτα ἤδη δεδωκέναι καὶ τούτους ἠνάγκασεν. ὅτε
P 84 καὶ αὐτὸς ὁ Δούκας παρ' ὀλίγον ἦλθε τοῦ καὶ ἁλῶναι καταδορα-
τισθείς. ἀλλὰ γὰρ ἡ πρόνοια πάντα ἐς ὅπερ ἂν αὕτη θέλει ἄγει
καὶ στρέφει τὰ ἀνθρώπεια. καίτοι εἰς τοῦτο τύχης Ῥωμαίοις ἐλ-
θοῦσι νικᾶν ὅμως ἐπὶ τέλους ἐγένετο. ἔφθη μὲν γὰρ ὁ Δούκας
ἐπί τι τῶν ἐκ λίθου πεποιημένων τειχέων πεφευγώς, ἃ πρὸ τῶν
πυλῶν εἴθισται τιτάνου ἄνευ ἤ τινος ἄλλης ἐπιχρίσεως τοὺς λει-
μῶνας περιζωννύειν, ἐνταῦθα περισεσῶσθαι. ἤδη δὲ καὶ τὸ Ῥω-
μαίων πεζικὸν ἐν ἐπιτηδείῳ γεγονὸς λίθους κατὰ τῶν περὶ Ῥιτζάρ-
δον ἠφίεσαν, ὡς ἐντεῦθεν ἐπισυνίστασθαι ἤδη τῶν πεφευγότων
πολλούς. ὅπερ ὁ Ῥιτζάρδος ἰδὼν ἱππεῦσιν ἓξ ἅμα καὶ τριάκοντα
B κατ' αὐτῶν αὖθις ἐφέρετο. ἀλλά τις τῶν ἐκ Τράνεως εἰς τοὺς
ἱερέας τελῶν μέγα τι χρῆμα λίθου ἐξ ὑπερδεξιῶν ἀφεὶς κνήμης τε
θατέρας τυχήσας αὐτῷ, εἰς γῆν ἀναχθῆναι ἐποίησε. καὶ ὁ μὲν
ἔκειτο σπαράττων ὑπὸ ὀδύνης ἑαυτόν, ὁ δὲ καὶ δευτέραν κατῆρε
τοῦ τραχήλου βολήν. ἐπειδή τε ἤδη κατηγώνιστο, καίτοι τοῦ-
τον πολλὰ ἱκετεύοντα ὕπτιον ἀνακλίνας ἐγχειρίδιον μὲν τῆς γα-
στρὸς διελαύνει, ἔγκατα δὲ πάντα ἐκχέας οἷόν τινα ἐδωδὴν ἐπὶ
τοῦ στόματος παρέθετο ὑπόδειγμα καθ' ἑαυτοῦ τοῦτον δὴ τὸν τῆς
ἀπανθρωπίας τρόπον παρεσχηκότι τῷ κακοδαίμονι. καὶ τὸ ἐν-
τεῦθεν Ἄντρον τε καὶ τὸ περὶ αὐτὸν στράτευμα Ῥωμαίοις ὁμολογίᾳ

15. ἀναχθῆναι] Malim καταχθῆναι vel ἐνεχθῆναι.

exauditur: spissa volant tela, et validus ubique fit conflictus: donec vehementiori cum impetu sese inferens Richardus hos quoque terga vertere adegit: quo tum tempore quin hasta vulneratus et ipse Ducas caperetur haud multum abfuit. sed enim divina quocumque demum vult res humanas agit vertitque providentia. licet itaque ad eam redacti fuissent fortunam Romani, nihilo minus tandem evasere victores. quippe Ducas intra quosdam ex lapidibus compactos muros e periculo se exemerat, cuiusmodi absque calce aut materia simili prata, quae urbium portis obversantur, circumvallari solent. nacti interea etiam pedites Romani locum idoneum, lapides coniiciebant in Richardi militem, adeo ut plurimi qui fugae se dederant, inde se rursum conglomerarent hostemque impeterent. ubi id vidit Richardus, cum equitibus sex et triginta eos rursum adoritur. sed Tranita quidam sacerdos maioris molis lapidem e loco superiore deiiciens, tibiam illius alteram assecutus, ad terram hominem prostravit, qui prae dolore sese subinde dilacerabat ac vellicabat. at iterato ictu collum illius cum attigisset sacerdos, victum tandem et nequicquam supplicem supinat, adactoque in ventrem pugione, intestina eximit omnia, eaque iacentis ori veluti cibum aliquem admovet, ut qui in alios eiusmodi crudelitatem exercuerat, in se tandem illius experiretur exemplum. tum et Antrum et quae Richardo adhaeserant copiae Romanis sese

προσεχώρησεν· οἱ δὲ οὐδὲ τὸν κίνδυνον διαφυγεῖν προσδοκήσαντες σὺν τροπαίοις ἐπὶ Βᾶριν ἦλθον. ἔνθεν ἀφθόνοις περιτετυχηκότες C
τοῖς ἐπιτηδείοις τοὺς πολεμίους ἀνέψυχον ἤδη καμάτους.

5. Χρόνου δὲ οὐ πολλοῦ διαγεγονότος ἐδόκει διχῇ διελοῦσι V 66
τὸ στράτευμα τὸ μὲν αὐτοῦ σὺν τῷ ἑτέρῳ τῶν στρατηγῶν μεῖναι, τὸ δ᾽ ἄλλο θάτερον ἐπαγόμενον ἐπὶ καταδρομῇ φρουρίων τῶν περιοίκων ἐξελθεῖν. ἔπιπτε δὲ ἐπὶ τὸν Δούκαν ὁ τοῦ προπονεῖσθαι κλῆρος. τοίνυν καὶ ἦν γάρ τις πόλις ἧς Κάστρος ἡγεῖτο ἀνὴρ ἐπιφανής, ταύτην περικαθίσας ἀσφαλῶς ἐπολιόρκει. ὡς δὲ πολλάκις τῷ περιβόλῳ προσραγεὶς ἔγνω ἀνηνύτοις ἐπιχειρῶν (οὐ γὰρ οὖν οὐδὲ λίθον αὐτῷ ἐκεῖθεν ἀποσπᾶν ἐξεγένετο καίτοι συχνὰ μαστίξαντι τοῖς τειχομαχικοῖς) ἄρας ἐκεῖθεν περὶ λύχνων ἁφὰς ἐπὶ D
Μονόπολιν ἐφέρετο, ἐξαπιναίως ἐπιθήσεσθαι ταύτῃ διανοούμενος. ἐτύγχανον δὲ τηνικαῦτα Μονοπολῖται στράτευμα ἐπὶ Ῥωμαίους ἐκπέμψαντες, τὸ μὲν ἐπὶ κατασκοπῇ τῶν γινομένων, τὸ δὲ καὶ ὅπῃ δυνατὰ ἔσται ἀντικαταστησόμενον αὐτοῖς. τύχῃ γοῦν τινι Μονοπολῖται τοῖς ἐμπροσθίοις τοῦ Ῥωμαϊκοῦ συμμίξαντες στρατοῦ εἰς χεῖρας ἦλθον. ἀλλὰ συναισθήσεως καὶ τοῖς κατόπιν γεγενημένης ἱππεῖς μὲν αὐτῶν σχεδόν τι ἅπαντες ᾤχοντο πεφευγότες, δρόμῳ τε ἔτι καὶ ἄσθματι πολλῷ ἐχόμενοι πολίταις τοῖς ἄλλοις τὸν Ῥωμαίων στρατὸν ὅσον οὐκ ἤδη παρέσεσθαι διήγγελον. πεζῶν δὲ πλεῖστοι ἑάλωσαν. τούτοις ἐκταραχθέντες ἡ πόλις ἐκ τῶν παρόν- P 85

12. τειχομαχικοῖς] Ita Tollius. Cod. τοιχομαχικοῖς. *ibid.* λύχνων] Ita Tollius e coniectura. Cod. λίθων. 21. διήγγελον] Cod. διήγγελον.

adiunxere: et qui se neutiquam evasuros periculum crediderant, cum tropaeis Barim venerunt: ubi inventis affatim rebus necessariis fessa militaribus laboribus corpora refecere.

5. Paucis itaque diebus intermissis, copias bifariam partiri visum operae pretium, quarum pars alia istic cum duce uno maneret, alia cum altero ad circumiacentia castella diripienda exiret. atque huius postremae curae in Ducam sors recidit. cum ergo prope adesset oppidum, cui Castrus vir illustris praeerat, illud obsidione cingit fortiterque oppugnat. at cum tentatis crebro moenibus frustra se insumere operam advertit (nam etsi bellicis machinis saepius pulsasset muros, vix unum inde lapidem abstulerat), motis sub vesperum castris ad Monopolim tendit, ut urbem necopinantem opprimeret. sed circa idem tempus copias aliquot emiserant Monopolitani, tum ut Romanos explorarent, tum etiam, si ad id daretur occasio, cum iis dimicarent. hi forte fortuna in primam Romanorum incidentes aciem, manus cum iis conserunt. quod simul atque advertere qui in postremo stabant ordine, universi ferme eorum equites terga vertunt, cursuque effuso, ceteris civibus iamiam adfuturum Romanorum exercitum annuntiant. peditum autem plerique capti sunt. eo nuntio conterrita civitas, utcunque in praesenti periculo

των τοῖς πολεμίοις ἀντιτάξεσθαι ἔγνωσαν. ἱππεῖς τοίνυν ὑπὲρ τοὺς διακοσίους ἐκδραμόντες ἅμα πεζοῖς πλείοσιν ἢ χιλίοις, πλήθους σφενδονητῶν ἀναρίθμου κατόπιν αὐτοῖς ἑπομένου, πρὸ τῆς πόλεως ἔστησαν. ἐπειδή τε ἡμέρα ἤδη ἦν, ἐπιστὰς ὁ Δούκας ὑπὲρ ἥμισυ μὲν τῶν στρατιωτῶν αὐτὸς ἔσχε, τὸ δ' ἄλλο εἰς προνομὴν τῶν πέριξ ἐξέστειλεν. ᾔει τοίνυν διχῇ διελὼν τὸ στράτευμα· οὐ μὴν καὶ συνέμιξεν ἐν τῷ παραυτίκα Μονοπολίταις, ἀλλὰ σχῆμα τῆς τῶν τειχέων δῆθεν ποιούμενος κατασκοπῆς, βάδην μὲν ἐχώρει τὸ πρῶτον ἐπὶ μέρους τὴν πόλιν δῆθεν περισκοπῶν. ἔπειτα
B οὐδενὶ προρρηθὲν τριάκοντα τῶν ἀμφ' αὐτὸν ἕπεσθαι τὴν ἐπὶ τοὺς πολεμίους ἐγκελευσάμενος κατὰ μέσων αὐτῶν ἵεται. οἱ δὲ τῷ ἀθρόῳ καταπλαγέντες εἰς φυγὴν ἔκλιναν, ὁ δὲ οὐ πρότερον ἀνῆκε διώκων πρὶν ἢ ταῖς τῆς πόλεως πύλαις φεύγουσι συνεισέπεσε καὶ αὐτὸς ἕνα τε δορατίσας ἐντὸς πυλῶν εἰς γῆν ἔβαλε. τοῦ λοιποῦ δὲ τοὺς ἑαλωκότας ἀνειληφὼς ἐκεῖθεν ἀνεζεύγνυ. ἤδη δὲ καὶ τὸ ἄλλο στράτευμα ἱκανῶς τῶν κύκλῳ καταδραμὸν σὺν ὠφελείαις ἀνέστρεφεν, ὃ καὶ αὐτὸ σὺν τῷ Δούκᾳ ἐς Βᾶριν ἦλθεν. ἐν ᾧ δὲ ταῦτα ἐγένετο, πρέσβεις πρὸς τοῦ Ῥώμης ἀρχιερέως ἐπὶ τοὺς Ῥωμαίων ἦλθον στρατηγούς, ὃν πάπαν Λατίνοις ὀνομάζειν ἔθος ἐστίν. ἐβούλετο δὲ αὐτοῖς ἡ πρεσβεία ἢ ἄμφω ἢ τὸν ἕνα αὐτῶν
C ἐπὶ Ῥώμην ἐλθεῖν, περὶ μεγάλων τῷ ἀρχιερεῖ κοινωνησόμενον. ἤδη γὰρ (ἔφασαν) δυνάμεις ὡς πλείστας αὐτὸς ἠθροικὼς Ῥωμαίοις συμμαχήσειν ἐν παρασκευῇ γέγονεν. οἱ δὲ Ῥωμαίων στρατηγοὶ πρὸς μὲν τοῦτο γράμμασιν ἀπείπαντο, Βασιλάκιον δέ τινα ἐς τοὺς

16. ἱκανῶς] Ita Duc. Cod. ἱκανῶν.

fieri poterat resistendum hosti censuit. equites itaque ducenti et supra mille pedites, et praeter hos ingens funditorum multitudo sese pro portis oblocarunt. orto iam die Ducas cum dimidia exercitus parte succedit, reliqua ad incursandos circumiacentes agros dimissa. venit igitur divisis bifariam copiis, neque tamen Monopolitanos continuo est aggressus, verum tamquam moenia speculaturus lento primum incedebat gressu, et velut oppidum per partes exploraturus. deinde eorum quae in mente erant nihil prodens, assumptis ex suis triginta in medios hostes invehitur. illi re subita perturbati fugam ineunt: nec persequi ante destitit Ducas, donec ad urbis usque portas fugientibus progressus, unum ex hostibus hasta transfixum ad terram deiecit. inde collectis captivis abscessit. iamque etiam altera pars exercitus in circumiacentes agros facta excursione, cum non modicis inde avectis praedis, una cum Duca, Barim rediit. interea legati a Romano pontifice, quem papam appellare solent Latini, ad Romanorum duces missi perveuere. mens legationis erat, ut vel uterque, vel eorum alter Romam veniret, quo de rebus maioris momenti invicem agerent. aiebant quippe ingentibus coactis copiis, ad socianda cum Romanis arma esse iam paratum. id quidem scriptis

βασιλέως τελέσαντα ὑπογραμματεῖς, τότε δὲ σφίσιν ἑπόμενον καὶ
αὐτόν, σὺν χρυσίῳ ἐφ' ᾧ ἱππέας ἐκεῖθεν μισθοῦ ἀγαγεῖν ἔστελλον.
οἱ δὲ ἐπὶ τὸν κατὰ Μονοπόλεως συνεσκευάζοντο πόλεμον. Μο-
νοπολῖται τοίνυν Ῥωμαίοις ἀπεναντίας ἰέναι οὐκ ἀποθαρσοῦντες
ῥητόν τινα χρόνον ἐνδοθῆναι αὐτοῖς ἠξίουν, οὗ ἔνδον εἰ μὴ ἐπι-
κουρία τις ὅθεν δήποτε αὐτοῖς γένηται, τὴν πόλιν ἀμαχητὶ ἐγχει-
ρισεῖν. ἐγίνετο δὴ ταῦτα, καὶ σελήνης ἡμέραι ἐκεχειρία Μονοπο- D
λίταις ἐδίδοτο.

6. Καὶ οἱ μὲν πρὸς τούτοις ἦσαν. Βασαβίλας δέ, στρα-
τευμάτων ἤδη Σικελικῶν ἐπιθεμένων αὐτῷ, γράμμασι τοὺς Ῥω-
μαίων μετέπεμπε στρατηγοὺς θᾶττον ἐπικουρήσειν αὐτῷ. τῶν
δὲ μὴ προσχόντων οἷς ᾐτεῖτο, αὖθις ἐκεῖνος πέμψας ἠξίου περὶ V 67
τῶν αὐτῶν. Ῥωμαῖοι τοίνυν τὸ μὲν πρῶτον ἀπέλεγον, οὐκ ἐφ' ᾧ
Βασαβίλᾳ συμμαχήσειν ἐκ βασιλέως ἐνταῦθα ἥκειν εἰπόντες (οὐδὲ
μὴν ταῦτα τὰς μεταξὺ Βασαβίλα καὶ αὐτῶν βούλεσθαι ὁμολογίας),
ἀλλ' ὡς ἂν δηλονότι βασιλεῖ Ἰταλίαν ταύτην πρὸς αὐτοῦ συμμα-
χούμενοι κατακτήσαιντο. οἱ μὲν οὕτω Βασαβίλᾳ ἠμείψαντο. ὁ P 86
δὲ οὐδὲν ἧττον τοὺς ἄνδρας ἤπειγεν ἐσχάτοις λέγων περιειλῆφθαι
κακοῖς. σκεψάμενοι τοίνυν ἐκ Βάρεως εἰς πόλιν Βουτούταν ἦλ-
θον, ἡμέρας ὁδὸν ἀνδρὶ ὁπλοφοροῦντι διέχουσαν. ἐπεὶ δὲ φήμη
τις ἐκράτει πρότερον, ὡς Βασαβίλας Ῥιτζάρδῳ ἔτι περιόντι προ-
δοῦναι Ῥωμαίους σκέπτοιτο, δεῖν ἔγνωσαν καὶ δευτέροις αὐτὸν
ὅρκοις Ῥωμαῖοι καταλαβεῖν, οὗ γεγονότος οὐκέτι λοιπὸν ὑποψίᾳ

ad pontificem literis recusarunt duces: Basilacium vero quemdam ex imperatoris scribis qui tum ipsis aderat, eo cum pecuniis ad conducendos mercede equites misere. ipsi interim se ad oppugnandam Monopolim comparant. at oppidani neutiquam Romanis obsistere ausi, aliquot dierum inducias sibi dari petunt, quibus elapsis si nullum alicunde submitteretur auxilium, urbem citra certamen dedituros se pollicentur. quod et factum est, mensisque unius conceduntur induciae.

6. Dum haec ibi geruntur, cum Siculorum instare copias adverteret Bassavilla, Romanos duces ad ferendam sibi quantocius opem per literas sollicitat. cumque cunctarentur ii nec postulata curarent, missis rursum legatis eadem ab iis efflagitat. at primo quidem id prorsus abnuerunt Romani, non se ab imperatore dicentes huc missos esse ut Bassavillae auxiliarentur (neque enim illum inter et Romanos pactum foedus eiusmodi praeferre conditiones), sed ut coniunctis viribus Italiam principi rursum asserere conniterentur. haec etsi ad Bassavillam responsa misissent, nihilo minus instabat ille, seseque in extrema adductum pericula ducibus significabat. habita ergo deliberatione, Bari Bututam urbem, quantum vir armatus die una conficere potest itinere distantem, venere. at cum nescio quis iam percrebuisset rumor, Richardo adhuc superstite in Romanos proditionem molitum esse Bassavillam, necessarium putarunt ii secundo hominem iureiurando obstringere;

ἐς αὐτὸν ἐχρῶντο οὐδεμιᾷ. ἐν τούτῳ δὲ ὁ βασιλεὺς στόλον, Μα-
σαγετῶν τε καὶ Γερμανῶν ἱππέων καὶ δὴ καὶ Ῥωμαίων αὐτὸν ἐμ-
πλησάμενος, εἰς Ἰταλίαν ἔπεμψεν. ἦρχε δὲ Μασαγετῶν μὲν
B Ἰωαννάκιος ὃν Κριτόπλην ἐπεκάλουν, Γερμανῶν δὲ Ἀλέξανδρος,
Λογγιβάρδος μὲν τὸ γένος λίαν δὲ εὐνοϊκῶς ἔχων ἔς τε Ῥωμαίους
καὶ τὰ βασιλέως πράγματα. πᾶσι μέντοι Ἰωάννης ἐφεστήκει
ἐπίκλησιν Ἄγγελος. ταῦτα μαθὼν ὁ Γιλιέλμου στράταρχος καὶ
ὡς ὁ Ῥωμαίων στρατὸς ἔπεισι κατ᾽ αὐτοῦ Ἄντρον τε πολιορκοῦν-
τες καὶ χωρία τὰ τῇδε προνομεύοντες, ἐκεῖθεν ἐπὶ πόλιν Μαλφέ-
τον ἀσφαλείας ἱκανῶς ἔχουσαν παντὶ τῷ στρατῷ ἦλθε. Ῥωμαῖοι
δὲ Βόσκον φρούριον Ῥιτζάρδῳ μὲν ἐκείνῳ κατήκοον ὀχυρὸν δὲ εἴ-
περ τι καὶ ἄλλως δυσπρόσοδον ὂν καταστρέψαι διενοήθησαν. ἔνθα
C ἐκεῖνος ὑπὸ τῆς ἄγαν φιλοτιμίας καὶ ζώων γένη παντοδαπὰ ἔτρε-
φεν ἰδιαζούσαις ἐν διατριβαῖς, ἄπονόν τινα θήραν ὁπότε βούλοιτο
αὐτῷ παρεχόμενα. ὀλίγους τοίνυν τῶν περὶ αὐτὸν ἐπαγόμενος ὁ
Δούκας ἦλθε περισκοπήσων αὐτό. ἐπειδὴ δὲ ἐγγὺς ἐγένετο, θαρ-
σήσαντες οἱ ἔνδον ἐπεξῄεσαν, εἰς μέσους τε ἐμπεπτωκότες τέτρασι
μὲν αὐτὸν ἐζημίωσαν, ἔπεσον δὲ καὶ αὐτῶν δύο. καὶ ἡ συμβολὴ
ἀπὸ χειρὸς ἤδη μᾶλλον ἐγίνετο. ἀλλ᾽ ἐπισυστάντες Ῥωμαῖοι τῇ
σφετέρᾳ ἀρετῇ τοὺς πολεμίους ἀπεώσαντο. ἐν τούτῳ τῷ πόνῳ
ἄλλοι τε πλεῖστοι Ῥωμαίων ἄνδρες γεγόνασιν ἀγαθοὶ καὶ δύο Μα-
σαγετῶν. ἡ μὲν δὴ ξυμβολὴ ἐνταῦθα ἐλύετο. ὁ δὲ Δούκας,
D ἐπειδὴ καὶ τὸ ἄλλο στράτευμα ἦλθε, τότε μὲν χάρακα πηξάμενος

quod ubi factum est, omnem deinceps ab illo suspicionem amovere. inter haec classem ex Massagetis Germanisque equitibus, nec non etiam Romanis conflatam in Italiam misit imperator. Massagetis praeerat Ioannacius cognomento Critoples, Germanis Alexander, gente quidem Longobardus, ceteroquin fidissimus Romanis principisque rebus addictissimus. omnibus autem imperabat Ioannes Angelus. haec ubi rescivit is qui Gulielmi copiis praefectus erat, et ut obsesso Antro, direptisque agris adiacentibus, in se Romanus contenderet exercitus, inde versus Malphetum, oppidum satis validum, cum universa acie proficiscitur. Romani autem Boscum, quod Richardo illi paruerat, castellum firmum ac summe munitum et accessu difficile, expugnare constituunt. hic ille ostentandae magnificentiae causa omne genus animalium alebat in distinctis vivariis, quibus illi, cum lubebat, parata erat sine labore venatio. Ducas igitur, suorum aliquot assumptis, ad contemplandum castrum accedit: cumque eo se admovisset propius, confestim irruptione facta, qui intus erant hostes summo animi ardore in medios irruunt Romanos; ex iis caedunt quatuor, cum vicissim ex suis duos amisissent. praelio itaque recandescente, iamiam cominus pugnabatur: sed Romani tandem propria freti virtute verterunt hostes in fugam. eo in discrimine operam praeclare navarunt tum plures alii, tum duo inprimis ex Massagetis. ita solutum est praelium. Ducas autem, postquam alter accessit exer-

ηὐλίζετο, ὄρθρου δὲ ταξάμενος ἐχώρει κατὰ φάλαγγας. προσβολῆς τοίνυν γενομένης Ῥωμαῖοι μὲν βέλεσι καὶ βολαῖς ταῖς ἐκ τῶν πετροβόλων τοὺς ἔνδον ἐβιάζοντο· οἱ δὲ ἐκ τῶν ἐπάλξεων ἠμύνοντο καρτερώτατα. ἐνταῦθα γίνεταί τι θαυμάσιον οἷον. δύο γάρ τινες τῶν τοῦ Δούκα δορυφόρων, ἐπεὶ λίθοις αἰκιζόμενον ἀνένδοτον εἶναι τὸ φρούριον κατενόουν, ἀσπίσι τὰς κεφαλὰς καλυψάμενοι δᾷδάς τε χερσὶ ταῖς ἑτέραις ἔχοντες ἐπὶ τὰς πύλας ἐχώρουν ὡς ἐμπρήσοντες αὐτάς. ἀλλὰ τῆς ὕλης οὐκ εὐπρήστου παρούσης P 87 ἄπρακτοι ἐκεῖθεν ἀνεχώρησαν, παραδόξως τὰς ἐκ τοῦ τείχους χαλαζηδὸν ἐπ᾽ αὐτοὺς πεμπομένας ἐκπεφευγότες βολάς. τότε μὲν οὖν Ῥωμαῖοι τῆς μάχης ἄχρι καὶ ἐς δύοντα κατατεινάσης ἥλιον, ἐπειδὴ μηδὲν ἤνυον, ἐπὶ τὸ στρατόπεδον ἦλθον. οἱ δὲ Γιλιέλμου στρατάρχαι τούτων ἀκούσαντες, εἰς βουλὴν συλλεγέντες εἰ χρὴ V 68 Ῥωμαίοις πολεμεῖν ἐσκέπτοντο. δόξαν οὖν οὕτω, τὰς δυνάμεις ἀναλαβόντες ὡς ἐπὶ τὸ Ῥωμαίων ἐχώρουν στρατόπεδον, ὃ πυθόμενοι καὶ Ῥωμαῖοι ὡς πρὸς ἀντίταξιν ἡτοιμάζοντο. ἐννέα μὲν οὖν Ἰταλοῖς ἐφειστήκεισαν ἡγεμόνες· ἐπί γε μὴν ἅπασιν ὁ καντζιλέριος ἐστρατήγει· τὸ στράτευμα δὲ αὐτοῖς ἐς τὸ ἀκριβὲς ἐξώπλιστο πᾶν, ἵππους τε γαύρους ἀναβεβηκὸς καὶ δόρατα κραδαῖ- B νον μακρά· ἐφ᾽ οἷς ἔκπληξις τὸν Ῥωμαίων εἶχε στρατὸν καὶ θάμβος, εἰ πρὸς οὕτως εὔοπλον καὶ οὕτως ἀνάριθμον ὀλίγῃ μαχοῦνται στρατιᾷ. ταξάμενοι δ᾽ ὅμως ἵσταντο κατὰ λόχους καὶ αὐτοί, πολλὰ τοῦ στρατηγοῦ πρὸς εὐψυχίαν ὁρμῶντα σφίσιν ὑποτεινομέ-

citus, positis castris primum consedit, postero autem mane processit ordinata per turmas acie. facta igitur oppugnatione, Romani telis et iactibus machinarum infestant obsessos: atque hi vicissim fortiter se ex propugnaculis tuentur. quo tum tempore res miranda accidit. cum enim duo Ducae satellites, quassatis lapidum emissione muris nequaquam ad deditionem inclinare cernerent castrum, clipeo operientes caput, altera manu faces ferentes, ad portas, ut iis ignem admoverent, contendunt. sed flammam non concipiente ligno, re infecta rediere, vitatis praeter opinionem, quae grandinis instar de moenibus emittebantur, telis. tum vero Romani, postquam protracto ad solis usque occasum certamine nihil profecere, in castra reversi sunt. quae cum Gulielmi ducibus comperta essent, coacto concilio, an cum Romanis manus consererent, deliberant. cum omnium in id convenirent sententiae, assumptis copiis, versus Romanorum castra iter intendunt. Romani contra his auditis ad resistendum sese comparant. Italis quidem novem praefuere duces, quibus omnibus praepositus est cancellarius. omnis autem exercitus armis, generosis praeterea equis, longisque hastis quam optime instructus erat. ex quibus non modicus Romanos incessit pavor, animi dubios an cum tanto et tam bene armato exercitu exiguis admodum copiis decertarent. ordinata nihilo minus acie et per turmas distributa, dux multa oratione ad magnanimitatem milites cohortatur. manibus aliquamdiu ab

νου. μέχρι μὲν οὖν τινος οὐδέτεροι χειρῶν ἦρχον. ἐπεὶ δὲ αἵ τε σάλπιγγες ἤδη ἑκατέρωθεν ἤχουν καὶ τὸ σύνθημα ἐδίδοτο, ἐμάχοντο συμπεσόντες ἀπὸ χειρὸς ἕκαστος. οὐκ ἂν εἶπες ἥλιον οὐδ' ἂν ἡμέραν ὁρᾶν· ἀχλὺς γὰρ πάντας ἐπεῖχε καὶ κόνις εἰς οὐρανὸν C ἵστατο, πάταγός τε ἠκούετο καὶ ἄγριος ἠγείρετο θροῦς. μέχρι μὲν οὖν γε ἀμφὶ μέσην ἡμέραν ἰσοπαλὴς ἡ μάχη ἐγίνετο. τὸ δ' ἐντεῦθεν τῷ πλήθει βιασάμενοι Ἰταλοὶ τοὺς περὶ τὸν Δούκαν ἐπίεζον. ὁ δὲ ταχὺ τὸ πρᾶγμα κατανοήσας παρὰ μέσην εἰσελαύνει τῶν πολεμίων τὴν φάλαγγα· ἄλλους τε ἄλλοτε παίων ἀεὶ ἕπεσθαι αὐτῷ σὺν βοῇ παρώρμα τὸ Ῥωμαϊκόν. αὖθις οὖν συνέπιπτον ἀλλήλοις τὰ στρατεύματα, καὶ ἡ μάχη ἐμαίνετο, ἕως τῇ σφετέρᾳ ἀρετῇ Ῥωμαῖοι τοὺς πολεμίους ἐτρέψαντο. καὶ αὐτῶν ἐν τῷ φεύγειν ἱππεῖς μὲν ἐς τριακοσίους ἔπεσον, πεζῶν δὲ ἀμύθητόν τι πλῆθος, οἱ λοιποὶ δὲ ᾤχοντο φεύγοντες. ταῦτα κατωρθωκότες Ῥωμαῖοι ἐπὶ τὸ φρούριον ἀνέστρεφον. οὐκ εἰς μακρὰν τοίνυν ἐξελόντες αὐτὸ τοῖς τε ἐπιτηδείοις ἀφθόνοις περιτετυχήκεσαν ἐν αὐτῷ D καὶ τῶν ἄλλων πλησθέντες ἀγαθῶν ἐπὶ Βᾶριν ἦλθον.

7. Μετ' οὐ πολὺ δὲ καὶ Μοντοπολοῦς πόλεως ὀνομαστῆς γεγόνασιν ἐγκρατεῖς, Γραβίναν τε εἷλον ἧς Ἀλέξανδρος ἡγεμόνευε πρότερον, ἄλλων τε πόλεων καὶ φυλακτηρίων· πρὸς δὲ καὶ κωμοπόλεις ὑπὲρ πεντήκοντα ἔσχον· καὶ ἐπὶ μέγα ἑκάστοτε τὰ βασιλέως ἐφέρετο πράγματα· ὑπέρρει δὲ Γιλιέλμῳ τὰ τῆς δυνάμεως ἀεὶ καὶ

18. *Μοντοπολοῦς*] *Μοντοπολούσου?* 19. *Γραβίναν*] In Cod. huic nomini praemissae sunt litterae *Θε* initiali rubra.

utraque parte temperatum. at postquam classicum utrimque insonuit, et signum pugnae datum est, cominus praelium ineunt universi. nec solem dixisses nec diem conspici, adeo omnes caligo invaserat pulvisque creber in caelum ferebatur. strepitus et clamor horribilis exaudiebatur. usque ad medium diem aequo pugnatum Marte. sed numerosis se copiis inferentes Itali, Ducae aciem tandem inclinarunt. quod ubi is animadvertit, phalangem suam in medios immittit hostes, caesisque ac prostratis subinde aliis, ut se sequeretur invitat. rursum igitur committuntur utrimque acies, acriusque recrudescit praelium, usque dum propria animati virtute Romani hostes fundunt fugantque. cecidere inter fugiendum equites fere trecenti, peditum autem innumera multitudo: alii fuga dilapsi sunt. his prospere gestis rediere ad castellum Romani: eoque non multo interiecto tempore potiti, commeatusque ceterarumque rerum necessariarum copia ibi inventa, Barim se receperunt.

7. Neque ita multo post Montempelosum, urbem celebrem, in deditionem accepere: et Gravinam, cui primum Alexander praefuerat, et oppida alia, arcesque, insuper etiam vicos maiores ultra quinquaginta expugnavere. ita res augebantur imperatoris, aliis atque aliis in dies partis victoriis; Gulielmi vero sensim dilabebantur vires et in arctum redigebantur, adeo ut

ἐς στενὸν κομιδῇ ἐχώρει. ἡ φήμη τοίνυν εἰς πᾶσαν ἐκδραμοῦσα τὴν Ἰταλίαν τὸ Ῥωμαίων ἁπανταχῇ διεκήρυττεν ἄμαχον. καὶ εἶδον τότε Ἰταλοὶ Ῥωμαίους, ὧν ἀπείρου ἤδη τοῦ χρόνου πολεμούν- P 88 των σφίσιν οὐκ ἐπειράθησαν, πάντα καθάπαξ τὰ αὐτῶν ἄγοντάς τε καὶ φέροντας. μέχρι μὲν οὖν καὶ ἐνταῦθα κατὰ ῥοῦν ἐφέρετο Ῥωμαίοις τὰ πράγματα, τὸ δ' ἐντεῦθεν ὑποβασκαίνειν ἡ τύχη τοῖς εὐκληρήμασιν ἤρξατο. νόσος γὰρ τῷ Παλαιολόγῳ ἐνσκήψασα λάβροις τὸν ἄνθρωπον πυρετοῖς ἐκαμίνευεν, οὐ πρότερόν τε ἔληξεν ἰκμάδα ἐπινεμομένη τούτῳ τὴν φυσικὴν πρὶν ἂν τὸ μὲν πρῶτον ἀποθρίξασθαι ἠνάγκασεν, ὀλίγῳ δὲ ὕστερον καὶ ἐξ ἀνθρώπων αὐτὸν ἐποιήσατο. ἄρτι μὲν γὰρ τὰ τρίχινα ἠμφίεστο, καὶ ῥάων εἶναι δόξας τὸν Δούκαν ἐπὶ τὰς ἄλλας ἰέναι προὐτρέπετο πόλεις, B ἃς δὴ ἀχειρώτους ἔτι Ῥωμαίοις συνέβαινεν εἶναι. καὶ τρίτῃ μετ' ἐκείνην ἡμέρᾳ αὖθις ἐν κακοῖς ἦν, ὃ πυθόμενος ὁ Δούκας ἐπὶ τὴν Βᾶριν ἀνεχώρει. τεθνηκότι δὲ ἤδη τούτῳ περιτετυχηκὼς τὸ μὲν σῶμα σορῷ παραδέδωκε, πάντα τελέσας ὅσα νόμοις Χριστιανοῖς ἐπὶ τῇ ὁσίᾳ ποιεῖν δίδωσι. τὰ δὲ ἐπὶ Βάρεως εὖ διαθέμενος μόνος τὸ λοιπὸν τὸ τῶν πραγμάτων ἀναδέχεται κράτος.

8. Ὁ μὲν δὴ Παλαιολόγος οὕτω δὴ τὸν βίον μετήλλαξεν, V 69 ἀνὴρ ἀγχίνους τε καὶ ἄλλως ὢν καὶ πολεμίοις ὁμιλῆσαι πράγμασι δεινότατος ὢν μάλιστα. ὁ δὲ Δούκας τὸ στράτευμα ἀναλαβὼν εὐθὺ Βρεντεσίου ἐχώρει. ὅτε δὴ καὶ Βασαβίλλαν ἑαυτῷ συστή- C

8. λάβροις] Cod. λαύροις. 16. νόμοις] Fort. νόμος ut sensus sit: *quaecunque usus Christianis in exequiis facere iniungit.* 22. Βρεντεσίου] Cod. Βροντησίου.

vulgata per totam Italiam fama invictam passim virtutem Romanam praedicaret. videreque tum Itali a Romanis, quorum a multis retro saeculis arma non fuerant experti, sua omnia ubique diripi et auferri. huc usque secundo vento cuncta Romanis cessere: sed mox invidit tot prosperis successibus fortuna. morbus namque Palaeologum corripiens, valida hominem febre decoxit: nec prius destitit humores naturales consumere, quam primo quidem comam deponere eum coegisset, ac paulo post rebus humanis exemisset. cilicinam enim vestem iam induerat, ac cum melius habere sibi videretur, Ducam ut ad ceteras iret civitates, quas nondum ceperant Romani, hortatus erat. sed enim tertio post die rursum recruduit morbus. id ubi accepit Ducas, Barim reversus est, atque illo iam defuncto, corpus sepulcro mandavit, aliaque omnia procuravit, quae ex Christianorum lege sacris exequiis debentur. his rebus Bari peractis, summam rerum solus obtinuit.

8. Hunc exitum habuit Palaeologus, acri vir ingenio, et rei militaris peritissimus. Ducas vero accepto exercitu versus Brundusium proficiscitur, quo Bassavillam sibi confestim conciliaret, qui hac de causa defecerat. ille,

σασθαι διὰ σπουδῆς ἔθετο ἀποταξάμενον ἤδη ἀπ' αἰτίας τοιᾶσδε. οὗτος εἴτε κέρδους οἶμαι προφάσεις ἑαυτῷ ποριζόμενος εἴτε καὶ σπάνει χρημάτων ἀληθῶς ἐχόμενος, χρυσίου χιλιάδας δέκα τὸν Παλαιολόγον ἔτι περιόντα δεδανεικέναι οἱ ἠξίου. ὁ δὲ τέτταρας μὲν αὐτίκα παρέχειν αὐτῷ κατετίθετο, δωρεὰν ἐκ βασιλέως ἀλλ' οὐ δάνειον, πρὸς δὲ τὰς λοιπὰς ἰσχυρῶς ἀπέλεγεν. οἷς ὁ Βασαβίλας δυσαρεστῶν τοῦ Ῥωμαϊκοῦ ἀπεσκήνητο στρατοπέδου. ὡς δ' ἀποβιώη μὲν ὁ Παλαιολόγος, κατασταίη δ' ἐπὶ τῶν πραγμάτων ὁ Δούκας, ἧκε παρ' αὐτὸν καὶ τῶν χρημάτων ὥσπερ ᾐτεῖτο
D τετυχηκὼς πολεμίων αὖθις Ῥωμαίοις ἐκοινώνει καμάτων. καὶ δὴ καὶ αὐτὸν ἐπαγόμενος ὁ Δούκας ἐπὶ Μασαύραν παντὶ τῷ στρατῷ ἦλθεν. ἦν δέ τις ἐνταῦθα πόλις Πολυμίλιον κεκλημένη, ἔνθα τῶν περὶ τὸν Γιλίελμον συνέβαινεν εἶναί τινα Φλαμίγγον ὄνομα. ἀλλ' ὃ μὲν προσιέναι τὸν Ῥωμαίων ἀκούσας στρατὸν ἐκεῖθεν ἄρας ἐπὶ Τάραντα ἦλθε, Ῥωμαῖοι δὲ Πολυμίλιον ἑλόντες τὰ πέριξ τε σκυλαγωγήσαντες ὠφελειῶν ἐπεπλήσαντο τὸ στρατόπεδον. ἐκεῖθέν τε ἐπὶ Μόλισσαν μετέβησαν πόλιν, ἣ κάθηται μὲν ἀνωτάτω ἐπ' ἀγχωμάλου ἰσχυρὰ καὶ εὔπυργος, ἐκ δὲ μερῶν ἀμφοτέρων θατέρου μὲν φάραγγές τινες τραχεῖαι καὶ δεινῶς ἄβατοι κατατείνουσι, θατέρου δὲ ποταμοῖς ζώννυται ναυσιπόροις. ἀλλ' ἔοικε τοῖς ἐξ
P 89 οὐρίας πλέουσιν ἀντιπράττειν οὐδέν. Μόλισσα γὰρ καίτοι ἀσφαλείας οὕτω πανταχόθεν ἔχουσα, ὅμως Ῥωμαίοις οὐδὲ μακρὰ καμοῦσιν ἁλώσιμος τρόπῳ τῷ ῥηθησομένῳ ἐγένετο. ἅτε γὰρ εὐ-

9. ὥσπερ] Malim ὧνπερ.

22. μακρὰ] Ita Tollius ex coniectura. Cod. μικρά.

seu quod lucri captaret occasionem, vel quod revera pecuniis indigeret, aureorum millia decem foenori sibi dari a Palaeologo adhuc superstite poposcerat. quatuor hic promiserat se statim daturum, non quidem in foenus, sed ut principis largitionem; de reliquis prorsus abnuerat se quicquam posse praestare. cum aegre tulisset repulsam Bassavilla, castris continuo Romanis excesserat. defuncto autem Palaeologo et translata ad Ducam potestate, ad eum venit, acceptisque quas petiverat pecuniis arma iterum cum Romanis coniunxit. tum una illum adducens Ducas cum omnibus copiis ad Masafram pergit. ibi civitas quaedam adiacet Polymilium dicta, in qua unus de Gulielmi ducibus erat, nomine Flamingus. sed ubi is Romanum adventare exercitum accepit, discessit inde et Tarentum concessit. Romani Polymilio capto et circumiacentibus agris direptis, rebus necessariis castra instruunt. inde ad Molissam contendunt, oppidum in editiore quidem, sed aequali ac plano situm loco, validum ceteroquin ac turribus ab utraque parte instructum, cuius alterum latus cingunt confragosae et inaccessae valles; alterum navigabiles fluvii ambiunt. sed nihil videtur obstare vento secundo navigantibus. Molissa enim quantumvis munita, a Romanis tamen nec multum laborantibus eo quem exponam modo expugnata est. ii quippe prioribus for-

τυχήμασιν ἐπαρθέντες τοῖς προλαβοῦσιν, ἐπειδὴ τοὺς ἐκ τῆς πόλεως τῇ τοῦ χώρου φύσει τεθαρσηκότας ἔξω πυλῶν ἑστῶτας εἶδον, ἔνθα ἐπιμαχωτέραν εἶναι συνέβαινε ταύτην, δρομαῖοι διὰ τοῦ ἀνάντους ἐχώρουν. ὧν τῇ τόλμῃ καταπλαγέντες ἐκεῖνοι ἐπὶ τὰς πύλας εἰσέπιπτον φεύγοντες. οὔπω δὲ ἐπιζυγωθεισῶν καὶ ὁ Ῥωμαίων συνέπιπτε στρατός, καὶ λοιπὸν κατὰ κράτος ἡ πόλις ἡλίσκετο. ταῦτα Ῥωμαῖοι καταπραξάμενοι ἐκεῖθεν ἀπεχώρουν. B ἐπ' ὀλίγον δὲ προελθοῦσι σὺν στρατεύματι μεγάλῳ ὁ Φλαμίγγος ἀπήντα. Ῥωμαίων οὖν τινες τῶν ταγμάτων προπηδήσαντες ὁμόσε τοῖς πολεμίοις ἐχώρουν ἔργα θαυμαστὰ ἐς αὐτοὺς ἐνδεικνύμενοι, πλήθει δ' ὅμως τῶν ἐναντίων παρὰ πολὺ ἐλασσούμενοι ἀνεχώρουν ὀπίσω. ἐν τούτῳ δὲ καὶ ὁ Δούκας πανστρατὶ τῷ Φλαμίγγῳ ἐπιτίθεται, τρεψάμενός τε αὐτὸν Μασαύρᾳ προσέβαλεν. ἐξ ἐφόδου δὲ καὶ ταύτης περιγεγονὼς ἀμύθητόν τι χρῆμα ἐπιτηδείων ἐπ' ἀκροπόλεως ἀπόθετον εὗρεν, ὅπλα τε πολλὰ καὶ ἵππους τῶν διακοσίων οὐκ ἀποδέοντας ἔσχεν. ἃ Ταραντῖνοι βλέποντες κατὰ συστήματα καὶ δήμους συνερχόμενοι ἀναφανδὰ τὸν Φλαμίγγον ἐκακηγόρουν, ἔγκλημα αὐτῷ ἐπιφέροντες, ὅτι δὴ δειλίαν τὴν αὐτοῦ Ῥωμαίοις παρρησίας πεποίηται ὕλην. ἃ μηκέτι φέρειν δεδυνημένος ἐκεῖνος τὸ στράτευμα αὖθις ἀναλαβὼν C τὴν Ῥωμαίων ἐξεδέχετο στρατιάν. ἀλλ' ἄρτι τε εἰς ὄψιν ἦλθεν αὐτῷ καὶ αὐτίκα δειλίᾳ βληθεὶς οὐκέτι ἀλκῆς ἐμέμνητο. φεύγουσι τοίνυν αὐτοῖς Ῥωμαίων ὀλίγοι ἐπιθέμενοί τινας ἔκτειναν.

6. συνέπιπτε] Malim συνεισέπιπτε. 16. διακοσίων] Ita Tollius ex coniectura. Cod. διάκρων.

tunae elati successibus, cum oppidanos ingenio loci confisos stare extra portas viderent, qua parte oppugnari facilius poterat urbs, cursu per ardua feruntur; tanta eorum audacia perculsi hostes fuga se intra portas recipiunt. quibus adhuc reseratis, Romanorum una incidit exercitus et urbe per vim potitur. his rebus confectis excessere inde Romani. sed vix multum erant emensi iter, cum obviam fit cum numerosis copiis Flamingus. tum vero Romani aliquot ex ordinibus prosilientes cum hoste confligunt, mirandaque eo in certamine edunt facinora. sed cum hostes numero praevalerent, retro cessere. inter haec Ducas cum universo exercitu Flamingum adoritur, eoque in fugam compulso, Masafram venit. qua primo impetu expugnata, incredibilem commeatus et necessariarum rerum reconditam in arce copiam invenit, et arma insuper multa, equosque non minus ducentos. id ubi viderunt Tarentini, vicatim tributimque maledictis propalam Flamingum insectantur, incusantque, quod illius timiditas et ignavia audaciae materiam praebuisset Romanis. quam ille contumeliam non ferens, assumptis iterum copiis, Romanorum exspectat exercitum. sed vix in illius conspectum venit, cum prioris fortitudinis immemor pavore subito corripitur. fugientes itaque nonnullos

ἐπεπέτετο καὶ πανταχόθεν ἐστήρικτο τὸ δεινόν, ἕως Ῥιτζάρδος σὺν ῥύμῃ ἐπιβρίσας νῶτα ἤδη δεδωκέναι καὶ τούτους ἠνάγκασεν. ὅτε
P 84 καὶ αὐτὸς ὁ Δούκας παρ' ὀλίγον ἦλθε τοῦ καὶ ἁλῶναι καταδορατισθείς. ἀλλὰ γὰρ ἡ πρόνοια πάντα ἐς ὅπερ ἂν αὕτη θέλει ἄγει καὶ στρέφει τὰ ἀνθρώπεια. καίτοι εἰς τοῦτο τύχης Ῥωμαίοις ἐλθοῦσι νικᾶν ὅμως ἐπὶ τέλους ἐγένετο. ἔφθη μὲν γὰρ ὁ Δούκας ἐπί τι τῶν ἐκ λίθου πεποιημένων τειχέων πεφευγώς, ἃ πρὸ τῶν πυλῶν εἴθισται τιτάνου ἄνευ ἢ τινος ἄλλης ἐπιχρίσεως τοὺς λειμῶνας περιζωννύειν, ἐνταῦθα περισεσῶσθαι. ἤδη δὲ καὶ τὸ Ῥωμαίων πεζικὸν ἐν ἐπιτηδείῳ γεγονὸς λίθους κατὰ τῶν περὶ Ῥιτζάρδον ἠφίεσαν, ὡς ἐντεῦθεν ἐπισυνίστασθαι ἤδη τῶν πεφευγότων πολλούς. ὅπερ ὁ Ῥιτζάρδος ἰδὼν ἱππεῦσιν ἓξ ἅμα καὶ τριάκοντα
B κατ' αὐτῶν αὖθις ἐφέρετο. ἀλλά τις τῶν ἐκ Τράνεως εἰς τοὺς ἱερέας τελῶν μέγα τι χρῆμα λίθου ἐξ ὑπερδεξιῶν ἀφεὶς κνήμης τε θατέρας τυχήσας αὐτῷ, εἰς γῆν ἀναχθῆναι ἐποίησε. καὶ ὁ μὲν ἔκειτο σπαράττων ὑπὸ ὀδύνης ἑαυτόν, ὁ δὲ καὶ δευτέραν κατῆρε τοῦ τραχήλου βολήν. ἐπειδή τε ἤδη κατηγώνιστο, καίτοι τοῦτον πολλὰ ἱκετεύοντα ὕπτιον ἀνακλίνας ἐγχειρίδιον μὲν τῆς γαστρὸς διελαύνει, ἔγκατα δὲ πάντα ἐκχέας οἷόν τινα ἐδωδὴν ἐπὶ τοῦ στόματος παρέθετο ὑπόδειγμα καθ' ἑαυτοῦ τοῦτον δὴ τὸν τῆς ἀπανθρωπίας τρόπον παρεσχηκότι τῷ κακοδαίμονι. καὶ τὸ ἐντεῦθεν Ἄντρον τε καὶ τὸ περὶ αὐτὸν στράτευμα Ῥωμαίοις ὁμολογίᾳ

15. ἀναχθῆναι] Malim καταχθῆναι vel ἐνεχθῆναι.

exauditur: spissa volant tela, et validus ubique fit conflictus: donec vehementiori cum impetu sese inferens Richardus hos quoque terga vertere adegit: quo tum tempore quin hasta vulneratus et ipse Ducas caperetur haud multum abfuit. sed enim divina quocumque demum vult res humanas agit vertitque providentia. licet itaque ad eam redacti fuissent fortunam Romani, nihilo minus tandem evasere victores. quippe Ducas intra quosdam ex lapidibus compactos muros e periculo se exemerat, cuiusmodi absque calce aut materia simili prata, quae urbium portis obversantur, circumvallari solent. nacti interea etiam pedites Romani locum idoneum, lapides coniiciebant in Richardi militem, adeo ut plurimi qui fugae se dederant, inde se rursum conglomerarent hostemque impeterent. ubi id vidit Richardus, cum equitibus sex et triginta eos rursum adoritur. sed Tranita quidam sacerdos maioris molis lapidem e loco superiore deiiciens, tibiam illius alteram assecutus, ad terram hominem prostravit, qui prae dolore sese subinde dilacerabat ac vellicabat. at iterato ictu collum illius cum attigisset sacerdos, victum tandem et nequicquam supplicem supinat, adactoque in ventrem pugione, intestina eximit omnia, eaque iacentis ori veluti cibum aliquem admovet, ut qui in alios eiusmodi crudelitatem exercuerat, in se tandem illius experiretur exemplum. tum et Antrum et quae Richardo adhaeserant copiae Romanis sese

προσεχώρησεν· οἱ δὲ οὐδὲ τὸν κίνδυνον διαφυγεῖν προσδοκήσαντες
σὺν τροπαίοις ἐπὶ Βᾶριν ἦλθον. ἔνθεν ἀφθόνοις περιτετυχηκότες C
τοῖς ἐπιτηδείοις τοὺς πολεμίους ἀνέψυχον ἤδη καμάτους.

5. Χρόνου δὲ οὐ πολλοῦ διαγεγονότος ἐδόκει διχῇ διελοῦσι V 66
τὸ στράτευμα τὸ μὲν αὐτοῦ σὺν τῷ ἑτέρῳ τῶν στρατηγῶν μεῖναι,
τὸ δ' ἄλλο θάτερον ἐπαγόμενον ἐπὶ καταδρομῇ φρουρίων τῶν
περιοίκων ἐξελθεῖν. ἔπιπτε δὲ ἐπὶ τὸν Δούκαν ὁ τοῦ προπονεῖσθαι
κλῆρος. τοίνυν καὶ ἦν γάρ τις πόλις ἧς Κάστρος ἡγεῖτο ἀνὴρ
ἐπιφανής, ταύτην περικαθίσας ἀσφαλῶς ἐπολιόρκει. ὡς δὲ πολ-
λάκις τῷ περιβόλῳ προσραγεὶς ἔγνω ἀνηνύτοις ἐπιχειρῶν (οὐ γὰρ
οὖν οὐδὲ λίθον αὐτῷ ἐκεῖθεν ἀποσπᾶν ἐξεγένετο καίτοι συχνὰ μα-
στίξαντι τοῖς τειχομαχικοῖς) ἄρας ἐκεῖθεν περὶ λύχνων ἁφὰς ἐπὶ D
Μονόπολιν ἐφέρετο, ἐξαπιναίως ἐπιθήσεσθαι ταύτῃ διανοούμενος.
ἐτύγχανον δὲ τηνικαῦτα Μονοπολῖται στράτευμα ἐπὶ Ῥωμαίους ἐκ-
πέμψαντες, τὸ μὲν ἐπὶ κατασκοπῇ τῶν γινομένων, τὸ δὲ καὶ ὅπῃ
δυνατὰ ἔσται ἀντικαταστησόμενον αὐτοῖς. τύχῃ γοῦν τινι Μονο-
πολῖται τοῖς ἐμπροσθίοις τοῦ Ῥωμαϊκοῦ συμμίξαντες στρατοῦ εἰς
χεῖρας ἦλθον. ἀλλὰ συναισθήσεως καὶ τοῖς κατόπιν γεγενημένης
ἱππεῖς μὲν αὐτῶν σχεδόν τι ἅπαντες ᾤχοντο πεφευγότες, δρόμῳ
τε ἔτι καὶ ἄσθματι πολλῷ ἐχόμενοι πολίταις τοῖς ἄλλοις τὸν Ῥω-
μαίων στρατὸν ὅσον οὐκ ἤδη παρέσεσθαι διήγγελον. πεζῶν δὲ
πλεῖστοι ἑάλωσαν. τούτοις ἐκταραχθέντες ἡ πόλις ἐκ τῶν παρόν- P 85

12. τειχομαχικοῖς] Ita Tollius. Cod. τοιχομαχικοῖς. ibid. λύχνων] Ita Tollius e coniectura. Cod. λίθων. 21. διήγγελον] Cod. διήγγελον.

adiunxere: et qui se neutiquam evasuros periculum crediderant, cum tropaeis Barim venerunt: ubi inventis affatim rebus necessariis fessa militaribus laboribus corpora refecere.

5. Paucis itaque diebus intermissis, copias bifariam partiri visum operae pretium, quarum pars alia istic cum duce uno maneret, alia cum altero ad circumiacentia castella diripienda exiret. atque huius postremae curae in Ducam sors recidit. cum ergo prope adesset oppidum, cui Castrus vir illustris praeerat, illud obsidione cingit fortiterque oppugnat. at cum tentatis crebro moenibus frustra se insumere operam advertit (nam etsi bellicis machinis saepius pulsasset muros, vix unum inde lapidem abstulerat), motis sub vesperum castris ad Monopolim tendit, ut urbem necopinantem opprimeret. sed circa idem tempus copias aliquot emiserant Monopolitani, tum ut Romanos explorarent, tum etiam, si ad id daretur occasio, cum iis dimicarent. hi forte fortuna in primam Romanorum incidentes aciem, manus cum iis conserunt. quod simul atque advertere qui in postremo stabant ordine, universi ferme eorum equites terga vertunt, cursuque effuso, ceteris civibus iamiam adfuturum Romanorum exercitum annuntiant. peditum autem plerique capti sunt. eo nuntio conterrita civitas, utcunque in praesenti periculo

των τοῖς πολεμίοις ἀντιτάξεσθαι ἔγνωσαν. ἱππεῖς τοίνυν ὑπὲρ τοὺς διακοσίους ἐκδραμόντες ἅμα πεζοῖς πλείοσιν ἢ χιλίοις, πλήθους σφενδονητῶν ἀναρίθμου κατόπιν αὐτοῖς ἑπομένου, πρὸ τῆς πόλεως ἔστησαν. ἐπειδή τε ἡμέρα ἤδη ἦν, ἐπιστὰς ὁ Δούκας ὑπὲρ ἥμισυ μὲν τῶν στρατιωτῶν αὐτὸς ἔσχε, τὸ δ' ἄλλο εἰς προνομὴν τῶν πέριξ ἐξέστειλεν. ᾔει τοίνυν διχῇ διελὼν τὸ στράτευμα· οὐ μὴν καὶ συνέμιξεν ἐν τῷ παραυτίκα Μονοπολίταις, ἀλλὰ σχῆμα τῆς τῶν τειχέων δῆθεν ποιούμενος κατασκοπῆς, βάδην μὲν ἐχώρει τὸ πρῶτον ἐπὶ μέρους τὴν πόλιν δῆθεν περισκοπῶν. ἔπειτα
B οὐδενὶ προρρηθὲν τριάκοντα τῶν ἀμφ' αὐτὸν ἕπεσθαι τὴν ἐπὶ τοὺς πολεμίους ἐγκελευσάμενος κατὰ μέσων αὐτῶν ἵεται. οἱ δὲ τῷ ἀθρόῳ καταπλαγέντες εἰς φυγὴν ἔκλιναν, ὁ δὲ οὐ πρότερον ἀνῆκε διώκων πρὶν ἢ ταῖς τῆς πόλεως πύλαις φεύγουσι συνεισέπεσε καὶ αὐτὸς ἕνα τε δορατίσας ἐντὸς πυλῶν εἰς γῆν ἔβαλε. τοῦ λοιποῦ δὲ τοὺς ἑαλωκότας ἀνειληφὼς ἐκεῖθεν ἀνεζεύγνυ. ἤδη δὲ καὶ τὸ ἄλλο στράτευμα ἱκανῶς τῶν κύκλῳ καταδραμὸν σὺν ὠφελείαις ἀνέστρεφεν, ὃ καὶ αὐτὸ σὺν τῷ Δούκᾳ ἐς Βᾶριν ἦλθεν. ἐν ᾧ δὲ ταῦτα ἐγένετο, πρέσβεις πρὸς τοῦ Ῥώμης ἀρχιερέως ἐπὶ τοὺς Ῥωμαίων ἦλθον στρατηγούς, ὃν πάπαν Λατίνοις ὀνομάζειν ἔθος ἐστίν. ἐβούλετο δὲ αὐτοῖς ἡ πρεσβεία ἢ ἄμφω ἢ τὸν ἕνα αὐτῶν
C ἐπὶ Ῥώμην ἐλθεῖν, περὶ μεγάλων τῷ ἀρχιερεῖ κοινωνησόμενον. ἤδη γὰρ (ἔφασαν) δυνάμεις ὡς πλείστας αὐτὸς ἠθροικὼς Ῥωμαίοις συμμαχήσειν ἐν παρασκευῇ γέγονεν. οἱ δὲ Ῥωμαίων στρατηγοὶ πρὸς μὲν τοῦτο γράμμασιν ἀπείπαντο, Βασιλάκιον δέ τινα ἐς τοὺς

16. ἱκανῶς] Ita Duc. Cod. ἱκανῶν.

fieri poterat resistendum hosti censuit. equites itaque ducenti et supra mille pedites, et praeter hos ingens funditorum multitudo sese pro portis oblocarunt. orto iam die Ducas cum dimidia exercitus parte succedit, reliqua ad incursandos circumiacentes agros dimissa. venit igitur divisis bifariam copiis, neque tamen Monopolitanos continuo est aggressus, verum tamquam moenia speculaturus lento primum incedebat gressu, et velut oppidum per partes exploraturus. deinde eorum quae in mente erant nihil prodens, assumptis ex suis triginta in medios hostes invehitur. illi re subita perturbati fugam ineunt: nec persequi ante destitit Ducas, donec ad urbis usque portas fugientibus progressus, unum ex hostibus hasta transfixum ad terram deiecit. inde collectis captivis abscessit. iamque etiam altera pars exercitus in circumiacentes agros facta excursione, cum non modicis inde avectis praedis, una cum Duca, Barim rediit. interea legati a Romano pontifice, quem papam appellare solent Latini, ad Romanorum duces missi pervenere. mens legationis erat, ut vel uterque, vel eorum alter Romam veniret, quo de rebus maioris momenti invicem agerent. aiebant quippe ingentibus coactis copiis, ad socianda cum Romanis arma esse iam paratum. id quidem scriptis

βασιλέως τελέσαντα ὑπογραμματεῖς, τότε δὲ σφίσιν ἑπόμενον καὶ
αὐτόν, σὺν χρυσίῳ ἐφ᾽ ᾧ ἱππέας ἐκεῖθεν μισθοῦ ἀγαγεῖν ἔστελλον.
οἱ δὲ ἐπὶ τὸν κατὰ Μονοπόλεως συνεσκευάζοντο πόλεμον. Μο-
νοπολῖται τοίνυν Ῥωμαίοις ἀπεναντίας ἰέναι οὐκ ἀποθαρσοῦντες
ῥητόν τινα χρόνον ἐνδοθῆναι αὐτοῖς ἠξίουν, οὗ ἔνδον εἰ μὴ ἐπι-
κουρία τις ὅθεν δήποτε αὐτοῖς γένηται, τὴν πόλιν ἀμαχητὶ ἐγχει-
ριεῖν. ἐγίνετο δὴ ταῦτα, καὶ σελήνης ἡμέραι ἐκεχειρία Μονοπο- D
λίταις ἐδίδοτο.

6. Καὶ οἱ μὲν πρὸς τούτοις ἦσαν. Βασαβίλας δέ, στρα-
τευμάτων ἤδη Σικελικῶν ἐπιθεμένων αὐτῷ, γράμμασι τοὺς Ῥω-
μαίων μετέπεμπε στρατηγοὺς θᾶττον ἐπικουρήσειν αὐτῷ. τῶν
δὲ μὴ προσχόντων οἷς ᾐτεῖτο, αὖθις ἐκεῖνος πέμψας ἠξίου περὶ V 67
τῶν αὐτῶν. Ῥωμαῖοι τοίνυν τὸ μὲν πρῶτον ἀπέλεγον, οὐκ ἐφ᾽ ᾧ
Βασαβίλᾳ συμμαχήσειν ἐκ βασιλέως ἐνταῦθα ἥκειν εἰπόντες (οὐδὲ
μὴν ταῦτα τὰς μεταξὺ Βασαβίλα καὶ αὐτῶν βούλεσθαι ὁμολογίας),
ἀλλ᾽ ὡς ἂν δηλονότι βασιλεῖ Ἰταλίαν ταύτην πρὸς αὐτοῦ συμμα-
χούμενοι καταχτήσαιντο. οἱ μὲν οὕτω Βασαβίλᾳ ἠμείψαντο. ὁ P 86
δὲ οὐδὲν ἧττον τοὺς ἄνδρας ἤπειγεν ἐσχάτοις λέγων περιειλῆφθαι
κακοῖς. σκεψάμενοι τοίνυν ἐκ Βάρεως εἰς πόλιν Βουτούταν ἦλ-
θον, ἡμέρας ὁδὸν ἀνδρὶ ὁπλοφοροῦντι διέχουσαν. ἐπεὶ δὲ φήμη
τις ἐκράτει πρότερον, ὡς Βασαβίλας Ῥιτζάρδῳ ἔτι περιόντι προ-
δοῦναι Ῥωμαίους σκέπτοιτο, δεῖν ἔγνωσαν καὶ δευτέροις αὐτὸν
ὅρκοις Ῥωμαῖοι καταλαβεῖν, οὗ γεγονότος οὐκέτι λοιπὸν ὑποψίᾳ

ad pontificem literis recusarunt duces: Basilacium vero quemdam ex imperatoris scribis qui tum ipsis aderat, eo cum pecuniis ad conducendos mercede equites misere. ipsi interim se ad oppugnandam Monopolim comparant. at oppidani neutiquam Romanis obsistere ausi, aliquot dierum inducias sibi dari petunt, quibus elapsis si nullum alicunde submitteretur auxilium, urbem citra certamen dedituros se pollicentur. quod et factum est, mensisque unius conceduntur induciae.

6. Dum haec ibi geruntur, cum Siculorum instare copias adverteret Bassavilla, Romanos duces ad ferendam sibi quantocius opem per literas sollicitat. cumque cunctarentur ii nec postulata curarent, missis rursum legatis eadem ab iis efflagitat. at primo quidem id prorsus abnuerunt Romani, non se ab imperatore dicentes huc missos esse ut Bassavillae auxiliarentur (neque enim illum inter et Romanos pactum foedus eiusmodi praeferre conditiones), sed ut coniunctis viribus Italiam principi rursum asserere conniterentur. haec etsi ad Bassavillam responsa misissent, nihilo minus instabat ille, seseque in extrema adductum pericula ducibus significabat. habita ergo deliberatione, Bari Bututam urbem, quantum vir armatus die una conficere potest itinere distantem, venere. at cum nescio quis iam percrebuisset rumor, Richardo adhuc superstite in Romanos proditionem molitum esse Bassavillam, necessarium putarunt ii secundo hominem iureiurando obstringere;

ἐς αὐτὸν ἐχρῶντο οὐδεμιᾷ. ἐν τούτῳ δὲ ὁ βασιλεὺς στόλον, Μα-
σαγετῶν τε καὶ Γερμανῶν ἱππέων καὶ δὴ καὶ Ῥωμαίων αὐτὸν ἐμ-
πλησάμενος, εἰς Ἰταλίαν ἔπεμψεν. ἦρχε δὲ Μασαγετῶν μὲν
B Ἰωαννάκιος ὃν Κριτόπλην ἐπεκάλουν, Γερμανῶν δὲ Ἀλέξανδρος,
Λογγιβάρδος μὲν τὸ γένος λίαν δὲ εὐνοϊκῶς ἔχων ἔς τε Ῥωμαίους
καὶ τὰ βασιλέως πράγματα. πᾶσι μέντοι Ἰωάννης ἐφεστήκει
ἐπίκλησιν Ἄγγελος. ταῦτα μαθὼν ὁ Γιλιέλμου στράταρχος καὶ
ὡς ὁ Ῥωμαίων στρατὸς ἔπεισι κατ' αὐτοῦ Ἄντρον τε πολιορκοῦν-
τες καὶ χωρία τὰ τῇδε προνομεύοντες, ἐκεῖθεν ἐπὶ πόλιν Μαλφέ-
τον ἀσφαλείας ἱκανῶς ἔχουσαν παντὶ τῷ στρατῷ ἦλθε. Ῥωμαῖοι
δὲ Βόσκον φρούριον Ῥιτζάρδῳ μὲν ἐκείνῳ κατήκοον ὀχυρὸν δὲ εἴ-
περ τι καὶ ἄλλως δυσπρόσοδον ὂν καταστρέψαι διενοήθησαν. ἔνθα
C ἐκεῖνος ὑπὸ τῆς ἄγαν φιλοτιμίας καὶ ζώων γένη παντοδαπὰ ἔτρε-
φεν ἰδιαζούσαις ἐν διατριβαῖς, ἄπονόν τινα θήραν ὁπότε βούλοιτο
αὐτῷ παρεχόμενα. ὀλίγους τοίνυν τῶν περὶ αὐτὸν ἐπαγόμενος ὁ
Δούκας ἦλθε περισκοπήσων αὐτό. ἐπειδὴ δὲ ἐγγὺς ἐγένετο, θαρ-
σήσαντες οἱ ἔνδον ἐπεξῄεσαν, εἰς μέσους τε ἐμπεπτωκότες τέτρασι
μὲν αὐτὸν ἐζημίωσαν, ἔπεσον δὲ καὶ αὐτῶν δύο. καὶ ἡ συμβολὴ
ἀπὸ χειρὸς ἤδη μᾶλλον ἐγίνετο. ἀλλ' ἐπισυστάντες Ῥωμαῖοι τῇ
σφετέρᾳ ἀρετῇ τοὺς πολεμίους ἀπεώσαντο. ἐν τούτῳ τῷ πόνῳ
ἄλλοι τε πλεῖστοι Ῥωμαίων ἄνδρες γεγόνασιν ἀγαθοὶ καὶ δύο Μα-
σαγετῶν. ἡ μὲν δὴ ξυμβολὴ ἐνταῦθα ἐλύετο. ὁ δὲ Δούκας,
D ἐπειδὴ καὶ τὸ ἄλλο στράτευμα ἦλθε, τότε μὲν χάρακα πηξάμενος

quod ubi factum est, omnem deinceps ab illo suspicionem amovere. inter haec classem ex Massagetis Germanisque equitibus, nec non etiam Romanis conflatam in Italiam misit imperator. Massagetis praeerat Ioannacius cognomento Critoples, Germanis Alexander, gente quidem Longobardus, ceteroquin fidissimus Romanis principisque rebus addictissimus. omnibus autem imperabat Ioannes Angelus. haec ubi rescivit is qui Gulielmi copiis praefectus erat, et ut obsesso Antro, direptisque agris adiacentibus, in se Romanus contenderet exercitus, inde versus Malphetum, oppidum satis validum, cum universa acie proficiscitur. Romani autem Boscum, quod Richardo illi paruerat, castellum firmum ac summe munitum et accessu difficile, expugnare constituunt. hic ille ostentandae magnificentiae causa omne genus animalium alebat in distinctis vivariis, quibus illi, cum lubebat, parata erat sine labore venatio. Ducas igitur, suorum aliquot assumptis, ad contemplandum castrum accedit: cumque eo se admovisset propius, confestim irruptione facta, qui intus erant hostes summo animi ardore in medios irruunt Romanos; ex iis caedunt quatuor, cum vicissim ex suis duos amisissent. praelio itaque recandescente, iamiam cominus pugnabatur: sed Romani tandem propria freti virtute verterunt hostes in fugam. eo in discrimine operam praeclare navarunt tum plures alii, tum duo inprimis ex Massagetis. ita solutum est praelium. Ducas autem, postquam alter accessit exer-

ηὐλίζετο, ὄρθρου δὲ ταξάμενος ἐχώρει κατὰ φάλαγγας. προσβολῆς τοίνυν γενομένης Ῥωμαῖοι μὲν βέλεσι καὶ βολαῖς ταῖς ἐκ τῶν πετροβόλων τοὺς ἔνδον ἐβιάζοντο· οἱ δὲ ἐκ τῶν ἐπάλξεων ἠμύνοντο καρτερώτατα. ἐνταῦθα γίνεταί τι θαυμάσιον οἷον. δύο γάρ τινες τῶν τοῦ Δούκα δορυφόρων, ἐπεὶ λίθοις αἰκιζόμενον ἀνένδοτον εἶναι τὸ φρούριον κατενόουν, ἀσπίσι τὰς κεφαλὰς καλυψάμενοι δᾷδάς τε χερσὶ ταῖς ἑτέραις ἔχοντες ἐπὶ τὰς πύλας ἐχώρουν ὡς ἐμπρήσοντες αὐτάς. ἀλλὰ τῆς ὕλης οὐκ εὐπρήστου παρούσης P 87 ἄπρακτοι ἐκεῖθεν ἀνεχώρησαν, παραδόξως τὰς ἐκ τοῦ τείχους χαλαζηδὸν ἐπ' αὐτοὺς πεμπομένας ἐκπεφευγότες βολάς. τότε μὲν οὖν Ῥωμαῖοι τῆς μάχης ἄχρι καὶ ἐς δύοντα κατατεινάσης ἥλιον, ἐπειδὴ μηδὲν ἤνυον, ἐπὶ τὸ στρατόπεδον ἦλθον. οἱ δὲ Γιλιέλμου στρατάρχαι τούτων ἀκούσαντες, εἰς βουλὴν συλλεγέντες εἰ χρὴ V 68 Ῥωμαίοις πολεμεῖν ἐσκέπτοντο. δόξαν οὖν οὕτω, τὰς δυνάμεις ἀναλαβόντες ὡς ἐπὶ τὸ Ῥωμαίων ἐχώρουν στρατόπεδον, ὃ πυθόμενοι καὶ Ῥωμαῖοι ὡς πρὸς ἀντίταξιν ἡτοιμάζοντο. ἐννέα μὲν οὖν Ἰταλοῖς ἐφειστήκεισαν ἡγεμόνες· ἐπί γε μὴν ἅπασιν ὁ καντζιλέριος ἐστρατήγει· τὸ στράτευμα δὲ αὐτοῖς ἐς τὸ ἀκριβὲς ἐξώπλιστο πᾶν, ἵππους τε γαύρους ἀναβεβηκὸς καὶ δόρατα κραδαῖνον B μακρά· ἐφ' οἷς ἔκπληξις τὸν Ῥωμαίων εἶχε στρατὸν καὶ θάμβος, εἰ πρὸς οὕτως εὔοπλον καὶ οὕτως ἀνάριθμον ὀλίγῃ μαχοῦνται στρατιᾷ. ταξάμενοι δ' ὅμως ἵσταντο κατὰ λόχους καὶ αὐτοί, πολλὰ τοῦ στρατηγοῦ πρὸς εὐψυχίαν ὁρμῶντα σφίσιν ὑποτεινομέ-

citus, positis castris primum consedit, postero autem mane processit ordinata per turmas acie. facta igitur oppugnatione, Romani telis et iactibus machinarum infestant obsessos: atque hi vicissim fortiter se ex propugnaculis tuentur. quo tum tempore res miranda accidit. cum enim duo Ducae satellites, quassatis lapidum emissione muris nequaquam ad deditionem inclinare cernerent castrum, clipeo operientes caput, altera manu faces ferentes, ad portas, ut iis ignem admoverent, contendunt. sed flammam non concipiente ligno, re infecta rediere, vitatis praeter opinionem, quae grandinis instar de moenibus emittebantur, telis. tum vero Romani, postquam protracto ad solis usque occasum certamine nihil profecere, in castra reversi sunt. quae cum Gulielmi ducibus comperta essent, coacto concilio, an cum Romanis manus consererent, deliberant. cum omnium in id convenirent sententiae, assumptis copiis, versus Romanorum castra iter intendunt. Romani contra his auditis ad resistendum sese comparant. Italis quidem novem praefuere duces, quibus omnibus praepositus est cancellarius. omnis autem exercitus armis, generosis praeterea equis, longisque hastis quam optime instructus erat. ex quibus non modicus Romanos incessit pavor, animi dubios an cum tanto et tam bene armato exercitu exiguis admodum copiis decertarent. ordinata nihilo minus acie et per turmas distributa, dux multa oratione ad magnanimitatem milites cohortatur. manibus aliquamdiu ab

νου. μέχρι μὲν οὖν τινος οὐδέτεροι χειρῶν ἦρχον. ἐπεὶ δὲ αἵ τε σάλπιγγες ἤδη ἑκατέρωθεν ἤχουν καὶ τὸ σύνθημα ἐδίδοτο, ἐμάχοντο συμπεσόντες ἀπὸ χειρὸς ἕκαστος. οὐκ ἂν εἶπες ἥλιον οὐδ' ἂν ἡμέραν ὁρᾶν· ἀχλὺς γὰρ πάντας ἐπεῖχε καὶ κόνις εἰς οὐρανὸν C ἵστατο, πάταγός τε ἠκούετο καὶ ἄγριος ἠγείρετο θροῦς. μέχρι μὲν οὖν γε ἀμφὶ μέσην ἡμέραν ἰσοπαλὴς ἡ μάχη ἐγίνετο. τὸ δ' ἐντεῦθεν τῷ πλήθει βιασάμενοι Ἰταλοὶ τοὺς περὶ τὸν Δούκαν ἐπίεζον. ὁ δὲ ταχὺ τὸ πρᾶγμα κατανοήσας παρὰ μέσην εἰσελαύνει τῶν πολεμίων τὴν φάλαγγα· ἄλλους τε ἄλλοτε παίων ἀεὶ ἕπεσθαι αὐτῷ σὺν βοῇ παρώρμα τὸ Ῥωμαϊκόν. αὖθις οὖν συνέπιπτον ἀλλήλοις τὰ στρατεύματα, καὶ ἡ μάχη ἐμαίνετο, ἕως τῇ σφετέρᾳ ἀρετῇ Ῥωμαῖοι τοὺς πολεμίους ἐτρέψαντο. καὶ αὐτῶν ἐν τῷ φεύγειν ἱππεῖς μὲν ἐς τριακοσίους ἔπεσον, πεζῶν δὲ ἀμύθητόν τι πλῆθος, οἱ λοιποὶ δὲ ᾤχοντο φεύγοντες. ταῦτα κατωρθωκότες Ῥωμαῖοι ἐπὶ τὸ φρούριον ἀνέστρεφον. οὐκ εἰς μακρὰν τοίνυν ἐξελόντες αὐτὸ τοῖς τε ἐπιτηδείοις ἀφθόνοις περιτετυχήκεσαν ἐν αὐ- D τῷ καὶ τῶν ἄλλων πλησθέντες ἀγαθῶν ἐπὶ Βᾶριν ἦλθον.

7. Μετ' οὐ πολὺ δὲ καὶ Μοντοπολοῦς πόλεως ὀνομαστῆς γεγόνασιν ἐγκρατεῖς, Γραβίναν τε εἷλον ἧς Ἀλέξανδρος ἡγεμόνευε πρότερον, ἄλλων τε πόλεων καὶ φυλακτηρίων· πρὸς δὲ καὶ κωμοπόλεις ὑπὲρ πεντήκοντα ἔσχον· καὶ ἐπὶ μέγα ἑκάστοτε τὰ βασιλέως ἐφέρετο πράγματα· ὑπέρρει δὲ Γιλιέλμῳ τὰ τῆς δυνάμεως ἀεὶ καὶ

18. *Μοντοπολοῦς*] *Μοντοπολούσου?* 19. *Γραβίναν*] In Cod. huic nomini praemissae sunt litterae *Θε* initiali rubra.

utraque parte temperatum. at postquam classicum utrimque insonuit, et signum pugnae datum est, cominus praelium ineunt universi. nec solem dixisses nec diem conspici, adeo omnes caligo invaserat pulvisque creber in caelum ferebatur. strepitus et clamor horribilis exaudiebatur. usque ad medium diem aequo pugnatum Marte. sed numerosis se copiis inferentes Itali, Ducae aciem tandem inclinarunt. quod ubi is animadvertit, phalangem suam in medios immittit hostes, caesisque ac prostratis subinde aliis, ut se sequeretur invitat. rursum igitur committuntur utrimque acies, acriusque recrudescit praelium, usque dum propria animati virtute Romani hostes fundunt fugantque. cecidere inter fugiendum equites fere trecenti, peditum autem innumera multitudo: alii fuga dilapsi sunt. his prospere gestis rediere ad castellum Romani: eoque non multo interiecto tempore potiti, commeatusque ceterarumque rerum necessariarum copia ibi inventa, Barim se receperunt.

7. Neque ita multo post Montempelosum, urbem celebrem, in deditionem accepere: et Gravinam, cui primum Alexander praefuerat, et oppida alia, arcesque, insuper etiam vicos maiores ultra quinquaginta expugnavere. ita res augebantur imperatoris, aliis atque aliis in dies partis victoriis; Gulielmi vero sensim dilabebantur vires et in arctum redigebantur, adeo ut

ἐς στενὸν κομιδῇ ἐχώρει. ἡ φήμη τοίνυν εἰς πᾶσαν ἐκδραμοῦσα τὴν Ἰταλίαν τὸ Ῥωμαίων ἀπανταχῇ διεκήρυττεν ἄμαχον. καὶ εἶδον τότε Ἰταλοὶ Ῥωμαίους, ὧν ἀπείρου ἤδη τοῦ χρόνου πολεμούντων [P 88] σφίσιν οὐκ ἐπειράθησαν, πάντα καθάπαξ τὰ αὐτῶν ἄγοντάς τε καὶ φέροντας. μέχρι μὲν οὖν καὶ ἐνταῦθα κατὰ ῥοῦν ἐφέρετο Ῥωμαίοις τὰ πράγματα, τὸ δ' ἐντεῦθεν ὑποβασκαίνειν ἡ τύχη τοῖς εὐκληρήμασιν ἤρξατο. νόσος γὰρ τῷ Παλαιολόγῳ ἐνσκήψασα λάβροις τὸν ἄνθρωπον πυρετοῖς ἐκαμίνευεν, οὐ πρότερόν τε ἔληξεν ἰκμάδα ἐπινεμομένη τούτῳ τὴν φυσικὴν πρὶν ἂν τὸ μὲν πρῶτον ἀποθρίξασθαι ἠνάγκασεν, ὀλίγῳ δὲ ὕστερον καὶ ἐξ ἀνθρώπων αὐτὸν ἐποιήσατο. ἄρτι μὲν γὰρ τὰ τρίχινα ἠμφίεστο, καὶ ῥάων εἶναι δόξας τὸν Δούκαν ἐπὶ τὰς ἄλλας ἰέναι προὐτρέπετο πόλεις, [B] ἃς δὴ ἀχειρώτους ἔτι Ῥωμαίοις συνέβαινεν εἶναι. καὶ τρίτῃ μετ' ἐκείνην ἡμέρᾳ αὖθις ἐν κακοῖς ἦν, ὃ πυθόμενος ὁ Δούκας ἐπὶ τὴν Βᾶριν ἀνεχώρει. τεθνηκότι δὲ ἤδη τούτῳ περιτετυχηκὼς τὸ μὲν σῶμα σορῷ παραδίδωκε, πάντα τελέσας ὅσα νόμοις Χριστιανοῖς ἐπὶ τῇ ὁσίᾳ ποιεῖν δίδωσι. τὰ δὲ ἐπὶ Βάρεως εὖ διαθέμενος μόνος τὸ λοιπὸν τὸ τῶν πραγμάτων ἀναδέχεται κράτος.

8. Ὁ μὲν δὴ Παλαιολόγος οὕτω δὴ τὸν βίον μετήλλαξεν, [V 69] ἀνὴρ ἀγχίνους τε καὶ ἄλλως ὢν καὶ πολεμίοις ὁμιλῆσαι πράγμασι δεινότατος ὢν μάλιστα. ὁ δὲ Δούκας τὸ στράτευμα ἀναλαβὼν εὐθὺ Βρεντεσίου ἐχώρει. ὅτε δὴ καὶ Βασαβίλλαν ἑαυτῷ συστή- [C]

8. λάβροις] Cod. λαύροις. 16. νόμοις] Fort. νόμος ut sensus sit: *quaecunque usus Christianis in exequiis facere iniungit.* 22. Βρεντεσίου] Cod. Βροντησίου.

vulgata per totam Italiam fama invictam passim virtutem Romanam praedicaret. videreque tum Itali a Romanis, quorum a multis retro saeculis arma non fuerant experti, sua omnia ubique diripi et auferri. huc usque secundo vento cuncta Romanis cessere: sed mox invidit tot prosperis successibus fortuna. morbus namque Palaeologum corripiens, valida hominem febre decoxit: nec prius destitit humores naturales consumere, quam primo quidem comam deponere eum coegisset, ac paulo post rebus humanis exemisset. cilicinam enim vestem iam induerat, ac cum melius habere sibi videretur, Ducam ut ad ceteras iret civitates, quas nondum ceperant Romani, hortatus erat. sed enim tertio post die rursum recruduit morbus. id ubi accepit Ducas, Barim reversus est, atque illo iam defuncto, corpus sepulcro mandavit, aliaque omnia procuravit, quae ex Christianorum lege sacris exequiis debentur. his rebus Bari peractis, summam rerum solus obtinuit.

8. Hunc exitum habuit Palaeologus, acri vir ingenio, et rei militaris peritissimus. Ducas vero accepto exercitu versus Brundusium proficiscitur, quo Bassavillam sibi confestim conciliaret, qui hac de causa defecerat. ille,

σασθαι διὰ σπουδῆς ἔθετο ἀποταξάμενον ἤδη ἀπ' αἰτίας τοιᾶσδε. οὗτος εἴτε κέρδους οἶμαι προφάσεις ἑαυτῷ ποριζόμενος εἴτε καὶ σπάνει χρημάτων ἀληθῶς ἐχόμενος, χρυσίου χιλιάδας δέκα τὸν Παλαιολόγον ἔτι περιόντα δεδανεικέναι οἱ ἠξίου. ὁ δὲ τέτταρας μὲν αὐτίκα παρέχειν αὐτῷ κατετίθετο, δωρεὰν ἐκ βασιλέως ἀλλ' οὐ δάνειον, πρὸς δὲ τὰς λοιπὰς ἰσχυρῶς ἀπέλεγεν. οἷς ὁ Βασαβίλας δυσαρεστῶν τοῦ Ῥωμαϊκοῦ ἀπεσκήνητο στρατοπέδου. ὡς δ' ἀποβιῴη μὲν ὁ Παλαιολόγος, κατασταίη δ' ἐπὶ τῶν πραγμάτων ὁ Δούκας, ἧκε παρ' αὐτὸν καὶ τῶν χρημάτων ὥσπερ ᾐτεῖτο
D τετυχηκὼς πολεμίων αὖθις Ῥωμαίοις ἐκοινώνει καμάτων. καὶ δὴ καὶ αὐτὸν ἐπαγόμενος ὁ Δούκας ἐπὶ Μασαύραν παντὶ τῷ στρατῷ ἦλθεν. ἦν δέ τις ἐνταῦθα πόλις Πολυμίλιον κεκλημένη, ἔνθα τῶν περὶ τὸν Γιλίελμον συνέβαινεν εἶναί τινα Φλαμίγγον ὄνομα. ἀλλ' ὃ μὲν προσιέναι τὸν Ῥωμαίων ἀκούσας στρατὸν ἐκεῖθεν ἄρας ἐπὶ Τάραντα ἦλθε, Ῥωμαῖοι δὲ Πολυμίλιον ἑλόντες τὰ πέριξ τε σκυλαγωγήσαντες ὠφελειῶν ἐπεπλήσαντο τὸ στρατόπεδον. ἐκεῖθέν τε ἐπὶ Μόλισσαν μετέβησαν πόλιν, ἣ κάθηται μὲν ἀνωτάτω ἐπ' ἀγχωμάλου ἰσχυρὰ καὶ εὔπυργος, ἐκ δὲ μερῶν ἀμφοτέρων θατέρου μὲν φάραγγές τινες τραχεῖαι καὶ δεινῶς ἄβατοι κατατείνουσι, θατέρου δὲ ποταμοῖς ζώννυται ναυσιπόροις. ἀλλ' ἔοικε τοῖς ἐξ
P 89 οὐρίας πλέουσιν ἀντιπράττειν οὐδέν. Μόλισσα γὰρ καίτοι ἀσφαλείας οὕτω πανταχόθεν ἔχουσα, ὅμως Ῥωμαίοις οὐδὲ μακρὰ καμοῦσιν ἁλώσιμος τρόπῳ τῷ ῥηθησομένῳ ἐγένετο. ἅτε γὰρ εὐ-

9. ὥσπερ] Malim ὥνπερ. 22. μακρὰ] Ita Tollius ex coniectura. Cod. μικρά.

seu quod lucri captaret occasionem, vel quod revera pecuniis indigeret, aureorum millia decem foenori sibi dari a Palaeologo adhuc superstite poposcerat. quatuor hic promiserat se statim daturum, non quidem in foenus, sed ut principis largitionem; de reliquis prorsus abnuerat se quicquam posse praestare. cum aegre tulisset repulsam Bassavilla, castris continuo Romanis excesserat. defuncto autem Palaeologo et translata ad Ducam potestate, ad eum venit, acceptisque quas petiverat pecuniis arma iterum cum Romanis coniunxit. tum una illum adducens Ducas cum omnibus copiis ad Masafram pergit. ibi civitas quaedam adiacet Polymilium dicta, in qua unus de Gulielmi ducibus erat, nomine Flamingus. sed ubi is Romanum adventare exercitum accepit, discessit inde et Tarentum concessit. Romani Polymilio capto et circumiacentibus agris direptis, rebus necessariis castra instruunt. inde ad Molissam contendunt, oppidum in editiore quidem, sed aequali ac plano situm loco, validum ceteroquin ac turribus ab utraque parte instructum, cuius alterum latus cingunt confragosae et inaccessae valles; alterum navigabiles fluvii ambiunt. sed nihil videtur obstare vento secundo navigantibus. Molissa enim quantumvis munita, a Romanis tamen nec multum laborantibus eo quem exponam modo expugnata est. ii quippe prioribus for-

τύχήμασιν ἐπαρθέντες τοῖς προλαβοῦσιν, ἐπειδὴ τοὺς ἐκ τῆς πόλεως τῇ τοῦ χώρου φύσει τεθαρσηκότας ἔξω πυλῶν ἑστῶτας εἶδον, ἔνθα ἐπιμαχωτέραν εἶναι συνέβαινε ταύτην, δρομαῖοι διὰ τοῦ ἀνάντους ἐχώρουν. ὧν τῇ τόλμῃ καταπλαγέντες ἐκεῖνοι ἐπὶ τὰς πύλας εἰσέπιπτον φεύγοντες. οὔπω δὲ ἐπιζυγωθεισῶν καὶ ὁ Ῥωμαίων συνέπιπτε στρατός, καὶ λοιπὸν κατὰ κράτος ἡ πόλις ἡλίσκετο. ταῦτα Ῥωμαῖοι καταπραξάμενοι ἐκεῖθεν ἀπεχώρουν. B ἐπ' ὀλίγον δὲ προελθοῦσι σὺν στρατεύματι μεγάλῳ ὁ Φλαμίγγος ἀπήντα. Ῥωμαίων οὖν τινες τῶν ταγμάτων προπηδήσαντες ὁμόσε τοῖς πολεμίοις ἐχώρουν ἔργα θαυμαστὰ ἐς αὐτοὺς ἐνδεικνύμενοι, πλήθει δ' ὅμως τῶν ἐναντίων παρὰ πολὺ ἐλασσούμενοι ἀνεχώρουν ὀπίσω. ἐν τούτῳ δὲ καὶ ὁ Δούκας πανστρατὶ τῷ Φλαμίγγῳ ἐπιτίθεται, τρεψάμενός τε αὐτὸν Μασαύρᾳ προσέβαλεν. ἐξ ἐφόδου δὲ καὶ ταύτης περιγεγονὼς ἀμύθητόν τι χρῆμα ἐπιτηδείων ἐπ' ἀκροπόλεως ἀπόθετον εὗρεν, ὅπλα τε πολλὰ καὶ ἵππους τῶν διακοσίων οὐκ ἀποδέοντας ἔσχεν. ἃ Ταραντῖνοι βλέποντες κατὰ συστήματα καὶ δήμους συνερχόμενοι ἀναφανδὰ τὸν Φλαμίγγον ἐκακηγόρουν, ἔγκλημα αὐτῷ ἐπιφέροντες, ὅτι δὴ δειλίαν τὴν αὐτοῦ Ῥωμαίοις παρρησίας πεποίηται ὕλην. ἃ μηκέτι φέρειν δεδυνημένος ἐκεῖνος τὸ στράτευμα αὖθις ἀναλαβὼν C τὴν Ῥωμαίων ἐξεδέχετο στρατιάν. ἀλλ' ἄρτι τε εἰς ὄψιν ἦλθεν αὐτῷ καὶ αὐτίκα δειλίᾳ βληθεὶς οὐκέτι ἀλκῆς ἐμέμνητο. φεύγουσι τοίνυν αὐτοῖς Ῥωμαίων ὀλίγοι ἐπιθέμενοί τινας ἔκτειναν.

6. συνέπιπτε] Malim συνεισέπιπτε. 16. διακοσίων] Ita Tollius ex coniectura. Cod. διάκρων.

tunae elati successibus, cum oppidanos ingenio loci confisos stare extra portas viderent, qua parte oppugnari facilius poterat urbs, cursu per ardua feruntur; tanta eorum audacia perculsi hostes fuga se intra portas recipiunt. quibus adhuc reseratis, Romanorum una incidit exercitus et urbe per vim potitur. his rebus confectis excessere inde Romani. sed vix multum erant emensi iter, cum obviam fit cum numerosis copiis Flamingus. tum vero Romani aliquot ex ordinibus prosilientes cum hoste confligunt, mirandaque eo in certamine edunt facinora. sed cum hostes numero praevalerent, retro cessere. inter haec Ducas cum universo exercitu Flamingum adoritur, eoque in fugam compulso, Masafram venit. qua primo impetu expugnata, incredibilem commeatus et necessariarum rerum reconditam in arce copiam invenit, et arma insuper multa, equosque non minus ducentos. id ubi viderunt Tarentini, vicatim tributimque maledictis propalam Flamingum insectantur, incusantque, quod illius timiditas et ignavia audaciae materiam praebuisset Romanis. quam ille contumeliam non ferens, assumptis iterum copiis, Romanorum exspectat exercitum. sed vix in illius conspectum venit, cum prioris fortitudinis immemor pavore subito corripitur. fugientes itaque nonnullos

ἐπεὶ δὲ ἐγγὺς Τάραντος ἤδη ἐγένοντο, ἀνάλωτον εἶναι τὴν πό-
V 70 λιν κατανοήσαντες αὐτῆς μὲν ἀπῆραν, Μονοπόλει δὲ πελάσαι
διανοηθέντες, ἐπειδὴ ἀπορεῖν αὐτοῖς συνέβαινε τειχομαχικῶν,
γράμμασι τὸν ἐν Βάρει μετεπέμποντο στόλον, ἐφ' ᾧ τοιούτων
ἐκεῖθεν εὐπορήσειν ἥκειν ὅτι τάχιστα. ἐν δὲ τούτῳ τετύχηκε
Ῥωμαίοις διὰ χώρας πορευομένοις εὐδαίμονος καὶ ἀφθόνοις περι-
βριθούσης ἀγαθοῖς μυρίων ὅσων πεπλῆσθαι καλῶν. λέγεται γὰρ
D δέκα μὲν τηνικάδε βοῦς ἀγελαίας χρυσοῦ τὸν στρατιώτην ἀπο-
δόσθαι στατῆρος, πρόβατα δὲ τριάκοντα καὶ ἑκατόν. ὅτε δὴ
καὶ Ῥωμαίων τινὰς εἱρκταῖς ἐκ πολλοῦ προστετηκότας εὑρόντες
τῶν κλοιῶν τοὺς ἀθλίους ἀνῆκαν.

9. Ἐπεὶ δὲ πεμπταῖοι εἰς Μονόπολιν ἀφίκοντο, ἐπεξῄει
μὲν αὐτοῖς οὐδὲ εἷς (ἔφθη γὰρ ἡ φήμη προκαταπλήξασα τούτους
ἔνδον ἐλάσαι τειχῶν), ὑπὲρ δὲ τῶν πύργων πάνοπλοι ἑστήκεσαν,
εἴ τις ἐπιβολὴ τῷ περιβόλῳ ἐπέλθοι ἀμυνούμενοι. τότε μὲν οὖν
αὐτοῦ που ἐν ἐπικαίρῳ τῆς πόλεως οὐ πολλῷ ἄποθεν τὸν χάρα-
κα πηξάμενοι ἔμενον. ἐπεὶ δὲ καὶ ὃν ἐκ Βαρέως μετεπέμψαντο
P 90 ἤδη στόλον, Μονοπόλει προσχὼν τὰ ἐς πολιορκίαν αὐτάρκη
ἐκόμισε, τότε δὴ πανστρατὶ τῷ περιβόλῳ ἐπέθεντο. ἀλλὰ Μο-
νοπολῖται ἅτε ἀφ' ὑψηλοῦ ἐς τοὺς πολεμίους βάλλοντες ἀπε-
κρούοντό τε τοὺς προσιόντας Ῥωμαίων καί τινας ἔκτεινον. ἥ τε
μάχη πρωῒ ἀρξαμένη ἐς νύκτα ἐτελεύτα. Ῥωμαῖοι μὲν οὖν,
ἐπειδὴ συνεσκότιαζεν ἤδη, ἐπὶ τὸ στρατόπεδον ἀνεχώρησαν. Μο-

15. ἐπιβολὴ] Ita Tollius. Cod. ἐπιβουλή.

pauci e Romanis insecuti prostravere. ut vero proxime ad Tarentum accesserunt, expugnari urbem haud posse rati, ab illa quidem digressi sunt: sed cum ad Monopolim copias admovere cogitarent, nullaeque sibi eo tum tempore adessent bellicae machinae, classem, quae Bari stabat, ut omnia ista celerrime adveheret per literas arcessiverunt. interim Romani, dum iter faciunt per regionem opulentam admodum et immensa bonorum copia affluentem, multipliciter ditantur. aiunt enim tum militem uno auri statere boves decem armentales vendidisse, alia autem pecora centum et triginta. multos ad haec Romanos diuturnis carceribus maceratos compedibus exuerunt.

9. Posteaquam quinto inde die ad Monopolim venerunt, nemo iis occurrit hostium. ipsa enim iam ante fama consternati intra moenia se continebant. in turribus autem armati constitere, ut si quis in vallum fieret impetus, contra ii obsisterent. Romani itaque positis idoneo loco haud procul inde castris, consedere. sed ubi, quam Bari acciverant, classis, quae ad oppugnationem necessaria erant advexit, cum omnibus copiis moenia adoriuntur. at Monopolitani emissis ex alto in hostes telis subeuntes repellunt Romanos, nonnullosque caedunt. incepto mane praelio in noctem usque protracto, Romani, cum iam advesperasceret, in castra revertuntur. Mo-

νοπολῖται δὲ φυλακὰς ἐπὶ τῶν πύργων εἶχον ἐκ περιτροπῆς καθιστάντες ἀεί, ὡς μὴ λάθοιεν κακουργήσαντές τι νύκτωρ ἐπὶ τὴν πόλιν Ῥωμαῖοι. πυρά τε ἑκατέρωθεν ἐκαίοντο πολλά, καὶ αὐλοὶ καὶ σύριγγες ἤχουν. ἄρτι δὲ τὸν ἑῷον ὁρίζοντα παραμείψας ἥλιος ἐς τὸ τῆς γῆς παρέκυπτε πρόσωπον, καὶ Ῥωμαῖοι μὲν τῶν χαρακωμάτων ἐξιόντες ἐπὶ τῶν ἔργων καὶ πάλιν ἐγίνοντο, B Μονοπολῖται δὲ δρόμῳ καὶ αὐτοὶ εἰς τὰς ἐπάλξεις ἐχώρουν καὶ πρὸς τοῖς ὅπλοις ἦσαν. καὶ ἀγὼν αὖθις ἠπλοῦτο ἐξαίσιος οἷος Ῥωμαίοις μὲν τὴν ἐς τὸ τεῖχος βιαζομένοις ἄνοδον, Μονοπολίταις δὲ προσιόντας ἀπωθεῖσθαι τοὺς πολεμίους. μέχρι μὲν οὖν τινος ἐπὶ τοιούτοις ἐπονοῦντο· τὸ δ' ἐντεῦθεν πῦρ ἔνθα τὰ σκάφη Μονοπολίταις ὑφώρμει τὸ Ῥωμαίων ἐμβαλὸν στράτευμα φλόγα μεγίστην ἀρθῆναι ἐποίησεν. ὅτε καὶ τῶν τις Ῥωμαίων στρατιωτῶν Ἱκανάτος ἐπίκλησιν λόγου καὶ ἀκοῆς εἴργαστο ἄξια. Μονόπολιν γὰρ διπλᾶ μὲν ζώννυσι τείχη, ἀλλὰ τὸ μὲν ἔνδον ἐπὶ πλεῖστόν τε ἐπαίρεται καὶ πολεμίου δορὸς λόγον οὐδένα τὸ παράπαν πεποίηται, τὸ δ' ἄλλο ἐς τριτημόριον μάλιστα τοῦ C προτέρου αἰρόμενον τὰς κρηπῖδας αὐτῷ περιθέει. ἐς τοῦτο δὴ τὸ περίτειχος δύο τινὲς Μονοπολιτῶν ἀναβάντες αὐτοί τε ἐς τοὺς πολεμίους ἔβαλλον καὶ τοὺς ἄλλους πρὸς τοῦτο παρώρμων. ὅπερ ἰδὼν ὁ Ἱκανάτος σὺν τῷ δόρατι ἐπελάσας θατέρου τῶν εἰρημένων κατευστοχεῖ. ὁ δὲ ὕπτιος παραυτὰ ἐξεκυλίσθη, βοή τε πρὸς τοῦ Ῥωμαίων ἤρθη στρατοῦ καὶ κρότος ἐξαίσιός τε καὶ

8. ἠπλοῦτο] Cod. ἠπλοῦτος. 10. ἀπωθεῖσθαι] Addendum videtur πειρωμένοις vel simile quid. 22. κατευστοχεῖ] Cod. καταστοχεῖ.

nopolitani vero in turribus custodias locant, easque per vices semper mutant, ne si quid Romani de nocte attentarent, eos lateret. utrimque praeterea accendebantur ignes, tibiaeque ac tubae perstrepebant. iamque exortam praetervectus auroram suum terris iubar sol inferebat, cum egressi e vallo Romani oppugnationem denuo aggrediuntur. Monopolitani contra cursu se in propugnacula proripientes, vicissim capessunt arma. rursum igitur ingens instauratur certamen, Romanis nimirum vi ascendere muros annitentibus, subeuntes vero repellentibus Monopolitanis. sic aliquamdiu in iis laboratum. exercitus deinde Romanus igni iniecto, ubi navigia subduxerant Monopolitani, ingentem flammam excitarunt: quo tum tempore Romanus quidam miles, Hicanatus nomine, rem dictu audituque dignam gessit. Monopolim quippe murus circumcingit duplex, sed interior altius eductus, hostilem nequaquam hastam veretur: alter autem tertia parte minor illius fundamenta circumambit. in hunc igitur exteriorem murum ascenderunt Monopolitani duo, qui telis inde hostes lacessebant, ceterosque ut idem agerent hortabantur. quod ubi conspicit Hicanatus, arrepta hasta eo perveniens, alterum ex iis ferit, prosternitque. mox ingens tollitur a Romano exercitu

ἀκοῆς κρείσσων ἐγένετο. πρὸς ὃ καταπλαγέντες οἱ ἐπὶ τῶν πύρ-
γων νομίσαντές τε ἤδη τὴν πόλιν ἁλῶναι, τοὺς πύργους λιπόν-
τες ἀνὰ μέσην τὴν πόλιν ἐχώρουν. καὶ εἰ μὴ ταχὺ τὸ πρᾶγμα
αἰσθόμενοι ἐπὶ τῶν ἐπάλξεων αὖθις ἀνέβησαν, ἥλω ἂν αὐτίκα
D Ῥωμαίοις ἡ πόλις. ἐν τούτοις καὶ ἡ δευτέρα κατὰ Μονοπόλεως
ἔληξε προσβολή. Μονοπολῖται δὲ ὡς ἔγνωσαν ἐν στενῷ περιει-
λημμένοι, γράμματα ἐπὶ Φλαμίγγον πέμψαντες ἥκειν αὐτὸν τὴν
ταχίστην ἠξίουν· ὁ δὲ ἐπήγγελε μὲν παρέσεσθαι τούτοις μετὰ μι-
κρὸν στρατεύματι μεγάλῳ Ῥωμαίους ἐνθένδεν ἀπαναστήσων·
δέος δὲ αὐτὸν ἔνδον ἐπεῖχε, καὶ εἰς δειλίαν ὅρον οὐκ ἔχουσαν
ἔπιπτε λογιζόμενος τίσι μαχεῖται καὶ πρὸς τίνας αὐτῷ ὁ πόλεμος
ἔσται. ἐπεὶ δὲ ἑβδόμη ἐξ ἐκείνου παρῆλθεν ἡμέρα καὶ Φλαμίγ-
V 71 γος οὐδαμοῦ διεφαίνετο, τότε δὴ Μονοπολῖται την ὅθεν δήποτε
P 91 ἀπεγνωκότες ἐπικουρίαν πρέσβεις ἐς τὸ Ῥωμαίων ἔστειλαν στρά-
τευμα ἐφ᾽ ᾧ τὴν πόλιν τε καὶ σφᾶς αὐτοὺς βασιλεῖ παραδοῦναι
μεγάλῳ. ὁ Δούκας δὲ ἀπεῖπεν αὐτοῖς μὴ ἂν ἄλλως ἐπὶ ταύτῃ
τῇ ὁμολογίᾳ τὸ πιστὸν αὐτῶν ἐσχηκέναι, εἰ μὴ καὶ φρουρὰν ἑαυ-
τοῖς ἐκ βασιλέως ἐπιστήσεσθαι καταδέξαιντο. τῶν δὲ καὶ πρὸς
τοῦτο ἐπινευσάντων, χρόνος ἐδίδοτο τῇ ὁμολογίᾳ τακτός. ἀλλά
τινες τοῦ Μονοπολιτῶν δήμου (ἦσαν γὰρ οὓς οὐκ ἤρεσκε τὰ με-
λετώμενα) λαθόντες τοὺς ἄλλους Φλαμίγγῳ δῆλα ταῦτα καθί-
στων. καὶ ὃς πρὸς τὴν ἀκοὴν ἐκταραχθεὶς καταφράκτους ἱπ-
πέας τῶν περὶ αὐτὸν ἀπολεξάμενος τῶν ἑκατὸν οὐκ ἀποδέοντας
αὐτοὺς μὲν ἐν τῷ παραυτίκα ἔστελλεν, ὃ δὲ κατόπιν ὀλίγῳ ὕστε-

clamor, tantusque plausus, ut nihil quicquam exaudiri posset. unde conterriti qui in turribus stabant oppidani, captam iam urbem rati, relictis turribus ipsis in mediam urbem confugiunt: et ni continuo re cognita in propugnacula rursum sese recepissent, urbs a Romanis illico fuisset capta. sic tum altera in Monopolim desiit oppugnatio. oppidani vero ubi se angustiis undique premi vident, per literas Flamingum enixius rogant, ut quantocius cum auxilio accederet. ille brevi se adfuturum cum magno exercitu Romanosque inde depulsurum renuntiat. sed enim rursum invasit animum illius metus pavorque immensus, cum subiret cogitatio, quibuscum certaturus esset, ac contra quos sibi bellum foret. ubi vero septimus inde effluxit dies, et nusquam conspectus est Flamingus, desperato hactenus auxilio, in castra Romana misere legatos Monopolitani, ut et civitatem et se ipsos magno dederent imperatori. Ducas autem negavit aliter se fidem eorum deditioni habiturum, nisi praesidium imperatoris nomine sibi imponi sinerent. his ad ea annuentibus, pactioni faciendae dies est praefinitus. verum e popularibus Monopolitanis nonnulli, quibus quae agebantur haud placebant, insciis ceteris rem omnem Flamingo significant. quo ille nuntio consternatus, delectos e suis centum cataphractos equites continuo ad eos mittit, seque paulo

ρον ἥξειν ἔλεγε χεῖρα βαρεῖαν ἐπαγόμενος. τούτους δὴ τοὺς ἱππέας νύκτα τηρήσαντες οἷς τὸ ἔργον τοῦτο συνέκειτο, καθ᾽ ἣν ὑετὸς οὐρανόθεν ἐπέκλυζεν ἄσχετος, διὰ πυλίδος τινὸς ἐπὶ τὴν B πόλιν εἰσεδέχοντο, καὶ τὸ ἐντεῦθεν εἰς ὅπλα χωρεῖν καὶ πάλιν ἐσκέπτοντο. ὅπερ ὡς εἰς γνῶσιν ἦλθε τῷ Δούκᾳ, ἐξαπάτην τινὰ πρὸς τῶν Μονοπολιτῶν τὴν πρεσβείαν γενέσθαι οἰηθεὶς αὐτίκα ἐξῆγε τοῦ χάρακος τὸν στρατόν. οἱ δὲ ὀλίγα αὐτοῖς ἀρκέσαι τοὺς ἑκατὸν λογισάμενοι ἱππέων, ἄλλως τε καὶ σὺν θυμῷ μᾶλλον ἢ πρῴην μαχησομένου τοῦ Ῥωμαίων στρατοῦ, πέμψαντες ἐπὶ τὴν πόλιν αὖθις ἐκάλουν τὸν στρατηγὸν ἐφ᾽ ἑτέρους τὴν αἰτίαν μεταφέροντες, οἳ κοινῆς ἄνευ γνώμης ἐτόλμησαν τὰ παρόντα. ὁ δὲ Δούκας τὰ μὲν πρῶτα ἀναινομένῳ ἐῴκει, θρύψει τε καὶ ὑπεροψίᾳ πολλῇ ἐχόμενος μάχῃ τὸ πρᾶγμα ἤδη κριθῆναι ἰσχυρίζετο. ἐγκειμένων δὲ ἔτι μᾶλλον εἰς τοῦτο τῶν πολιτῶν C καὶ ἐπιχωρεῖν αὐτοῖς τὴν ἁμαρτάδα ἱκετευόντων, ὀψὲ παρακληθεὶς ἐπὶ τὴν πόλιν εἰσῆγε τὸ στράτευμα. ἀλλ᾽ ἄρτι τὴν πόλιν Ῥωμαῖοι ἔσχον, καὶ ὁ Φλαμίγγος ἀπὸ σταδίων εἴκοσιν ἠγγέλλετο παρών. τοῦτο γνοὺς ὁ Δούκας ἄνδρας ἱππέας τῶν σὺν αὐτῷ ἀριστίνδην ἀπολεξάμενος, αὐτοὺς μὲν τῷ Φλαμίγγῳ ὑπαντιάσοντας ἔστελλεν, ὃ δὲ τὰ κατὰ τὴν πόλιν διοικησόμενος αὐτοῦ ἔμεινεν. ἀλλ᾽ ὁ Φλαμίγγος ἐπειδὴ πόρρωθεν τὰς βασιλέως ἀνέγνω σημαίας ἐπὶ τῶν πύργων ἤδη προφαινομένας, πρὸ τοῦ τοῖς Ῥωμαίων ἱππεῦσιν εἰς χεῖρας ἐλθεῖν ἔγγιστα ἤδη γεγονόσιν ὀπίσω ἐχώρει. ὅτε δὴ κατὰ νώτου Ῥωμαῖοι διώξαντες πολλοὺς αὐτῶν

17. Ῥωμαῖοι] Cod. Ῥωμαίων.

post secuturum et maiores copias adducturum pollicetur. igitur ii quibus ea incumbebat cura, noctem observantes, qua magna imbrium vis de caelo cadebat, equites illos per minorem portam in urbem admisere. quod ubi comperit Ducas, imposuisse sibi Monopolitanorum legatos ratus, confestim e vallo milites educit. sed cum haud sibi satis esse centum illos equites viderent oppidani, Romanis praesertim acriori quam ante animo decertaturis; missis rursum legatis, ducem in civitatem evocant, translata in alios culpa, qui citra commune consilium ea perpetrare ausi fuerant. id primum admittere renuit Ducas, et legatos utcumque aspernatus, rem armis dirimere velle se dixit. sed tandem acrius illis instantibus et ut hoc sibi delictum remitteretur obsecrantibus, tandem placatus exercitum in urbem introduxit. vix urbe potiti sunt Romani, cum viginti ab ea stadiis adesse Flamingum nuntiatur. id ubi accepit Ducas, delectos expertae generositatis equites, qui Flamingo occurrerent, emittit: dum ipse in urbe manet, ut res ibi componeret. at Flamingus ubi a longinquo imperatoria in turribus erecta conspexit signa, priusquam cum equitibus Romanis iam proximis manus consereret, retro cessit. Romani a tergo insequentes multos ex eis cecidere,

D ἔκτειναν, εἷλον δὲ καὶ ζωγρείας πανόπλους ἱππέας ἑκατὸν μάλιστα. Φλαμίγγον δὲ ἐγγὺς ἁλῶναι ἤδη γεγενημένον ἡ τοῦ ἵππου ταχύτης τοῦ κινδύνου διεσώσατο. ταῦτα κατωρθωκότες Ῥωμαῖοι ἐπὶ Μονόπολιν ἀνεχώρησαν.

10. Ὁ δὲ Δούκας ὁσημέραι τὴν τύχην Ῥωμαίοις προσμειδιῶσαν ὁρῶν οὐ πάνυ τι πιστεύειν εἶχεν αὐτῇ, τὴν ἀποστροφὴν ὡς εἰκὸς εὐλαβούμενος, μήποτε κατὰ τοὺς μοχθηροὺς (φασὶ) τῶν συνοδοιπόρων ἐκ μέσης λιποῦσα τούτους ἀνακάμψῃ τῆς ὁδοῦ. ὅθεν καὶ γράμμα χαράξας τῷ βασιλεῖ ἔπεμψεν. εἶχε δὲ ὧδε. P 92 “εἰ μὲν μηδεὶς ἔτι ἐπὶ τῆς Ἰταλίας πόλεμος ἡμῖν ἐλείπετο, κράτιστε βασιλεῦ, οὔτε στρατιᾶς ἄλλης ἐδέησεν ἂν οὔτε τῶν ἄλλων οὐδενός. πάντα γὰρ ἐς τήνδε τὴν ἡμέραν κατὰ νοῦν κεχωρηκέναι ἡμῖν ἴσθι, πόλεις τε σχεδὸν ἁπάσας, ὁπόσαι ἐν Ἰταλίᾳ τυγχάνουσιν οὖσαι καὶ κόλπῳ τῷ Ἰονίῳ, παραστησαμένοις ἤδη καὶ πρός γε πολέμους κεκρατηκόσι μεγάλους βασιλείας τε τῆς σῆς καὶ τοῦ Ῥωμαίων ἐπαξίως γένους. ἐπεὶ δὲ ἀγὼν ἡμῖν ὁ μείζων ἐπίπροσθεν ἔτι κεῖται (Γιλίελμος γὰρ ὁ Σικελίαν λῃστεύων, ἀσχάλλων ὡς εἰκὸς ἐπὶ τῇ τῶν οἰκείων ἀπωλείᾳ, δυνάμεις ἁπαν- V 72 ταχόθεν ἀγείρει καὶ στόλον νεῶν ὡς πλείστων ἐπὶ θάλασσαν ἤδη κατεσπακὼς ἔχει, ὡς ἐκ γῆς ἡμῖν καὶ θαλάσσης ἐπιτίθοιτο κατὰ B νοῦν ποιούμενος), οὐ χρὴ περὶ ἐλάσσονος ταύτην ἡμᾶς ποιεῖσθαι τὴν τοῦ νησιώτου παρασκευὴν οὐδὲ παρέργως πόλεμον τόνδε διαφέρειν, μήποτε κλέος ἡμῖν τὸ παρὸν ἐς ὄνειδος μᾶλλον ἀποκριθήσεσθαι γένοιτο. τὸ γὰρ σὺν μικροῖς τὰ μεγάλα μετιέναι κα-

18. ἀσχάλλων] Ita Tollius. Cod. ἀσχάλων.

et centum cataphractos equites vivos cepere. Flamingum vero, qui et ipse fere captus est, equi pernicitas periculo exemit. his prospere gestis rebus, Romani Monopolim redeunt.

10. Ducas autem etsi quotidie arridere sibi adverteret fortunam, nequaquam tamen totum se illi committendum censuit, instabilitatem illius non sine causa veritus, ne quemadmodum improbi et infidi comites solent, ipsos in media via relictos desereret. mittit itaque literas ad imperatorem, quarum hoc fuit argumentum. “si nullum aliud in Italia nobis superesset bellum, maxime imperator, neque exercitu alio neque ceterarum subsidio rerum opus foret. omnia enim in hunc usque diem ex voto nobis successisse scias, urbes ferme omnes, quotquot sunt in Italia et ad sinum usque Ionium, in ditionem nos accepisse, magnaque bella ad maiestatis tuae Romanorumque gloriam nos confecisse. sed cum longe gravius nobis immineat certamen (Gulielmus quippe Siciliae praedo ob suorum iacturam haud dubie indignatus, contractis undique copiis classeque valida in mare immissa, et mari et terra nos aggredi meditatur), non contemnendus est nobis iste insulani apparatus, neque bellum hoc segnius gerendum, ne parta a nobis in praesens gloria vertatur in ignominiam. ut enim ille qui cum parvis viribus res magnas

πορθούμενον μὲν πλείω τοῦ σὺν μεγίστοις χαρίζεται δόξαν, ἁμαρτανόμενον δὲ πολλαπλάσιον ἐπάγεται τὸ αἶσχος, ἅτε πρὸς τῇ ἥττῃ καὶ ἀμαθίαν στρατηγικῶν ἐπιτρῖβον τοῖς πταίσασιν, ὥς γε πολλάκις ἡμᾶς κράτος ἐδίδαξε τὸ σόν. ὡς τοίνυν μηδέποτε μηδὲν ἐκ τούτων ἡμῖν ἀπαντήσῃ, δεῖ δὴ πλείονος ἡμῖν ἐνταῦθα ναυτικοῦ τε καὶ ἠπειρώτου στρατοῦ." τὰ μὲν δὴ γράμματα ἐν τούτοις ἦσαν· ὁ δὲ ἐπειδὴ τὰ ἐν Μονοπόλει καλῶς ἤδη εἶχεν αὐτῷ, παντὶ τῷ στρατῷ ἐκεῖθεν ἀπήλαυνεν, Ὀστούνιόν τε πόλιν ὀχυρωτάτην ἐν ταῖς μάλιστα ὁμολογίᾳ παραστησάμενος ἐπὶ Βρεν- C τέσιον ἠπείγετο πόλιν ἑτέραν, ἣ δὴ Τεμέση τὸ παλαιὸν ὠνομάζετο· ἀλλὰ πολὺς μετ' ἐκεῖνα ἀναστρεψαμένοις ἐπιγενόμενος αἰὼν ἐνεόχμωσε τὰ πλεῖστα τῶν ὀνομάτων, ἐφ' ἕτερα ἢ παντάπασιν ἀνόμοια ἢ ὀλίγῳ διαφέροντα μεταθείς. ταύτην ἐπειδὴ Ῥωμαῖοι κατέλαβον, ἡσυχῇ ἔμενον (πάσχα γὰρ τῇ ἑξῆς Χριστιανοῖς ἦν)· ὅπερ οἱ τῆς πόλεως δειλίαν εἶναι νομίσαντες πολλάκις ἐπεξιόντες ἄχρι καὶ αὐτῶν χαρακωμάτων ἐγίνοντο, ἕως Ῥωμαῖοι οὗτοι ἐθελούσιοι τούτοις ἐπιπηδήσαντες, ἐπειδήπερ ἀπεώσαντο, ἐπὶ τὸ στρατόπεδον ἀνεχώρησαν. οἱ μὲν οὖν ἄλλοι Ῥωμαίων ἐπὶ τοῖς προτέροις καὶ πάλιν ἦσαν σέβας τῷ καιρῷ παρεχόμενοι· Θωμᾶς D δέ τις, γένος μὲν Ἀντιοχεὺς βασιλεῖ δὲ αὐτόμολος ἐκ μακροῦ γεγενημένος, ὅπλα ὑπερθέμενος ἐξῄει τοῦ χάρακος ἱππευόμενος ἐν τῷ πεδίῳ. ἐπεὶ δὲ ἤδη ἀγχοῦ τῆς πόλεως ἐγένετο, προὐκα-

11. ἀναστρεφαμένοις] Cod. ἀναστρεψαμένους. Tollius coni. ἀναστρεψάμενος ἐπιγενομένοις. 12. ἐνεόχμωσε] Cod. ἐνεώχμωσε. 21. ὑπερθέμενος] Fort. περιθέμενος.

aggreditur, si rem prospere confecerit, maiorem, quam si cum maximis, gloriam comparat: ita contra, si perperam res cesserit, multiplex inde contrahit dedecus, cum praeter ipsam cladem rei militaris inscitia victos affictare soleat, uti saepenumero tua nos docuit maiestas. horum igitur ne quid unquam nobis usu veniat, maioribus nobis et maritimis et terrestribus copiis opus est." haec ille. rebus Monopoli ordinatis, cum omnibus inde copiis excessit; et Ostunio, valido inprimis oppido, per conditiones potitus, versus Brundusium iter intendit. Temessam civitatem illam vocarunt veteres. longum quippe succedens aevum pleraque apud posteros novat nomina, atque in alia, aut dissimilia omnino, aut parum discrepantia immutat. ut ad hanc urbem pervenere Romani, otiosi permansere: pascha enim Christianorum postridie futurum erat. eiusmodi otium ignaviae et timiditati adscribentes oppidani, plurima facta eruptione ad ipsum usque vallum excurrunt, donec Romani aliquot inviti paene erumpunt, qui iis tandem propulsatis in castra revertuntur. ceteri quidem Romani, ut antea, diebus festis debitum impendebant cultum. Thomas autem gente Antiochenus, qui iam dudum ad imperatorem transfugerat, sumptis armis, vallo excedit, campumque perequitat. ubi accessit ad urbem, fortissimum quemque ad singu-

λεῖτο τὸν ἄριστον ἐς μονομαχίαν αὐτῷ καταβῆναι. ἦν δέ τις
ἐνταῦθα ἀνδρείᾳ ἐπὶ πλεῖστον ἥκων ὄνομα Ἐγχέλυς. οὗτος
ἐπειδὴ Θωμᾶν μονομαχεῖν ἀξιοῦντα ἔγνω, θωρακισάμενος καὶ
αὐτὸς ἐξῆλθε παρὰ τὸ πεδίον βάδην ἀντιμέτωπος τῷ Θωμᾷ πο-
ρευόμενος. ὅτε δὴ θάμβος εἶχεν ἀμφοτέρωθεν ὁρῶντας ἄνδρας
οὕτω μὲν πανόπλους οὕτω δὲ γενναίους ὥστ' ἐπὶ στάδιον τὸν
χῶρον ἐκεῖνον ἀποδυομένους. ἐπειδὴ τοίνυν ἀγχοῦ ἤδη ἐγένοντο,
P 93 τοὺς ἵππους ἐπελάσαντες συνέπεσον ταῖς αἰχμαῖς. Θωμᾶ μὲν
οὖν ἡ αἰχμὴ δι' ἀσπίδος ἐλθοῦσα καὶ θώρακος αὐτοῦ ἄχρι καὶ
ἐπὶ τὸ δέρμα διεξέπεσεν, ὁ δ' Ἐγχέλυς δι' ἀσπίδος καὶ αὐτὸς
τὸ δόρυ ἐλάσας, ἔνθα τῆς κεφαλῆς ὑπερανίστασθαι ταύτην συν-
έβαινεν, ὑπανασχόντος ἤδη τοῦ στρατιώτου ὡς τὰ περὶ αὐτὴν
φράξαιτο, κράνος τε αὐτὸ διετόρησε καὶ σαρκὸς ἔψαυσεν. οὕτω
τε ἀλλήλων ἀπαλλαγέντες ὁ μὲν ἐπὶ τὸ Ῥωμαίων ἐχώρησε στρα-
τόπεδον, ἅτερος δ' ἐπὶ τὴν πόλιν ἦλθε. Ῥωμαῖοι δὲ ἐπειδὴ
τέλος ἤδη τὰ τῶν ἐν σφίσιν ἔσχεν ἑορτῆς, ταξάμενοι ἐπὶ τὴν πό-
λιν ἐχώρουν. ὡς δὲ πολλὰ τοῖς πετροβόλοις τὰ τείχη μαστί-
ξαντες ἀνηνύτοις ἐπιχειρεῖν ἔγνωσαν (οἱ γὰρ πάλαι ἄνθρωποι
B πολλὴν ἐπὶ τῶν ἔργων ποιούμενοι τὴν ἐπιμέλειαν πολὺ μᾶλλον ἐς
τὰς τῶν πόλεων, ὡς τὸ εἰκός, πεφιλοτίμηνται οἰκοδομάς), τού-
του μὲν ἀπέσχοντο, προσωτέρω δὲ καὶ ὅσῳ τειχέων ὑπερίπτα-
σθαι τοὺς λίθους ἀποδισκεύοντες τῆς πόλεως ἐντὸς πίπτειν ἐποίουν.
ἀλλ' ἅμα τε πρώτην ἀφῆκαν, καὶ γύναιόν τι ἀνὰ τὴν πόλιν σο-
βοῦν κατὰ κορυφὴν δεξάμενον τὴν βολὴν τήν τε κεφαλὴν διε-

2. ἀνδρείᾳ] Malim ἀνδρείας.

lare provocat certamen. erat autem ibi praecellentis fortitudinis quidam, nomine Enchelys. is ut Thomam ciere pugnam audivit, sumpto thorace descendit in campum, lentoque obviam gradu Thomae procedit. pavor inde defixit utrimque spectatores, dum cataphractos generosos istos eo se in loco tanquam in stadio ad certamen accingere conspiciunt. simul igitur ac proximi fuere, admissis equis, hastis concurrunt. et hastam quidem Thomas per hostis clipeum et thoracem ad cutem usque adigit. Enchelys vero impulsa in clipeum hasta, qua parte capiti elatus ab adversario, ut quae circum erant tegeret, praetendebatur, ipsius galeam perforavit carnemque attigit. ita digressi, alter in castra Romana, alter in urbem concessere. Romani exacta iam festivitate ordinata acie in urbem contendunt. sed cum crebris machinarum bellicarum ictibus murum tentassent, nequicquam se laborare advertentes (quippe veteres ut in ceteris quidem operibus multam impendere curam, maiorem tamen in exstruendis urbibus, nec iniuria, diligentiam adhibuere) ab incepto desistunt. longius vero, et ita ut ultra muros evolarent lapides, qui intra urbem reciderent, dirigebant. vixque primus emissus est lapis, cum in urbe iter faciens muliercula eo sic percutitur in vertice, ut diffinde-

σπαράχθη καὶ πᾶσαν μελῶν παρελύθη τὴν ὅστωσιν. ὀλοφυρμὸς οὖν ἐγένετο, καὶ σχῆμα πόλεως ἁλούσης ἐπεῖχε τότε τοὺς ἔνδον οὐδὲ ὅσον ἐπὶ θέαν τῆς δυστήνου ἐκείνης ἀνθρώπου ἐξιέναι θαρσοῦντας. ὡς δὲ καὶ δευτέραν ἐπέρριψαν καὶ ἤδη συχνὰς ἐποι- V 73
οῦντο Ῥωμαῖοι τὰς βολάς, ἐκπλαγέντες ὁ δῆμος λίθον ὑπὲρ κεφαλῆς ἐφαντάζετο ἕκαστος, ἄλλον τρόπον καὶ οὐχ ὅνπερ οἱ μῦ- C
θοι περὶ Ταντάλου φασίν. ὅθεν καὶ τῶν πολιτῶν βουλευομένων ἤδη Ῥωμαίοις εἰσόδου παραχωρεῖν αἰσθόμενον τὸ στρατιωτικὸν καὶ ὅσον ἐπὶ τῶν πύργων φυλακὴν εἶχε, δρόμῳ πολλῷ ἐπὶ τὴν ἀκρόπολιν ἀνεχώρουν. αἵ τε πύλαι πρὸς τοῦ δήμου ἀνακλιθεῖσαι τὸν Ῥωμαίων εἰσωδίαζον στρατόν. ἐπειδὴ γοῦν καὶ ταύτην ὁ Δούκας ἔσχε, διχῇ τὸ στράτευμα διελών, ὃ μὲν αὐτοῦ που παρὰ τὴν πόλιν κατεῖχε τοῖς ἐπ' ἀκροπόλεως μαχουμένον, τὸ δ' ἄλλο ἐς προνομὰς ἔπεμψε. ταῦτα μὲν οὖν τῇδε ἐπράσσετο· χώρα δέ τις πολυανθρωποτάτη καὶ εὔγεως, ἣν καλοῦσιν Ἀλίτζιον, τὰ ἐπὶ Βρεντεσίῳ συμπεπτωκότα λογισαμένη τῷ βασιλεῖ προσεχώρησε. πολεμίων δὲ ὀλίγος στρατὸς ἐπὶ λόχμης τινὸς D
τοῖς τὴν Ῥωμαίων νέμουσιν ἐλλοχήσαντες ἵππον (Κελτοὶ δὲ ἦσαν), ἐπειδήπερ εἰς ὕπνον αὐτοὺς ἐνεχθέντας εἶδον, τὴν ἵππον ἐκεῖθεν ἤλασαν· ὅπερ ἀκούσαντες Ῥωμαῖοι πρὸς τῶν ἐκ τῆς χορταγωγίας ἐπανιόντων αὐτοῖς ἀγγελθέν, ταχὺ διώξαντες τήν τε ἵππον ἀνείλοντο πᾶσαν καὶ τῶν πολεμίων τοὺς πλείστους ζωγρήσαντες εἷλον. ὅτε δὴ καὶ ἄνδρα τῶν μάλιστα ἐν Ἰταλιώταις δοκίμων Συχέρην ὄνομα ἁλῶναι τετύχηκεν. ἀλλ' οὔπω καταφα-

retur caput, omniumque ossa membrorum dissolverentur. inde orta eiulatio, et veluti urbs esset capta, consternati oppidani, ne ad conspectum quidem infelicis istius mulieris in publicum egredi audebant. ut autem iactus alter, moxque crebri alii a Romanis iterantur, confestim turbatur plebs, ac supra caput imminere lapidem sibi quisque credit, aliter plane ac de Tantalo loquuntur fabulae. inde cum de recipiendis in urbem Romanis deliberarent oppidani, ut rem advertere praesidiarii milites et quotquot tuebantur turres, celeriter in acropolim confugere, moxque plebs apertis portis Romanas copias introduxit. hac itaque potitus etiam urbe Ducas, exercitu bifariam diviso, partem aliam quae arcem oppugnaret in urbe continuit, aliam emisit ad depopulandos agros. dum haec ibi geruntur, regio quaedam fertilis incolisque copiosa, quam Halitziun vocant, cum ea quae Brundusio evenerant revolveret, ad imperatorem defecit. hostium ibi exiguae copiae (Celtae autem erant) saltibus abditae, et iis qui Romanorum equos pascebant insidiantes, somno sopitis illis, equitatum omnem inde abduxere. illud simul atque perceperunt Romani, ex iis qui a pabulatione revertebantur, hostes quam citissime insecuti, et equos recipiunt, et hostium plerosque vivos capiunt, atque in his illustrem maxime inter Italos virum, nomine Sy-

νῆς ὅστις εἴη γεγονὼς χρυσίου δόσει τὸν κατασχόντα ὑπελθὼν ἑαυτὸν ἔλυσε.

P 94 11. Ῥωμαίους δὲ φήμη τις περιέπτη ὡς Γιλίελμος ἔπεισιν ὀλίγῳ ὕστερον δυνάμεις ἐπαγόμενος βαρείας ἠπειρώτιδάς τε καὶ ναυτικάς. ὅθεν καὶ ἐκ τῶν ἐνόντων συσκευασάμενοι ἡσυχῇ ἔμενον. οὔπω δὲ πέμπτη μετ' ἐκείνην ἡμέρα ἐφειστήκει, καί τις ἐκ τοῦ τῶν πολεμίων αὐτομολήσας στρατοῦ Γιλίελμον ἐγγὺς παρεῖναι ἐμήνυε Ῥωμαίους ὡς ἐν ἄρκυσι συλληψόμενον. ταῦτα οἱ Ῥωμαίων ἀκούσαντες στρατηγοὶ τὸν πόλεμον ἤδη διέγραφον. ἐδόκει τοίνυν Βασαβίλαν μὲν καὶ Ἰωάννην τὸν Ἄγγελον τὸ μισθοφορικὸν ἅπαν ἔχοντας καὶ τοὺς ὅσοι ἐξ Ἰταλίας τῷ βασιλεῖ προσεχώρησαν, τὸν ἐκ τῆς ἠπείρου ἀναδέξασθαι πόνον, τόν γε
B μὴν Δούκαν τοῖς ἐκ θαλάσσης διαγωνιεῖσθαι. οὕτω γὰρ ἔφασκον ἀλλήλοις ἀμύνειν ἱκανοὶ ἔσεσθαι. ἕωθεν οὖν ὁ μὲν Δούκας σὺν τοῖς καταφράκτοις τῶν περὶ αὐτὸν ἱππέων βάδην ἐπὶ τῆς ἀκτῆς ἐπορεύετο, ἐπὶ θάτερα παραπλεούσας τὰς ναῦς ἔχων, οἱ δ' ἄλλοι πρὸς τὴν ἐκ τῆς ἠπείρου ἑτοιμασάμενοι μάχην κατὰ τάξεις ἐχώρουν. αἱ δὲ τῶν Σικελικῶν νῆες, ἐπειδήπερ ἀγχοῦ τῆς πόλεως ἤδη ἐγένοντο, οὐκ ἔχουσαι ἀθρόαι τῷ λιμένι εἰσπεσεῖν (ἱκανῶς γὰρ ἔνδοθι εὐρυνόμενος εἶτα εἰς στενὸν ἠρέμα τελευτᾷ) κατὰ δεκάδας διαιρεθεῖσαι εἰσῄεσαν ἐκ διαδοχῆς. ὅτε δὴ λέγεται ὡς ὁ Δούκας πρὸς τὸ πλῆθος ἀποδειλιᾶσαν τὸ Ῥωμαίων ὁρῶν ναυτικὸν ἅτε κομιδῇ ὀλίγον ὂν (τέσσαρες γὰρ πρὸς ταῖς

12. ἀναδέξασθαι] Malim ἀναδέξεσθαι.

cherem. sed is priusquam quis esset agnosceretur, numerata illi a quo captus fuerat pecunia sese redemit.

11. Non multo interiecto tempore ad Romanos fama pertulit Gulielmum cum ingentibus terra marique copiis adventare. quamobrem cunctis ad bellum paratis quieti stetere. vix quintus inde effluxerat dies, cum ab hostili exercitu adveniens transfuga prope esse Gulielmum nuntiavit, Romanos omnes veluti inter retia conclusurum. his auditis Romanorum duces ita ordinavere aciem, ut Bassavilla et Ioannes Angelus cum stipendiariis copiis, atque iis, quae ex Italia sese adiunxerant imperatori, terra belli molem sustinerent: Ducas vero maritimis hostium copiis sese opponeret. sic enim aiebant fore ut sibi vicissim auxiliarentur. itaque prima luce Ducas cum cataphractis equitibus lento ad littus gradu proficiscitur, ab altera parte adnavigante classe: ceteri vero ad terrestre praelium parati, ordinata acie procedebant. at Siculae naves, postquam urbi appropinquarunt, cum portum subire confertim non possent (nam in medio amplus satis sensim in exitum angustiorem desinit) decem simul per vices divisis ordinibus ingrediuntur. tum vero Ducam aiunt, cum navium hostilium multitudine exterritam classem Romanam videret, utpote exiguam admodum (vix enim quatuor illi supra

δέκα αἱ πᾶσαι νῆες ἦσαν αὐτῷ) τοιάδε τινὰ ἐνενόει. γράμμα ὡς C ἐκ βασιλέως δῆθεν ἄρτι πεμφθὲν ἐχείριζε τούτοις ἐξενεγκών. ἐδήλου δὲ τὸ γράμμα δυνάμεις ἐκ γῆς καὶ θαλάττης ἀμφὶ μέσην ἡμέραν αὐτοῖς ἥξειν. τῶν δὲ ἐπαρθέντων ἤδη πρὸς τὴν ἐλπίδα “ἀλλ' ηὐχόμην” ἔφη “ὦ συστρατιῶται, φθάσαντας ἁρπάσαι τὴν νίκην ἡμᾶς, ὡς μὴ αὐτοὶ τῶν εἰς δεῦρο καμάτων τὸ βάρος βαστάσαντες εἶτα τῶν ἐκ τῆς νίκης ἀγαθῶν καὶ τοῖς ὀψὲ πρὸς τὸν ἀγῶνα διαπαντῶσιν ἐπικοινωνεῖν ἕξομεν.” ταῦτ' εἰπὼν ὁ στρατηγὸς ἐπειδὴ τὰς τῶν πολεμίων ναῦς ἔνδον ἤδη τοῦ λιμένος γεγενημένας εἶδεν, ἔργου λοιπὸν ἐκέλευεν ἅπτεσθαι. καὶ δὴ ναυμαχίας γενομένης Σικελοὶ πρὸς τὰς ἀπὸ γῆς καὶ θαλάσσης V 74 τῶν Ῥωμαίων οὐκ ἐνεγκόντες βολάς, ἀμφοτέρωθεν ἐπιτοξαζομένων D αὐτῶν, πρύμναν ἐκρούσαντο. Ῥωμαῖοι δὲ ὀπίσω διώξαντες πολλοὺς αὐτῶν ἔκτειναν, τέτταρας δὲ καὶ αὐτάνδρους εἷλον τῇ χέρσῳ ἐνσχεθείσας. ἔτυχον γὰρ προπετέστερον ἢ ἐχρῆν τῆς εἰρεσίας γενομένης ἐπὶ τῆς ἀκτῆς ἰζῆσαι, στρατῷ ἠπειρώτῃ θήραμα ἑτοιμότατον. ἐν τούτῳ τῷ πόνῳ πλέον ἢ δισχίλιοι τῶν πολεμίων ἔπεσον, Ῥωμαίων δὲ πολλοῖς μὲν καὶ ἄλλοις ἀριστεῦσαι ἐγένετο, μάλιστα δὲ πάντων ἀνὴρ ἐγένετο ἀγαθὸς τῶν τις σὺν τῷ Δούκᾳ ταττομένων ἐπίκλησιν Σκαραμαγκᾶς. τῶν γὰρ πολεμίων φεύγειν ἤδη ἐπιβαλλομένων, αὐτὸς ἐπελάσας τὸν ἵππον πρυμνόθεν ἐλάβετο μιᾶς θέλουσάν τε ἀπαίρειν ἐπεῖχε σὺν βίᾳ, P 95 ἔργον ἐκείνου Κυνεγείρου τὸ πολυλάλητον ὁ γεννάδας πληρῶν.

16. ἰζῆσαι] Fort. ἰζήσασαι. 23. Κυνεγείρου] Cod. Κυναιγείρου.

decem naves erant) talia excogitasse. literas velut ab imperatore missas militibus ostendit, quibus ille terra marique circa medium diem adfuturas copias nuntiabat. qua spe erectis iis “sed nos” inquit “potius, commilitones, victoriam nobis ipsis expetamus, ne cum totam laborum molem in praesentia sustinuerimus, qui serius ad praelium venient, victoriae gloriam fructumque nobiscum partiantur.” his dictis Ducas, ubi iam portum subiisse hostium classem vidit, suos occipere opus iubet. praelio itaque navali inito, Siculi cum terra marique missa ab utraque parte a Romanis tela ferre non possent, retro cessere. caeduntur interea a Romanis qui a tergo insistebant complures, captaeque quatuor cum viris ipsis naves, quae ad vadum offenderant. quippe acrius quam par erat remis impulsae littorique allisae facile in terrestris exercitus potestatem venerunt. eo in certamine duo hostium millia desiderata sunt: Romani vero non pauci praeclara edidere facinora. maxime tamen in iis emicuit unius ex Ducae acie virtus, cui nomen Scaramancas. fugere enim iam incipientibus hostibus, ipse adacto equo puppim altera prehendit manu et evadere volentem vi tenuit: vir generosus factum repetens illius Cynegiri multis scriptorum laudibus celebratum. sed illata a vectoribus

ἐπεὶ δὲ ἐγγὺς Τάραντος ἤδη ἐγένοντο, ἀνάλωτον εἶναι τὴν πό-
V 70 λιν κατανοήσαντες αὐτῆς μὲν ἀπῆραν, Μονοπόλει δὲ πελάσαι διανοηθέντες, ἐπειδὴ ἀπορεῖν αὐτοῖς συνέβαινε τειχομαχικῶν, γράμμασι τὸν ἐν Βάρει μετεπέμποντο στόλον, ἐφ᾽ ᾧ τοιούτων ἐκεῖθεν εὐπορήσειν ἥκειν ὅτι τάχιστα. ἐν δὲ τούτῳ τετύχηκε Ῥωμαίοις διὰ χώρας πορευομένοις εὐδαίμονος καὶ ἀφθόνοις περιβριθούσης ἀγαθοῖς μυρίων ὅσων πεπλῆσθαι καλῶν. λέγεται γὰρ
D δέκα μὲν τηνικάδε βοῦς ἀγελαίας χρυσοῦ τὸν στρατιώτην ἀποδόσθαι στατῆρος, πρόβατα δὲ τριάκοντα καὶ ἑκατόν. ὅτε δὴ καὶ Ῥωμαίων τινὰς εἱρκταῖς ἐκ πολλοῦ προστετηκότας εὑρόντες τῶν κλοιῶν τοὺς ἀθλίους ἀνῆκαν.

9. Ἐπεὶ δὲ πεμπταῖοι εἰς Μονόπολιν ἀφίκοντο, ἐπεξῄει μὲν αὐτοῖς οὐδὲ εἷς (ἔφθη γὰρ ἡ φήμη προκαταπλήξασα τούτους ἔνδον ἐλάσαι τειχῶν), ὑπὲρ δὲ τῶν πύργων πάνοπλοι ἑστήκεσαν, εἴ τις ἐπιβολὴ τῷ περιβόλῳ ἐπέλθοι ἀμυνούμενοι. τότε μὲν οὖν αὐτοῦ που ἐν ἐπικαίρῳ τῆς πόλεως οὐ πολλῷ ἄποθεν τὸν χάρακα πηξάμενοι ἔμενον. ἐπεὶ δὲ καὶ ὃν ἐκ Βαρέως μετεπέμψαντο
P 90 ἤδη στόλον, Μονοπόλει προσχὼν τὰ ἐς πολιορκίαν αὐτάρκη ἐκόμισε, τότε δὴ πανστρατὶ τῷ περιβόλῳ ἐπέθεντο. ἀλλὰ Μονοπολῖται ἅτε ἀφ᾽ ὑψηλοῦ ἐς τοὺς πολεμίους βάλλοντες ἀπεκρούοντό τε τοὺς προσιόντας Ῥωμαίων καί τινας ἔκτεινον. ἥ τε μάχη πρωῒ ἀρξαμένη ἐς νύκτα ἐτελεύτα. Ῥωμαῖοι μὲν οὖν, ἐπειδὴ συνεσκόταζεν ἤδη, ἐπὶ τὸ στρατόπεδον ἀνεχώρησαν. Μο-

15. ἐπιβολὴ] Ita Tollius. Cod. ἐπιβουλή.

pauci e Romanis insecuti prostravere. ut vero proxime ad Tarentum accesserunt, expugnari urbem haud posse rati, ab illa quidem digressi sunt: sed cum ad Monopolim copias admovere cogitarent, nullaeque sibi eo tum tempore adessent bellicae machinae, classem, quae Bari stabat, ut omnia ista celerrime adveheret per literas arcessiverunt. interim Romani, dum iter faciunt per regionem opulentam admodum et immensa bonorum copia affluentem, multipliciter ditantur. aiunt enim tum militem uno auri statere boves decem armentales vendidisse, alia autem pecora centum et triginta. multos ad haec Romanos diuturnis carceribus maceratos compedibus exuerunt.

9. Posteaquam quinto inde die ad Monopolim venerunt, nemo iis occurrit hostium. ipsa enim iam ante fama consternati intra moenia se continebant. in turribus autem armati constitere, ut si quis in vallum fieret impetus, contra ii obsisterent. Romani itaque positis idoneo loco haud procul inde castris, consedere. sed ubi, quam Bari acciverant, classis, quae ad oppugnationem necessaria erant advexit, cum omnibus copiis moenia adoriuntur. at Monopolitani emissis ex alto in hostes telis subeuntes repellunt Romanos, nonnullosque caedunt. incepto mane praelio in noctem usque protracto, Romani, cum iam advesperasceret, in castra revertuntur. Mo-

νοπολῖται δὲ φυλακὰς ἐπὶ τῶν πύργων εἶχον ἐκ περιτροπῆς καθιστάντες ἀεί, ὡς μὴ λάθοιεν κακουργήσαντές τι νύκτωρ ἐπὶ τὴν πόλιν Ῥωμαῖοι. πυρά τε ἑκατέρωθεν ἐκαίοντο πολλά, καὶ αὐλοὶ καὶ σύριγγες ἤχουν. ἄρτι δὲ τὸν ἑῷον ὁρίζοντα παραμείψας ἥλιος ἐς τὸ τῆς γῆς παρέκυπτε πρόσωπον, καὶ Ῥωμαῖοι μὲν τῶν χαρακωμάτων ἐξιόντες ἐπὶ τῶν ἔργων καὶ πάλιν ἐγίνοντο, B Μονοπολῖται δὲ δρόμῳ καὶ αὐτοὶ εἰς τὰς ἐπάλξεις ἐχώρουν καὶ πρὸς τοῖς ὅπλοις ἦσαν. καὶ ἀγὼν αὖθις ἡπλοῦτο ἐξαίσιος οἷος Ῥωμαίοις μὲν τὴν ἐς τὸ τεῖχος βιαζομένοις ἄνοδον, Μονοπολίταις δὲ προσιόντας ἀπωθεῖσθαι τοὺς πολεμίους. μέχρι μὲν οὖν τινος ἐπὶ τοιούτοις ἐπονοῦντο· τὸ δ' ἐντεῦθεν πῦρ ἔνθα τὰ σκάφη Μονοπολίταις ὑφώρμει τὸ Ῥωμαίων ἐμβαλὸν στράτευμα φλόγα μεγίστην ἀρθῆναι ἐποίησεν. ὅτε καὶ τῶν τις Ῥωμαίων στρατιωτῶν Ἱκανάτος ἐπίκλησιν λόγου καὶ ἀκοῆς εἴργαστο ἄξια. Μονόπολιν γὰρ διπλᾶ μὲν ζώννυσι τείχη, ἀλλὰ τὸ μὲν ἔνδον ἐπὶ πλεῖστόν τε ἐπαίρεται καὶ πολεμίου δορὸς λόγον οὐδένα τὸ παράπαν πεποίηται, τὸ δ' ἄλλο ἐς τριτημόριον μάλιστα τοῦ C προτέρου αἰρόμενον τὰς κρηπῖδας αὐτῷ περιθέει. ἐς τοῦτο δὴ τὸ περίτειχος δύο τινὲς Μονοπολιτῶν ἀναβάντες αὐτοί τε ἐς τοὺς πολεμίους ἔβαλλον καὶ τοὺς ἄλλους πρὸς τοῦτο παρώρμων. ὅπερ ἰδὼν ὁ Ἱκανάτος σὺν τῷ δόρατι ἐπελάσας θατέρου τῶν εἰρημένων κατευστοχεῖ. ὁ δὲ ὕπτιος παραυτὰ ἐξεκυλίσθη, βοή τε πρὸς τοῦ Ῥωμαίων ἤρθη στρατοῦ καὶ κρότος ἐξαίσιός τε καὶ

8. ἡπλοῦτο] Cod. ἡπλοῦτος. 10. ἀπωθεῖσθαι] Addendum videtur πειρωμένοις vel simile quid. 22. κατευστοχεῖ] Cod. καταστοχεῖ.

nopolitani vero in turribus custodias locant, easque per vices semper mutant, ne si quid Romani de nocte attentarent, eos lateret. utrimque praeterea accendebantur ignes, tibiaeque ac tubae perstrepebant. iamque exortam praetervectus auroram suum terris iubar sol inferebat, cum egressi e vallo Romani oppugnationem denuo aggrediuntur. Monopolitani contra cursu se in propugnacula proripientes, vicissim capessunt arma. rursum igitur ingens instauratur certamen, Romanis nimirum vi ascendere muros annitentibus, subeuntes vero repellentibus Monopolitanis. sic aliquamdiu in iis laboratum. exercitus deinde Romanus igni iniecto, ubi navigia subduxerant Monopolitani, ingentem flammam excitarunt: quo tum tempore Romanus quidam miles, Hicanatus nomine, rem dictu audituque dignam gessit. Monopolim quippe murus circumcingit duplex, sed interior altius eductus, hostilem nequaquam hastam veretur: alter autem tertia parte minor illius fundamenta circumambit. in hunc igitur exteriorem murum ascenderunt Monopolitani duo, qui telis inde hostes lacessebant, ceterosque ut idem agerent hortabantur. quod ubi conspicit Hicanatus, arrepta hasta eo perveniens, alterum ex iis ferit, prosternitque. mox ingens tollitur a Romano exercitu

*ἀκοῆς κρείσσων ἐγένετο. πρὸς ὃ καταπλαγέντες οἱ ἐπὶ τῶν πύρ-
γων νομίσαντές τε ἤδη τὴν πόλιν ἁλῶναι, τοὺς πύργους λιπόν-
τες ἀνὰ μέσην τὴν πόλιν ἐχώρουν. καὶ εἰ μὴ ταχὺ τὸ πρᾶγμα
αἰσθόμενοι ἐπὶ τῶν ἐπάλξεων αὖθις ἀνέβησαν, ἥλω ἂν αὐτίκα*
D *Ῥωμαίοις ἡ πόλις. ἐν τούτοις καὶ ἡ δευτέρα κατὰ Μονοπόλεως
ἔληξε προσβολή. Μονοπολῖται δὲ ὡς ἔγνωσαν ἐν στενῷ περιει-
λημμένοι, γράμματα ἐπὶ Φλαμίγγον πέμψαντες ἥκειν αὐτὸν τὴν
ταχίστην ἠξίουν· ὁ δὲ ἐπήγγελε μὲν παρέσεσθαι τούτοις μετὰ μι-
κρὸν στρατεύματι μεγάλῳ Ῥωμαίους ἐνθένδεν ἀπαναστήσων·
δέος δὲ αὐτὸν ἔνδον ἐπεῖχε, καὶ εἰς δειλίαν ὅρον οὐκ ἔχουσαν
ἔπιπτε λογιζόμενος τίσι μαχεῖται καὶ πρὸς τίνας αὐτῷ ὁ πόλεμος
ἔσται. ἐπεὶ δὲ ἑβδόμη ἐξ ἐκείνου παρῆλθεν ἡμέρα καὶ Φλαμίγ-*
V 71 *γος οὐδαμοῦ διεφαίνετο, τότε δὴ Μονοπολῖται την ὅθεν δήποτε*
P 91 *ἀπεγνωκότες ἐπικουρίαν πρέσβεις ἐς τὸ Ῥωμαίων ἔστειλαν στρά-
τευμα ἐφ' ᾧ τὴν πόλιν τε καὶ σφᾶς αὐτοὺς βασιλεῖ παραδοῦναι
μεγάλῳ. ὁ Δούκας δὲ ἀπεῖπεν αὐτοῖς μὴ ἂν ἄλλως ἐπὶ ταύτῃ
τῇ ὁμολογίᾳ τὸ πιστὸν αὐτῶν ἐσχηκέναι, εἰ μὴ καὶ φρουρὰν ἑαυ-
τοῖς ἐκ βασιλέως ἐπιστήσεσθαι καταδέξαιντο. τῶν δὲ καὶ πρὸς
τοῦτο ἐπινευσάντων, χρόνος ἐδίδοτο τῇ ὁμολογίᾳ τακτός. ἀλλά
τινες τοῦ Μονοπολιτῶν δήμου (ἦσαν γὰρ οὓς οὐκ ἤρεσκε τὰ με-
λετώμενα) λαθόντες τοὺς ἄλλους Φλαμίγγῳ δῆλα ταῦτα καθί-
στων. καὶ ὃς πρὸς τὴν ἀκοὴν ἐκταραχθεὶς καταφράκτους ἱπ-
πέας τῶν περὶ αὐτὸν ἀπολεξάμενος τῶν ἑκατὸν οὐκ ἀποδέοντας
αὐτοὺς μὲν ἐν τῷ παραυτίκα ἔστελλεν, ὃ δὲ κατόπιν ὀλίγῳ ὕστε-*

clamor, tantusque plausus, ut nihil quicquam exaudiri posset. unde conterriti qui in turribus stabant oppidani, captam iam urbem rati, relictis turribus ipsis in mediam urbem confugiunt: et ni continuo re cognita in propugnacula rursum sese recepissent, urbs a Romanis illico fuisset capta. sic tum altera in Monopolim desiit oppugnatio. oppidani vero ubi se angustiis undique premi vident, per literas Flamingum enixius rogant, ut quantocius cum auxilio accederet. ille brevi se adfuturum cum magno exercitu Romanosque inde depulsurum renuntiat. sed enim rursum invasit animum illius metus pavorque immensus, cum subiret cogitatio, quibuscum certaturus esset, ac contra quos sibi bellum foret. ubi vero septimus inde effluxit dies, et nusquam conspectus est Flamingus, desperato hactenus auxilio, in castra Romana misere legatos Monopolitani, ut et civitatem et se ipsos magno dederent imperatori. Ducas autem negavit aliter se fidem eorum deditioni habiturum, nisi praesidium imperatoris nomine sibi imponi sinerent. his ad ea annuentibus, pactioni faciendae dies est praefinitus. verum e popularibus Monopolitanis nonnulli, quibus quae agebantur haud placebant, insciis ceteris rem omnem Flamingo significant. quo ille nuntio consternatus, delectos e suis centum cataphractos equites continuo ad eos mittit, seque paulo

ρον ἥξειν ἔλεγε χεῖρα βαρεῖαν ἐπαγόμενος. τούτους δὴ τοὺς ἱππέας νύκτα τηρήσαντες οἷς τὸ ἔργον τοῦτο συνέκειτο, καθ' ἣν ὑετὸς οὐρανόθεν ἐπέκλυζεν ἄσχετος, διὰ πυλίδος τινὸς ἐπὶ τὴν B πόλιν εἰσεδέχοντο, καὶ τὸ ἐντεῦθεν εἰς ὅπλα χωρεῖν καὶ πάλιν ἐσκέπτοντο. ὅπερ ὡς εἰς γνῶσιν ἦλθε τῷ Δούκᾳ, ἐξαπάτην τινὰ πρὸς τῶν Μονοπολιτῶν τὴν πρεσβείαν γενέσθαι οἰηθεὶς αὐτίκα ἐξῆγε τοῦ χάρακος τὸν στρατόν. οἱ δὲ ὀλίγα αὐτοῖς ἀρκέσαι τοὺς ἑκατὸν λογισάμενοι ἱππέων, ἄλλως τε καὶ σὺν θυμῷ μᾶλλον ἢ πρώην μαχησομένου τοῦ Ῥωμαίων στρατοῦ, πέμψαντες ἐπὶ τὴν πόλιν αὖθις ἐκάλουν τὸν στρατηγὸν ἐφ' ἑτέρους τὴν αἰτίαν μεταφέροντες, οἳ κοινῆς ἄνευ γνώμης ἐτόλμησαν τὰ παρόντα. ὁ δὲ Δούκας τὰ μὲν πρῶτα ἀναινομένῳ ἐῴκει, θρύψει τε καὶ ὑπεροψίᾳ πολλῇ ἐχόμενος μάχῃ τὸ πρᾶγμα ἤδη κριθῆναι ἰσχυρίζετο. ἐγκειμένων δὲ ἔτι μᾶλλον εἰς τοῦτο τῶν πολιτῶν C καὶ ἐπιχωρεῖν αὐτοῖς τὴν ἁμαρτάδα ἱκετευόντων, ὀψὲ παρακληθεὶς ἐπὶ τὴν πόλιν εἰσῆγε τὸ στράτευμα. ἀλλ' ἄρτι τὴν πόλιν Ῥωμαῖοι ἔσχον, καὶ ὁ Φλαμίγγος ἀπὸ σταδίων εἴκοσιν ἠγγέλλετο παρών. τοῦτο γνοὺς ὁ Δούκας ἄνδρας ἱππέας τῶν σὺν αὐτῷ ἀριστίνδην ἀπολεξάμενος, αὐτοὺς μὲν τῷ Φλαμίγγῳ ὑπαντιάσοντας ἔστελλεν, ὁ δὲ τὰ κατὰ τὴν πόλιν διοικησόμενος αὐτοῦ ἔμεινεν. ἀλλ' ὁ Φλαμίγγος ἐπειδὴ πόρρωθεν τὰς βασιλέως ἀνέγνω σημαίας ἐπὶ τῶν πύργων ἤδη προφαινομένας, πρὸ τοῦ τοῖς Ῥωμαίων ἱππεῦσιν εἰς χεῖρας ἐλθεῖν ἔγγιστα ἤδη γεγονόσιν ὀπίσω ἐχώρει. ὅτε δὴ κατὰ νώτου Ῥωμαῖοι διώξαντες πολλοὺς αὐτῶν

17. Ῥωμαῖοι] Cod. Ῥωμαίων.

post secuturum et maiores copias adducturum pollicetur. igitur ii quibus ea incumbebat cura, noctem observantes, qua magna imbrium vis de caelo cadebat, equites illos per minorem portam in urbem admisere. quod ubi comperit Ducas, imposuisse sibi Monopolitanorum legatos ratus, confestim e vallo milites educit. sed cum haud sibi satis esse centum illos equites viderent oppidani, Romanis praesertim acriori quam ante animo decertaturis; missis rursum legatis, ducem in civitatem evocant, translata in alios culpa, qui citra commune consilium ea perpetrare ausi fuerant. id primum admittere renuit Ducas, et legatos utcumque aspernatus, rem armis dirimere velle se dixit. sed tandem acrius illis instantibus et ut hoc sibi delictum remitteretur obsecrantibus, tandem placatus exercitum in urbem introduxit. vix urbe potiti sunt Romani, cum viginti ab ea stadiis adesse Flamingum nuntiatur. id ubi accepit Ducas, delectos expertae generositatis equites, qui Flamingo occurrerent, emittit: dum ipse in urbe manet, ut res ibi componeret. at Flamingus ubi a longinquo imperatoria in turribus erecta conspexit signa, priusquam cum equitibus Romanis iam proximis manus consereret, retro cessit. Romani a tergo insequentes multos ex eis cecidere,

D ἔκτειναν, εἷλον δὲ καὶ ζωγρείας πανόπλους ἱππέας ἑκατὸν μάλιστα. Φλαμίγγον δὲ ἐγγὺς ἁλῶναι ἤδη γεγενημένον ἡ τοῦ ἵππου ταχύτης τοῦ κινδύνου διεσώσατο. ταῦτα κατωρθωκότες Ῥωμαῖοι ἐπὶ Μονόπολιν ἀνεχώρησαν.

10. Ὁ δὲ Δούκας ὁσημέραι τὴν τύχην Ῥωμαίοις προσμειδιῶσαν ὁρῶν οὐ πάνυ τι πιστεύειν εἶχεν αὐτῇ, τὴν ἀποστροφὴν ὡς εἰκὸς εὐλαβούμενος, μήποτε κατὰ τοὺς μοχθηροὺς (φασὶ) τῶν συνοδοιπόρων ἐκ μέσης λιποῦσα τούτους ἀναχάμψῃ τῆς ὁδοῦ. ὅθεν καὶ γράμμα χαράξας τῷ βασιλεῖ ἔπεμψεν. εἶχε δὲ ὧδε. P 92 “εἰ μὲν μηδεὶς ἔτι ἐπὶ τῆς Ἰταλίας πόλεμος ἡμῖν ἐλείπετο, κράτιστε βασιλεῦ, οὔτε στρατιᾶς ἄλλης ἐδέησεν ἂν οὔτε τῶν ἄλλων οὐδενός. πάντα γὰρ ἐς τήνδε τὴν ἡμέραν κατὰ νοῦν κεχωρηκέναι ἡμῖν ἴσθι, πόλεις τε σχεδὸν ἁπάσας, ὁπόσαι ἐν Ἰταλίᾳ τυγχάνουσιν οὖσαι καὶ κόλπῳ τῷ Ἰονίῳ, παραστησαμένοις ἤδη καὶ πρός γε πολέμους κεκρατηκόσι μεγάλους βασιλείας τε τῆς σῆς καὶ τοῦ Ῥωμαίων ἐπαξίως γένους. ἐπεὶ δὲ ἀγὼν ἡμῖν ὁ μείζων ἐπίπροσθεν ἔτι κεῖται (Γιλίελμος γὰρ ὁ Σικελίαν λῃστεύων, ἀσχάλλων ὡς εἰκὸς ἐπὶ τῇ τῶν οἰκείων ἀπωλείᾳ, δυνάμεις ἁπαν- V 72 ταχόθεν ἀγείρει καὶ στόλον νεῶν ὡς πλείστων ἐπὶ θάλασσαν ἤδη κατεσπακὼς ἔχει, ὡς ἐκ γῆς ἡμῖν καὶ θαλάσσης ἐπιτίθοιτο κατὰ B νοῦν ποιούμενος), οὐ χρὴ περὶ ἐλάσσονος ταύτην ἡμᾶς ποιεῖσθαι τὴν τοῦ νησιώτου παρασκευὴν οὐδὲ παρέργως πόλεμον τόνδε διαφέρειν, μήποτε κλέος ἡμῖν τὸ παρὸν ἐς ὄνειδος μᾶλλον ἀποκριθήσεσθαι γένοιτο. τὸ γὰρ σὺν μικροῖς τὰ μεγάλα μετιέναι κα-

18. ἀσχάλλων] Ita Tollius. Cod. ἀσχάλων.

et centum cataphractos equites vivos cepere. Flamingum vero, qui et ipse fere captus est, equi pernicitas periculo exemit. his prospere gestis rebus, Romani Monopolim redeunt.

10. Ducas autem etsi quotidie arridere sibi adverteret fortunam, nequaquam tamen totum se illi committendum censuit, instabilitatem illius non sine causa veritus, ne quemadmodum improbi et infidi comites solent, ipsos in media via relictos desereret. mittit itaque literas ad imperatorem, quarum hoc fuit argumentum. “si nullum aliud in Italia nobis superesset bellum, maxime imperator, neque exercitu alio neque ceterarum subsidio rerum opus foret. omnia enim in hunc usque diem ex voto nobis successisse scias, urbes ferme omnes, quotquot sunt in Italia et ad sinum usque Ionium, in ditionem nos accepisse, magnaque bella ad maiestatis tuae Romanorumque gloriam nos confecisse. sed cum longe gravius nobis immineat certamen (Gulielmus quippe Siciliae praedo ob suorum iacturam haud dubie indignatus, contractis undique copiis classeque valida in mare immissa, et mari et terra nos aggredi meditatur), non contemnendus est nobis iste insulani apparatus, neque bellum hoc segnius gerendum, ne partą a nobis in praesens gloria vertatur in ignominiam. ut enim ille qui cum parvis viribus res magnas

κατορθούμενον μὲν πλείω τοῦ σὺν μεγίστοις χαρίζεται δόξαν, ἁμαρτανόμενον δὲ πολλαπλάσιον ἐπάγεται τὸ αἶσχος, ἅτε πρὸς τῇ ἥττῃ καὶ ἀμαθίαν στρατηγικῶν ἐπιτρῖβον τοῖς πταίσασιν, ὡς γε πολλάκις ἡμᾶς κράτος ἐδίδαξε τὸ σόν. ὡς τοίνυν μηδέποτε μηδὲν ἐκ τούτων ἡμῖν ἀπαντήσῃ, δεῖ δὴ πλείονος ἡμῖν ἐνταῦθα ναυτικοῦ τε καὶ ἠπειρώτου στρατοῦ." τὰ μὲν δὴ γράμματα ἐν τούτοις ἦσαν· ὁ δὲ ἐπειδὴ τὰ ἐν Μονοπόλει καλῶς ἤδη εἶχεν αὐτῷ, παντὶ τῷ στρατῷ ἐκεῖθεν ἀπήλαυνεν, Ὀστούνιόν τε πόλιν ὀχυρωτάτην ἐν ταῖς μάλιστα ὁμολογίᾳ παραστησάμενος ἐπὶ Βρεν- C τέσιον ἠπείγετο πόλιν ἑτέραν, ἣ δὴ Τεμέση τὸ παλαιὸν ὠνομάζετο· ἀλλὰ πολὺς μετ' ἐκεῖνα ἀναστρεψαμένοις ἐπιγενόμενος αἰὼν ἐνεόχμωσε τὰ πλεῖστα τῶν ὀνομάτων, ἐφ' ἕτερα ἢ παντάπασιν ἀνόμοια ἢ ὀλίγῳ διαφέροντα μεταθείς. ταύτην ἐπειδὴ Ῥωμαῖοι κατέλαβον, ἡσυχῇ ἔμενον (πάσχα γὰρ τῇ ἑξῆς Χριστιανοῖς ἦν)· ὅπερ οἱ τῆς πόλεως δειλίαν εἶναι νομίσαντες πολλάκις ἐπεξιόντες ἄχρι καὶ αὐτῶν χαρακωμάτων ἐγίνοντο, ἕως Ῥωμαῖοι οὗτοι ἐθελούσιοι τούτοις ἐπιπηδήσαντες, ἐπειδήπερ ἀπεώσαντο, ἐπὶ τὸ στρατόπεδον ἀνεχώρησαν. οἱ μὲν οὖν ἄλλοι Ῥωμαίων ἐπὶ τοῖς προτέροις καὶ πάλιν ἦσαν σέβας τῷ καιρῷ παρεχόμενοι· Θωμᾶς D δέ τις, γένος μὲν Ἀντιοχεὺς βασιλεῖ δὲ αὐτόμολος ἐκ μακροῦ γεγενημένος, ὅπλα ὑπερθέμενος ἐξῄει τοῦ χάρακος ἱππευόμενος ἐν τῷ πεδίῳ. ἐπεὶ δὲ ἤδη ἀγχοῦ τῆς πόλεως ἐγένετο, προὐκα-

11. ἀναστρεψαμένοις] Cod. ἀναστρεψαμένους. Tollius coni. ἀναστρεψάμενος ἐπιγενομένοις. 12. ἐνεόχμωσε] Cod. ἐνεώχμωσε. 21. ὑπερθέμενος] Fort. περιθέμενος.

aggreditur, si rem prospere confecerit, maiorem, quam si cum maximis, gloriam comparat: ita contra, si perperam res cesserit, multiplex inde contrahit dedecus, cum praeter ipsam cladem rei militaris inscitia victos affictare soleat, uti saepenumero tua nos docuit maiestas. horum igitur ne quid unquam nobis usu veniat, maioribus nobis et maritimis et terrestribus copiis opus est." haec ille. rebus Monopoli ordinatis, cum omnibus inde copiis excessit; et Ostunio, valido inprimis oppido, per conditiones potitus, versus Brundusium iter intendit. Temessam civitatem illam vocarunt veteres. longum quippe succedens aevum pleraque apud posteros novat nomina, atque in alia, aut dissimilia omnino, aut parum discrepantia immutat. ut ad hanc urbem pervenere Romani, otiosi permansere: pascha enim Christianorum postridie futurum erat. eiusmodi otium ignaviae et timiditati adscribentes oppidani, plurima facta eruptione ad ipsum usque vallum excurrunt, donec Romani aliquot inviti paene erumpunt, qui iis tandem propulsatis in castra revertuntur. ceteri quidem Romani, ut antea, diebus festis debitum impendebant cultum. Thomas autem gente Antiochenus, qui iam dudum ad imperatorem transfugerat, sumptis armis, vallo excedit, campumque perequitat. ubi accessit ad urbem, fortissimum quemque ad singu-

λεῖτο τὸν ἄριστον ἐς μονομαχίαν αὐτῷ καταβῆναι. ἦν δέ τις ἐνταῦθα ἀνδρείᾳ ἐπὶ πλεῖστον ἥκων ὄνομα Ἐγχέλυς. οὗτος ἐπειδὴ Θωμᾶν μονομαχεῖν ἀξιοῦντα ἔγνω, θωρακισάμενος καὶ αὐτὸς ἐξῆλθε παρὰ τὸ πεδίον βάδην ἀντιμέτωπος τῷ Θωμᾷ πορευόμενος. ὅτε δὴ θάμβος εἶχεν ἀμφοτέρωθεν ὁρῶντας ἄνδρας οὕτω μὲν πανόπλους οὕτω δὲ γενναίους ὥστ' ἐπὶ στάδιον τὸν χῶρον ἐκεῖνον ἀποδυομένους. ἐπειδὴ τοίνυν ἀγχοῦ ἤδη ἐγένοντο,
P 93 τοὺς ἵππους ἐπελάσαντες συνέπεσον ταῖς αἰχμαῖς. Θωμᾶ μὲν οὖν ἡ αἰχμὴ δι' ἀσπίδος ἐλθοῦσα καὶ θώρακος αὐτοῦ ἄχρι καὶ ἐπὶ τὸ δέρμα διεξέπεσεν, ὁ δ' Ἐγχέλυς δι' ἀσπίδος καὶ αὐτὸς τὸ δόρυ ἐλάσας, ἔνθα τῆς κεφαλῆς ὑπερανίστασθαι ταύτην συνέβαινεν, ὑπανασχόντος ἤδη τοῦ στρατιώτου ὡς τὰ περὶ αὐτὴν φράξαιτο, κράνος τε αὐτὸ διετόρησε καὶ σαρκὸς ἔψαυσεν. οὕτω τε ἀλλήλων ἀπαλλαγέντες ὁ μὲν ἐπὶ τὸ Ῥωμαίων ἐχώρησε στρατόπεδον, ἅτερος δ' ἐπὶ τὴν πόλιν ἦλθε. Ῥωμαῖοι δὲ ἐπειδὴ τέλος ἤδη τὰ τῶν ἐν σφίσιν ἔσχεν ἑορτῆς, ταξάμενοι ἐπὶ τὴν πόλιν ἐχώρουν. ὡς δὲ πολλὰ τοῖς πετροβόλοις τὰ τείχη μαστίξαντες ἀνηνύτοις ἐπιχειρεῖν ἔγνωσαν (οἱ γὰρ πάλαι ἄνθρωποι
B πολλὴν ἐπὶ τῶν ἔργων ποιούμενοι τὴν ἐπιμέλειαν πολὺ μᾶλλον ἐς τὰς τῶν πόλεων, ὡς τὸ εἰκός, πεφιλοτίμηνται οἰκοδομάς), τούτου μὲν ἀπέσχοντο, προσωτέρω δὲ καὶ ὅσῳ τειχέων ὑπερίπτασθαι τοὺς λίθους ἀποδισκεύοντες τῆς πόλεως ἐντὸς πίπτειν ἐποίουν. ἀλλ' ἅμα τε πρώτην ἀφῆκαν, καὶ γύναιόν τι ἀνὰ τὴν πόλιν σοβοῦν κατὰ κορυφὴν δεξάμενον τὴν βολὴν τήν τε κεφαλὴν διε-

2. ἀνδρείᾳ] Malim ἀνδρείας.

lare provocat certamen. erat autem ibi praecellentis fortitudinis quidam, nomine Enchelys. is ut Thomam ciere pugnam audivit, sumpto thorace descendit in campum, lentoque obviam gradu Thomae procedit. pavor inde defixit utrimque spectatores, dum cataphractos generosos istos eo se in loco tanquam in stadio ad certamen accingere conspiciunt. simul igitur ac proximi fuere, admissis equis, hastis concurrunt. et hastam quidem Thomas per hostis clipeum et thoracem ad cutem usque adigit. Enchelys vero impulsa in clipeum hasta, qua parte capiti elatus ab adversario, ut quae circum erant tegeret, praetendebatur, ipsius galeam perforavit carnemque attigit. ita digressi, alter in castra Romana, alter in urbem concessere. Romani exacta iam festivitate ordinata acie in urbem contendunt. sed cum crebris machinarum bellicarum ictibus murum tentassent, nequicquam se laborare advertentes (quippe veteres ut in ceteris quidem operibus multam impendere curam, maiorem tamen in exstruendis urbibus, nec iniuria, diligentiam adhibuere) ab incepto desistunt. longius vero, et ita ut ultra muros evolarent lapides, qui intra urbem reciderent, dirigebant. vixque primus emissus est lapis, cum in urbe iter faciens muliercula eo sic percutitur in vertice, ut diffinde-

σπαράχθη καὶ πᾶσαν μελῶν παρελύθη τὴν ὄστωσιν. ὀλοφυρμὸς
οὖν ἐγένετο, καὶ σχῆμα πόλεως ἁλούσης ἐπεῖχε τότε τοὺς ἔνδον
οὐδὲ ὅσον ἐπὶ θέαν τῆς δυστήνου ἐκείνης ἀνθρώπου ἐξιέναι θαρ-
σοῦντας. ὡς δὲ καὶ δευτέραν ἐπέρριψαν καὶ ἤδη συχνὰς ἐποι- V 73
οῦντο Ῥωμαῖοι τὰς βολάς, ἐκπλαγέντες ὁ δῆμος λίθον ὑπὲρ κε-
φαλῆς ἐφαντάζετο ἕκαστος, ἄλλον τρόπον καὶ οὐχ ὅνπερ οἱ μῦ- C
θοι περὶ Ταντάλου φασίν. ὅθεν καὶ τῶν πολιτῶν βουλευομένων
ἤδη Ῥωμαίοις εἰσόδου παραχωρεῖν αἰσθόμενον τὸ στρατιωτικὸν
καὶ ὅσον ἐπὶ τῶν πύργων φυλακὴν εἶχε, δρόμῳ πολλῷ ἐπὶ τὴν
ἀκρόπολιν ἀνεχώρουν. αἵ τε πύλαι πρὸς τοῦ δήμου ἀνακλιθεῖ-
σαι τὸν Ῥωμαίων εἰσωδίαζον στρατόν. ἐπειδὴ γοῦν καὶ ταύτην
ὁ Δούκας ἔσχε, διχῇ τὸ στράτευμα διελών, ὃ μὲν αὐτοῦ που
παρὰ τὴν πόλιν κατεῖχε τοῖς ἐπ' ἀκροπόλεως μαχούμενον, τὸ δ'
ἄλλο ἐς προνομὰς ἔπεμψε. ταῦτα μὲν οὖν τῇδε ἐπράσσετο·
χώρα δέ τις πολυανθρωποτάτη καὶ εὔγεως, ἣν καλοῦσιν Ἀλίτ-
ζιον, τὰ ἐπὶ Βρεντεσίῳ συμπεπτωκότα λογισαμένη τῷ βασιλεῖ
προσεχώρησε. πολεμίων δὲ ὀλίγος στρατὸς ἐπὶ λόχμης τινὸς D
τοῖς τὴν Ῥωμαίων νέμουσιν ἐλλοχήσαντες ἵππον (Κελτοὶ δὲ ἦσαν),
ἐπειδήπερ εἰς ὕπνον αὐτοὺς ἐνεχθέντας εἶδον, τὴν ἵππον ἐκεῖθεν
ἤλασαν· ὅπερ ἀκούσαντες Ῥωμαῖοι πρὸς τῶν ἐκ τῆς χορταγωγίας
ἐπανιόντων αὐτοῖς ἀγγελθέν, ταχὺ διώξαντες τήν τε ἵππον
ἀνείλοντο πᾶσαν καὶ τῶν πολεμίων τοὺς πλείστους ζωγρήσαν-
τες εἷλον. ὅτε δὴ καὶ ἄνδρα τῶν μάλιστα ἐν Ἰταλιώταις δοκί-
μων Συχίρην ὄνομα ἁλῶναι τετύχηκεν. ἀλλ' οὔπω καταφα-

retur caput, omniumque ossa membrorum dissolverentur. inde orta eiulatio, et veluti urbs esset capta, consternati oppidani, ne ad conspectum quidem infelicis istius mulieris in publicum egredi audebant. ut autem iactus alter, moxque crebri alii a Romanis iterantur, confestim turbatur plebs, ac supra caput imminere lapidem sibi quisque credit, aliter plane ac de Tantalo loquuntur fabulae. inde cum de recipiendis in urbem Romanis deliberarent oppidani, ut rem advertere praesidiarii milites et quotquot tuebantur turres, celeriter in acropolim confugere, moxque plebs apertis portis Romanas copias introduxit. hac itaque potitus etiam urbe Ducas, exercitu bifariam diviso, partem aliam quae arcem oppugnaret in urbe continuit, aliam emisit ad depopulandos agros. dum haec ibi geruntur, regio quaedam fertilis incolisque copiosa, quam Halitziun vocant, cum ea quae Brundusio evenerant revolveret, ad imperatorem defecit. hostium ibi exiguae copiae (Celtae autem erant) saltibus abditae, et iis qui Romanorum equos pascebant insidiantes, somno sopitis illis, equitatum omnem inde abduxere. illud simul atque perceperunt Romani, ex iis qui a pabulatione revertebantur, hostes quam citissime insecuti, et equos recipiunt, et hostium plerosque vivos capiunt, atque in his illustrem maxime inter Italos virum, nomine Sy-

νῆς ὅστις εἴη γεγονὼς χρυσίου δόσει τὸν κατασχόντα ὑπελθὼν ἑαυτὸν ἔλυσε.

P 94 11. Ῥωμαίους δὲ φήμη τις περιέπτη ὡς Γιλίελμος ἔπεισιν ὀλίγῳ ὕστερον δυνάμεις ἐπαγόμενος βαρείας ἠπειρώτιδάς τε καὶ ναυτικάς. ὅθεν καὶ ἐκ τῶν ἐνόντων συσκευασάμενοι ἡσυχῇ ἔμενον. οὔπω δὲ πέμπτη μετ' ἐκείνην ἡμέρα ἐφειστήκει, καί τις ἐκ τοῦ τῶν πολεμίων αὐτομολήσας στρατοῦ Γιλίελμον ἐγγὺς παρεῖναι ἐμήνυε Ῥωμαίους ὡς ἐν ἄρκυσι συλληψόμενον. ταῦτα οἱ Ῥωμαίων ἀκούσαντες στρατηγοὶ τὸν πόλεμον ἤδη διέγραφον. ἐδόκει τοίνυν Βασαβίλαν μὲν καὶ Ἰωάννην τὸν Ἄγγελον τὸ μισθοφορικὸν ἅπαν ἔχοντας καὶ τοὺς ὅσοι ἐξ Ἰταλίας τῷ βασιλεῖ προσεχώρησαν, τὸν ἐκ τῆς ἠπείρου ἀναδέξασθαι πόνον, τόν γε
B μὴν Δούκαν τοῖς ἐκ θαλάσσης διαγωνιεῖσθαι. οὕτω γὰρ ἔφασκον ἀλλήλοις ἀμύνειν ἱκανοὶ ἔσεσθαι. ἕωθεν οὖν ὁ μὲν Δούκας σὺν τοῖς καταφράκτοις τῶν περὶ αὐτὸν ἱππέων βάδην ἐπὶ τῆς ἀκτῆς ἐπορεύετο, ἐπὶ θάτερα παραπλεύσας τὰς ναῦς ἔχων, οἱ δ' ἄλλοι πρὸς τὴν ἐκ τῆς ἠπείρου ἑτοιμασάμενοι μάχην κατὰ τάξεις ἐχώρουν. αἱ δὲ τῶν Σικελικῶν νῆες, ἐπειδήπερ ἀγχοῦ τῆς πόλεως ἤδη ἐγένοντο, οὐκ ἔχουσαι ἀθρόαι τῷ λιμένι εἰσπεσεῖν (ἱκανῶς γὰρ ἔνδοθι εὐρυνόμενος εἶτα εἰς στενὸν ἠρέμα τελευτᾷ) κατὰ δεκάδας διαιρεθεῖσαι εἰσῄεσαν ἐκ διαδοχῆς. ὅτε δὴ λέγεται ὡς ὁ Δούκας πρὸς τὸ πλῆθος ἀποδειλιᾶσαν τὸ Ῥωμαίων ὁρῶν ναυτικὸν ἅτε κομιδῇ ὀλίγον ὂν (τέσσαρες γὰρ πρὸς ταῖς

12. ἀναδέξασθαι] Malim ἀναδέξεσθαι.

cherem. sed is priusquam quis esset agnosceretur, numerata illi a quo captus fuerat pecunia sese redemit.

11. Non multo interiecto tempore ad Romanos fama pertulit Gulielmum cum ingentibus terra marique copiis adventare. quamobrem cunctis ad bellum paratis quieti stetere. vix quintus inde effluxerat dies, cum ab hostili exercitu adveniens transfuga prope esse Gulielmum nuntiavit, Romanos omnes veluti inter retia conclusurum. his auditis Romanorum duces ita ordinavere aciem, ut Bassavilla et Ioannes Angelus cum stipendiariis copiis, atque iis, quae ex Italia sese adiunxerant imperatori, terra belli molem sustinerent: Ducas vero maritimis hostium copiis sese opponeret. sic enim aiebant fore ut sibi vicissim auxiliarentur. itaque prima luce Ducas cum cataphractis equitibus lento ad littus gradu proficiscitur, ab altera parte adnavigante classe: ceteri vero ad terrestre praelium parati, ordinata acie procedebant. at Siculae naves, postquam urbi appropinquarunt, cum portum subire confertim non possent (nam in medio amplus satis sensim in exitum angustiorem desinit) decem simul per vices divisis ordinibus ingrediuntur. tum vero Ducam aiunt, cum navium hostilium multitudine exterritam classem Romanam videret, utpote exiguam admodum (vix enim quatuor illi supra

δέκα αἱ πᾶσαι νῆες ἦσαν αὐτῷ) τοιάδε τινὰ ἐνενόει· γράμμα ὡς C ἐκ βασιλέως δῆθεν ἄρτι πεμφθὲν ἐχείριζε τούτοις ἐξενεγκών. ἐδήλου δὲ τὸ γράμμα δυνάμεις ἐκ γῆς καὶ θαλάττης ἀμφὶ μέσην ἡμέραν αὐτοῖς ἥξειν. τῶν δὲ ἐπαρθέντων ἤδη πρὸς τὴν ἐλπίδα "ἀλλ᾽ ηὐχόμην" ἔφη "ὦ συστρατιῶται, φθάσαντας ἁρπάσαι τὴν νίκην ἡμᾶς, ὡς μὴ αὐτοὶ τῶν εἰς δεῦρο καμάτων τὸ βάρος βαστάσαντες εἶτα τῶν ἐκ τῆς νίκης ἀγαθῶν καὶ τοῖς ὀψὲ πρὸς τὸν ἀγῶνα διαπαντῶσιν ἐπικοινωνεῖν ἕξομεν." ταῦτ᾽ εἰπὼν ὁ στρατηγὸς ἐπειδὴ τὰς τῶν πολεμίων ναῦς ἔνδον ἤδη τοῦ λιμένος γεγενημένας εἶδεν, ἔργου λοιπὸν ἐκέλευεν ἅπτεσθαι. καὶ δὴ ναυμαχίας γενομένης Σικελοὶ πρὸς τὰς ἀπὸ γῆς καὶ θαλάσσης V 74 τῶν Ῥωμαίων οὐκ ἐνεγκόντες βολάς, ἀμφοτέρωθεν ἐπιτοξαζομέ- D νων αὐτῶν, πρύμναν ἐκρούσαντο. Ῥωμαῖοι δὲ ὀπίσω διώξαντες πολλοὺς αὐτῶν ἔκτειναν, τέτταρας δὲ καὶ αὐτάνδρους εἷλον τῇ χέρσῳ ἐνσχεθείσας. ἔτυχον γὰρ προπετέστερον ἢ ἐχρῆν τῆς εἰρεσίας γενομένης ἐπὶ τῆς ἀκτῆς ἵζησαι, στρατῷ ἠπειρώτῃ θήραμα ἑτοιμότατον. ἐν τούτῳ τῷ πόνῳ πλέον ἢ δισχίλιοι τῶν πολεμίων ἔπεσον, Ῥωμαίων δὲ πολλοῖς μὲν καὶ ἄλλοις ἀριστεῦσαι ἐγένετο, μάλιστα δὲ πάντων ἀνὴρ ἐγένετο ἀγαθὸς τῶν τις σὺν τῷ Δούκᾳ ταττομένων ἐπίκλησιν Σκαραμαγκᾶς. τῶν γὰρ πολεμίων φεύγειν ἤδη ἐπιβαλλομένων, αὐτὸς ἐπελάσας τὸν ἵππον πρυμνόθεν ἐλάβετο μιᾶς θέλουσάν τε ἀπαίρειν ἐπεῖχε σὺν βίᾳ, P 95 ἔργον ἐκείνου Κυνεγείρου τὸ πολυλάλητον ὁ γεννάδας πληρῶν.

16. ἵζησαι] Fort. ἱζήσασαι. 23. *Κυνεγείρου*] Cod. *Κυναιγείρου.*

decem naves erant) talia excogitasse. literas velut ab imperatore missas militibus ostendit, quibus ille terra marique circa medium diem adfuturas copias nuntiabat. qua spe erectis iis "sed nos" inquit "potius, commilitones, victoriam nobis ipsis expetamus, ne cum totam laborum molem in praesentia sustinuerimus, qui serius ad praelium venient, victoriae gloriam fructumque nobiscum partiantur." his dictis Ducas, ubi iam portum subiisse hostium classem vidit, suos occipere opus iubet. praelio itaque navali inito, Siculi cum terra marique missa ab utraque parte a Romanis tela ferre non possent, retro cessere. caeduntur interea a Romanis qui a tergo insistebant complures, captaeque quatuor cum viris ipsis naves, quae ad vadum offenderant. quippe acrius quam par erat remis impulsae littorique allisae facile in terrestris exercitus potestatem venerunt. eo in certamine duo hostium millia desiderata sunt: Romani vero non pauci praeclara edidere facinora. maxime tamen in iis emicuit unius ex Ducae acie virtus, cui nomen Scaramancas. fugere enim iam incipientibus hostibus, ipse adacto equo puppim altera prehendit manu et evadere volentem vi tenuit: vir generosus factum repetens illius Cynegiri multis scriptorum laudibus celebratum. sed illata a vectoribus

ἀλλὰ πληγῆς ἐγκοπείσης αὐτῷ πρὸς τῶν ἔνδον, ἀπέσχετο μὲν ὑπ' ἀνάγκης, τὸν δὲ τῆς φυγῆς ὅμως ὑποτεμόμενος χρόνον πρὸς τῶν ἄλλων Ῥωμαίων ἐπιδραμόντων ἤδη ἁλῶναι ταύτην ἐποίησε. ταῦτα κατωρθωκότες Ῥωμαῖοι ἐπὶ Βρεντέσιον ἀνεχώρησαν, μηχανήν τέ τινα τεκτηνάμενοι, ἣν χελώνην καλεῖν ἔθος ἐστί, τῇ ἀκροπόλει προσῆγον. τοῦτο οἱ ἐπὶ τῶν τειχέων θεώμενοι πλατὺ ἐγέλων, οἰόμενοι ὅτι δὴ σπαράξειν οὕτω τὴν τειχοδομίαν διανοοῦνται, πρᾶγμα κομιδῇ ἀδύνατον ὄν. οὕτω γὰρ μεμύκασι B πρὸς ἀλλήλους οἱ λίθοι, ὡς λίθον ἕνα τὸ ἅπαν ἐοικέναι τεῖχος. Ῥωμαῖοι δὲ ἐπειδὴ τοῖς τείχεσιν ἐπήλασαν τὸ μηχάνημα, νύκτωρ αὐτὸ ὑπερχόμενοι ὑπέσκαπτον τῶν κρηπιδωμάτων ἐγγὺς τόν τε χοῦν ἐκφοροῦντες ἐπὶ θάτερα ἐξῆγον, ἕως τοὺς ἐσχάτους παρελθόντες τῶν θεμελίων λίθους ἐπὶ τὸν ἔνερθεν κατηντήκασι χοῦν. τὸ δ' ἐντεῦθεν διελόντες αὐτὸν κενήν τινα χώραν ἐποίουν, ξυλώματά τε ὑποβαλόντες τινὰ τήν τε κοιλότητα ἐπλήρουν καὶ τὸ τῇδε τοῦ περιβόλου αἰωρεῖσθαι συμβαῖνον ὑπανεῖχον δι' αὐτῶν, ἕως τοὺς ἔνδον ἰσχυρογνωμονοῦντας ἔτι ὁρῶντες ὑπανῆκαν τῷ χώρῳ πῦρ. τὸ δὲ ταχὺ τὴν ὕλην διανεμησάμενον πρόρριζον εἰς τὴν γῆν τὸ τεῖχος κατέσπακε· συγκατήνεγκε δὲ καὶ τῶν ἐπὶ τῶν C ἐπάλξεων πολλούς. ἀλλ' οἱ βάρβαροι ἐπὶ τὸ ἐνδοτέρω ἀναχωρήσαντες τεῖχος οὐδὲν ἧττον ἀντείχοντο.

12. Ῥωμαῖοι μὲν οὖν ἐν τούτοις ἦσαν, ὁ δὲ βασιλεὺς στόλον νεῶν ἀγείρας ἅμα ἠπειρώτῃ στρατῷ εἰς τὴν Ἰταλίαν ἔπεμψεν,

7. σπαράξειν] Ita Tollius. Cod. παράξειν. 17. ὑπανῆκαν] Malim ὑπενῆκαν.

plaga, navem quidem necessitate compulsus dimisit, occasione tamen aufugiendi intercisa, ut ab accurrentibus aliis Romanis caperetur effecit. his prospere gestis Romani Brundusium redierunt. dein machinam, quam vulgo testudinem vocant, arci admovent. quod ubi viderunt qui in moenibus stabant, effusum in risum se dedere, quod murum hoc modo convelli posse Romani putarent, licet id nequaquam fieri posset. ita enim lapides invicem cohaerent, ut murus ipse totus unicus videatur lapis. ubi vero moenibus machinam admoverunt Romani, eam nocte subeuntes murum in ipsis fundamentis suffodiunt egestaque inde rudera in alteram transferunt partem, donec superatis ultimis fundamentorum lapidibus ad imam devenere humum, qua eruta locum quemdam confecere vacuum eumque suppositis lignis replevere, quibus ea quae hac parte eminebant moenia sustentarent. ad extremum ut obstinato adhuc animo perstare oppidanos vident, ignem loco iniiciunt, qui absumptis celeriter lignis, murum disiecit funditus, unaque ex iis complures qui in ipsis stabant propugnaculis praecipites dedit: ceteris interim qui in interiorem murum refugerant, nihilo minus obsistentibus.

12. Dum in eo essent statu res Romanorum, imperator comparatam classem terrestresque copias in Italiam misit: utrique exercitui praeposito

ὢν Ἀλέξιος ἀμφοτέρων ἦρχεν ὁ βασιλέως Ἀλεξίου θυγατριδοῦς, μέγας τῷ τηνικάδε δοὺξ χρηματίζων. ἐπέσταλτο δὲ αὐτῷ πρὸς τοῦ βασιλέως καὶ ἑτέραν ἀθροίσαντι δύναμιν οὕτω δὴ Ἰταλίᾳ προσεσχηκέναι· ἀλλ᾽ ἐκεῖνος οὐδὲν τούτων διαπεπραγμένος ἐπὶ Βρεντέσιον ἦλθε, τὸ μὲν πρὸς τὸν ἀπόπλουν οὕτω δεινὸν ὄντα πεφοβημένων τῶν πολλῶν, τὸ δὲ καὶ ὑποψίᾳ κινδύνων, οἳ πρὸς τῶν πολεμίων ἐπήρτηντο σφίσι. τὸ δ᾽ ἐντεῦθεν ἀριδηλότερον ἤδη βα- D σκαίνειν ἡ τύχη Ῥωμαίοις ἤρξατο. Ῥομπέρτος τε γάρ, ὃς αὐτοῖς ἄχρι καὶ τότε συνεμάχει, Γιλίελμον ἀκούσας δυνάμεσιν ἅμα βαρείαις ἥκειν, ὁρῶν δὲ καὶ Ῥωμαίους οὔπω ἔτι τὴν Βρεντεσίου παραστησαμένους ἀκρόπολιν, τοῦ συμμαχεῖν ἀπέσχετο, σκηψάμενος ὡς δυνάμεις ἀθροίσων ἄπεισι τοῦ ἐνταῦθα πόνου συλληψομένας αὐτῷ· καὶ οἱ ἐκ Μάρκας πόλεως ἱππεῖς διπλασίους κομίζεσθαι τοῦ λοιποῦ τὰς συντάξεις αἰτήσαντες, ἐπειδὴ μὴ ἐτύγχανον τοῦ σκοποῦ, ᾤχοντο ἀπιόντες. τοιαῦτα Γιλίελμος μαθὼν τὰς δυνάμεις ἀναλαβὼν εὐθὺ Ῥωμαίων ἐχώρει. τῶν δὲ βουλευομένων ὅπῃ τὸν πόλε- P 96 V 75 μον τόνδε διοικεῖσθαι χρεών, τοῖς μὲν ἐπὶ Βᾶριν ἰέναι ταφρείᾳ τε τὴν πόλιν ἀσφαλίζεσθαι ἐδόκει, τοὺς δὲ τοῦτο μὲν οὐκ ἤρεσκε δειλίαν εἶναι φάσκοντας ἀντικρύς, εἴ γε τῶν ἐν χερσὶ μεθέμενοι ὀπίσω χωρήσουσιν. ὡς οὖν οὕτω ταῦτ᾽ ἐδόκει, τὸν μεταξὺ χρόνον ἐπὶ κενῆς τρέχειν οὐκ ἀνεχόμενοι τῷ περιβόλῳ αὖθις προσέβαλον μέρος τε αὐτοῦ πολὺ καθῄρουν τοῖς πετροβόλοις. οὐ μὴν οὐδὲ ὣς τοὺς βαρβάρους ἀπώσασθαι εἶχον· ἀλλὰ τὸ μὲν πρῶτον θαρσήσαντες ἐπεξῄεσαν σφίσιν, ἔπειτα Ῥωμαίων ἐπιβρισάντων αὖθις ἐπὶ τὸ τεῖ-

Alexio, imperatoris Alexii ex filia nepote, qui tum magni ducis fungebatur dignitate: hoc ei dato in mandatis, ut alium praeterea contraheret exercitum sicque Italiam invaderet. sed nihil horum ille exsecutus Brundusium venit, tum quod plurimi ipsam tam gravem pertimescerent navigationem, tum quod alii pericula ab hoste imminentia vererentur. atque inde manifestius coepit fortuna deinceps Romanis invidere. Robertus enim, qui hactenus arma cum illis coniunxerat, ut Gulielmum cum validis copiis adventare percepit, viditque necdum Brundusii arce potitos Romanos, a commilitio recessit; eam obtendens causam, quasi excederet inde, ut copias quae in laboris partem venirent, contraheret. equites praeterea ex Marca civitate duplicari sibi stipendium postulantes, re non obtenta recessere. his compertis Gulielmus, assumpto exercitu, recta contra Romanos progreditur. illis vero deliberantibus quemadmodum bellum id ordinari oporteret, quidam Barim redeundum censuerunt, valloque urbem muniendam: aliis eiusmodi consilium non arrisit, metum fore manifestum dicentibus, si omissis iis quae in manibus erant retro cederent. itaque quibus ea placuit sententia, tempus interea nequicquam teri haud passi, iterum aggrediuntur moenia, magnamque partem machinis subruunt. neque tamen barbaros ex iis depellere potuere: contra audaciores illi effecti invadunt Romanos: sed mox rursum iis irruen-

χος ἔθεον, καὶ εἰ μὴ τύχη τις ἐπιγενομένη Ῥωμαίους διεκώλυσε,
B τάχα ἂν ἧλω κατὰ κράτος τότε Βρεντέσιον. ἀνέβησαν μὲν γὰρ ἤδη τὸν περίβολον καὶ ἀπὸ τῶν πύργων τοῖς ἔνδον ἐμάχοντο, ἀλλὰ πολύ τι μέρος αὐτῶν πεπονηκὸς ἤδη ταῖς συχναῖς προσβολαῖς εἰς γῆν ἠνέχθη πεσὸν συγκατέσπασέ τε πολλοὺς αὐτῶν, οὕτω τε ἄπρακτοι ἀνεχώρησαν. Σικελοὶ δέ, ἐπειδὴ μηδέπω Γιλίελμος παρῆν, βουλὴν ἐποιοῦντο ὅπως ὁμολογίᾳ Ῥωμαίοις τὸ φρούριον ἐνδώσουσιν· ἀλλ᾽ ἡ τύχη ὥσπερ τακτόν τινα Ῥωμαίοις ἕψεσθαι ἐπαγγειλαμένη χρόνον, εἶτα ἐκμετρηθέντος αἰσθομένη ἀπὸ μέσης αὐτοὺς τῆς πόλεως λιποῦσα ᾤχετο. ἐν ᾧ γὰρ ταῦτα Σικελοὶ διενοοῦντο,
C ἠγγέλη αὐτοῖς ἐγγὺς ἤδη Γιλίελμον στρατῷ μεγάλῳ ἐπιέναι. ὅπερ ἐκεῖνοι ἀκούσαντες ἀπέσχοντο μὲν τῶν βεβουλευμένων, ἐπὶ δὲ τὰ τείχη ἀναβάντες ἐκροτάλιζον θαμὰ καὶ ὥσπερ ἤδη Ῥωμαίους ἐξελάσαντες ἡμέραν ἦγον ἑόρτιον.

13. Ταῦτα μὲν δὴ τῇδε ἐπράσσετο· Γιλίελμος δὲ ἄρας ἐκ Μυζίας παντὶ τῷ στρατῷ ὡς ἐπὶ Βρεντέσιον ἐπορεύετο, ὅ τε στόλος αὐτῷ ἐπὶ τῆς ἀντιπόρθμου τῷ Βρεντεσίῳ νησίδος ὀλίγων ἀπὸ σταδίων ὁρμισάμενος ἵστατο. κατὰ ταὐτὸν γὰρ ἀμφοτέρωθεν Ῥωμαίοις τὴν προσβολὴν ποιεῖσθαι διενοεῖτο. ἀλλὰ Ῥωμαίους τὸ μὲν
D αὐτίκα διαναυμαχῆσαι πρὶν ἢ καὶ Γιλίελμον αὐτοῖς ἐπιστῆναι, δυσβουλία τις καὶ τὸ χρῆναι οἶμαι κακῶς αὐτοὺς πεπονθέναι παρείλετο· πρὸς δὲ ἀμφοτέρους τὴν μάχην διενεγκόντες τὰ βασιλέως

16. Μυζίας] Duc. Σικελίας.

tibus, intra moenia sese recipiunt: quo tum tempore, nisi Romanis nescio quae obstitisset fortuna, venisset haud dubie Brundusium in eorum potestatem, vique expugnatum fuisset; iam enim vallum superaverant, atque e turribus cum iis, qui intra urbem erant, dimicabant; sed maior earum pars, crebris oppugnationibus quassata, in terram decidit, et ex iis quam plurimos secum traxit, sicque re infecta rediere. Siculi autem, cum necdum adesset Gulielmus, iniere consilium arcis per conditiones Romanis dedendae. verum fortuna, certo quasi temporis quodam spatio se Romanos secuturam esset pacta, idque iam elapsum sensisset, illis in media civitate relictis, recessit. dum enim haec Siculi deliberant, nuntiatur oppidanis Gulielmum magno cum exercitu prope adesse. quibus auditis, consilium id intermisere et in muros progressi frequenti plausu quasi depulsis iam inde Romanis festum egerunt diem.

13. Haec tum ibi gerebantur. movens vero Myzia Gulielmus cum universo exercitu versus Brundusium contendit, dum classis Sicula ad parvulam insulam Brundusio paucis abhinc stadiis obversam appellit: ab utraque enim parte Romanos adoriri statuerat. sed illos, quominus extemplo navale committerent praelium priusquam a Gulielmo impeterentur, nescio quod pravum consilium, et quod iis fatale quoddam impendebat damnum, avertit. dum enim contra utrumque certamen ineunt, res imperatoris pessumdedere. no-

διέφθειρον πράγματα. στρατὸν γὰρ ἥκειν ἐκ Βυζαντίου καραδο-
κοῦντες ἤδη, ἐς τὴν ἐκείνου τάχα παρουσίαν τὴν προσβολὴν ἀπετί-
θεντο. ὡς δὲ ἤδη ἐγγὺς εἶναι ἠγγέλλετο Γιλίελμος, τότε δὴ τὴν
ἀμφοτέρων ἄκοντες ἀνεδέχοντο μάχην. ἄνδρε τοίνυν δύο δοκίμω
τὰ εἰς τὰς μάχας ἐπιλεξάμενοι, Ἰωαννάκιόν τέ τινα Κριτόπλην καὶ
Παιράμην Πέρσην γένος, ἅμα Ἴβηρσι καὶ Μασαγέταις ἐφ' ᾧ
ἀκροβολίσεσθαι ἔπεμψαν· οἳ καὶ ἐπειδὴ τάχιστα τοῖς πολεμίοις P 97
συνέμιξαν πρὸ πέντε που καὶ τεσσαράκοντα σταδίων τὸν χάρακα
πηξαμένοις, ἐν τῇ ἐγγύθεν ἀποπορείᾳ κατὰ νώτου αὐτοῖς ἐπιθέ-
μενοι πολλούς τε τῶν ἐπὶ τῆς οὐραγίας ἔκτειναν καὶ ἵππους τῶν
σκευοφόρων συχνοὺς ἤλασαν, σημεῖόν τε σφᾶς ἀφελόμενοι ἐπὶ
Βρεντέσιον ἦλθον. ἀλλὰ Σικελοὶ τούτου μὲν ἧττον ἐφρόντισαν
(ἅτε γὰρ ἐν πλήθει μεγάλῳ αἴσθησις οὐδεμία τούτοις ἐγένετο),
ὀλίγῳ δὲ Ῥωμαίων ἀπεστρατοπεδευμένοι, ὅσῳ ἀμφοτέροις τοὺς
χορταγωγοὺς ἐπιμίγνυσθαι, τὸν πόλεμον διέγραφον. ἤδη δὲ καὶ
τὸ ναυτικὸν ὀλίγον λοιπὸν τοῦ λιμένος ἀποσαλεῦον ἵστατο τούτοις.
καὶ Σικελοὶ μὲν ἐν τούτοις ἦσαν· Ῥωμαῖοι δὲ καὶ πρότερον μὲν B
πολλῷ τῷ διαλλάσσοντι τοῦ τῶν πολεμίων ἠλαττονοῦντο στρατοῦ,
τότε δὲ ἔτι μᾶλλον ὑπέρρει τὰ τῆς δυνάμεως αὐτοῖς. ἄλλοι τε γὰρ V 76
ὡς πλεῖστοι συμμάχων ἀπετάξαντο τούτοις, καὶ δὴ καὶ μοῖρά τις
Κελτῶν οὐκ ἀγεννὴς μισθοῦ Ῥωμαίοις δουλεύουσα Γιλιέλμῳ λα-
θραιότατα προσεχώρησε. ταῦτα ὁ Γιλίελμος ὁρῶν δεῖν ἔγνω τὴν
τοῦ καιροῦ προαρπάζειν ὀξύτητα, μή ποτε τοῦ χρόνου διαγενομέ-

8. πρὸ] Fort. ἀπό. 9. ἀποπορείᾳ] Cod. ἀποπορίᾳ. 23. διαγενομένου] Cod. διαγινομένου.

vum quippe Byzantio exercitum expectantes quousque adesset ille (quod brevi futurum arbitrabantur), hostes aggredi distulerunt. ubi vero Gulielmum prope adesse affertur, tum vero etiam inviti utrumque ineunt praelium. duos itaque spectatae in bello virtutis delectos viros, Ioannicium quemdam Critoplem et Paeramem natione Persam, cum Iberis et Massagetis ad velitandum cum hostibus praemittunt. ubi se iis statim immiscuere, utpote ad quintum et quadragesimum stadium castra habentibus; fugientes, quorum brevis ad suos erat reditus, a tergo invadunt, multos de extrema caedunt acie, plurimosque sarcinarios capiunt equos, tandemque erepto ad haec militari signo Brundusium revertuntur. verum a Siculis ea clades in levi habita, cum in tanta multitudine vix perciperetur. simul atque vero iam proxime Romanos castra ii admovere, ita ut partis utriusque pabulatores miscerentur, ordinaverunt acies: iam nec procul a portu aberat illorum classis. talis erat rerum apud Siculos status. tum vero maxime a Romanis, qui iam antea militum numero longe inferiores hostili erant exercitu, defluxit robur et audacia. nam et aliorum sociorum quam plures ab iis sunt dilapsi, et Celtarum non ignobilis turma, quae sub Romanis stipendia merebat, ad Gulielmum occultissime transivit. ea ubi is vidit, utendum occasione temporis putavit,

νου ἢ Ῥομπέρτον αὐτοῖς ἐπιβοηθῆσαι γένοιτο (ἠγγέλλετο γὰρ ἤδη
δυνάμεις ἀθροίσας ἐπανιέναι) ἢ γοῦν στρατιά τις ἠπειρῶτις ἢ ναυ-
τικὴ ἐκ βασιλέως ἀφίκοιτο παρ' αὐτούς. καὶ δὴ ἐκτάξας τὸ στρά-
C τευμα κατὰ φάλαγγας ἐχώρει. Ῥωμαῖοι δὲ Ῥομπέρτου εἴτε ἑκόν-
τος εἴτε τύχῃ τινὶ ὑστεροῦντος ἐτάττοντο καὶ αὐτοὶ κὰκ τῶν ἐνόν-
των κοσμηθέντες ἀντιμέτωποι ἵσταντο. ὅτε δὴ καὶ θάμβος ἦν
ὁρᾶν Ῥωμαίων εὐπερίγραπτόν τινα ἰσχὺν ὅλαις δυνάμεσιν μαχου-
μένην Σικελικαῖς. μέχρι μὲν οὖν τινος οὐδέτεροι χειρῶν ἦρχον,
μετὰ δὲ ταῦτα τῶν μισθοφορούντων τις ἱππέων τῆς Ῥωμαίων φά-
λαγγος προπηδήσας ἐν μεταιχμίῳ ἔστη τὸν βουλόμενον μονομαχεῖν
προκαλούμενος. τούτῳ τε τῷ τρόπῳ συμπεσόντες ἀλλήλοις ἐμά-
χοντο. καὶ ἡ μάχη ἕωθεν ἀρξαμένη μέχρι μὲν οὖν πολλοῦ ἀγχώ-
μαλος ἦν Ῥωμαίων εὐψυχότατα διαγωνιζομένων, ἔπειτα Σικελοὶ
D τῷ πλήθει βιασάμενοι ἐτρέψαντο τούτους. φευγόντων οὖν πολλοὶ
ἔπεσον καὶ ζωγρίαι ᾑρέθησαν, οἱ δ' ἄλλοι σὺν ὠθισμῷ πολλῷ καὶ
βίᾳ εἰς τὴν πόλιν εἰσέπιπτον, ἐν οἷς καὶ Ἀλέξιος ὁ στρατηγὸς ἦν.
ὁ Δούκας δὲ τειχέων ἔξω λειφθεὶς οὐ πρότερον ἀνῆκε παίων καὶ
παιόμενος, πρὶν ὑπὸ τῶν πολεμίων κυκλωθεὶς αἰχμάλωτος μετὰ
πλείστους ὅσους ἐγένετο ἀγῶνας. Σικελοὶ δὲ ἐπειδὴ τοῦτον εἷλον,
καὶ τοὺς ἐπὶ τῆς πόλεως λοιπὸν ἀμογητὶ ὡς ἐν πανάγρῳ σαγηνεύ-
σαντες ἔσχον. ἐς τοῦτο δὴ τέλους τῷ Κομνηνῷ καὶ τῷ Δούκᾳ ἡ
ἀβουλία τὸ πρὶν περιήνεγκε κλέος. οὕτως οἱ νῦν ἄνθρωποι οἱ μὲν
P 98 παντάπασι στρατηγικῶν ἄμοιροι διατελοῦντες τὰ πράγματα σφάλ-

11. προκαλούμενος] Cod. προσκαλούμενος.

ne interea Robertus, quem contractis copiis adventare rumor erat, auxilia iis ferret, aut terrestres maritimaeve copiae ab imperatore missae subvenirent. instructa itaque per turmas acie processit. Romani autem, vel non repugnante, vel forte tergiversante Roberto, copiis pariter instructis, et ordinata prout potuere acie, adversa fronte constitere. horrendum quid tum erat, exiguam Romanorum vim cum universis Siculorum copiis depugnaturam intueri. aliquamdiu a congressu utraque pars abstinuit. sed mox quidam eques stipendiarius, e Romanorum phalange procurrens in medium, hostem, qui singulari certamine secum vellet congredi, evocat. sicque invicem concurrentes, praelium ineunt: quod mane coeptum ancipiti aliquamdiu Marte protractum est, Romanis fortissime dimicantibus: verum Siculis deinceps multitudine sua eos circumfundentibus, tandem illi fugantur. fugientium multi cecidere, multi vivi capti sunt, alii crebra impulsione summoque impetu in urbem sese recepere, atque in his dux ipse Alexius. Ducas vero extra moenia relictus, non prius et ferire et feriri abstitit, quam circumclusus ab hostibus post longam et pertinacem pugnam captus est. postquam illum cepere Siculi, alios qui in urbe erant sine labore velut reti conclusos habuerunt. sic partam antea a Comneno et Duca gloriam exstinxit eorum imprudentia. ita igitur eorum qui nunc vivunt alii cum in rebus militaribus operam studiumque non contulerint, publicam rem evertunt: alii autem

ἴσασιν, οἱ δὲ τοῦτο μὲν τυχὸν ἴσασι στρατηγικῆς μέρος, τῷ πλείονι διαμαρτάνουσι. τέχνη γάρ τίς ἐστι καὶ ἡ στρατηγία, καὶ χρὴ τὸν ταύτην μετιόντα πολυειδῆ τινα καὶ ποικίλον εἶναι καὶ πρὸς ἕκαστον ἐπικαιροτάτως τῶν ταύτης μετατάττεσθαι εἰδῶν. φεύγειν τε γάρ ἐστιν ὅτε χρὴ μηδὲν αἰσχυνόμενον εἰ τοῦτο διδοίη καιρός, καὶ αὖ ἀνυπόστατα διώκειν, πρὸς τὴν χρείαν ἑκάτερον· ἔνθα τε ἐπινοίᾳ μᾶλλον ἢ χειρὶ κατορθοῦν φαίνοιτο, παραιτεῖσθαι τὸ τοῖς ὅλοις διακινδυνεύειν. πολλῶν γάρ τινων καὶ διαφόρων πραγμάτων ἐς ἕν τι τέλος τὴν νίκην ἀγόντων, ἀδιάφορόν ἐστιν ὁποτέρῳ τις χρη- B σάμενος ἐπ᾽ ἐκεῖνο ἥξει. καὶ τοίνυν Ῥωμαῖοι, τοῦ Ἀλεξίου δυνάμεων ὑποσπανίζοντος ἃς ὁ βασιλεὺς αὐτῷ ἄγειν ἐκέλευεν, εἴ γε Σικελοῖς οὐκ ἀξιομάχους ἑαυτοὺς εἰδότες ἐπὶ τὰς ναῦς τε τὸ στράτευμα ἀνεβίβασαν καὶ στόλῳ τῷ αὐτῶν συνεπλάκησαν πρότερον, αὐτοῦ τε κατὰ κράτος περιεγένοντο ἂν καὶ τὴν ἐκ τῆς ἠπείρου ὑποχώρησιν τοῖς ἐκ τῆς ὑγρᾶς παρεμυθήσαντο τροπαίοις, οὕτω τε καιροῦ καλοῦντος ἐπὶ τὴν ξηρὰν αὖθις ἐκβάντες σὺν δυνάμεσι πλείοσι τὰς ἐν Ἰταλίᾳ διηγωνίσαντο μάχας. ἀλλ᾽ ἐκεῖνοι τὴν ἐκ τοῦ ὑποχωρεῖν ὑφορώμενοι ἀδοξίαν εἰς τὴν τοῦ πανστρατὶ διεφθάρ- C θαι περιπεπτώκασιν ἀτιμίαν.

14. Ταῦτα μὲν οὖν τῇδε ἐγένετο, ὁ δὲ βασιλεὺς τούτων ἀκούσας ἐδυσχέρανε μὲν ὡς τὸ εἰκὸς καὶ μάλιστα ὅτι μετὰ τοσαύ- V 77

2. διαμαρτάνουσι] Fort. δὲ ἁμαρτάνουσι. 4. ἐπικαιροτάτως] Cod. ἐπικαιροτάτων. Tollius ἐπικαιρότατα. 7. φαίνοιτο] Fort. γένοιτο.

qui hanc forte quidem imperatoriae artis partem attigerunt, in pluribus peccant. ars enim etiam quaedam est exercitus praefectura: et qui ad eam accedit, varia ac multiplici scientia sit instructus necesse est et ad quoslibet eiusdem usus, cum id tempus postulaverit, accommodatus. nam et fugere interdum nullo cum pudore, si res iusserit, et rursum pertinaciter insequi hostem necesse est, utrumque prout rerum status tulerit. ubi vero consilio magis quam manu videtur res gerenda, ad extrema descendere rerumque summam experiri detrectandum. multis etenim iisque diversis rebus ad unum victoriae finem tendentibus, nil refert quibus quis usus ad eum pervenerit. si Romani itaque, cum careret iis copiis Alexius, quas adducendas iusserat imperator, Siculis sese viribus impares cernentes, exercitum in naves transduxissent, cumque illorum classe conflixissent primum, procul dubio tum debellassent hostes et recessum e continenti partis mari resarcivissent victoriis: et sic postmodum, cum id postulasset occasio, in continentem iterum egressi, cum maioribus in Italia viribus bellum confecissent. sed enim illi non sine dedecore recedi posse rati, amissi totius perditique exercitus ignominiam incurrerunt.

14. Ita tum ibi res gerebantur, quae postquam principi compertae sunt, graviter ut par erat est indignatus, eo maxime quod post tot prosperos for-

τας προηγησαμένας ταῦτα ξυνέπεσεν εὐτυχίας. ἀτύχημα γὰρ μετὰ δόξαν ἐπιγεγονὸς παραιτεῖται μὲν τὴν δύσκλειαν, ἀνίαν δὲ μάλιστα προξενεῖν εἴωθεν, ὅτι μικροῦ τοῦ τὸ πᾶν δεῆσαν κατορθοῦν, εἶτα ἀπώλοντο ἅπαντα. ἤλγησε μὲν οὖν διὰ ταῦτα, οὐ μὴν καὶ ἡττήθη τοῦ πάθους. Ἀλέξιον τοίνυν, ὃς τὸ τοῦ προτοστράτορος ἀνεζώννυτο τότε λειτούργημα, ἐπὶ Ἀγκῶνα Ἰταλίας αὖθις ὡς ἐξ ὁρμητη-
D ρίου τινὸς ἐντεῦθεν μεταποιησόμενον ἔπεμψεν. οἱ γὰρ τῇδε ἄνθρωποι ὅρκους βασιλεῖ φθάσαντες ἔδοσαν, ῥηγὶ μὲν τῷ Ἀλαμανῶν οὔποτε ἑκόντες πολεμήσειν, χρήματα δὲ τοῦ βασιλέως καὶ Ῥωμαίων οὓς ἂν αὐτὸς πέμψειε, τούτους δὴ τηρήσειν ὅσα καὶ ἑαυτούς. ὅθεν δὲ εἰς τοῦτο βασιλεὺς προήχθη, αὐτίκα δηλώσω. ὁπότε ἤδη ἐπὶ Κερκύρας ἐστράτευε, δυσνοῦν καὶ δύστροπον τὸ Οὐεννέτων κατανοήσας ἔθνος, περὶ πλείονος ἔθετο ὅπως ἂν Ἀγκῶνος λοιπὸν μεταποιηθεὶς ὀφρύος τε τῆς Οὐεννέτων τὸ πολὺ καταπαύσειε καὶ τοὺς ἐν Ἰταλίᾳ πολέμους ἐντεῦθεν ῥᾷστα διαγωνίζοιτο. διὰ
P 99 ταῦτα μὲν Ἀλέξιος σὺν χρήμασι πολλοῖς ἐπὶ Ἀγκῶνα ἦλθεν. ὅθεν Κωνσταντῖνόν τε τὸν Ὦττον καὶ Ἀνδρέαν κόμητα πόλεως Ἰταλικῆς τήν τε χεῖρα γενναῖον καὶ ἀνδρείας εὖ ἥκοντα ἐπὶ τὴν Ἰταλίαν ἐκπέμψας χεῖρά τε σύμμαχον ἤθροιζε πολλὴν καὶ πόλεις ὡς πλείστας Ῥωμαίοις ἐδουλοῦτο· ὅτε δὴ γέγονέ τι καὶ τοιοῦτο. ὁ Ῥώμης ἀρχιερεὺς Γιλιέλμῳ φιλίαν ἤδη ὁμολογήσας, ἐπειδὴ τὼ ἄνδρε τούτω διὰ τῶν Ῥώμης ἰόντε ἔγνω χωρίων, ἰσχυρότατα διεκώλυεν. ἀλλὰ

10. τηρήσειν] Ita Tollius. Cod. τηρήσειεν. 17. Ὦττον] Heyse Ὦκον. cfr. p. 72, 6.

tunae successus acciderant. interveniente quippe post partam gloriam calamitate, etsi infamia sit minor, eo tamen maior suboriri solet tristitia, quod cum prope abfueris a summa re conficienda, totam perdideris. verum etsi eapropter doluerit imperator, nequaquam tamen fregit illius animum conceptus ex hac clade moeror. Alexium itaque, qui tum protostratoris dignitate auctus fuerat, Anconam misit, ut inde quasi ex belli sede de Italiae possessione decertaret. fidem enim principi dederant oppidani, non se quidem ultro adversus Alemannorum regem arma sumpturos, sed pecunias et quos imperator misisset eo Romanos, ut se ipsos servaturos. quae vero ad id principem causa impulerit, nunc dicam. cum bellum ad Corcyram gereret, Venetorumque populos sibi infensos morososque adverteret, id maxime curavit, ut vindicata sibi Ancona Venetorum fastum retunderet et superbiam, bellaque inde Italica facilius exsequeretur. ea igitur propter magna cum pecuniarum vi Anconam venit Alexius: atque inde dimissis in Italiam Constantino Otto et Andrea comite civitatis Italicae, viro manu impigro et fortitudine insigni, auxiliares aliquot contraxit copias, urbesque quam plures Romanis asseruit: interea pontifex Romanus, inito cum Gulielmo foedere, ubi viros illos per Romanum agrum transire audivit, id quidem maxime prohibuit. sed

τῶν ἐπὶ δόξης τινές, οἳ Ῥωμαίοις εὔνοιαν φθάσαντες ὡμολόγησαν (ἔθος γὰρ ἀεὶ βασιλεῖ Μανουὴλ ἦν τῶν τῇδε πολλοὺς ἑταιρίζεσθαι), ἐπαναστήσαντες τὸν δῆμον αὐτῷ, τὸ βασίλειόν τε σημεῖον ἐντιμότατα τῇ δεήσει εἰσεδέξαντο καὶ τῷ Κοντοστεφάνῳ κατ' ἐξουσίαν B οὓς ἂν βούλοιτο μισθοῦσθαι ἐφῆκαν. ἐφ' οἷς χαλεπήνας ὁ ἀρχιερεύς, ὃ μόνον εἶχεν, ἐπιτιμίῳ τὸν δῆμον καθυποβάλλει, μηδὲν μετὸν εἶναι λέγων Ῥώμῃ τῇ νεωτέρᾳ πρὸς τὴν πρεσβυτέραν, πάλαι ἀπορραγεισῶν. "χρὴ δὲ μᾶλλον τῷ Σικελῶν ἀμύνειν δυνάστῃ· μέλει γὰρ αὐτῶν ὄντι, εἶτα κακῶς πεπονθότι τῇ πρὸς πολλῷ αὐτοῦ κρείττονα διαγωνίσει μὴ βεβοηθηκέναι ἀνόσιον." τοῦτο δὴ τὸ ἐπιτίμιον εὐλαβηθεὶς ἤδη τις ἀφίσταται μὲν τῶν τὰ βασιλέως περιεπόντων, εἰς δὲ τὸν ἀρχιερέα παλιμβόλῳ μετετίθετο γνώμῃ. ἀλλ' οἱ τὰ Ῥωμαίων πρεσβεύοντες τοῦτον μὲν βίᾳ πολλῇ ἐκεῖθεν ἀπέσπασαν· ὡς δὲ τὴν ἀπιστίαν αὐτῷ στηλιτεύσαιεν, βάρβαρόν τινα τρόπον C καὶ ἀπειροκαλίας οὐ πόρρω τινὸς τὴν παντευχίαν καὶ τὸν ἵππον ἐπὶ ξύλου τινὸς ἠρτημένα ἀπὸ καλωδίων ἀφῆκαν φέρεσθαι· ἐπί τε τὸν ἀρχιερέα ἐμφανῶς ἤδη συστάντες ἄκοντα τῶν ἐπιτιμίων ἀνεῖναι τοὺς ἀνθρώπους ἀνέπεισαν. ὅθεν τὰ Ῥωμαίων αὖθις πολλῇ τὸ ἐντεῦθεν ἐχρῆτο τῇ παρρησίᾳ. πόλιν τε οὖν ἣ ἀπὸ Γερμανοῦ τοῦ ἐν ἁγίοις τὴν προσηγορίαν ἔχει, πολέμῳ παρεστήσαντο, καὶ ἄλλας ἀμφὶ τὰς τριακοσίας ὑπὸ βασιλεῖ ἔθεντο, ὧν ὅπως ἑκάστη κλήσεως ἔσχεν ἔξεστι τῷ βουλομένῳ ἐκ τοῦ κατὰ νότον τῆς πόλεως ἐπὶ τοῖς

4. τῇ δεήσει] ? 8. ἀπορραγεισῶν] Fort. ἀπορραγεῖσαν.

ex illustrioribus nonnulli, qui benevolentiam principi suam spoponderant (Manuëli quippe imperatori solenne semper fuit plurimos ex iis qui ibi degunt sibi conciliare), concitata adversus pontificem multitudine, vexillum imperatorium summo cum honore nec non et veneratione suscepere, et Contostephano pro libitu quos vellet conducendi milites potestatem fecere. ob ea indignatus summus pontifex, quod unum poterat, populum anathemate ferit, nihil attinere inquiens Romam novam ad veterem, quae iam olim scissae essent: quin potius Siciliae domino opem ferendam esse, qui quum illorum membrum esset, ipsam pietatem poscere dicebat, ut, qui a multo fortiori opprimatur, auxilio sustentetur. eiusmodi excommunicationem veritus quidam ex iis, qui imperatoris partes sequebantur, abscessit, et ad summum pontificem mutata sententia venit. sed qui tum ibi Romanis favebant, magna eum inde vi expulere: utque omnibus innotesceret hominis perfidia, modo quodam barbarico et invenusto illius arma et equum in altum quoddam lignum extollunt, moxque laxatis funibus ad terram ferri sinunt. ita palam insurgentes in pontificem, ut anathematum vinculis homines solveret persuasere. atque inde maior rursum Romanis crevit audacia. itaque et civitatem quae a divo Germano nomen sortita est, expugnarunt, et alias circiter trecentas in imperatoris potestatem redegerunt, quarum qui volet cognoscere nomina, in eo quod in veteribus palatiis, quae ad meridiem vergunt, ab imperatore

D παλαιοτέροις ἀρχείοις τῷ βασιλεῖ τούτῳ ἐγηγερμένου ἀναλέγεσθαι
V 78 δόμου. εἰ γὰρ καὶ πλείους τούτων ἐνταῦθα γεγράφαται, ἀλλὰ θωπεία τις τὸ ἐπέκεινα καὶ τρόπος ἀνελεύθερος τῶν τὰ ἔργα μετιόντων ἐστίν, ὁποίους εἶναι τοὺς πολλοὺς ἀεὶ συμβαίνει, δι' ἅ ποτε καὶ βασιλέως αὐτοῦ δυσχεράναντος ἤκουσα. εἰ μέντοι καὶ περιῄρηνται, οὐκ ἔχω ἰσχυρίσασθαι.

15. Οὕτω καὶ πάλιν ὀλίγου δεῖν ἡ χώρα Ἰταλῶν ἅπασα ὑπὸ Ῥωμαίους ἐγένετο ἄν. ἀλλὰ Ἀλέξιός τε ὁ Κομνηνὸς καὶ ὁ Δούκας καὶ τῶν ἄλλων ὅσοι Ῥωμαίοις στρατηγοῦντες δορυάλωτοι τῷ
P 100 Σικελῶν ἐγένοντο δυνάστῃ τὰ πράγματα διέφθειραν αὖθις. πολλὰ γὰρ τῶν ἀθελήτων τέως βασιλεῖ φθάσαντες ἤδη ὀμωμοκέναι Σικελοῖς μεγίστων καὶ καλῶν ἔργων Ῥωμαίους ἐστέρησαν. καὶ τί γὰρ οὐκ ἄν τις ὁμολογῆσαι εἶχεν, ὁπότε κλοιά τε αὐτὸν εἶχον καὶ κευθμῶνες ἐφρούρουν κατάγειοι; ἐποίουν δὲ ταῦτα Σικελοί, ὡς ἂν οἱ τῇδε ἄνθρωποι Γιλιέλμῳ σπείσεσθαι τὸν βασιλέα προσδοκήσαντες, φθάνωσιν, ὡς τὸ εἰκός, Ῥωμαίων καὶ πρὸ καιροῦ ἀφιστῶντες τὰς πόλεις. ὅπερ ὁ βασιλεὺς ἀκούσας, συνῆκέ τε τῶν πραττομένων καὶ γράμματα ἐπὶ Σικελίαν ἐκπέμψας τοῖς μὲν ἐν εἱρκτῇ
B Ῥωμαίων τάδε ἔγραψε. "θαυμάζειν ἔπεισί μοι, ὅπως ἀεὶ μικρονοίᾳ τινὶ περὶ τὰ πράγματα κεχρῆσθαι ὑμᾶς, ὦ ἄνδρες, ξυμβαίνει. πρώην τε γὰρ αὐτοὶ τὰς καλλίστας ἐκείνας οὕτω διεφθείρατε νίκας, τύχην τε ὑμῖν αὐτοῖς ἐφ' ἧς νῦν ἐστὲ προὐξενήσατε, καὶ νῦν δέ, ἄλλων τὰ ὑμῖν κακῶς ἤδη πραχθέντα σὺν θεῷ ἀναμαχεῖσθαι προθυμουμένων, ἐμποδὼν ἵστασθε. ἢ οὐκ ἐκεῖνο ἐπὶ νοῦν

exstructum est, triclinio poterit perlegere. ubi quidem etsi plures his describantur, in iis tamen adulatio quaedam immensior; et eorum qui gesta altius evehere conantur, quales multi esse solent, illiberale studium deprehenditur. et sane ipsum etiam ex iis indignantem principem non semel audivi. an vero haec inde modo ablata sint, non ausim asseverare.

15. Ita denuo haud multum abfuit quin omnis Italorum regio subderetur Romanis. sed Alexius Comnenus et Ducas ceterique Romanorum duces, qui a Siciliae principe capti fuerant, res iterum pessumdedere. quippe multa illi, quae adhuc recusarat imperator, Siculis sacramento interposito polliciti, pulcerrimos victoriarum fructus Romanis abstulerunt. quibus enim pactis ac conditionibus non subscribet ille, qui compedibus vinctus, antrisque inclusus subterraneis detinetur? haec autem fecere Siculi, ut qui hic tum detinebantur, interea dum pacisceretur cum Gulielmo imperator, ab eo deficerent, urbesque ante hoc tempus sibi traderent. quod ut accepit imperator, quaeque agebantur rescivit, missis in Siciliam literis, Romanis captivis in hunc modum rescripsit. "mirari subit qua ratione factum sit ut in rebus gerendis vobis semper defuerit animi fortitudo. praeclaras quippe iam ante partas victorias deflorastis, et quam nunc ipsum toleratis vobismet ipsi comparastis fortunam. nunc autem ea quae a vobis iam perperam gesta sunt in-

ὑμῖν ἦλθεν, ὡς τὴν ἐπὶ τὰ πρόσω ἡμῶν ἀναστελοῦντες ὁρμὴν ταῦτα ἐπινενοήκασι Σικελοί; τίς γὰρ ἐκεῖνός ἔσται Ἰταλῶν, ὃς τὴν χώραν αὖθις, ἣν ἤδη ἡμεῖς ἔχοντες, Γιλιέλμῳ ὑφ' ἡμῶν ἐνδοθησομένην ἀκούων, οὐκ αὐτίκα μὲν ἡμῖν ἀπιστήσει, ἐς δὲ Γιλιέλμον ὀκνήσει οὐδεμιᾷ μεταθήσεται; οὐκ ἔσται πάντως οὐδείς, C εἰ μή τις βλὰξ εἴη καὶ ἀνόητος ἄνθρωπος, ὁποῖοι πολλοὶ τυγχάνουσιν ὄντες. ' πυνθάνομαι ὑμῶν, εἴπατε πρὸς θεοῦ, κάλλιον πότε ὑμᾶς ἂν εἶδε τὰ πάτρια; ὁπότε Ἰταλίας ἤδη ἁπάσης καὶ νήσου τῶν Σικελῶν ὑφ' ἡμᾶς γεγενημένων, λαμπροὶ λαμπρῶς αὐτόθεν ὑπὸ τῶν ὁμοφύλων ἀναρρυσθέντες ἀθληταὶ Ῥωμαίων εὐγενεῖς ἐπὶ Βυζάντιον ἥκετε, ἡδὺ θέαμα τοῖς ὁμοτίμοις ὑμῖν προσορώμενοι, ἢ ὁπότε οὐδὲν οὔτε δόντες οὔτε λαβόντες, ὥσπερ ὑμῖν τὰ ὅρκια βούλονται, ἐνταῦθα ὑμᾶς ἀνακαλεσόμεθα;" Ῥωμαίοις μὲν ταῦτα ἔγραψε, Γιλιέλμῳ δὲ ἐπέστειλεν ὧδε. "μὴ οἴου λήσειν ἡμᾶς, ὦ γενναῖε, ὅτου δὴ ἕνεκα ταῦτα μεμηχάνηται παρ' ὑμῶν, ὥσπερ οὐδὲ ὅτι τοῖς βίᾳ γεγονόσι συγγνώμων ἡ ἀνάγκη γίνεται. D οὐκοῦν οὐδὲ στέρξει σοι πάντως, ἃ πρὸς δεσμωτῶν ὀμώμοται καὶ ἐμφρούρων τούτων ἀνδρῶν. Ῥωμαῖοι γὰρ οὐ πρότερον Ἰταλίᾳ πολεμοῦντες ἀφέξονται, πρὶν ἂν αὐτήν τε καὶ τὴν νῆσον πᾶσαν ὑπὸ παλάμῃ τῇ ἡμῶν ὥσπερ καὶ πρότερον ἤδη ποιήσωνται." ταῦτα οἱ περὶ Γιλιέλμον δεξάμενοι τὰ γράμματα ἀμείβονται ὧδε. "εἰ μὲν τῶν ἤδη πρότερον ἐς τὸ κράτος ἡμαρτημένων τὸ σὸν δίκας ἡμῖν

3. ἔχοντες] ἔχομεν? ἔχοντες τυγχάνομεν? 4. ἐνδοθησομένην] Malim ἐκδοθησομένην. 11. ἥκετε] Malim ἥξετε. 17. οὐδὲ στέρξει] ?

staurare deo volente satagentibus obsistitis. nonne advertitis haec excogitasse Siculos, ut nostros in futurum successus retardarent? quis enim Italorum erit, qui ubi regionem quam iam possidemus, Gulielmo a nobis rursum tradendam esse perceperit, non continuo a nobis deficiat et Gulielmi partes nulla mora interposita amplectatur? erit utique nemo, nisi stolidus ille sit et plane demens, cuiusmodi esse multi solent. rogo vos, dicite per deum, quando tandem vos iucundius patria conspiciet, utrum cum universa iam Italia et Sicilia in nostram redactis potestatem, praeclari praeclare inde a conterraneis liberati illustres Romani nominis vindices, gratissimum aequalibus vestris spectaculum exhibituri, Byzantium veneritis? an vero si nihil aut dantes aut accipientes, ut a vobis iureiurando sancita volunt, vos revocaverimus?" haec quidem scripsit Romanis; Gulielmo autem in haec verba. "ne latere nos putes, o generose vir, quorsum haec a vobis struantur, et ut iis quae per vim fiunt indulgere soleat necessitas. proinde nequaquam tibi profutura sunt, quae a captivis illis viris sacramento firmata sunt. neque enim ab incessenda Italia prius desistent Romani, quam et illam et insulam universam, ut prius, potestati nostrae subiecerint." his acceptis literis, in hanc ferme sententiam rescripsit Gulielmus. "si tibi in animo est, maxime imperator, poenas irrogare nobis ob ea quae adversus maiestatem tuam an-

ἐπιτιθέναι βούλει, κράτιστε βασιλεῦ, ἔχεις ἤδη καὶ ὑπὲρ ὃ ἐχρῆν Ἰταλίαν μετελθών. πόλεις τε γὰρ τριακοσίων οὐκ ἐλάττους ἐπὶ μέσης αὐτῆς παρεστήσω, πρᾶγμα παλαιὸς ἐξ οὗ χρόνος τὴν Ῥωμαίων ἀρχὴν ἐπιλελοιπός, καὶ κλέος ἀνεδήσω, ὃ μετὰ Ἰουστινιανὸν ἀρχαῖον Ῥωμαίων αὐτοκράτορα οὐδενὶ τῶν ἄλλων ὑπῆρξεν, P 101 ὅτι μὴ τῷ κράτει τῷ σῷ. ἀξιοῦμεν γὰρ ἀντίθες ἀγνόημα τὸ ἡμῶν (λέγω δὴ ὁπηνίκα Κόρινθόν τε καὶ Εὔβοιαν κατετρέχομεν τὴν σὴν) V 79 καὶ τὰς Ῥωμαίων ἐν Ἰταλίᾳ νίκας, οἳ δὴ τοσοῦτον ἤδη χρόνον ἄγουσί τε καὶ φέρουσι τὰ ἐνταῦθα, αἱμάτων τρὶς τοσούτων μᾶλλον δὲ πλεονάκις τοσούτων τὴν τῇδε πληρώσαντες γῆν, καὶ πόλεις οὐ διασκυλευσάμενοι μόνον τοσαύτας, ἀλλ' ἤδη καὶ ὑποχειρίους θέμενοι. πότερά σοι δοκεῖ μεγαλειότερα; κἂν μὴ πρὸς ἡμᾶς ἀντιμετρεῖσθαι ταῦτα βούλει πολλῷ καταδεεστέρους τοῦ σοῦ κράτους ὄντας, ἀλλὰ σύ γε ἐπὶ τοὺς πρώην ἀνάδραμε βασιλέας καὶ τὰ κατόπιν τῷ χρόνῳ ἐπίβλεπέ μοι Ῥωμαίων ἀνδραγαθήματα· ἢ οὐ καὶ τηνικάδε συγκέκρουκέ τις Ῥωμαίων τῇ ἀρχῇ; πολλὰ δήπου πάν-B τως ἐθνῶν καὶ Περσῶν καὶ Οὔννων καὶ εἴ τι μὴ δυσφοροίη κράτος τὸ σόν, καὶ Ῥομπέρτος ἐκεῖνος ὁ Ἰταλίαθεν ἐς Ἐπίδαμνον διαβὰς μεγάλας τῇδε πάππῳ τῷ σῷ συνδιηγώνιστο μάχας. ἀλλὰ μόγις καὶ ἀγαπητῶς ἐκ τῆς Ῥωμαίων ἐκεῖνος Ῥομπέρτον διώσατο, σὺ δὲ καὶ τῆς ἡμετέρας σχεδόν τι περιγέγονας ἁπάσης. εἴ τι οὖν σοι τοῦ ἀνταμύνασθαι ἡμᾶς ἕνεκα ταῦτα ἐπικεχείρηται, ἅλις σοι τῶν τροπαίων· ἱκανῶς ἔχεις ἡμᾶς μετελθών. τὴν ἡμετέραν πατοῦντί σοι

4. ἀνεδήσω] Cod. ἀνεδύσω. 7. κατετρέχομεν] Ita Duc. Cod. κατατρέχομεν.

tehac commisimus, iam certe etiam supra quam oportuit Italiam ultus es. civitates enim in media illa non minus trecentas expugnasti, quod prioribus imperii Romani temporibus nunquam hactenus factum: tibique comparasti gloriam, qualis post veterem illum Iustinianum Romanorum imperatorem nulli alii, praeterquam maiestati tuae, contigit. confer igitur, obsecro te, delictum nostrum, cum nimirum Corinthum Euboeamque tuam incursavimus, et partas in Italia victorias a Romanis, qui longo illic iam tempore commorantur, omniaque inde auferunt rapiuntque. et sanguine, tertia plus parte, immo amplius, terram istam implerunt: qui urbes denique non spoliarunt modo, sed et easdem fecere sibi obnoxias. utrum tibi videtur maius? quodsi haec a nobis, utpote qui maiestate tua longe inferiores sumus, non pateris comparari, saltem ad priores recurre principes, et retro acta Romanorum praeclara revolve facinora, et an non etiam tum aliquis Romanum aggressus est imperium. multae utique gentes, et Persae et Hungari, et si non indignetur maiestas tua, Robertus ille, qui Epidamnum ex Italia traiiciens, magna ibi certamina cum avo tuo instituit. sed vix aegreque ex finibus Romanis illum dimovit. tu vero regionem nostram fere omnem occupasti si itaque nostri ulciscendi causa ea aggressus es, satis tibi victoriarum; plus satis

τὰ τῆς εἰρήνης ἀσπάσασθαι οὔκουν ἐστὶν ἀγεννές, εἰ μὴ καὶ σφόδρα ἐπίδοξον. σὺ δὲ καὶ Ῥωμαίους, οὓς τῆς τύχης ἡμῖν δούσης ἄνδρας οὕτω περιφανεῖς δοριαλώτους ἐποιησάμεθα, αὐτίκα λήψῃ, ἐφ' οἷς οὐδὲ ὀργίζεσθαί σε δίκαιον ἐφ' ἡμᾶς. ἀνδρὶ γὰρ πολεμουμένῳ οὐδεμία νέμεσις ἀντιπράττειν ἐχθροῖς. ὥστε λείπεται ἑνὸς ἐκείνου ἕνεκα τοῦ περὶ Εὔβοιαν ἡμῖν ἡμαρτημένου δίκαιον εἶναί σε C *πολεμεῖν, οὗπερ ἤδη καὶ ὑπερέβης τὰς τίσεις, ὥσπερ ἐλέγομεν. εἰ μὲν οὖν δίκας ἡμῖν ἐπιθεῖναι προεθυμήθης, ὧν ἐς τὴν χώραν ἐνεδειξάμεθα τὴν σήν, τοσαῦτα ἀπολελογήμεθα τῷ κράτει τῷ σῷ, εἰ δὲ ἀεί σοι πολεμητέα γένει τῷ ἡμῶν, ὥρα σοι ἐννοεῖσθαι μή ποτε πέρα νομίμων εἴη τῶν ἀνθρωπίνων ἡ ἐγχείρησις. τὸ μὲν γὰρ ταῖς προφάσεσι καὶ τοὺς πολέμους συμμετρεῖν ἀνθρώπινον, περαιτέρω δὲ χωρεῖν ἄλλος μέν τις εἴποι ἂν ὅτι θηριῶδες, ἡμῖν δὲ τοῦτο μὲν οὐ λεκτέον, αἰτούμεθα δέ σε σπεισάμενον ἤδη πόλεμον τόνδε καταλύειν." ταύτην ὁ βασιλεὺς πολλάκις ἀπολεξάμενος τὴν ἐπιστολὴν ἐπένευσε τοῖς εἰρημένοις, τούς τε Ῥωμαίων αἰχμαλώτους* D *ἀπολαβὼν καὶ εἴ τι που λάφυρον πολέμου ἐγένετο κομισάμενος, πρὸς δὲ καὶ τὰ πιστὰ πρὸς Γιλιέλμου λαβὼν σύμμαχον ἐν ταῖς κατὰ τὴν ἑσπέραν ἕξειν αὐτόν, τὸν πόλεμον ἔλυσεν. ὀλίγῳ δὲ ὕστερον καὶ ῥῆγα τετίμηκεν οὐ πρότερον ὄντα, τοσοῦτόν τε ἐπ' αὐτῷ τετήρηκε τὸ εὐμενές, ὡς Γιλιέλμου τὸν βίον συμμετρησαμένου προσιόντα αὐτῷ τὸν ἀδελφὸν αἰτούμενόν τε συλλήψεσθαι αὐτὸν ἐφ' ᾧ Σικελῶν ἄρξει προσδέξασθαι οὐδαμῶς.*

18. *ἐν ταῖς*] *ἐν τοῖς?*

nos ultus es. dum nostras calcas terras, pacem amplecti, non modo non ignobile, quin potius maxime gloriosum. viros autem illustres Romanos, quos, sic volente fortuna captivos fecimus, sine mora recipies, ita ut eapropter amplius nobis non irascaris. neque enim succensendum homini qui bello impetitur, si hostibus suis resistat. ita plane liquidum sit, te ob id unum, quod in Euboea deliquimus, bellum iuste gerere: cuius quidem delicti, ultra quam par est poenas, ut diximus, exegisti. si igitur pro iis quae in tuas commisisse terras deprehendimur, multam irrogare statuisti, ea ipsa apud maiestatem tuam excusavimus. si vero semper tibi adversus genus nostrum bellum gerendi causa superest, id in primis attendere te oportet, ne praeter ius gentium id fiat. bella quippe praetextibus metiri, hominis est; ulterius vero tendere, erit qui ferarum esse proprium dixerit, nobis autem id tacendum. te igitur obsecramus, ut hocce bellum sancto foedere dirimatur." his saepius perlectis literis, tandem dictis annuit imperator, receptisque Romanis captivis aliaque belli praeda restituta, fide ad haec data a Gulielmo, se sociali cum exercitu versus Occidentem secuturum, bellum solvit. nec multo interiecto tempore regem renuntiavit Gulielmum, cum antea hac dignitate non gauderet. tanta vero erga illum usus est benevolentia, ut eo mortuo, accedentem fratrem, opemque ad invadendum Siculorum principatum implorantem, haudquaquam admiserit.

16. Τὰ μὲν δὴ τῶν Ἰταλικῶν πολέμων ἐνταῦθα Ῥωμαίοις
P 102 πέρας ἔσχε. βασιλεὺς δὲ καὶ πρότερον μὲν τῶν κατὰ τὴν Ἀσίαν
ἤδη κεκινημένων πραγμάτων, ὁπηνίκα ἔτι τὰς ἐν Ἰταλίᾳ διέφερε
μάχας, φροντίδα τῶν τῇδε εἶχε πολλήν, τότε δὲ ὁλοσχερέστερον
λοιπὸν ἀντεποιήθη. ὁ μὲν γὰρ Περσῶν σουλτὰν Πούνουράν τε καὶ
Σίβυλαν Ῥωμαίοις κατηκόους παρεστήσατο πόλεις, Τερόζης δέ,
οὗπερ ἤδη ἐμνήσθην, τῶν ἐν Κιλικίᾳ πλείστας ἀφήρπασεν, Ἰα-
γουπασὰν δέ, ὃς καὶ αὐτὸς Περσῶν φύλαρχος ἦν, ἄρχων γῆς τῆς
Καππαδοκῶν, Οἴναιόν τε κατέθεε καὶ Παυράην, πόλεις ἄμφω
Ποντικάς. Ἀλέξιον τοίνυν τὸν Γιφάρδον ἐπὶ τὸν σουλτὰν πέμψας
τὰς εἰρημένας ἀνέλαβε πόλεις, Ἰαγουπασὰν δὲ τῆς ἐπὶ τὰ Ῥω-
B μαίων ἀποσχόμενον ἐκδρομῆς ἑαυτῷ προσανέχειν ἠνάγκασεν· ἐπὶ
μέντοι τῆς Κιλίκων αὐτὸς ἐκστρατεύειν διενοεῖτο. ἐν δὲ τούτῳ ἐν
Βυζαντίῳ τάδε συνέπεσεν. ἦν τις Λευιτῶν οὓς διακόνους καλοῦ-
V 80 μεν· ὄνομα τούτῳ Βασίλειος. οὗτος ἀναπτύσσειν τοῖς πολλοῖς
τὰς θείας ἐν ταῖς ὅπου δήποτε τελεταῖς πεπιστευμένος φωνὰς ἄλ-
λους τε τῶν καὶ κατὰ βραχὺ προσκεκρουκότων αὐτῷ ἐν ταύταις δὴ
ταῖς ὁμιλίαις σχήματι καὶ ἐπικρύψει κακηγορεῖν ἤθελε, καὶ δὴ καὶ
Μιχαὴλ καὶ Νικηφόρον ἐπίκλησιν Βασιλάκιον, ὧν ὁ μὲν ῥητορι-
κῆς ἐς τόδε καιροῦ καθηγητὴς ἐτύγχανεν ὢν ὁ Μιχαήλ, τὰ ἱερά τε
ἐπὶ τοῦ τῆς Σοφίας ἱεροῦ διεξηγεῖτο τῶν εὐαγγελίων ῥητά, ἅτερος
C δὲ εὐδόκιμος ἄλλα τε τῶν ἐν λόγοις ἦν καὶ δὴ καὶ λόγων ἀγαθὸς
δημιουργός· ἀμέλει γοῦν καὶ πολλὰ τῶν κατὰ ῥητορικὴν μεμελέ-

18. σχήματι] Tollius et Duc. σχίσματι.

16. Hunc finem habuere bella Romanorum Italica. dum iis adhuc distineretur imperator, Asiaticorum motuum cura sollicitum tenebat: quibus demum peractis, totum se rebus istis applicuit. Persarum quippe Sultanus Punuram et Sybilam, Romanorum civitates, expugnaverat: et Torosus, cuius supra meminimus, plurimas etiam abstulerat in Cilicia. ad hoc Iagupasan, qui et ipse phylarchus erat Persarum et Cappadociae princeps, Oenaeum et Pauraen, Ponticas urbes, incursabat. misso itaque ad Sultanum Alexio Giphardo, ea oppida recepit: Iagupasanem vero incursionibus in fines Romanos abstinere, sibique deinceps adhaerere coegit. in Ciliciam autem ipse expeditionem instituere decrevit. interea haec Byzantii accidere. erat quidam ex Levitarum ordine, quos nos diaconos vocamus, nomine Basilius. hic ad explicandum in ecclesiasticis coetibus verbum divinum constitutus, alios qui vel minimum ab eius sententiis dissidebant in hisce concionibus tecte et occultim redarguit: atque in his Michaëlem et Nicephorum, cognomento Basilacium; quorum alter rhetorum ea tempestate magister, sacra evangeliorum verba explanabat in Sophiano templo: alter vero celebris inter eruditos in orationibus elucubrandis maxime praestabat, multaque in rheto-

τηκο αὐτῷ ἄγαν δεξιῶς. ἐπὶ τούτοις ὠδινόν τε τὼ ἄνδρε τούτω καὶ ἐν δεινῷ ἐποιοῦντο, εἰ τηλικούτω τὰ ἐς σοφίαν ὄντε πρὸς τοιούτου διαμυκτηρίζοιντο ἀνδρός, ὅθεν ἑαυτοῖς τε καὶ πλείστοις ἑτέροις ἀνηκέστων αἴτιοι ἐγενέσθην κακῶν. τοῦ Βασιλείου γάρ ποτε ἐς τὸν πρὸ τοῦ ἄστεος τοῦ ἀποστόλου Ἰωάννου τοῦ θεολόγου νεὼν τὴν συνήθη τελοῦντος αὐτῷ λειτουργίαν, ᾔεσαν ἀκουσόμενοι καὶ οὗτοι, ἀκοαῖς γε μὴν ἐπιβούλοις καὶ πλήρεσι δυσμενείας. ὡς γὰρ εὐαγγελικήν που οἶμαι περικοπὴν ἐκεῖνος διεξιὼν τὸν αὐτὸν ἔφη καὶ ἕνα τοῦ θεοῦ υἱὸν καὶ θῦμα γενέσθαι καὶ σὺν τῷ πατρὶ τὴν θυσίαν προσδέχεσθαι, ἥρπασάν τε τὸν λόγον εὐθὺς καὶ ἄνω καὶ κάτω D διεχλεύαζον ἰόντες, διττὰς ἐντεῦθεν τὸν Βασίλειον λέγοντες εἰσάγειν ὑποστάσεις, εἰ τὸ μὲν ἐτύθη, τὸ δὲ τὴν θυσίαν ἐδέξατο. ἄλλοι τε οὖν ταύτῃ τῇ δόξῃ συνέθεντο τῶν ἐπὶ λόγοις τε δοκίμων καὶ δὴ καὶ Σωτήριχος ᾧ Παντεύγενος ἡ ἐπίκλησις ἦν, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον σοφίᾳ καὶ λόγων δεινότητι τοὺς ἄλλους ὑπερβάλλων, ὃς καὶ τῆς Ἀντιόχου τὸν θρόνον λαχὼν οὔπω ἔτι κεχειροτόνητο. ὁ τοίνυν Σωτήριχος οὐκ ἀπὸ γλώσσης μόνον καὶ στόματος δόξῃ τῇ ἐκείνων παρίστατο, ἀλλὰ δὴ καὶ καλόν τι χρῆμα λόγου συντάξας, P 103 οἷος ἐκεῖνος ἐξαισίαν τινὰ πρὸς Πλάτωνα ἐν διαλόγοις ὁμοιότητα ἴσχων, πολλὰ ἐν τούτῳ δὴ τῷ λόγῳ συνεφόρησεν ἄτοπα, δι' ἅπερ αὐτός τε τὴν τοῦ θρόνου καθαίρεσιν ὑπέστη, βασιλέως τοῖς ἀμφιβαλλομένοις διαιτήσεως, καὶ ὅσοι ἤδη συνίσταντο τούτῳ. Βασίλειος δὲ τὴν ἐπιτιμίαν αὖθις ἔσχεν· ἐτύγχανε γὰρ ἤδη ταύτην ἀπο-

13. τε δοκίμων] Fort. εὐδοκίμων. 22. διαιτήσεως] Fort. διαιτήσαντος. ibid. συνίσταντο τούτῳ] Fort. excidit ἐξωστρακίσθησαν vel simile verbum.

ricam docte erat sciteque iam commentatus. eapropter dolebant ii, quod tot sapientiae instructi dotibus ab tali homine traducerentur: unde sibi compluribusque aliis maximorum malorum causa fuere. Basilio enim in eo apostoli D. Ioannis theologi templo, quod ad urbem est, consuetum aliquando ministerium faciente, venerunt ii ut eum audirent, sed insidiosis malevolisque auribus. cum enim ille quemdam evangelii locum enarraret, unum et eumdem esse dei filium et victimam, et cum patre sacrificium excipere: arreptum subito sermonem ludibrio habentes reversi sunt, duas inde Basilium dicentes inducere personas, si ille quidem immolatus fuerit, ille vero sacrificium excipiat. huic sententiae tum alii suffragati sunt literis clari, tum et Sotericbus, cognomine Panteugenus, vir ea aetate doctrina et sermonum gravitate ceteros praecellens, quique ecclesiae Antiochenae episcopus electus, nondum manus impositionem acceperat. is igitur Soterichus non lingua solum et ore eorum accessit opinioni, sed et magnifica oratione composita, singularique quadam similitudine Platonicos exprimente dialogos, multa in illa absurda congessit. propter quae et ipse sede sua deturbatur, et qui illi favebant, omnes pelluntur. Basilius dignitatem recuperavit: hac enim

βαλών, εἰ καὶ χρόνῳ ὕστερον αὖθις ἀπώλεσε ταύτην, οὐκ ὀρθός, ὡς ἐλέγετο, τὰ δογματικὰ φωραθείς.

17. Τὰ μὲν δὴ τῆς δογματικῆς ἐκείνης ἀμφισβητήσεως τοιοῦτον εὕρηκε πέρας. βασιλεὺς δὲ ἐπὶ Τερόζην ἐστέλλετο. αὐτοῦ γὰρ τοῖς περὶ τὴν ἑσπέραν ὥσπερ εἴρηται διησχολημένου, και-
B ροφυλακήσας ὁ βάρβαρος σχεδόν τι ἁπάσας τῶν ἐν Κιλικίᾳ παρεστήσατο πόλεων. δεινὸς γὰρ εἴπερ τις ἐγένετο ὀξύτητά τε καιροῦ προαρπάσαι καὶ πράγματα ῥάψαι ἱκανός. τούτου τε δὴ ἕνεκα βασιλεὺς ἐπὶ τὴν Ἀσίαν ἐχώρει καὶ ὧν αὐτὸς ἐρῶν ἔρχομαι. Ῥαϊμούνδου τοῦ Ἀντιοχείας πρίγκιπος ἐκ τῶν τῇδε μεταχωρήσαντος, ἐν μὲν τῷ παραυτίκα Κωνστάντζα ἡ αὐτοῦ γαμετὴ ἑαυτήν τε βασιλεῖ καὶ τὰ Ἀντιοχέων ἐχείριζε πράγματα, βασιλέως δ' ἔπειτα Ῥογέριον τὸν καίσαρα, ὥσπερ ἤδη ἐμνήσθην, ἐφ' ᾧ ξυνοικῆσαι αὐτῇ στείλαντος, μεταβαλοῦσα ἐκείνη κοινῇ τῶν Ἀντιοχέων βουλῇ Ῥενάλδῳ τινὶ γάμου κοινωνεῖ, ἐννοησάντων μή ποτε Ῥογερίῳ γεγαμημένης τῆς γυναικὸς Ῥωμαίοις ἐς φόρου ἀπαγωγὴν αὐτοὶ πέ-
C σωσιν. οὗτος δὲ ὁ Ῥενάλδος, ἐπειδὴ δεόμενον αὐτὸν βασιλεὺς οὐ προσίετο, ἀπειλὰς δὲ μᾶλλον ἐπισείων ἐξεδειμάτου πολλάς, δεῖν ἑαυτὸν χρημάτων ὑπολαβὼν τοιάδε τινὰ ἐποίει. ναῦς τεκτηνάμενος ἐπὶ τὴν Κυπρίων ἐπλωΐζετο, πειρατικῶς τε τοῖς ἐνταῦθα προσ-
V 81 φερόμενος περιουσίαν ἐνταῦθα δυνάμεως ἐξεπορίζετο. ἀλλὰ τὸ μὲν πρῶτον Ἰωάννης ὁ τοῦ βασιλέως ἀδελφιδοῦς τὴν χώραν τότε διέπων, καὶ Μιχαὴλ ὁ Βρανᾶς καὶ τῶν ἄλλων ὅσοι ἐπὶ φυλακῇ ταύτης ἐτάττοντο, ἀπώσαντό τε αὐτὸν καὶ κακῶς διέθεντο· ἔπειτα

iam exciderat: sed postea eam iterum perdidit, cum haud sana sentire, ut aiunt, deprehensus esset.

17. Hunc finem habuere illae de rebus theologicis quaestiones. imperator igitur adversus Torosum proficiscitur. cum enim, ut supra dictum est, rebus Occidentalibus detineretur, opportunitatem adeptus barbarus iste omnes ferme Ciliciae civitates expugnaverat. callidus enim erat, si quis alius, et in captandis occasionibus rebusque conficiendis maxime industrius. iis itaque de causis, aliisque, quas dicturus sum, in Asiam venit imperator. Raimundo Antiochiae principe exstincto, Constantia illius uxor seque ipsam extemplo et Antiochenum principatum imperatori tradidit. cum eo deinde Rogerium Caesarem, cuius supra meminimus, misisset princeps, ut illam sibi uxorem adiungeret, mutata sententia, communi Antiochenorum consilio, Renaldo cuidam illa nubit. verebantur quippe ii, ne si Rogerio iuncta esset, Romanorum fierent vectigales. hic autem Renaldus, cum supplex etiam non admitteretur ab imperatore, sed potius intentatis minis terreretur, opus esse sibi pecuniis ratus, haec aggreditur. fabricatis navibus Cyprum adnavigat, ibique piraticam exercens, magnam inde opum vim parat. sed Ioannes imperatoris ex fratre nepos, qui tum regioni isti praeerat, et Michaël Branas ceterique ad custodiam insulae praepositi, primo illum expulerant maleque

προπετεστέρως ἢ ἐχρῆν ἐπὶ Λευκουσίαν τοῦ Βρανᾶ ποιησαμένου τὴν δίωξιν, ξυνεπεξῄει τούτῳ καὶ ὁ Ἰωάννης, ὅθεν συνέβη ἀμφοτέρους ἁλῶναι πρὸς τοῦ Ῥενάλδου. τούτων δὴ ἕνεκα βασιλεὺς ἐπὶ τὴν Κιλίκων ἐχώρει. ἐπειδὴ δὲ πρὸς τῇ μικρᾷ Φρυγίᾳ ἐγένετο, D Πέρσαις ἐνταῦθα ὑπαντιάσας ἥττησέ τε πολέμῳ αὐτοὺς καὶ φόνον πολὺν εἴργαστο, τὴν παρακειμένην τε Περσῶν δῃώσας χώραν ὡς ἐπὶ τὴν Κιλίκων ἐφέρετο, σχηματιζόμενος ἐπὶ Πέρσας δῆθεν τὸν πόλεμον ἄγειν· τούτῳ δὲ τῷ τρόπῳ μηδὲν ὑφορώμενον τὸν Τερόζην καταλαβεῖν ᾤετο. ὅπως γε μὴν ἔτι μᾶλλον ἀπροσδόκητος αὐτῷ παραγένηται, κατὰ τάδε ἐποίει. Ἀλεξίῳ μὲν τῷ Κασιανῷ ὃς τὴν Σελευκείων τότε διεῖπεν ἀρχήν, τὸν αὐτόχθονα ἐκέλευεν ἀθροίσαντι στρατὸν ἐν παρασκευῇ ἔχειν· ὁ δὲ τὸ εὐζωνότερον ἀπολεξάμενος τῆς στρατιᾶς τὴν ἐπὶ Σελευκείας ἠπείγετο. τῷ δ' ἄλλῳ P 104 Ῥωμαίων στρατεύματι ἐνταῦθά που ἐπὶ τῆς Ἀττάλου μένοντι ἐπιμελεῖσθαι τῶν ἵππων ἐκέλευεν. πάθος γάρ τι τοῖς αὐτῶν πέλμασιν ἐπιγεγονός, ὃ δὴ τῷ ἱππείῳ ἐπισκήπτειν εἴωθε γένει, ἰσχυρῶς αὐτοὺς ἐπίεζεν. ὡς δὲ αὐτὸς μὲν τὰ ἐπὶ Σελευκείας ἐξῆλθε πεδία, τὸ δὲ στράτευμα οὐ παρῆν ὥσπερ ἐκέλευε (παρημέλητο γὰρ τοῦτο πρὸς τοῦ Ἀλεξίου), ἐφ' ἕτερόν τι ἐτράπετο, σθένει παντὶ τὸν Τερόζην καταλήψεσθαι προθυμούμενος. Ἀλέξιον μὲν πρόσθεν ἔπεμψεν, εἴ πως Τερόζην αὐτῷ συμπλακέντα ἐνταῦθα ἐπισχεῖν δυνηθῇ, ὁ δὲ κατὰ νώτου τούτῳ ἐχώρει οὐ πλείους πεντακοσίων ἐπα-

1. προπετεστέρως] Ita Duc. Cod. προπετέστερος. 11. Σελευκείων] Σελευκέων? Σελευκείαν?

habuerant. sed mox cum Branas unaque et Ioannes imprudentius, quam par erat, ad Leucosiam usque Renaldum fugientem essent insecuti, uterque ab illo capti sunt. atque id potissimum causae fuit, cur in Ciliciam pergeret imperator. ubi ille in minorem Phrygiam pervenit, Persis obviam factus, signis collatis praelio eos superavit magnamque caedem edidit. adiacentibus deinde Persarum agris devastatis, in Ciliciam iter instituit, quasi in Persas bellum translaturus esset: qua ratione necopinantem Torosum sese oppressurum credebat. atque adeo ut magis illi improvisus accederet, talia instituit. Alexio Casiano, qui tunc Seleuciae regebat praefecturam, conflare ex indigenis exercitum paratumque habere imperavit: ipse interim expeditioribus militum delectis Seleuciam versus iter intendit, ceterasque Romanorum copias Attaliae manere iussit, equorumque curam ibi habere. morbo quippe, cui ut plurimum equi obnoxii sunt, et qui pedum plantis accidere solet, graviter dolebant. ut vero in Seleucianos pervenit campos et exercitum, sicuti imperaverat, paratum haud invenit (id enim neglexerat Alexius), mentem alio convertit, Torosum cum omnibus viribus cupiens invadere. Alexium igitur praemisit, ut Torosum aggrediendo ibi distineret: ipse vero a tergo secutus est, haud plures quingentis secum ducens armatos. captus-

τας προηγησαμένας ταῦτα ξυνέπεσεν εὐτυχίας. ἀτύχημα γὰρ μετὰ δόξαν ἐπιγεγονὸς παραιτεῖται μὲν τὴν δύσκλειαν, ἀνίαν δὲ μάλιστα προξενεῖν εἴωθεν, ὅτι μικροῦ τοῦ τὸ πᾶν δεῆσαν κατορθοῦν, εἶτα ἀπώλοντο ἅπαντα. ἤλγησε μὲν οὖν διὰ ταῦτα, οὐ μὴν καὶ ἡττήθη τοῦ πάθους. Ἀλέξιον τοίνυν, ὃς τὸ τοῦ πρωτοστράτορος ἀνεζώννυτο τότε λειτούργημα, ἐπὶ Ἀγκῶνα Ἰταλίας αὖθις ὡς ἐξ ὁρμητη-
D ρίου τινὸς ἐντεῦθεν μεταποιησόμενον ἔπεμψεν. οἱ γὰρ τῇδε ἄνθρωποι ὅρκους βασιλεῖ φθάσαντες ἔδοσαν, ῥηγὶ μὲν τῷ Ἀλαμανῶν οὔποτε ἑκόντες πολεμήσειν, χρήματα δὲ τοῦ βασιλέως καὶ Ῥωμαίων οὓς ἂν αὐτὸς πέμψειε, τούτους δὴ τηρήσειν ὅσα καὶ ἑαυτούς. ὅθεν δὲ εἰς τοῦτο βασιλεὺς προήχθη, αὐτίκα δηλώσω. ὁπότε ἤδη ἐπὶ Κερκύρας ἐστράτευε, δυσνοῦν καὶ δύστροπον τὸ Οὐεννέτων κατανοήσας ἔθνος, περὶ πλείονος ἔθετο ὅπως ἂν Ἀγκῶνος λοιπὸν μεταποιηθεὶς ὀφρύος τε τῆς Οὐεννέτων τὸ πολὺ καταπαύσειε καὶ τοὺς ἐν Ἰταλίᾳ πολέμους ἐντεῦθεν ῥᾷστα διαγωνίζοιτο. διὰ
P 99 ταῦτα μὲν Ἀλέξιος σὺν χρήμασι πολλοῖς ἐπὶ Ἀγκῶνα ἦλθεν. ὅθεν Κωνσταντῖνόν τε τὸν Ὤττον καὶ Ἀνδρέαν κόμητα πόλεως Ἰταλικῆς τήν τε χεῖρα γενναῖον καὶ ἀνδρείας εὖ ἥκοντα ἐπὶ τὴν Ἰταλίαν ἐκπέμψας χεῖρά τε σύμμαχον ἤθροιζε πολλὴν καὶ πόλεις ὡς πλείστας Ῥωμαίοις ἐδουλοῦτο· ὅτε δὴ γέγονέ τι καὶ τοιοῦτο. ὁ Ῥώμης ἀρχιερεὺς Γιλιέλμῳ φιλίαν ἤδη ὁμολογήσας, ἐπειδὴ τὼ ἄνδρε τούτω διὰ τῶν Ῥώμης ἰόντε ἔγνω χωρίων, ἰσχυρότατα διεκώλυεν. ἀλλὰ

10. τηρήσειν] Ita Tollius. Cod. τηρήσειεν. 17. Ὤττον] Heyse Ὦκον. cfr. p. 72, 6.

tunae successus acciderant. interveniente quippe post partam gloriam calamitate, etsi infamia sit minor, eo tamen maior suboriri solet tristitia, quod cum prope abfueris a summa re conficienda, totam perdideris. verum etsi eapropter doluerit imperator, nequaquam tamen fregit illius animum conceptus ex hac clade moeror. Alexium itaque, qui tum protostratoris dignitate auctus fuerat, Anconam misit, ut inde quasi ex belli sede de Italiae possessione decertaret. fidem enim principi dederant oppidani, non se quidem ultro adversus Alemannorum regem arma sumpturos, sed pecunias et quos imperator misisset eo Romanos, ut se ipsos servaturos. quae vero ad id principem causa impulerit, nunc dicam. cum bellum ad Corcyram gereret, Venetorumque populos sibi infensos morososque adverteret, id maxime curavit, ut vindicata sibi Ancona Venetorum fastum retunderet et superbiam, bellaque inde Italica facilius exsequeretur. ea igitur propter magna cum pecuniarum vi Anconam venit Alexius: atque inde dimissis in Italiam Constantino Otto et Andrea comite civitatis Italicae, viro manu impigro et fortitudine insigni, auxiliares aliquot contraxit copias, urbesque quam plures Romanis asseruit: interea pontifex Romanus, inito cum Gulielmo foedere, ubi viros illos per Romanum agrum transire audivit, id quidem maxime prohibuit. sed

τῶν ἐπὶ δόξης τινές, οἳ Ῥωμαίοις εὔνοιαν φθάσαντες ὡμολόγησαν (ἔθος γὰρ ἀεὶ βασιλεῖ Μανουὴλ ἦν τῶν τῇδε πολλοὺς ἑταιρίζεσθαι), ἐπαναστήσαντες τὸν δῆμον αὐτῷ, τὸ βασίλειόν τε σημεῖον ἐντιμότατα τῇ δεήσει εἰσεδέξαντο καὶ τῷ Κοντοστεφάνῳ κατ' ἐξουσίαν B οὓς ἂν βούλοιτο μισθοῦσθαι ἐφῆκαν. ἐφ' οἷς χαλεπήνας ὁ ἀρχιερεύς, ὃ μόνον εἶχεν, ἐπιτιμίῳ τὸν δῆμον καθυποβάλλει, μηδὲν μετὸν εἶναι λέγων Ῥώμῃ τῇ νεωτέρᾳ πρὸς τὴν πρεσβυτέραν, πάλαι ἀπορραγεισῶν. "χρὴ δὲ μᾶλλον τῷ Σικελῶν ἀμύνειν δυνάστῃ· μέλει γὰρ αὐτῶν ὄντι, εἶτα κακῶς πεπονθότι τῇ πρὸς πολλῷ αὐτοῦ κρείττονα διαγωνίσει μὴ βεβοηθηκέναι ἀνόσιον." τοῦτο δὴ τὸ ἐπιτίμιον εὐλαβηθεὶς ἤδη τις ἀφίσταται μὲν τῶν τὰ βασιλέως περιεπόντων, εἰς δὲ τὸν ἀρχιερέα παλιμβόλῳ μετετίθετο γνώμῃ. ἀλλ' οἱ τὰ Ῥωμαίων πρεσβεύοντες τοῦτον μὲν βίᾳ πολλῇ ἐκεῖθεν ἀπέσπασαν· ὡς δὲ τὴν ἀπιστίαν αὐτῷ στηλιτεύσαιεν, βάρβαρόν τινα τρόπον C καὶ ἀπειροκαλίας οὐ πόρρω τινὸς τὴν παντευχίαν καὶ τὸν ἵππον ἐπὶ ξύλου τινὸς ἠρτημένα ἀπὸ καλωδίων ἀφῆκαν φέρεσθαι· ἐπί τε τὸν ἀρχιερέα ἐμφανῶς ἤδη συστάντες ἄκοντα τῶν ἐπιτιμίων ἀνεῖναι τοὺς ἀνθρώπους ἀνέπεισαν. ὅθεν τὰ Ῥωμαίων αὖθις πολλῇ τὸ ἐντεῦθεν ἐχρῆτο τῇ παρρησίᾳ. πόλιν τε οὖν ἣ ἀπὸ Γερμανοῦ τοῦ ἐν ἁγίοις τὴν προσηγορίαν ἔχει, πολέμῳ παρεστήσαντο, καὶ ἄλλας ἀμφὶ τὰς τριακοσίας ὑπὸ βασιλεῖ ἔθεντο, ὧν ὅπως ἑκάστη κλήσεως ἔσχεν ἔξεστι τῷ βουλομένῳ ἐκ τοῦ κατὰ νότον τῆς πόλεως ἐπὶ τοῖς

4. τῇ δεήσει] ? 8. ἀπορραγεισῶν] Fort. ἀπορραγεῖσαν.

ex illustrioribus nonnulli, qui benevolentiam principi suam spoponderant (Manuëli quippe imperatori solenne semper fuit plurimos ex iis qui ibi degunt sibi conciliare), concitata adversus pontificem multitudine, vexillum imperatorium summo cum honore nec non et veneratione suscepere, et Contostephano pro libitu quos vellet conducendi milites potestatem fecere. ob ea indignatus summus pontifex, quod unum poterat, populum anathemate ferit, nihil attinere inquiens Romam novam ad veterem, quae iam olim scissae essent: quin potius Siciliae domino opem ferendam esse, qui quum illorum membrum esset, ipsam pietatem poscere dicebat, ut, qui a multo fortiori opprimatur, auxilio sustentetur. eiusmodi excommunicationem veritus quidam ex iis, qui imperatoris partes sequebantur, abscessit, et ad summum pontificem mutata sententia venit. sed qui tum ibi Romanis favebant, magna eum inde vi expulere: utque omnibus innotesceret hominis perfidia, modo quodam barbarico et invenusto illius arma et equum in altum quoddam lignum extollunt, moxque laxatis funibus ad terram ferri sinunt. ita palam insurgentes in pontificem, ut anathematum vinculis homines solveret persuasere. atque inde maior rursum Romanis crevit audacia. itaque et civitatem quae a divo Germano nomen sortita est, expugnarunt, et alias circiter trecentas in imperatoris potestatem redegerunt, quarum qui volet cognoscere nomina, in eo quod in veteribus palatiis, quae ad meridiem vergunt, ab imperatore

ἐπιτιθέναι βούλει, κράτιστε βασιλεῦ, ἔχεις ἤδη καὶ ὑπὲρ ὃ ἐχρῆν Ἰταλίαν μετελθών. πόλεις τε γὰρ τριακοσίων οὐκ ἐλάττους ἐπὶ μέσης αὐτῆς παρεστήσω, πρᾶγμα παλαιὸς ἐξ οὗ χρόνος τὴν Ῥωμαίων ἀρχὴν ἐπιλελοιπός, καὶ κλέος ἀνεδήσω, ὃ μετὰ Ἰουστινιανὸν ἀρχαῖον Ῥωμαίων αὐτοκράτορα οὐδενὶ τῶν ἄλλων ὑπῆρξεν,
P 101 ὅτι μὴ τῷ κράτει τῷ σῷ. ἀξιοῦμεν γὰρ ἀντίθες ἀγνόημα τὸ ἡμῶν (λέγω δὴ ὁπηνίκα Κόρινθόν τε καὶ Εὔβοιαν κατετρέχομεν τὴν σὴν)
V 79 καὶ τὰς Ῥωμαίων ἐν Ἰταλίᾳ νίκας, οἳ δὴ τοσοῦτον ἤδη χρόνον ἄγουσί τε καὶ φέρουσι τὰ ἐνταῦθα, αἱμάτων τρὶς τοσούτων μᾶλλον δὲ πλεονάκις τοσούτων τὴν τῇδε πληρώσαντες γῆν, καὶ πόλεις οὐ διασκυλευσάμενοι μόνον τοσαύτας, ἀλλ' ἤδη καὶ ὑποχειρίους θέμενοι. πότερά σοι δοκεῖ μεγαλειότερα; κἂν μὴ πρὸς ἡμᾶς ἀντιμετρεῖσθαι ταῦτα βούλει πολλῷ καταδεεστέρους τοῦ σοῦ κράτους ὄντας, ἀλλὰ σύ γε ἐπὶ τοὺς πρώην ἀνάδραμε βασιλέας καὶ τὰ κατόπιν τῷ χρόνῳ ἐπίβλεπέ μοι Ῥωμαίων ἀνδραγαθήματα· ἢ οὐ καὶ τηνικάδε συγκέκρουκέ τις Ῥωμαίων τῇ ἀρχῇ; πολλὰ δήπου πάν-
B τως ἐθνῶν καὶ Περσῶν καὶ Οὔννων καὶ εἴ τι μὴ δυσφοροίη κράτος τὸ σόν, καὶ Ῥομπέρτος ἐκεῖνος ὁ Ἰταλίαθεν ἐς Ἐπίδαμνον διαβὰς μεγάλας τῇδε πάππῳ τῷ σῷ συνδιηγώνιστο μάχας. ἀλλὰ μόγις καὶ ἀγαπητῶς ἐκ τῆς Ῥωμαίων ἐκεῖνος Ῥομπέρτον διώσατο, σὺ δὲ καὶ τῆς ἡμετέρας σχεδόν τι περιγέγονας ἁπάσης. εἴ τι οὖν σοι τοῦ ἀνταμύνασθαι ἡμᾶς ἕνεκα ταῦτα ἐπικεχείρηται, ἅλις σοι τῶν τροπαίων· ἱκανῶς ἔχεις ἡμᾶς μετελθών. τὴν ἡμετέραν πατοῦντί σοι

4. ἀνεδήσω] Cod. ἀνεδύσω. 7. κατετρέχομεν] Ita Duc. Cod. κατατρέχομεν.

tehac commisimus, iam certe etiam supra quam oportuit Italiam ultus es. civitates enim in media illa non minus trecentas expugnasti, quod prioribus imperii Romani temporibus nunquam hactenus factum: tibique comparasti gloriam, qualis post veterem illum Iustinianum Romanorum imperatorem nulli alii, praeterquam maiestati tuae, contigit. confer igitur, obsecro te, delictum nostrum, cum nimirum Corinthum Euboeamque tuam incursavimus, et partas in Italia victorias a Romanis, qui longo illic iam tempore commorantur, omniaque inde auferunt rapiuntque, et sanguine, tertia plus parte, immo amplius, terram istam implerunt: qui urbes denique non spoliarunt modo, sed et easdem fecere sibi obnoxias. utrum tibi videtur maius? quodsi haec a nobis, utpote qui maiestate tua longe inferiores sumus, non pateris comparari, saltem ad priores recurre principes, et retro acta Romanorum praeclara revolve facinora, et an non etiam tum aliquis Romanum aggressus est imperium. multae utique gentes, et Persae et Hungari, et si non indignetur maiestas tua, Robertus ille, qui Epidamnum ex Italia traiiciens, magna ibi certamina cum avo tuo instituit. sed vix aegreque ex finibus Romanis illum dimovit. tu vero regionem nostram fere omnem occupasti si itaque nostri ulciscendi causa ea aggressus es, satis tibi victoriarum; plus satis

τὰ τῆς εἰρήνης ἀσπάσασθαι οὔκουν ἐστὶν ἀγεννές, εἰ μὴ καὶ σφόδρα ἐπίδοξον. σὺ δὲ καὶ Ῥωμαίους, οὓς τῆς τύχης ἡμῖν δούσης ἄνδρας οὕτω περιφανεῖς δοριαλώτους ἐποιησάμεθα, αὐτίκα λήψῃ, ἐφ' οἷς οὐδὲ ὀργίζεσθαί σε δίκαιον ἐφ' ἡμᾶς. ἀνδρὶ γὰρ πολεμουμένῳ οὐδεμία νέμεσις ἀντιπράττειν ἐχθροῖς. ὥστε λείπεται ἑνὸς ἐκείνου ἕνεκα τοῦ περὶ Εὔβοιαν ἡμῖν ἡμαρτημένου δίκαιον εἶναί σε C πολεμεῖν, οὗπερ ἤδη καὶ ὑπερέβης τὰς τίσεις, ὥσπερ ἐλέγομεν. εἰ μὲν οὖν δίκας ἡμῖν ἐπιθεῖναι προεθυμήθης, ὧν ἐς τὴν χώραν ἐνεδειξάμεθα τὴν σήν, τοσαῦτα ἀπολελογήμεθα τῷ κράτει τῷ σῷ, εἰ δὲ ἀεί σοι πολεμητέα γένει τῷ ἡμῶν, ὥρα σοι ἐννοεῖσθαι μή ποτε πέρα νομίμων εἴη τῶν ἀνθρωπίνων ἡ ἐγχείρησις. τὸ μὲν γὰρ ταῖς προφάσεσι καὶ τοὺς πολέμους συμμετρεῖν ἀνθρώπινον, περαιτέρω δὲ χωρεῖν ἄλλος μέν τις εἴποι ἂν ὅτι θηριῶδες, ἡμῖν δὲ τοῦτο μὲν οὐ λεκτέον, αἰτούμεθα δέ σε σπεισάμενον ἤδη πόλεμον τόνδε καταλύειν." ταύτην ὁ βασιλεὺς πολλάκις ἀπολεξάμενος τὴν ἐπιστολὴν ἐπένευσε τοῖς εἰρημένοις, τούς τε Ῥωμαίων αἰχμαλώτους D ἀπολαβὼν καὶ εἴ τι που λάφυρον πολέμου ἐγένετο κομισάμενος, πρὸς δὲ καὶ τὰ πιστὰ πρὸς Γιλιέλμου λαβὼν σύμμαχον ἐν ταῖς κατὰ τὴν ἑσπέραν ἕξειν αὐτόν, τὸν πόλεμον ἔλυσεν. ὀλίγῳ δὲ ὕστερον καὶ ῥῆγα τετίμηκεν οὐ πρότερον ὄντα, τοσοῦτόν τε ἐπ' αὐτῷ τετήρηκε τὸ εὐμενές, ὡς Γιλιέλμου τὸν βίον συμμετρησαμένου προσιόντα αὐτῷ τὸν ἀδελφὸν αἰτούμενόν τε συλλήψεσθαι αὐτὸν ἐφ' ᾧ Σικελῶν ἄρξει προσδέξασθαι οὐδαμῶς.

18. ἐν ταῖς] ἐν τοῖς?

nos ultus es. dum nostras calcas terras, pacem amplecti, non modo non ignobile, quin potius maxime gloriosum. viros autem illustres Romanos, quos, sic volente fortuna captivos fecimus, sine mora recipies, ita ut eapropter amplius nobis non irascaris. neque enim succensendum homini qui bello impetitur, si hostibus suis resistat. ita plane liquidum sit, te ob id unum, quod in Euboea deliquimus, bellum iuste gerere: cuius quidem delicti, ultra quam par est poenas, ut diximus, exegisti. si igitur pro iis quae in tuas commisisse terras deprehendimur, multam irrogare statuisti, ea ipsa apud maiestatem tuam excusavimus. si vero semper tibi adversus genus nostrum bellum gerendi causa superest, id in primis attendere te oportet, ne praeter ius gentium id fiat. bella quippe praetextibus metiri, hominis est; ulterius vero tendere, erit qui ferarum esse proprium dixerit, nobis autem id tacendum. te igitur obsecramus, ut hocce bellum sancto foedere dirimatur." his saepius perlectis literis, tandem dictis annuit imperator, receptisque Romanis captivis aliaque belli praeda restituta, fide ad haec data a Gulielmo, se sociali cum exercitu versus Occidentem secuturum, bellum solvit. nec multo interiecto tempore regem renuntiavit Gulielmum, cum antea hac dignitate non gauderet. tanta vero erga illum usus est benevolentia, ut eo mortuo, accedentem fratrem, opemque ad invadendum Siculorum principatum implorantem, haudquaquam admiserit.

16. Τὰ μὲν δὴ τῶν Ἰταλικῶν πολέμων ἐνταῦθα Ῥωμαίοις
P 102 πέρας ἔσχε. βασιλεὺς δὲ καὶ πρότερον μὲν τῶν κατὰ τὴν Ἀσίαν ἤδη κεκινημένων πραγμάτων, ὁπηνίκα ἔτι τὰς ἐν Ἰταλίᾳ διέφερε μάχας, φροντίδα τῶν τῇδε εἶχε πολλήν, τότε δὲ ὁλοσχερέστερον λοιπὸν ἀντεποιήθη. ὁ μὲν γὰρ Περσῶν σουλτὰν Πούνουράν τε καὶ Σίβυλαν Ῥωμαίοις κατηκόους παρεστήσατο πόλεις, Τερόζης δέ, οὗπερ ἤδη ἐμνήσθην, τῶν ἐν Κιλικίᾳ πλείστας ἀφήρπασεν, Ἰαγουπασὰν δέ, ὃς καὶ αὐτὸς Περσῶν φύλαρχος ἦν, ἄρχων γῆς τῆς Καππαδοκῶν, Οἴναιόν τε κατέθεε καὶ Παυράην, πόλεις ἄμφω Ποντικάς. Ἀλέξιον τοίνυν τὸν Γιφάρδον ἐπὶ τὸν σουλτὰν πέμψας τὰς εἰρημένας ἀνέλαβε πόλεις, Ἰαγουπασὰν δὲ τῆς ἐπὶ τὰ Ῥω-
B μαίων ἀποσχόμενον ἐκδρομῆς ἑαυτῷ προσανέχειν ἠνάγκασεν· ἐπὶ μέντοι τῆς Κιλίκων αὐτὸς ἐκστρατεύειν διενοεῖτο. ἐν δὲ τούτῳ ἐν Βυζαντίῳ τάδε συνέπεσεν. ἦν τις Λευιτῶν οὓς διακόνους καλοῦ-
V 80 μεν· ὄνομα τούτῳ Βασίλειος. οὗτος ἀναπτύσσειν τοῖς πολλοῖς τὰς θείας ἐν ταῖς ὅπου δήποτε τελεταῖς πεπιστευμένος φωνὰς ἄλλους τε τῶν καὶ κατὰ βραχὺ προσκεκρουκότων αὐτῷ ἐν ταύταις δὴ ταῖς ὁμιλίαις σχήματι καὶ ἐπικρύψει κακηγορεῖν ἤθελε, καὶ δὴ καὶ Μιχαὴλ καὶ Νικηφόρον ἐπίκλησιν Βασιλάκιον, ὧν ὁ μὲν ῥητορικῆς ἐς τόδε καιροῦ καθηγητὴς ἐτύγχανεν ὢν ὁ Μιχαήλ, τὰ ἱερά τε ἐπὶ τοῦ τῆς Σοφίας ἱεροῦ διεξηγεῖτο τῶν εὐαγγελίων ῥητά, ἅτερος
C δὲ εὐδόκιμος ἄλλα τε τῶν ἐν λόγοις ἦν καὶ δὴ καὶ λόγων ἀγαθὸς δημιουργός· ἀμέλει γοῦν καὶ πολλὰ τῶν κατὰ ῥητορικὴν μεμελέ-

18. σχήματι] Tollius et Duc. σχίσματι.

16. Hunc finem habuere bella Romanorum Italica. dum iis adhuc distineretur imperator, Asiaticorum motuum cura sollicitum tenebat: quibus demum peractis, totum se rebus istis applicuit. Persarum quippe Sultanus Punuram et Sybilam, Romanorum civitates, expugnaverat: et Torosus, cuius supra meminimus, plurimas etiam abstulerat in Cilicia. ad hoc Iagupasan, qui et ipse phylarchus erat Persarum et Cappadociae princeps, Oenaeum et Pauraen, Ponticas urbes, incursabat. misso itaque ad Sultanum Alexio Giphardo, ea oppida recepit: Iagupasanem vero incursionibus in fines Romanos abstinere, sibique deinceps adhaerere coegit. in Ciliciam autem ipse expeditionem instituere decrevit. interea haec Byzantii accidere. erat quidam ex Levitarum ordine, quos nos diaconos vocamus, nomine Basilius. hic ad explicandum in ecclesiasticis coetibus verbum divinum constitutus, alios qui vel minimum ab eius sententiis dissidebant in hisce concionibus tecte et occultim redarguit: atque in his Michaëlem et Nicephorum, cognomento Basilacium; quorum alter rhetorum ea tempestate magister, sacra evangeliorum verba explanabat in Sophiano templo: alter vero celebris inter eruditos in orationibus elucubrandis maxime praestabat, multaque in rheto-

τρω αὐτῷ ἄγαν δεξιῶς. ἐπὶ τούτοις ὠδινόν τε τὼ ἄνδρε τούτω καὶ ἐν δεινῷ ἐποιοῦντο, εἰ τηλικούτω τὰ ἐς σοφίαν ὄντε πρὸς τοιούτου διαμυκτηρίζοιντο ἀνδρός, ὅθεν ἑαυτοῖς τε καὶ πλείστοις ἑτέροις ἀνηκέστων αἴτιοι ἐγενέσθην κακῶν. τοῦ Βασιλείου γάρ ποτε ἐς τὸν πρὸ τοῦ ἄστεος τοῦ ἀποστόλου Ἰωάννου τοῦ θεολόγου νεὼν τὴν συνήθη τελοῦντος αὐτῷ λειτουργίαν, ᾖεσαν ἀκουσόμενοι καὶ οὗτοι, ἀκοαῖς γε μὴν ἐπιβούλοις καὶ πλήρεσι δυσμενείας. ὡς γὰρ εὐαγγελικήν που οἶμαι περικοπὴν ἐκεῖνος διεξιὼν τὸν αὐτὸν ἔφη καὶ ἕνα τοῦ θεοῦ υἱὸν καὶ θῦμα γενέσθαι καὶ σὺν τῷ πατρὶ τὴν θυσίαν
προσδέχεσθαι, ἥρπασάν τε τὸν λόγον εὐθὺς καὶ ἄνω καὶ κάτω D
διεχλεύαζον ἰόντες, διττὰς ἐντεῦθεν τὸν Βασίλειον λέγοντες εἰσάγειν ὑποστάσεις, εἰ τὸ μὲν ἐτύθη, τὸ δὲ τὴν θυσίαν ἐδέξατο. ἄλλοι τε οὖν ταύτῃ τῇ δόξῃ συνέθεντο τῶν ἐπὶ λόγοις τε δοκίμων καὶ δὴ καὶ Σωτήριχος ᾧ Παντεύγενος ἡ ἐπίκλησις ἦν, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον σοφίᾳ καὶ λόγων δεινότητι τοὺς ἄλλους ὑπερβάλλων, ὃς καὶ τῆς Ἀντιόχου τὸν θρόνον λαχὼν οὔπω ἔτι κεχειροτόνητο. ὁ τοίνυν Σωτήριχος οὐκ ἀπὸ γλώσσης μόνον καὶ στόματος δόξῃ τῇ
ἐκείνων παρίστατο, ἀλλὰ δὴ καὶ καλόν τι χρῆμα λόγου συντάξας, P 108
οἷος ἐκεῖνος ἐξαισίαν τινὰ πρὸς Πλάτωνα ἐν διαλόγοις ὁμοιότητα ἴσχων, πολλὰ ἐν τούτῳ δὴ τῷ λόγῳ συνεφόρησεν ἄτοπα, δι' ἅπερ αὐτός τε τὴν τοῦ θρόνου καθαίρεσιν ὑπέστη, βασιλέως τοῖς ἀμφιβαλλομένοις διαιτήσεως, καὶ ὅσοι ἤδη συνίσταντο τούτῳ. Βασίλειος δὲ τὴν ἐπιτιμίαν αὖθις ἔσχεν· ἐτύγχανε γὰρ ἤδη ταύτην ἀπο-

13. τε δοκίμων] Fort. εὐδοκίμων. 22. διαιτήσεως] Fort. διαιτήσαντος. ibid. συνίσταντο τούτῳ] Fort. excidit ἐξωστρακίσθησαν vel simile verbum.

ticam docte erat sciteque iam commentatus. eapropter dolebant ii, quod tot sapientiae instructi dotibus ab tali homine traducerentur: unde sibi compluribusque aliis maximorum malorum causa fuere. Basilio enim in eo apostoli D. Ioannis theologi templo, quod ad urbem est, consuetum aliquando ministerium faciente, venerunt ii ut eum audirent, sed insidiosis malevolisque auribus. cum enim ille quemdam evangelii locum enarraret, unum et eumdem esse dei filium et victimam, et cum patre sacrificium excipere: arreptum subito sermonem ludibrio habentes reversi sunt, duas inde Basilium dicentes inducere personas, si ille quidem immolatus fuerit, ille vero sacrificium excipiat. huic sententiae tum alii suffragati sunt literis clari, tum et Soterichus, cognomine Panteugenus, vir ea aetate doctrina et sermonum gravitate ceteros praecellens, quique ecclesiae Antiochenae episcopus electus, nondum manus impositionem acceperat. is igitur Soterichus non lingua solum et ore eorum accessit opinioni, sed et magnifica oratione composita, singularique quadam similitudine Platonicos exprimente dialogos, multa in illa absurda congessit. propter quae et ipse sede sua deturbatur, et qui illi favebant, omnes pelluntur. Basilius dignitatem recuperavit: hac enim

βαλών, εἰ καὶ χρόνῳ ὕστερον αὖθις ἀπώλεσε ταύτην, οὐκ ὀρθός, ὡς ἐλέγετο, τὰ δογματικὰ φωραθείς.

17. Τὰ μὲν δὴ τῆς δογματικῆς ἐκείνης ἀμφισβητήσεως τοιοῦτον εὕρηκε πέρας. βασιλεὺς δὲ ἐπὶ Τερόζην ἐστέλλετο. αὐτοῦ γὰρ τοῖς περὶ τὴν ἑσπέραν ὥσπερ εἴρηται διεσχολημένου, και-
B ροφυλακήσας ὁ βάρβαρος σχεδόν τι ἁπάσας τῶν ἐν Κιλικίᾳ παρεστήσατο πόλεων. δεινὸς γὰρ εἴπερ τις ἐγένετο ὀξύτητά τε καιροῦ προαρπάσαι καὶ πράγματα ῥάψαι ἱκανός. τούτου τε δὴ ἕνεκα βασιλεὺς ἐπὶ τὴν Ἀσίαν ἐχώρει καὶ ὧν αὐτὸς ἐρῶν ἔρχομαι. Ῥαϊμούνδου τοῦ Ἀντιοχείας πρίγκιπος ἐκ τῶν τῇδε μεταχωρήσαντος, ἐν μὲν τῷ παραυτίκα Κωνστάντζα ἡ αὐτοῦ γαμετὴ ἑαυτήν τε βασιλεῖ καὶ τὰ Ἀντιοχέων ἐγχείριζε πράγματα, βασιλέως δ' ἔπειτα Ῥογέριον τὸν καίσαρα, ὥσπερ ἤδη ἐμνήσθην, ἐφ' ᾧ ξυνοικῆσαι αὐτῇ στείλαντος, μεταβαλοῦσα ἐκείνη κοινῇ τῶν Ἀντιοχέων βουλῇ Ῥενάλδῳ τινὶ γάμου κοινωνεῖ, ἐννοησάντων μή ποτε Ῥογερίῳ γεγαμημένης τῆς γυναικὸς Ῥωμαίοις ἐς φόρου ἀπαγωγὴν αὐτοὶ πέ-
C σωσιν. οὗτος δὲ ὁ Ῥενάλδος, ἐπειδὴ δεόμενον αὐτὸν βασιλεὺς οὐ προσίετο, ἀπειλὰς δὲ μᾶλλον ἐπισείων ἐξεδειμάτου πολλάς, δεῖν ἑαυτὸν χρημάτων ὑπολαβὼν τοιάδε τινὰ ἐποίει. ναῦς τεκτηνάμενος ἐπὶ τὴν Κυπρίων ἐπλωΐζετο, πειρατικῶς τε τοῖς ἐνταῦθα προσ-
V 81 φερόμενος περιουσίαν ἐνταῦθα δυνάμεως ἐξεπορίζετο. ἀλλὰ τὸ μὲν πρῶτον Ἰωάννης ὁ τοῦ βασιλέως ἀδελφιδοῦς τὴν χώραν τότε διέπων, καὶ Μιχαὴλ ὁ Βρανᾶς καὶ τῶν ἄλλων ὅσοι ἐπὶ φυλακῇ ταύτης ἐτάττοντο, ἀπώσαντό τε αὐτὸν καὶ κακῶς διέθεντο· ἔπειτα

iam exciderat: sed postea eam iterum perdidit, cum haud sana sentire, ut aiunt, deprehensus esset.

17. Hunc finem habuere illae de rebus theologicis quaestiones. imperator igitur adversus Torosum proficiscitur. cum enim, ut supra dictum est, rebus Occidentalibus detineretur, opportunitatem adeptus barbarus iste omnes ferme Ciliciae civitates expugnaverat. callidus enim erat, si quis alius, et in captandis occasionibus rebusque conficiendis maxime industrius. iis itaque de causis, aliisque, quas dicturus sum, in Asiam venit imperator. Raimundo Antiochiae principe exstincto, Constantia illius uxor seque ipsam extemplo et Antiochenum principatum imperatori tradidit. cum eo deinde Rogerium Caesarem, cuius supra meminimus, misisset princeps, ut illam sibi uxorem adiungeret, mutata sententia, communi Antiochenorum consilio, Renaldo cuidam illa nubit. verebantur quippe ii, ne si Rogerio iuncta esset, Romanorum fierent vectigales. hic autem Renaldus, cum supplex etiam non admitteretur ab imperatore, sed potius intentatis minis terreretur, opus esse sibi pecuniis ratus, haec aggreditur. fabricatis navibus Cyprum adnavigat, ibique piraticam exercens, magnam inde opum vim parat. sed Ioannes imperatoris ex fratre nepos, qui tum regioni isti praeerat, et Michaël Branas ceterique ad custodiam insulae praepositi, primo illum expulerant maleque

προπετεστέρως ἢ ἐχρῆν ἐπὶ Λευκουσίαν τοῦ Βρανᾶ ποιησαμένου τὴν δίωξιν, ξυνεπεξῄει τούτῳ καὶ ὁ Ἰωάννης, ὅθεν συνέβη ἀμφοτέρους ἁλῶναι πρὸς τοῦ Ῥενάλδου. τούτων δὴ ἕνεκα βασιλεὺς ἐπὶ τὴν Κιλίκων ἐχώρει. ἐπειδὴ δὲ πρὸς τῇ μικρᾷ Φρυγίᾳ ἐγένετο, D
Πέρσαις ἐνταῦθα ὑπαντιάσας ἥττησέ τε πολέμῳ αὐτοὺς καὶ φόνον πολὺν εἴργαστο, τὴν παρακειμένην τε Περσῶν δῃώσας χώραν ὡς ἐπὶ τὴν Κιλίκων ἐφέρετο, σχηματιζόμενος ἐπὶ Πέρσας δῆθεν τὸν πόλεμον ἄγειν· τούτῳ δὲ τῷ τρόπῳ μηδὲν ὑφορώμενον τὸν Τερόζην καταλαβεῖν ᾤετο. ὅπως γε μὴν ἔτι μᾶλλον ἀπροσδόκητος αὐτῷ παραγένηται, κατὰ τάδε ἐποίει. Ἀλεξίῳ μὲν τῷ Κασιανῷ ὃς τὴν Σελευκείων τότε διεῖπεν ἀρχήν, τὸν αὐτόχθονα ἐκέλευεν ἀθροίσαντι στρατὸν ἐν παρασκευῇ ἔχειν· ὁ δὲ τὸ εὐζωνότερον ἀπολεξάμενος τῆς στρατιᾶς τὴν ἐπὶ Σελευκείας ἠπείγετο. τῷ δ' ἄλλῳ P 104
Ῥωμαίων στρατεύματι ἐνταῦθά που ἐπὶ τῆς Ἀττάλου μένοντι ἐπιμελεῖσθαι τῶν ἵππων ἐκέλευεν. πάθος γάρ τι τοῖς αὐτῶν πέλμασιν ἐπιγεγονός, ὃ δὴ τῷ ἱππείῳ ἐπισκήπτειν εἴωθε γένει, ἰσχυρῶς αὐτοὺς ἐπίεζεν. ὡς δὲ αὐτὸς μὲν τὰ ἐπὶ Σελευκείας ἐξῆλθε πεδία, τὸ δὲ στράτευμα οὐ παρῆν ὥσπερ ἐκέλευε (παρημέλητο γὰρ τοῦτο πρὸς τοῦ Ἀλεξίου), ἐφ' ἕτερόν τι ἐτράπετο, σθένει παντὶ τὸν Τερόζην καταλήψεσθαι προθυμούμενος. Ἀλέξιον μὲν πρόσθεν ἔπεμψεν, εἴ πως Τερόζην αὐτῷ συμπλακέντα ἐνταῦθα ἐπισχεῖν δυνηθῇ, ὁ δὲ κατὰ νώτου τούτῳ ἐχώρει οὐ πλείους πεντακοσίων ἐπα-

1. προπετεστέρως] Ita Duc. Cod. προπετέστερος. 11. Σελευκείων] Σελευκέων? Σελευκείαν?

habuerant. sed mox cum Branas unaque et Ioannes imprudentius, quam par erat, ad Leucosiam usque Renaldum fugientem essent insecuti, uterque ab illo capti sunt. atque id potissimum causae fuit, cur in Ciliciam pergeret imperator. ubi ille in minorem Phrygiam pervenit, Persis obviam factus, signis collatis praelio eos superavit magnamque caedem edidit. adiacentibus deinde Persarum agris devastatis, in Ciliciam iter instituit, quasi in Persas bellum translaturus esset: qua ratione necopinantem Torosum sese oppressurum credebat. atque adeo ut magis illi improvisus accederet, talia instituit. Alexio Casiano, qui tunc Seleuciae regebat praefecturam, conflare ex indigenis exercitum paratumque habere imperavit: ipse interim expeditioribus militum delectis Seleuciam versus iter intendit, ceterasque Romanorum copias Attaliae manere iussit, equorumque curam ibi habere. morbo quippe, cui ut plurimum equi obnoxii sunt, et qui pedum plantis accidere solet, graviter dolebant. ut vero in Seleucianos pervenit campos et exercitum, sicuti imperaverat, paratum haud invenit (id enim neglexerat Alexius), mentem alio convertit, Torosum cum omnibus viribus cupiens invadere. Alexium igitur praemisit, ut Torosum aggrediendo ibi distineret: ipse vero a tergo secutus est, haud plures quingentis secum ducens armatos. captus-

B γόμενος ἀνδρῶν ὁπλιτῶν, καὶ τάχα ἂν ἥλωτό τε ὁ τύραννος καὶ ὑπὸ χερσὶν ἐγένετο Ῥωμαϊκαῖς, εἰ μὴ τύχη τις αὐτὸν ἐξ ἀπροσδοκήτου διεσώσατο. τῶν γάρ τις προσαιτούντων, οἳ πολλοὶ τῶν Λατίνων γένους ἐπὶ Παλαιστίνην ἰόντες ὄρη τε καὶ δρυμὰ περιτρέχουσιν ἀλῆται, καὶ οὐδὲν ὅ,τι τῷ πλήθει λείπουσιν ἄστειπτον, τῷ βασιλεῖ περιτυχὼν στατῆρά τε ἐξ αὐτοῦ κεκομισμένος χρυσοῦ τὴν ταχίστην ἐπὶ τὸν Τερόζην ἦλθε καὶ αὐτῷ τὴν βασιλέως ὅσον οὐκ ἤδη ἐπήγγελλεν ἄφιξιν. ταῦτα ἐκεῖνος ἀκούσας καταπέπληκτο μέν, ὡς τὸ εἰκός, τὸν μέντοι λόγον πρὸς οὐδένα τῶν ἁπάντων ἐξενεγκὼν ὅτι μὴ Θωμᾶν τε καὶ Κόρχην, ἄνδρας εὔνους αὐτῷ, φυγὰς ἄλλοτε ἄλλῃ φερόμενος ἐξέτρεχε πανταχοῦ. βασιλεὺς δὲ τῇ ὑστε- C ραίᾳ ἐς τὴν Κιλίκων εἰσελάσας αὐτὸν μὲν εὗρεν οὐδαμοῦ, τὸ ἐν Λάμῳ δὲ φρούριον ἀμαχητὶ παρεστήσατο ἐρυμνὸν μάλιστα ὄν. εἶτα Κίστραμον καὶ Ἀνάζαρβον πόλιν εἷλε περιφανῆ. προϊὼν δὲ καὶ Λογγινιάδα σὺν πάσῃ τῇ περιοικίδι καταδραμὼν ἐδουλώσατο. ὅθεν ἐπὶ Ταρσὸν μεταβὰς ἣ μητρόπολις τῷ ἔθνει τούτῳ τυγχάνει οὖσα, αὐτὴν μὲν εἷλεν αὐτοβοεί, Τίλι δὲ κρησφύγετον μάλα ἐχυρὸν πέμψας ὑπὸ Ῥωμαίους ἐποιήσατο. ὅπως δὲ Ταρσὸν οὐδ᾽ ἂν ὑπὸ μυριάδων ἁλώσεσθαι πολλῶν εὐχερῆ οὖσαν αὐθημερὸν αὐτὸς παρεστήσατο, δηλώσω ἔγωγε. ἐπειδήπερ δυσάλωτον οὖσαν αὐτὴν ἔγνω, τρίβειν ἐνταῦθα τὸν καιρὸν οὐδαμῇ ἤθελεν, ὅθεν καὶ αὐτὸς μὲν ἐφ᾽ ἑτέρας ἐτράπετο πόλεις, Θεόδωρον δὲ γαμβρὸν αὐ- D τῷ ἐπ᾽ ἀδελφῇ γεγονότα Βατάτζην ἐπώνυμον ἐπ᾽ ἐκείνην ἔπεμψε

1. ἥλωτό τε] Fort. ἥλω τε. 18. Ταρσὸν] Ita Duc. Cod. Ἀνάζαρβον.

que continuo et in Romanorum potestatem venisset tyrannus, nisi ipsum fortuna quaedam inopinato servasset. quidam enim mendicus, quales multi ex Latinis nationibus euntes in Palaestinam montes et silvas vagabundi percurrunt, ac nihil non tritum relinquunt, obvius imperatori factus, auri statere ab illo accepto, quanta potuit celeritate ad Torosum contendit et imperatoris adventum nuntiavit. quo ille audito, nec iniuria, perculsus, iis nemini, praeterquam Thomae et Corcae sibi fidis, quae acceperat indicatis, huc illuc errans et palabundus vagatur. imperator postridie Ciliciam invadit: eo nusquam invento, castellum in Lamo arduum maxime nullo labore expugnat. deinde Cistramum capit et Anazarbum urbem celeberrimam, progressusque Longiniadem cum adiacentibus agris imperio subiicit. inde ad Tarsum Cilicum metropolim profectus, urbem primo intercipit impetu: et Tili castrum validissimum, missis eo nonnullis, Romanorum iuri asserit. qua vero ratione Tarsum, quae ne a multis quidem millibus expugnari vix potest, ipse eodem quo accessit die ceperit, narrabo. . ubi enim urbem aegre expugnari posse advertit, frustra ibi tempus terere inconsultum putans, deflexit ad alia oppida: Theodorum vero sororium, cognomento Batatzem, ad eam circum-

πολιορκήσοντα. ἀλλ' οὔπω Θεόδωρος εἰς τὴν πόλιν ἀφίκετο, καὶ οἱ ἐπὶ τῶν ἐπάλξεων βασιλέα προσιέναι νομίσαντες ἐξαίσιόν τέ τινα πεφοβημένοι φόβον ἐρρίπτουν ἀπὸ τῶν πύργων ἑαυτοὺς δυσθανατοῦντες οἱ ταλαίπωροι, ἥ τε πόλις εὐθύωρον τοῦτον ᾑρέθη τὸν τρόπον.

18. Ταρσὸς μὲν δὴ οὕτως ἑάλω· Τερόζης δὲ καὶ Ῥενάλδος ὁ πρίγκιψ ταῦτα ὁρῶντες βασιλεῖ μὲν οὐδαμῇ διαπρεσβεύεσθαι ἐτόλμων ἅτε μεγάλα ξυνειδότες ἑαυτοῖς κακά, παρὰ δὲ τῶν γνησιωτάτων αὐτῷ τινας πέμποντες ἱκέτευον ἱλάσασθαι σφίσι τὸν βασιλέα. ὡς δ' ἀπετύγχανον τοῦ σκοποῦ, Ῥενάλδυς πανταχόθεν ἐξαπορούμενος τὴν Ἀντιοχείας ἀκρόπολιν ἐγχειριεῖν βασιλεῖ διωμολόγει, εἰ κακῶν ἀμνηστήσειεν αὐτῷ. συνίει γὰρ καὶ τοῦ Ἀντιοχείας ἀρχιερέως, ὃν αὐτοὶ ὁμογενῆ σφίσιν ἐφιστᾶσι πατριάρχην δῆθεν αὐτὸν κλεΐζοντες, δυσμένειάν τινα καὶ κότον ἐπ' αὐτῷ τρέφοντος ἐξ αἰτίας τοιᾶσδε. Ῥενάλδος, ὅπερ ἤδη ἐλέγομεν, ἐσχάτην ἑαυτῷ πενίαν ξυνειδὼς Κύπρον τε καταδραμεῖν διενοήθη καὶ τὸν ἀρχιερέα τοῦτον ἰδίᾳ παραλαβὼν χρήματα αὐτῷ δοῦναι ἠξίου· ἐν εὐπορίᾳ γὰρ εἶναι πολλῇ τοῦτον ἐγίνωσκεν. ὡς δ' οὐκ ἔπειθε, τῶν ἀμφίων ἀφελόμενος τὸν ἄνθρωπον πολλὰς μὲν αὐτῷ κατὰ τοῦ σώματος ἔξαινε πρότερον, θέρους δὲ ἀκμάζοντος μέλιτι τὰ τραύματα ἐπιχρίσας ἡλίῳ θέρεσθαι ἀφῆκε. σφῆκές τε οὖν καὶ μέλιτται καὶ μυῖαι καὶ τἆλλα τῶν αἱμοβόρων ζωυφίων καθ' ὅλου

V 82 · P 105 · B

8. παρὰ] Toll. ἐπί. Cod. π. παρὰ Heyse. 10. ἀπετύγχανον] Cod. ἐπετύγχανον. correxit Duc.

sidendam misit. sed nondum ad urbem advenerat Theodorus, cum milites, qui in propugnaculis stabant, adventare imperatorem rati, ingenti perculsi metu de turribus sese dedere praecipites, mortemque sic miseri acerbam oppetiere.

18. Ita quidem capta est Tarsus. cum haec adverterent Torosus et Renaldus princeps, ad imperatorem legatos mittere non ausi, utpote multorum a se perpetratorum malorum conscii, illius agnatos quosdam misere, qui pro iis eumdem deprecarentur. id ubi recusatum est, Renaldus animo undique anxius quidque ageret incertus, arcem Antiochenam imperatori se traditurum spondet, si delictorum suorum concederetur oblivio. noverat enim Antiochenum pontificem, quem ex sua gente sibi illi praeficiunt ac patriarchae nomine donant, inimicum sibi infensumque esse ea ex causa. Renaldus, ut ante diximus, cum se in extrema rerum penuria constitutum videret, non modo Cyprum depraedari constituit, sed et pontificem hunc in secretum abductum aggressus, pecunias sibi ab illo dari postulavit, non ignarus multis illum abundare opibus. id cum renuisset, vestibus homini detractis, corpus multis primum verberibus caesum, ardente tum aestate, vulneribus melle illitis, urendum soli exposuit. ibi tum vespae et apes et muscae, et cetera sanguinem ebibentia animalcula, nudato prorsus corpori

γυμνητεύοντος ἐγκαθίζοντα τοῦ σώματος συνεμύζων αὐτῷ τῶν αἱμάτων. ὑφ' ὧν ἀπαγορεύσας ὁ ἄνθρωπος πάντα τὸν πλοῦτον Ῥενάλδῳ παρεῖχεν ἐξενεγκών· ὁ δὲ ἐξευμενιζόμενος δῆθεν αὐτὸν κοσμήσας συνήθως ἔφιππον διὰ μέσης ἦγε τῆς πόλεως, αὐτὸς ἐκ ποδός τε βαδίζων καὶ τὸν ἐκ τῆς ἐφεστρίδος ἠρτημένον ἐν χειρὶ κατέχων ἱμάντα. ἀλλ' ἐκεῖνος μὲν ταῦτα ἐποίει, ὁ δὲ οὐδὲν ἧττον
C ἐμεμηνίει κατὰ Ῥενάλδου καὶ ἐζήτει καιρὸν ὅπως ἂν ἀμύναιτο τοῦτον. καὶ δὴ συχνὰ παρὰ βασιλέα πέμπων προδιδόναι οἱ κατεπηγγέλλετο τὸν ἄνθρωπον. βασιλέως δὲ πρὸς τοῦτο ἀνανεύοντος (πολέμῳ γὰρ μᾶλλον ἢ δόλῳ περιγενέσθαι ἤθελε), τῆς ὁρμῆς ἀνεκόπτετο. Ῥενάλδος μὲν ταῦτα ἐννοῶν τὰ προειρημένα βασιλεῖ ὑπισχνεῖτο· τοῦ δὲ μὴ προσιεμένου τὴν ἱκεσίαν τοιάδε τινὰ ἐποίει. ἀφαιρεῖται μὲν τὴν καλύπτραν τῆς κεφαλῆς, γυμνώσας δὲ τὼ χεῖρε ἄχρι καὶ ἐς ἀγκῶνας αὐτούς, ἀνυπόδετος σὺν τῶν μοναχῶν πολλοῖς διὰ μέσης τῆς πόλεως πορευόμενος ἐπὶ βασιλέα παραγίνεται. ἐξῆπτο δὲ αὐτῷ τοῦ μὲν τραχήλου καλώδιον, χειρὶ δὲ τῇ ἑτέρᾳ
D ξίφος ἐφέρετο. ἦρτ' οὖν τηνικαῦτα βῆμα λαμπρόν· καὶ Ῥενάλδος μὲν ἄποθέν που τῆς βασιλείου σκηνῆς ἵστατο ὡς ἂν μὴ θαρρῶν τὴν εἰσφοίτησιν, ὁ δὲ τῶν ἀμονάχων μοναχῶν ὅμιλος ἀσάνδαλοί τε καὶ ἀκαλυφεῖς κεφαλὰς εἰσῄεσαν ἐπὶ βασιλέα, ἐπὶ γόνυ τε ὀκλάσαντες ἅπαντες δάκρυά τε τῶν ὀφθαλμῶν ἔπεμπον καὶ τὰς

1. *γυμνητεύοντος*] Cod. *γυμνιτεύοντος*. 14. *μοναχῶν*] Ita recte Heyse explicuit siglum Codicis *ἀλ ἀλ*. nisi quod, ut paulo infra v. 19 legitur, *ἀμονάχων μοναχῶν* scribi voluit, quod ut altero loco aptissimum ita hoc loco minus aptum videtur. Tollius et Duc. *Ἀντιοχέων* ediderunt.

insidentia sanguinem eius sugebant. quibus adactus tormentis, prolatas opes omnes Renaldo tradidit. tum vero pacatus ille, consuetis virum induit vestimentis, equoque insidentem per mediam ductum civitatem ipse pedes, lorum quod a sella dependebat manu tenens, est subsecutus. verum id etsi egisset Renaldus, non minori tamen eum odio prosequebatur pontifex, occasionemque captabat, qua illatam sibi iniuriam ulcisceretur. ideoque crebris ad imperatorem missis legatis, hominem in illius manus sese traditurum pollicebatur. sed id recusante imperatore, quod bello potius quam dolo victoriam vellet consequi, ab incepto destitit. ea quidem animo reputans Renaldus, supra dicta cum imperatore pacisci parat: verum illo preces aspernante, talia instituit. abiecto capitis tegumento, manibus usque ad cubitum detectis pedibusque nudis cum plurimis monachis non monachis per mediam incedens civitatem ad imperatorem pergit. appensus erat collo funiculus, et gladius ab eo altera ferebatur manu. erat autem illic erectum insigne tribunal. stabat vero procul ab imperatorio tabernaculo Renaldus, tamquam si ad illum accedere non auderet. monachorum turba non monachorum absque sandaliis capitumque tegumentis imperatorem adibat, et in genua procumbentes omnes lacrimas profundebant ex oculis manusque protendebant.

χεῖρας ἀνέτεινον. βασιλεὺς δὲ τὸ μὲν πρῶτον ἀνένευε, παρακληθεὶς δ' ὕστερον παρελθεῖν τὸν πρίγκιπα ἐκέλευσεν. εἰσελθόντι δὲ τρόπῳ τῷ εἰρημένῳ ἐπικαμφθεὶς ἀφῆκεν αὐτῷ τὸ ἐμπαροίνημα, ὅρκοις ἄλλα τε πολλὰ πιστωσαμένῳ, ὅσα δηλονότι βασιλεῖ βουλομένῳ P 106 ἐτύγχανε καὶ δὴ καὶ ἀρχιερέα ἐκ Βυζαντίου εἰς Ἀντιόχειαν κατὰ ἔθος πέμπεσθαι τὸ παλαιόν. ὅτε δὴ καὶ θαῦμα κατεῖχε τοὺς ὅσοι τηνικάδε ἐτύγχανον πρέσβεις ἐνταῦθα παρατυχόντες τῶν κατὰ τὴν Ἀσίαν ἐθνῶν, Χωρασμίων τε καὶ Σουσίων καὶ Ἐκβατάνων, Μηδικῆς τε τῆς ἁπάσης καὶ Βαβυλῶνος, ὧν δὴ τὸν ἄρχοντα μέγαν ἐκεῖνοι κλῄζουσι σουλτάν, Νουραδίν τε τοῦ Βερροιαίου σατράπου καὶ Ἰαγουπασᾶν τοῦ Περσῶν φυλάρχου, καὶ Ἀβασγῶν καὶ Ἰβήρων, ἔτι δὲ καὶ Παλαιστινῶν καὶ Ἀρμενίων τῶν ἐπέκεινα V 83 Ἰσαύρων.

19. Ταῦτα μὲν οὖν τῇδε ἐπράσσετο. Βαλδουῖνος δὲ ὁ Παλαιστίνης ῥὴξ ἐπὶ βασιλέα πέμψας ᾐτεῖτο συγγενέσθαι αὐτῷ B περὶ μεγάλων τινῶν ὥσπερ ἔλεγε κοινωνήσων. ἦν δὲ σκῆψις τὸ πρᾶγμα. τῇ γὰρ Ἀντιοχείας ἐποφθαλμίζων ἀρχῇ ἐν γειτόνων αὐτῷ καθεστώσῃ, οὐκ ἔχων ὅπως ἂν αὐτῆς τεύξοιτο, ἐπειδὴ μηκέτι τὰ κατὰ Ῥενάλδον ἔμαθε, ξυνεβούλευε βασιλεῖ μηδόλως τούτου μεθίεσθαι, ὡς ἢ ἐκ ποδῶν ἐκείνου γεγενημένου Ἀντιοχεῦσιν ἅτε δι' αὐτὸν σεσωσμένοις ὅσα καὶ δούλοις αὐτὸς χρήσαιτο, ἢ καὶ περὶ ἀμφοῖν βασιλείαν παραιτησαμένοις οὐδὲν ἧττον αὐτοῖς

18. καθεστώσῃ] Cod. κατεστώσῃ. 22. παραιτησαμένοις] Ita coni. Toll. Cod. παραιτησάμενον. Duc. παραιτησαμένων.

at imperator renuenti primo similis, tandem exoratus adesse principem iussit. ingredienti igitur, eo quo diximus modo, flexus imperator delictum remisit: tum et alia multa quae ipse voluit imperator, sacramentis firmanti, tum etiam illud, ut Byzantio, prout antea fieri consueverat, Antiochiam pontifex mitteretur. mira res prorsus visa qui hic forte aderant Asiaticarum gentium legatis, Chorasminorum, Susiorum, Ecbatanorum, Mediaeque universae ac Babylonis, quorum principem magnum vocant Sultanum: praeterea Nuradini Berrhoeae satrapae, Iagupasanis Cappadociae phylarchi, et Abasgorum et Iberorum, nec non et Palaestinorum et Armeniorum, qui ultra Isauros habitant.

19. Haec tum quidem ibi gesta. interea Balduinus Palaestinae rex per legatos colloquium imperatoris expetiit, de rebus aliquot maioris momenti cum illo acturus. verum haec in speciem gerebantur. cum enim Antiochiae principatui terris suis vicino inhiaret, neque eum facile posset sibi comparare, priusquam ea quae de Renaldo evenerant edoceretur, id imperatori consilii dederat, ut nullo hominem modo demitteret: illo enim de medio sublato fore ut vel Antiocheni, qui ab eo fuissent servati, sibi in posterum obnoxii servirent: vel si utriusque detrectarent imperium, nihilo secius ipsis

ἐπιτάττειν. ταῦτα βουλευσάμενος ἐν Ἀντιοχείᾳ παραγίνεται, εἰς λόγους τε Ἀντιοχεῦσι καταστὰς ὑπεμίμνησκέ τε ἐπίτηδες αὐτούς, ὅπως ἐπὶ τῷ αὐτοῖς ξυνοίσοντι ἐνταῦθα Παλαιστίνης ἀφίκοιτο καὶ
C ὡς χαρίτων αὐτῷ μεγάλων ὀφειλέται τυγχάνουσιν ὄντες. τῶν δὲ ὁμολογούντων, ἐδεῖτο καὶ πάλιν βασιλέως ὅπως ἂν αὐτῷ συγγένοιτο. ὁ δὲ συνεὶς τῆς τοῦ ἀνθρώπου διανοίας τὸ μὲν πρῶτον ἀπένευσε, μὴ ἂν τῆς δεούσης τυχεῖν αὐτὸν ἰσχυριζόμενος φιλοφροσύνης τε καὶ δεξιώσεως, εἴ γε ἐπὶ μέσων πολεμίων ἔργων διατρίβοντι ὁμιλήσειεν αὐτῷ· ἐγκείμενον δ' ἔτι μᾶλλον ὁρῶν αὐτὸν καὶ περὶ τῶν αὐτῶν ὁσημέραι ἱκετεύοντα ἐπένευέ τε τῇ αἰτήσει καὶ ἥκειν ἐκέλευε. λέγεται οὖν ὅτι ἐξιόντα τῆς πόλεως περιστάντες αὐτὸν οἱ Ἀντιοχεῖς ἐδέοντο, ὅπως ἂν αὐτῷ δυνατὰ ἔσται βασιλέα σφίσι διαλλάξαι. ἐν τούτῳ δὲ τοιάδε τινὰ ἐς τὴν βασιλέως συνέπεσεν αὐλήν. ἦν τις ὑπογραμματέων αὐτῷ Θεόδωρος ὄνομα, ἐπί-
D κλησιν Στυπειώτης. οὗτος ὁ Θεόδωρος τά τε ἄλλα βασιλεῖ οἰκειότατος ἦν, καὶ δὴ καὶ τὴν ἐπὶ τοῦ κανικλείου πεπίστευτο λειτουργίαν, ἀλλὰ σκαιός τις καὶ δύσνους περὶ αὐτὸν φωραθείς τε καὶ ἐξελεγχθεὶς ὄψεών τε αὐτῶν καὶ γλώττης ὁ κακοδαίμων ἐστέρητο. τόν τε γὰρ τῆς ζωῆς αἰῶνα ἐκμεμετρῆσθαι βασιλεῖ ἤδη ὡς ἀπὸ τρίποδος ἀπεφοίβαζε τοῖς πολλοῖς, καὶ χρῆναι ἔλεγε τὴν Ῥωμαίων βουλὴν μηκέτι νεανίᾳ μηδὲ σφριγῶντι τὴν ἀρχὴν παραδοῦναι, ἀλλ' ἀνδρὶ γεγηρακότι τε ἀκριβῶς καὶ ἐξώρῳ τῆς ἡλικίας, ὅπως ἐκείνου τῷ λόγῳ ἄρχοντος ὡς ἐν δημοκρατίᾳ τὰ τῆς πολιτείας μᾶλ-

1. ἐπιτάττειν] Fort. ἐπιτάττοι. 7. ἰσχυριζόμενος] Cod. ἰσχυριζόμενον. 20. χρῆναι] Cod. χρῆν.

dominaretur. eiusmodi dato consilio Antiochiam venit, habitoque cum oppidanis sermone in memoriam iis revocavit, quomodo propter eorum commoda ex Palaestina huc advenisset, et quantum sibi ob id ipsum deberent. iis annuentibus, rursum imperatorem de mutuo congressu sollicitat. at ille perspecta hominis mente id primum renuit: neque enim convenienti cultu et officiis exceptum iri affirmabat, siquidem interim dum inter medios hostes res bellicas tractat, is illi congrederetur ac cum eo colloquium haberet. ut vero magis instare eum vidit et eadem in dies rogare, annuit tandem precibus et venire iussit. aiunt urbe exeuntem circumstetisse Antiochenos, rogasseque enixius ut imperatorem sibi reconciliare anniteretur. interea et haec in imperatoris accidere palatio. quidam ex illius scribis nomine Theodorus, cognomento vero Stypiota, tum alias ipsi familiarissimus, tum etiam canicleo ea aetate praepositus, cum principi ceteroquin infidus infestusque deprehensus ac convictus esset, oculis miser et lingua privatus est. exactum iam quippe esse imperatoris vitae terminum, velut ex tripode apud multos vaticinabatur, aiebatque non adolescenti et vegeto committendum deinceps Romanum imperium, sed aetatis provectae viro et senio iam confecto, ut in speciem eo imperante publicae res veluti populari regimine administrarentur.

λον διοικοῖτο. καὶ τὰ μὲν κατὰ τὸν Θεόδωρον τῇδε συνέπεσε· τότε P 107
δὲ καὶ Γεώργιος ὁ τῶν βασιλικῶν ἐξάρχων σαλπιστῶν, ὃν δὴ πρι-
μικήριον τῆς αὐλῆς ἔθος ὀνομάζειν ἐστίν, ἐπίκλησιν Πυρρογεώρ-
γιος, οὐκ ἐπὶ μικροῖς καὶ αὐτὸς βασιλεῖ προσκεκρουκὼς ἵλεώ τε
αὖθις τετύχηκεν αὐτοῦ καὶ ἄχαρι ἄλλο μὲν οὐδὲν ἐπεπόνθει τὴν δὲ
ἀρχὴν ἀποβεβλήκει ταύτην.

20. Βασιλεὺς δὲ προσιέναι τὸν ῥῆγα μαθὼν ἄλλοτε ἄλλους
τῶν ἐπὶ δόξης προσυπαντᾶν αὐτῷ ἔπεμπε καὶ ἀεὶ τοὺς ἐπιδοξοτέ-
ρους κατόπιν ἄχρι καὶ τῶν ἐπ' ἀδελφιδαῖς αὐτῷ γαμβρῶν, προσε- B
ροῦντας αὐτὸν καὶ τὰ εἰκότα τιμήσοντας, ἕως παρ' αὐτὸν βασιλέα
ἦλθεν. ὁ μὲν οὖν οὕτως ἀξίως τοῦ Δαβὶδ θρόνου καὶ ἐτίμα καὶ
ἐδεξιοῦτο τὸν ἄνθρωπον· ὁ δὲ εἴτε τούτοις κατεπαρθεὶς εἴτε καὶ
ξύμφυτόν τινα τρέφων ἀλαζονίαν, ἐπειδήπερ εἰς τὴν βασίλειον
παρῆλθεν αὐλήν, ὑπό τε τῶν βασιλείων ῥαβδούχων καὶ Ῥωμαίων
τῶν ἐπὶ δόξης παραπεμπόμενος ἐνταῦθα τοῦ ἵππου ἀπέβη, ἔνθα
καὶ βασιλεὺς αὐτὸ ποιεῖν εἴθιστο. ἐφ' οἷς ἀγερωχίαν αὐτοῦ κα- V 84
ταγνοὺς βασιλεὺς πολλὰ τῶν ἔτι μᾶλλον εἰς τιμὴν ὁρώντων ἐνέλιπεν
αὐτῷ. εἶδε δὲ ὅμως αὐτὸν καὶ προσεῖπεν ἕδραν τέ τινα χθαμαλὴν
καθιζῆσαι παρέθετο, συνωμίλησέ τε πολλάκις αὐτῷ καὶ ἐν συσσι- C
τίῳ παρέλαβεν. ἐπεὶ δὲ οὐκ ἤρεσκεν Ἀντιοχεῖς τῶν Ῥενάλδῳ ὡμο-
λογημένων ἥ τε δύναμις μεθ' ἧς βασιλεῖ συμμαχεῖν ἔμελλον, ἅτε
ἀπερρωγυίας τῇ πόλει τῆς πάλαι ἰσχύος, καὶ τὸ ἀρχιερέα ἐκ Βυ-

4. μικροῖς] Cod. μακροῖς. 10. αὐτὸν] Cod. αὐτῷ superscripto ὄν.

haec tum quidem acciderunt Theodoro. eodem tempore Georgius tibicinum imperatoris praefectus, qui primicerius aulae vulgo vocari solet, cognomento Pyrrhogeorgius, commisso et ipse non levi in eum delicto, clementem expertus principem, nihil aliud mali passus est, nisi quod eo munere exciderit.

20. Imperator vero ut adventare regem rescivit, variis in locis viros dignitatibus conspicuos ipsi iussit occurrere, ita ut honoratiores postremo semper essent, usque ad ipsos ex fratribus neptium viros, qui cum eo sermonem haberent, variisque illum prosequerentur honoribus, donec ad ipsum perveniret imperatorem. ita ille ex Davidici throni maiestate tum coluit hominem, tum officiose excepit. quibus is elatus, sive quod insitam ab ipsis natalibus aleret nescio quam ostentationem, postquam imperatorium ingressus est palatium, imperatoria custodia illustribusque aulicis eum deducentibus, eo loci equo desiliit, ubi id ipsum facere consuevit imperator. ex quo facto insolentiam fastumque illius advertens princeps, multa ad maiorem honorem pertinentia deinceps intermisit. nihilo minus eum vidit allocutusque est, et sede humiliori considere iussit. saepius etiam cum illo est congressus, eumque convivio excepit crebrius. cum vero ea quae Renaldus cum imperatore pepigerat Antiochenis non placerent, cum propter copias quibus adiuvare imperatorem tenebantur, civitate nimirum prioribus viribus longe imminuta,

ζαντίου ἐπὶ Ἀντιοχείᾳ στέλλεσθαι, καὶ ἦλθον τούτων ἕνεκα βασιλέως δεησόμενοι, Βαλδουῖνος καὶ ὑπὲρ τούτου τὸν βασιλέα παρῃτεῖτο. οὐ σφόδρα δὲ ἀναινόμενον γνοὺς καὶ πρὸ τῶν ἰχνῶν αὐτοῦ τοὺς πρέσβεις ἐρρίπτει. ὁ δὲ ὁπότερον τοῖν δυεῖν μᾶλλον Ῥωμαίοις τιμὴν φέρει διεννοησάμενος τὸ μὲν σὺν ἐλάσσονι στρατεύειν δυνάμει αὐτίκα ἔδωκε (τό τε γὰρ ὑπὲρ ἰσχὺν ἀπαιτούμενον ἐφεπομένην ὡς
D τὰ πολλὰ τὴν παράβασιν ἔχει, καὶ ἄλλως ἀρκεῖ πρὸς δουλείας ἔνδειξιν καὶ τὸ πολλοστὸν ἔστιν οὗ προσαγόμενον)· ἀρχιερέα δὲ ἄλλοθέν ποθεν ὅτι μὴ ἐκ Βυζαντίου εἶναι οὐκ ἔφησε καταδέξασθαι. ὅπερ ἄσμενοι ἐκεῖνοι δεξάμενοι ἐς τὴν πόλιν ἀπηλλάττοντο.

21. Τὰ μὲν δὴ κατὰ τὸν Ῥενάλδον ἐνταῦθα τὸ πέρας ἔσχε· βασιλεὺς δὲ ἐπὶ Τερόζην ἰέναι λοιπὸν διενοεῖτο. ὁ δὲ τὸ μὲν πρῶτον ἐπὶ χώρους τε ἐρήμους καὶ ὄρη ἐξέτρεχε τὰ Ταυρικά, εἶτα Βαλδουίνου καὶ περὶ αὐτοῦ τὸν βασιλέα ἱκετεύσαντος ἦλθε κἀκεῖ-
P 108 νος ἐν τῷ Ῥωμαίων στρατοπέδῳ ἱκέτης ἐλεεινός. βασιλεὺς δὲ αὐτὸν προσηκάμενος δούλοις τε τῶν Ῥωμαίων ἐνέγραψε καὶ τὸν πόλεμον λοιπὸν ἔλυσεν. Ἀντιοχεῖς τοίνυν, ἐπειδὴ τῆς πόλεως ἐπιβαίνειν ἤδη βασιλεὺς ἔμελλεν, ἔδεισαν μὲν ὡς τὸ εἰκός, μή ποτε Ῥωμαίων δυνάμεις ἔνδον εἰσφρήσασαι ἐκεῖθεν αὐτοὺς ἐξελαύνειν πειράσονται, οὐκ ἔχοντες δ' ὅπως τὴν βασιλέως ἀποτρέψωσιν ὁρμήν, σκήψεις οὐχ ὑγιεῖς τινας ἀναπλάσαντες προσῆγον αὐτῷ. αἱ δὲ ἦσαν, ὡς ἄρα τῶν τινες παρ' αὐτοῖς τολμητίαι σύνθοιντο, ἐπειδὰν βασιλεὺς ἐπὶ τὴν πόλιν εἰσέλθοι ἄνοπλος δὴ πάντως (οὐ

20. πειράσονται] Ita Tollius. Cod. πειράσεται.

tum propter patriarcham, qui in posterum Byzantio Antiochiam mittendus erat, venissentque iis de rebus imperatorem supplicaturi, Balduinus quoque eadem rogabat principem, et non difficilem exoratu videns, concidere ad illius genua legatos iussit. is vero animo revolvens, utra res maiori esset honori Romanis: ut minorem manum ad militiam conferrent, statim annuit: crebro enim quod supra vires exigitur, vix impletur: cum quantaecumque praeterea adductae copiae ad servitutis argumentum plus satis sufficiant. pontificem autem aliunde quam Byzantio assumi, negavit se permissurum. id illi libenter accipientes, in civitatem redierunt.

21. Eum finem habuere res cum Renaldo gestae. interea imperator in Torosum pergere instituit: sed ille primo loca deserta, et montes Tauricos pervagatus; tandem Balduino etiam pro eo apud imperatorem intercedente, venit et ipse in Romanorum castra, supplicis miserandique viri habitu. admisso itaque Toroso ab imperatore et inter Romani imperii clientes adscripto, bellum solutum est. sed enim Antiocheni, ubi imperatorem in civitatem suam adventare perceperunt, veriti, ut par erat, ne si intromitterentur Romanorum copiae, ab iis expellerentur; anxii vero qua ratione imperatorem averterent a proposito, hosce minime sanos commenti praetextus ad illum detulere: quosdam videlicet esse ex suis audaculos, qui imperatorem, cum in

γὰρ ἐπέοικεν ἄλλως), ἐπιβουλῇ τινι κατ' αὐτοῦ χρήσασθαι.
ἀλλὰ βασιλεὺς τὸν δόλον ξυνιδὼν οὐκ ἔφη χώραν ἕξειν τὸ πλα- B
στευόμενον, καὶ κατέλεγεν ὑπολαβὼν τοῖς ἀμφ' αὐτὸν ὅπως ἀδύ-
νατά ἐστι ταῦτα, διά τε ἄλλα καὶ οὐχ ἥκιστα τὸ τὸν μὲν ῥῆγα
πολλῷ ἄποθεν τοῦ βασιλείου ἀνόπλιστον μέλλειν πορεύεσθαι σώ-
ματος, Ῥενάλδον δὲ καὶ τοὺς ἄλλους περὶ τὰ φάλαρα τοῦ ἵππου
καὶ τοὺς τῆς ἐφεστρίδος ποιεῖσθαι ἱμάντας, πεζῇ τε χωροῦντας
καὶ ὅπλου ἄνευ παντός. αὐτόν γε μὴν τὸν βασιλέα πολύν τινα
πελεκηφόρων βαρβάρων ὅμιλον περιέπειν, ὥσπερ ἔθος ἐστί. τοὺς
μὲν δὴ λόγους τούτους οὕτως ἀπεδοκίμαζεν, εἰς δὲ τὴν πόλιν
εἰσελαύνειν μέλλων διττοὺς περιέθετο θώρακας, ἀκαμάτῳ σώμα-
τος ἰσχύϊ πρὸς τοῦτο ἐναγόμενος. ὁ δὲ καὶ κάνδυν πρὸς τούτοις C
κατάλιθόν τινα περιέκειτο, ἄχθος τῶν ἔνδον οὐκ ἔλαττον, καὶ
στέφος καὶ τἄλλα τῷ βασιλεῖ ἐξ ἔθους. ὃ δὲ θαυμάζειν ἔχω,
τοῦ θριάμβου τρόπον ὃν ἐν Βυζαντίῳ τελεῖσθαι εἴωθε τελεσθέν-
τος ἤδη, ἐς τὸν Πέτρου τοῦ ἀποστόλου καταντήσας νεὼν κοῦφά
τε ἀπέβη τοῦ ἵππου καὶ αὖθις ἐπιβαίνειν μέλλων σὺν ἅλματι
ἀνέθορεν, ὥσπερ οὐδὲ τῶν ψιλῶν τις καὶ ἀνόπλων. ὅτε δὴ ὁ V 85
τῆς πόλεως ἀρχιερεὺς ὑπήντα τούτῳ τὴν ἱερατικὴν ἀμπεχόμενος
στολὴν σὺν τῶν ἱεροπόλων τῷ τέλει παντί. ἐχειρίζοντο δὲ τύ-
πους σταυρικούς, καὶ τὰ ἱερὰ προὔφερον λόγια, ὡς ἐκπεπλῆχθαι
τὸ ξένον ἅπαν καὶ ἔπηλυ, ὁρῶν πρὸς τούτοις Ῥενάλδον μὲν καὶ
τοὺς ἐπὶ δόξης Ἀντιοχέων ποσὶν ἀμφὶ τὸν βασίλειον παραθέον- D

urbem inermis omnino veniret (neque enim id futurum aliter putabant) factis insidiis opprimerent. sed ille dolum advertens, nequaquam locum habituram fraudem dixit: mox, converso ad circumstantes sermone, ea fieri non posse respondit, tum propter alia, tum id maxime quod rex quidem procul ab imperatoris corpore inermis incederet, Renaldus autem et alii circa equi phaleras et ephippii lora occupati, pedibus irent sine ullis armis: imperatorem denique magna, uti moris est, barbarorum bipenniferorum turba circumstaret. ita hosce sermones respuit. urbem autem ingressurus duplicem induit loricam, indefesso corporis robore ad hoc commotus. vestem praeterea quamdam lapillis distinctam superinduit, interioribus pondere haud cedentem. diademate denique, aliisque imperatoriis ornamentis pro more, redimitus est. quod vero mirari subit, peracto istic eodem modo, quo Byzantii solebat, triumpho, cum ad Petri apostoli pervenisset templum, alacriter equo desiliit, rursumque illum inscensurus saltu resiliit in eumdem, quod vel leviter armatorum aut inermium vix aliquis potuisset. tum illi occurrit civitatis pontifex stolam sacerdotalem indutus cum omni clericorum ordine. tenebant ii prae manibus cruces, praeferebantque sacra evangelia: ita ut stupore quodam percellerentur peregrini et advenae, cum ad haec Renaldum, nobilesque Antiochenos, pedibus equum imperatorium circumstan-

τας ἵππον, Βαλδουῖνον δὲ ἄνδρα στεφηφοροῦντα μακρὰν ἄποθεν
ἔφιππον μὲν παντάπασι δὲ ἀσήμαντον πορευόμενον. ὁ μὲν δὴ
θρίαμβος ἐπὶ τούτοις τετέλεστο, βασιλεὺς δὲ ἐπὶ ὀκτὼ τῇ πόλει
παραμείνας ἡλίους ἐκεῖθεν ἀπήλαυνε. τοσαύτην γε μὴν δουλο-
πρέπειαν Ἀντιοχεῖς εἰς αὐτὸν ἐπεδείξαντο, ὥστε αὐτοῦ τοῖς Ῥε-
νάλδου ἐνδιατρίβοντος δόμοις οὐδεὶς οὐδεμίαν τῶν ἀμφιβαλλόν-
των παρὰ τοῖς ὁμογενέσιν ἐδικάσατο δίκην ὅτι μὴ παρὰ Ῥω-
μαίοις.

P 109 21. Ταῦτα κατωρθωκὼς βασιλεὺς ἐπὶ Νουραδὶν ἰέναι
συνεσκευάζετο. ἀλλ' ἐκεῖνος τὴν ἔφοδον γνοὺς τὸν Σαγγέλη τε
ἔλυσεν υἱέα ἄνδρα Ἰταλὸν καὶ τὸν τοῖς ἐν Παλαιστίνῃ ἐφεστῶτα
ἱππεῦσιν, ὃν τέμπλου μαΐστορα Λατῖνοι ὀνομάζουσιν, ἐπισημο-
τάτους ἄμφω, πρὸς δὲ καὶ τῶν εὖ γεγονότων πολλούς. τοῦ γε
μὴν ἀγελαίου καὶ σύγκλυδος ὄχλου εἰς ἑξακισχιλίους μάλιστα, οἳ
ἐκ τῆς Ἀλαμανῶν καὶ Γερμανῶν ἐτύγχανον ἐζωγρημένοι τούτῳ
στρατιᾶς, ὁπηνίκα ἐκεῖνοι ἐπὶ Ἀσίαν ἐστράτευον. ταῦτα Νου-
ραδὶν ἐποίει, πρὸς δὲ καὶ συνδιαφέρειν βασιλεῖ τὰς ἐν Ἀσίᾳ διω-
B μολόγηκε μάχας· ἐφ' οἷς προσδεξάμενος αὐτὸν ἀπέσχετο τοῦ
σκοποῦ. ἀλλ' ὀλίγῳ ὕστερον καταλύειν ὡρμήθη τὰ δεδογμένα·
οὐ μὴν καὶ πέρατι τὸν σκοπὸν ἔδωκεν, ὡς δῆλον ἑξῆς γενήσεται.
Σαρακηνῶν γὰρ ὅμιλος, τοῦ Νουραδὶν μηδὲν συνειδότος, προσ-
λοχήσαντες Ῥωμαίων τῶν ἐπὶ χορταγωγίαν ἰόντων ἐκάκουν τινάς.
ὃ γνοὺς βασιλεὺς ἐνέδρας καὶ αὐτὸς ἐν ἐπιτηδείῳ που τοῦ χώρου

14. σύγκλυδος] Malim συνήλυδος.

tes viderent: Balduinum autem virum coronatum, equo quidem insidentem, ceterum nullis conspicuum regiis insignibus. in hunc modum transactus est triumphus. imperator octiduum in urbe intermoratus, inde abscessit. tanta autem veneratione eum prosecuti sunt Antiocheni, ut quamdiu in ipsis Renaldi aedibus mansit, nemo eorum, qui controversias exercerent, coram suae gentis iudicibus causam dixerit, sed de iis Romani cognoverint.

21. His rebus rite confectis in Nuradinum expeditionem paravit imperator. verum ut illius percepit adventum, Sanctaegidiani comitis filium, Italicae gentis virum, eumque qui Palaestinis praeerat equitibus, quem magistrum templi Latini vocant, ambos homines claros, carceribus exemit vinculisque solvit: insuper etiam alios nobiles complures; gregariae vero et passim collectae multitudinis ad sex millia, quos maxime de Alemannorum et Germanorum exercitu ceperat, cum bellum in Asia illi gererent. his peractis, secuturum se praeterea ad bella Asiatica principem pollicitus est Nuradinus: quibus admissis conditionibus imperator a proposito destitit. sed non multo interiecto tempore pacta ista convellere aggressus est, etsi quae statuerat haud confecit, uti deinceps commemorabitur. Saracenorum enim agmen, inscio Nuradino, in Romanorum aliquot qui pabulatum exierant, structis insidiis irruerunt. quod ubi imperator cognovit, loco et ipse maxime

ἐκείνου στησάμενος ἅμα ἡμέρᾳ καὶ αὐτὸς συνεπιτίθεται τούτοις μηδὲν προϊδοῦσιν. ἐπεὶ δὲ ἐτρέψατο, κυνηγεσίων ἐπιθυμήσας ἐξῄει παρὰ τοῖς ἀνωτάτω πεδίοις Συρίας θηρεύσων, πρᾶγμα κατὰ τοὺς νῦν χρόνους καὶ ἀκουσθῆναι φοβερόν. προῄεσαν τοίνυν αὐτοῦ ἄνδρες, οἷς ἔργον κοίτας θηρῶν ἀνιχνεύειν, οὐ πλείους τῶν ἕξ· ἀλλ' οὔπω ἐπὶ πλεῖστον προῆλθον, καὶ τέσσαρες καὶ εἴκοσι C πολεμίων ὁπλοφόροι παρεφάνησαν τούτοις, ἔργον ποιούμενοι, ὅπως Ῥωμαίων τινὰς δόλῳ ἐπὶ τὴν κατὰ νώτου ἐλλοχῶσαν παρεξελκύσωσι στρατιάν. ἅμα τε οὖν εἶδον οἱ θηροσκόποι ἐκεῖνοι, καὶ ἅμα ἐς τὸ τοῦ παρὰ πόδας αὐτοῖς ποταμοῦ ῥεῦμα καθῆκαν ἑαυτούς, διανηξάμενοί τε ἐπὶ βασιλέα ἦλθον τὰ συμπεπτωκότα σφίσι μηνύοντες. ὁ δὲ πρὸς τὴν ἀκοὴν οὐ διαταραχθεὶς "ἄγωμεν" ἔφη "ἔνθα τοὺς πολεμίους εἶναι φατέ." τῶν δὲ ὀκνήσει πολλῇ ἐχομένων, αὐτὸς ὅλα τῷ ἵππῳ ἐπιτρέψας χαλινὰ τὴν ἐπὶ τοὺς πολεμίους ἐφέρετο. ἐξάπινα τοίνυν Σαρακηνῶν στρατιὰ τῶν τῇδε ὑπερκύψασα χωρῶν μυριοπληθὴς ἐξεφάνη. D ὁ δὲ μηδὲν ὑποστειλάμενος σὺν ῥύμῃ πολλῇ παρὰ μέσους εἰσπίπτει ἄνδρας ὁπλίτας οὕτω πολλούς, καὶ δὴ τρεψάμενος αὐτοὺς οὐ πρότερον διώκων ἐπαύσατο, πρὶν ἐντὸς φρουρίων ἅπερ ἐνταῦθα ἵδρυται εἰσέπεσον φεύγοντες οἱ πολέμιοι, νεκρῶν τε ἐπλήσθη τὸ πεδίον ἐκεῖνο. διὰ ταῦτα μὲν οὖν ἐπὶ τὸ στρατόπεδον ἀναχωρήσας τὰ δεδογμένα, ὥσπερ εἴρηται, παρακινεῖν ἤθελεν. ἀλλὰ φῆμαί τινες ἐξ ἑσπέρας ἐπισπῶσαι, αἳ δὴ νεο-

14. ὅλα] Cod. ὅλῳ. 16. χωρῶν] ὀρῶν?

idoneo insidias locat, ac prima luce necopinantes adoritur. his in fugam actis, venandi tactus desiderio, in superiora Syriae loca venatum abiit: rem ausus quae hac aetate etiam audientibus horrorem incutiat. praecedebant igitur haud plus quam sex viri, qui ferarum cubilia investigarent. nec longe adeo erant progressi, cum quatuor et viginti ex hostibus armati prodiere et in eorum conspectum venere, ut quosdam Romanos dolo ad positum a tergo in insidiis exercitum pertraherent. simul atque id adverterunt illi ferarum indagatores, continuo in profluentem, qui coram aderat, amnem sese demisere, nandoque illum emensi contendere ad imperatorem, et quae sibi accidissent retulere. verum ille nihil utique eiusmodi perturbatus nuntio "eamus" inquit "quo loco esse hostem dicitis." cum vero cunctarentur ii, ipse admissis habenis equo in hostes fertur. sed mox innumerus Saracenorum exercitus super locis illis derepente apparuit. nec cunctatus tamen magno impetu in medios irruit bellatores, iisque numero licet praepollentibus in fugam versis, insequi hostes non prius abstitit, quam in adiacentia praesidia sese recepissent; isque, ubi praelium contigit, campus caesorum corporibus opertus est. ob haec igitur ad exercitum reversus, quae sanciverat pacta solvere, ut dixi, voluit: sed allati ex Occidente rumores quidam, res

V 86 χμωθῆναι τὰ τῇδε διήγγελον, διεκώλυσαν τοῦτον τῆς ἐγχειρή-
P 110 σεως. τότε καὶ Βαλδουίνῳ κατεάγηκεν ἡ χεὶρ ἀπ' αἰτίας τοιᾶσδε.
θηρευομένῳ ἐνταῦθα τῷ βασιλεῖ παρῆν καὶ αὐτὸς τοῦ γυμνασίου
κοινωνός. τοῖς γὰρ ἄλλοις πᾶσιν ἐκπεπληγμένος τὸν αὐτοκρά-
τορα καὶ τοῦτο τὸ μέρος εἴ γε εὐδοκιμοίη γνῶναι ἤθελε. ταῖς
τοίνυν τοῦ βασιλέως συνεπεκτείνεσθαι καὶ αὐτὸς φιλοτιμούμενος
ὁρμαῖς δαιμόνιόν τινα περὶ ταῦτα στρεφομένου τρόπον ἔλαθε σὺν
τῷ ἵππῳ κατολισθήσας τήν τε χεῖρα, ὥσπερ εἴρηται, κακῶς ἔπα-
θεν, ἣν ἐν τῷ παραυτίκα καταδήσας βασιλεὺς τὰ εἰκότα τε ἐπι-
μελησάμενος ὀλίγαις ὕστερον ἀπήλλαξεν ἡμερῶν. ἦν γὰρ καὶ
τά γε τοιαῦτα πολλοὺς τῶν διὰ βίου περὶ τὴν ἰατρῶν ἀναστρα-
B φέντων παρελαύνων τέχνην. ἀμέλει καὶ φλέβας εἶδον αὐτὸν
ἔγωγε τέμνοντα καὶ φάρμακα νοσοῦσι τεχνιτῶν ἀπορίᾳ παρεχό-
μενον, ἤδη δὲ καὶ πολλὰ τῶν Ἀσκληπιαδῶν συνεισενεγκάμενον
ἐπιστήμῃ, ἅπερ ἄγνωστα ταύτῃ τοῦ παντὸς ἔμεινεν αἰῶνος, τῶν
ὅσα ἐπιχρίεσθαι πέφυκε καὶ ὅσα ποτά, ἃ καὶ ἔξεστι τῷ γε βου-
λομένῳ ἐκ τῶν κοινῶν ἀναλέγεσθαι νοσοκομείων, ἃ ξενῶνας κα-
λεῖσθαι ἔθος ἐστίν. ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον. ὁ δὲ βασι-
λεὺς τῆς ἐπὶ Βυζάντιον λοιπὸν ἐμέμνητο. ὡς δὲ τὴν ἐπιτομω-
τέραν ὁδεύσειε, Παμφυλίας ἀφέμενος διὰ Λυκαονίας μέσης τὸν
στρατὸν ἦγε, καίτοι πολλὰ πρὸς τοῦτο τοῦ σουλτὰν ἀπολέγον-
τος. ἐπειδὴ γοῦν Ἀράνδης ἀγχοῦ πόλεως ἐγένετο, καταπλαγέν-
τες οἱ Πέρσαι ᾤχοντο φεύγοντες, οἰόμενοι αὐτίκα Ῥωμαίους Ἰκο-
C νίῳ προσβαλεῖν. ὡς δὲ οὐδὲν αὐτοῖς πρὸς τῶν Ῥωμαίων ἄχαρι
ἐγένετο, ἀνεθάρσησάν τε καὶ τῶν ἐπιτηδείων ἐκφέροντες ἄφθονα

ibi novari nuntiantes, ab incepto eum prohibuere. eodem etiam tempore Balduinus manu laesus est eiusmodi ab causa. venanti iis in locis principi, aderat et ipse in ea exercitatione socius. nam qui in ceteris rebus imperatorem admirabatur, num et in ea praestaret, cognoscere gestiebat. itaque agilitatem et pernicitatem principis, mire in his exerciti, imitari contendens, imprudens cum equo concidit, et, ut dixi, manum graviter laesit: quam in praesentia alligans imperator, idoneis adhibitis remediis, paucis post diebus sanavit. in his enim illorum superabat artem, qui se per omnem vitam in medicina exercuerant. inde et venas egomet secantem vidi, et pharmaca aegrotis, medicorum penuria, praebentem. ad haec multa Asclepiadarum scientiae addidit, quae illi a tot seculis fuerant incognita, tum in fomentis, tum in ipsis potionibus; quae omnia colligere facile quivis poterit ex communibus nosocomiis, quae xenones vocari vulgo solent. inde Byzantium reverti statuit imperator: ut vero breviori itinere eo perveniret, relicta Pamphylia, per mediam Lycaoniam exercitum egit, licet multum obnitente Sultano. ubi autem ad Arandem civitatem pervenit, consternati Persae fugam capessivere, Romanos statim ad Iconium castra posituros rati. verum ut adverterunt ab iis hostile nihil perpetrari, resumpta fiducia, commeatum

τούτοις παρεῖχον. ἀλλ' οὐκ ἦν μέχρι παντὸς Πέρσαις τὸν ἐντρεφόμενον σφίσι χόλον κατασχεῖν. ἀμέλει καὶ ἐν Κοττυαείῳ γεγονότων ἤδη Ῥωμαίων, τισὶν αὐτῶν τοῦ λοιποῦ στρατεύματος ἀπορραγεῖσιν ἐπιθέμενοι ἔκτεινάν τε καὶ ζωοὺς εἷλον. ὁ δὲ βασιλεὺς τότε μὲν ἐπὶ Βυζάντιον ἦλθε, θρίαμβόν τε καταγαγὼν μέγιστον καὶ θεῷ τὰ ἐπινίκια θύσας ἐν παλατίῳ κατήχθη.

22. Ὀλίγῳ δὲ ὕστερον Πέρσας ἀμύνασθαι τῆς ἐς αὐτὸν P 111 V 87
παροινίας διανοηθεὶς ἐς τὰς Κυψέλλων πεδιάδας τὸν στρατὸν ἤγειρεν. ἐν τούτῳ δὲ ἐπὶ τοὺς ἐν Ἀσίᾳ ἀρχάς τινας διέποντας Ῥωμαίων πέμψας ἐκέλευε κατὰ τακτόν τινα χρόνον ἄλλοθεν ἄλλον ἐμβαλεῖν εἰς τὸ Περσικόν. ἐποίει δὲ ταῦτα ὅπως ἕκαστοι Περσῶν ἐπιβοηθεῖν ἀλλήλοις ἀδυνάτως ἔχοιεν, ὅπερ εἰς ἔργον ἐκβὰν μεγάλα τὴν Περσῶν ἐλύπησε. βασιλεὺς δὲ ἐπεὶ ἀμφὶ τροπὰς ἤδη χειμερινὰς ὁ ἥλιος ἐγένετο, διὰ τοῦ Ἑλλησπόντου πορθμοῦ ἐπὶ Ἀσίαν διαβὰς ἄχρι Δορυλαίου ἦλθε περὶ ἄμφω τὼ ποταμώ, ὧν ὁ μὲν Βαθὺς πρὸς τῶν ἐγχωρίων, Θύβρις δὲ ἅτερος ὀνομάζεται, τὴν περιοικίδα τε πᾶσαν καταδραμὼν μυρίαν P 112
ἐκεῖθεν ἀνδρῶν καὶ ζώων ἄλλων ἤλασε πληθύν. Πέρσαι δὲ τῆς τῶν σφετέρων αἰσθόμενοι ἀπωλείας κατὰ συστήματα καὶ λόχους ἤδη προφαίνεσθαι ἤρξαντο. βασιλεὺς δὲ τὸν μὲν ἄλλον Ῥωμαίων στρατὸν ληϊσόμενον τὰ ἐν ποσὶν ἔπεμψεν, αὐτὸς δὲ ἐπὶ τὰ ἄποπτα τῶν τῇδε χωρίων ἀναδραμὼν σὺν ὀλίγοις τῶν περὶ

2. Κοττυαείῳ] Κοτιαείῳ? v. Holsten. ad Stephan. Byz. p. 171.
8. Κυψέλλων] Rectius Κυψέλων. 16. Θύβρις] Tollius Θύαρις.
20. ἄλλον] Ita Tollius. Cod. ἄλλων.

abunde illis suppeditarunt. non potuere tamen omnino Persae conceptam pridem animo indignationem continere: adeo ut cum iam ad Cotyaeum essent Romani, nonnullos ex iis, qui a cetero exercitu longius evagati fuerant, aggressi, partim caederent, partim vivos caperent. imperator igitur Byzantium rediit, peractoque triumpho, ac deo ob partas victorias actis gratiis, palatium ingressus est.

22. Non multo interiecto tempore, imperator, cum ob illatas sibi iniurias ulcisci Persas decrevisset, ad Cypsellorum campos exercitum collegit: interimque misit ad Romanos, qui in Asia praefecturas obtinebant, et, ut certo quodam tempore eorum quisque in Persicos agros irrueret, imperavit. haec autem ideo fecit, ne possent Persae sibi invicem opem ferre. quod quidem non modice rem Persicam affecit. at princeps, hiberno iam imminente solstitio, per fretum Hellespontiacum in Asiam traiiciens, ad Dorylaeum usque pervenit, circa duos fluvios, quorum alter ab incolis Bathys, alter Thybris vocatur; ac circumiacente regione devastata, infinitam inde hominum pecorumque abduxit multitudinem. Persae vero, cum iam ultimum sibi imminere cernerent discrimen, per turmas et globos coeuntes conspici coepere. interea imperator, aliis Romanorum copiis ad obvia quaeque depopulanda missis, cum paucis e suis in loca editiora profectus occinere tuba

αὐτὸν ἀνατείνειν τὰς βασιλείους ἐκέλευσε φόρμιγγας, δέος ἐντεῦθεν ἐμποιεῖν τοῖς πολεμίοις μηχανώμενος βασιλέα τοῦ πολέμου τοῦδε στρατηγεῖν οἰηθεῖσι. πολλὰ γὰρ πολλάκις αὐτοχειρίᾳ κατὰ τῶν βαρβάρων τούτων χρησάμενος, εἴ ποτε λοιπὸν ἀπροσδόκητος B αὐτοῖς ἐξεφάνη, σκηπτὸς μόνον οὐ τούτοις ἐδόκει, καὶ ὑπεχώρουν μηδὲν αἰδεσθέντες, χιλιάδες, φασίν, ἂν οὕτω τύχῃ, καὶ μυριάδες, ὁπλοφοροῦντες ἄνδρες καὶ σιδηρόφρακτοι. ταῦτα ἐμοί γε εἰς ἀκοὴν πίπτοντα ἧττον ἀληθῆ ἐδόκει, ὥσπερ οὐδὲ τὰ Φωκᾶ καὶ Τζιμισκῆ ἔργα τῶν οὐ λίαν ἀρχαίων τούτων αὐτοκρατόρων, ἢ εἴ τινες ἄλλοι παρ' αὐτοὺς ἐπ' ἀνδρείᾳ ὄνομα ἔσχον. εἶναι γὰρ πέρα πίστεως, ἀνδρὸς ἑνὸς ὅλας ἡττῆσθαι χιλιάδας καὶ δόρατι ἑνὶ μυριοπληθεῖς καταγωνίζεσθαι πανοπλίας. ὅθεν εἰ καί ποτε ταῖς βασιλείοις ἐπιχωριάζων αὐλαῖς τὰ τηλίκα τῶν ἔργων ἀποθειαζόντων ἀκήκοα τῷ βασιλεῖ, ἰλιγγιῶν τοῦ συλλόγου ἀπε-
V 88 πήδων. φύσει γὰρ πρὸς κολακείαν ἄξεστον ἐμπέφυκέ μοι τὸ
C ἦθος, καὶ οὐκ ἂν οὐδὲ ῥῆμα σμικρὸν ἑκὼν ἰέναι προείμην ὅτι μὴ σὺν ἀληθείᾳ καὶ στόματι ἐλευθέρῳ. τὰ δὲ τοιαῦτα τοῖς ἐν ταῖς ἀρχαῖς ἀεὶ πρὸς τοῦ δόμου καὶ τοῖς ἐν τέλεσι καταχαρακτηρίζεσθαι εἴων, ἕως εἰς ὄψιν ἦλθέ μοι τὰ τοῦ πράγματος ἐν μέσοις καὶ αὐτῷ πολεμίοις οὕτω τυχὸν περιειλημμένῳ κἀκ τοῦ σχεδὸν ὁρῶντι τὸν αὐτοκράτορα τοῦτον φάλαγξιν ὅλαις ἀντικαθιστάμενον Περσικαῖς. ἀλλὰ ταῦτα μὲν κατὰ καιρὸν ἡ ἱστορία

3. τοῦδε] Cod. τοῦγε. 16. ἑκὼν ἰέναι] Fort. ἑκὼν εἶναι.

imperatorias iubet, ut hac ratione perterreret hostes, dum principem istis praeesse copiis persuasum haberent. multa enim in barbaros istos suapte manu exsequebatur, et si quando iis ex improviso appareret, quasi fulmen quoddam iis videbatur, ita ut nullo pudore fugam capesserent milleni interdum, et si ita sors daret, decies milleni armis undique et ferro instructi milites. haec sane cum mihi narrabantur, minus vera esse visa sunt, haud secus ac praeclara illa Phocae et Tzimiscae, qui non ita pridem imperarunt, facinora; aut si qui praeterea alii propter eximiam fortitudinem nomen famamque sibi compararunt. quippe supra fidem esse credebam unicum hominem millenos totos superasse, unaque profligasse hasta infinitam armatorum multitudinem. quapropter cum in aula principis interdum versarer et tam egregia facta a nonnullis imperatori adblandientibus audirem in coelum efferri, animo dubius a colloquio statim recedebam. adeo enim procul mihi ab adulatione ipso naturae ductu insita est animi indoles, ut ne verbum quidem ullum ultro aut sciens, nisi vere perinde ac libere proferre haud possim. eos vero qui in palatio officia semper obeunt aut dignitatibus conspicui sunt, talia depingere et exornare sinebam, donec res ipsas usurpare oculis contigit, cum ego mediis forte hostibus implicitus imperatorem hunc vidi totis Persarum phalangibus obsistentem. sed haec suo tempore historia comme-

ἀφηγήσεται, τὸ δὲ νῦν τῶν προτεθέντων ἐχώμεθα. εἶχε μὲν τὸν βασιλέα τὰ τῶν χώρων ἐκείνων ὑψηλά, ὁ δὲ Ῥωμαίων στρατὸς ἐνδοτέρω ἤδη χωρήσας ἔλαθε στρατεύμασι Περσικοῖς ἐξ ἀπροσδοκήτου περιτυχών. ἀγχεμάχου τοίνυν γενομένης τῆς προσβολῆς, ἐπειδὴ πονεῖσθαι τὸ Ῥωμαϊκὸν ἤρξατο, αἰσθόμενος ὁ βασιλεὺς D ἀπὸ ῥυτῆρος ἐπ' αὐτοὺς ἤλαυνε, μήτε θώρακα ἐνδὺς μήτε τῳ τῶν ἄλλων ὅτι μὴ ἀσπίδι τὸ σῶμα φραξάμενος. ταχὺ γοῦν εἰς μέσους εἰσωθήσας τοὺς πολεμίους ἑαυτὸν ἔργα χειρὸς ἐπεδείκνυ θαυμαστὰ τῷ ξίφει παίων ἀεὶ τὸν παρατυγχάνοντα· ὅτε καὶ νῶτα δεδωκότων ἤδη αὐτὸς κατόπιν, δόρατος αὐτῷ κομισθέντος, ἐδίωκεν οὐδένα καιρὸν ἀνιείς. μέχρι μὲν οὖν πολλοῦ ἔφευγον ἀμεταστρεπτί, μηδὲ ἐκεῖνο κατανοεῖν ἔχοντες εἰ πολυανθρωπότατον οὕτω στράτευμα πρὸς ἀνδρὸς διώκοιτο ἑνός. τὸ P 113 γὰρ δέος κατάκρας αὐτῶν περιγεγονὸς ἐπεσκότει ταῖς ὄψεσι δεινῶς. ἐπεὶ δέ ποτε διέγνωστο σφίσι τὸ πρᾶγμα, πολλὰ τῆς ἀνανδρίας ἀλλήλους ἐπιτωθάσαντες ἀθρόον ἐπεστράφησάν τε καὶ ἀντιμέτωποι αὐτῷ ἔστησαν. οὐ μὴν ἤδη ἀκρατῶς ἐξεχέοντο καθάπαξ τῷ δέει τὰς ὁρμὰς ἀνασειραζόμενοι· φαρέτρας δὲ ὅλας ἐκένουν, ὁ δὲ τῇ ἀσπίδι παρ' ἑκάτερα στρεφόμενος τὰς βολὰς ἀπωθούμενος ἔξω βελῶν τὸ σῶμα διετήρει. ἦν δέ τις ἐν Πέρσαις ἀνὴρ θυμοειδὴς καὶ δραστήριος. οὗτος ἐπειδὴ μηδένα ἐξ ἁπάντων βασιλεῖ πρὸς μάχην ἀντικαθιστάμενον ἑώρα, ὑπερζέσας τῷ θυμῷ τῶν συμφύλων αὐτῷ τινος τὸ ξίφος τῶν χειρῶν ἀποσπάσας B ὡς πατάξων ἐφέρετο τοῦτον. ἀλλ' ὁ αὐτοκράτωρ τῶν

morabit: nunc autem institutam narrationem persequamur. cum igitur ageret imperator in editioribus istis locis: Romanorum copiae, quae ad interiora processerant, in Persicum exercitum inopinate inciderunt. facto itaque cominus praelio, ut vidit princeps inclinare Romanam aciem, citato impetu, nec loricam nec alia arma indutus, sed solo munitus clipeo ad illam contendit. ubi in medios sese hostes intulit, miranda manu edidit opera, obviis quibusque caesis. interdum etiam terga dantibus, accepta tum hasta, semper insistens, nullam fortiter agendi occasionem omittebat. ita diu sine intermissione fugerunt hostes, ut ne illis quidem in mentem venerit, tam numerosum exercitum ab unico homine incessi. qui enim totos invaserat pavor, densam oculis offuderat caliginem. verum ut tandem quid rei esset animadvertunt, mutuam sibi invicem obiicientes ignaviam, derepente se convertunt principique sese opponunt. neque tamen alacres ivere in pugnam, impetum retundente adhuc metu: cumque pharetras suas exhaurirent, nihilo minus ille, repulsis clipeo undique vibratis telis, corpus inviolatum servavit. erat vero apud Persas vir animo praecellens manuque impiger, qui ubi neminem ex omnibus cum imperatore ad certamen descendere perspexit, ira effervescens, arrepto de popularis cuiusdam manibus gladio, ad eum percutiendum irruit. sed princeps crinibus prehensum hominem trahit, atque una

τριχῶν λαβόμενος ἄλλοις εἷλκεν ἅμα τρισὶ γενναίοις καὶ τούτοις· ἐφ' οἷς ἀντιπράττειν οὐκ ἔχοντες οἱ ἄλλοι, ᾤχοντο ἀπιόντες. βασιλεὺς δὲ σὺν τοῖς εἰρημένοις ἐπὶ τὸ στρατόπεδον ἐπανῆκεν, ἐπειδή τε τὴν χειμερίαν ὥραν σφοδροτέραν ἐγκειμένην ἑώρα, ἐπὶ Βυζάντιον ἐχώρει.

23. Ἀλλ' ἄρτι μὲν ἡ κατὰ Βιθυνίαν εἶχε τοῦτον πολίχνη, ἔνθα τοὺς ἐκ Φιλομιλίου δεσμώτας Ῥωμαίων ἐνοικισάμενος ἔφθη (Πύλαι ταύτῃ τὸ ὄνομα), καὶ πρέσβεσιν ἐκ τοῦ σουλτὰν ἀφικομένοις ἐνταῦθά που χρηματίσας, ἐπειδὴ μηδὲν ὑγιὲς αὐτοὺς ἀπαγγέλλοντας ἔγνω, αὐτοὺς μὲν ἀπεπέμψατο ἀπειλησάμε-
C νος, ὅτι γε μὴ κατὰ γνώμην αὐτῷ ποιούντων οὐκ εἰς μακρὰν ἡ Ῥωμαίων τῆς σφετέρας καταδραμεῖται ἵππος καὶ λῄσονται πάντα πολλῷ μᾶλλον ἢ νῦν. ὁ δὲ ἐπ' ὀλίγον τῇ Αὐγούστῃ συνδιατρίψας χρόνον, εἶτα ἐκεῖθεν μεταβὰς (εἶχε γὰρ αὐτὸν χωρίον τηνικάδε ἐς τὴν περαίαν διαβάντα Ῥιτζίον πρὸς τῶν ἐγχωρίων κεκλημένον), ἐπὶ τὴν ἀντίπορθμον ἦλθεν, ἐκεῖθέν τε ὁδῷ προϊὼν διὰ τῶν ἀγχιάλων πόλεων ἐπὶ τὴν Φιλαδέλφου καταλαμβάνει, ὅθεν συσκευασάμενος ἐμβάλλει τῇ Περσικῇ. οἱ μέντοι πρέσβεις διὰ τῶν Δορυλαίου πεδιάδων ἰόντες, ἀγνῶτές τε διὰ τοῦτο τὸ παράπαν τοῦ βασιλέως ἐπὶ τὴν αὐτῶν ἧσαν ὁρμήν, καὶ τοῖς Βυ-
D V 89 ζαντίου προαστείοις διατριβὴν αὐτὸν ποιεῖσθαι ἰσχυρίζοντο. ὅθεν καὶ τῆς Ῥωμαίων ἐφόδου πανταχόθεν διαγγελλομένης, Πέρσαι τὰ πρῶτα κομιδῇ ἄπιστον εἶναι τὸ πρᾶγμα ἡγοῦντο, ἐπεὶ δὲ αὐτοπτησάντων ἤδη πολλῶν ἤκουσαν, τότε δὴ πανστρατὶ κινηθέντες

cum tribus aliis, viris et ipsis magnanimis, abduxit. id ubi viderunt ceteri, nec se esse resistendo pares, fugam confestim iniere. ille autem cum dictis captivis in castra reversus est; cumque hiemem acerrimam videret iamiam imminere, Byzantium rediit.

23. Sed mox in oppidum illud Bithyniae pervenit, quod deductis Philomelio Romanis captivis inhabitandum concesserat, cui Pylae nomen. ibi convenere missi ab Sultano legati, quos, ut nihil sani ab iis adferri vidit, domum remisit, additis minis, nisi facerent ea quae ipse vellet, brevi equitatum Romanum incursaturum illorum agros, et multo hostilius quam nunc omnia depopulaturum. tum aliquamdiu apud Augustam moratus (transgressus enim fretum substiterat in loco, quem Ritzium vocant indigenae), inde in adversam ripam traiecit. hinc facto per maritimas civitates itinere, pervenit Philadelphiam, ex qua rebus omnibus rite comparatis Persidem invasit. interea proficiscentes per Dorylaei campos legati, imperatorem in agros suos irruptionem fecisse prorsus ignari, illum in vicinis Byzantio praediis versari affirmabant. unde cum Romanorum undique nuntiaretur irruptio, rem primo incredibilem esse omnino credebant Persae. sed ubi a plurimis conspectos esse intellexerunt, tum vero festinarunt cum universis copiis occurrere.

ὑπαντιάσειν ἠπείγοντο. ἐπ' οὐδενὶ γὰρ οὕτω παθαίνεται βάρβαρος ὡς ἐπὶ χρημάτων ἢ κτημάτων ἀποβολῇ. βασιλεὺς δὲ ἔτι μηδέπω γνῶναι Πέρσας τὰ πρασσόμενα οἰηθείς, τὸ μὲν ἄλλο Ῥωμαίων στράτευμα πρόσω ἐπὶ διαρπαγῇ ἔπεμψεν, ὁ δὲ κατόπιν σὺν ὀλίγοις ἐχώρει. ὅθεν καὶ Πέρσας κεκινῆσθαι ἤδη παμπληθεὶ ἀκούσαντες Ῥωμαῖοι, συνεταράχθησαν μὲν ὡς τὸ εἰκός, ἄλ- P 114 λως τε καὶ βασιλέως μὴ συμπαρόντος αὐτοῖς, ὡς δὲ ἤδη ἀνεμίγνυτο τούτοις καὶ αὐτός, ἔγνω γὰρ τὴν Περσῶν ἔφοδον, ἀναθαρσήσαντες λοιπὸν συντονώτερον ἐπορεύοντο. ἐπεὶ δὲ ὀψὲ τῆς ἡμέρας ἦν, τῶν ἵππων ἀποβάντες τοῖς τε ἵπποις φορβὴν κατὰ τὸ ἔθος ἐδίδουν καὶ πρὸς βραχὺ διαναπαυσάμενοι, νυκτὸς ἤδη ἐπιλαβομένης, ἄραντες ὑπὸ λαμπτῆρσι τὸν δρόμον ἐποιοῦντο. ἔστι δὲ τὸ τῶν λαμπτήρων χρῆμα τοιοῦτον. κύβον τινὰ σιδήρου πεποιημένον ὀρθὰς τούτῳ ἐναρμόζουσι κατὰ διέχειάν τινας ἐκ πλατέος ἠρέμα πρὸς ὀξὺ ληγούσας ἀεί· κατὰ μέσον μέντοι τὸν κύβον ἑτέραν ἱστᾶσι σιδηρᾶν καὶ ταύτην, οὐ μέντοι κατὰ τὰς B ἄλλας, ἀλλὰ παχεῖαν μὲν τὸ πρῶτον ὀξεῖαν δέ πως κατὰ βραχὺ γινομένην· ζωστῆρσί τέ τισι τὰς κύκλῳ περιλαβόντες οἷόν τινα λυχνοῦχον ἀποτελοῦσιν ἐπί τε δορατίων ἐντιθέασιν ἄκρων· εἶτα λίνεά τινα ὕφη κατὰ μῆκος διελόντες ὑατείῳ περιδεύουσι στέατι, ἑλίξαντές τε ἐπιμελῶς ἑκάστῳ τῶν ὀξὺ ληγόντων περιπείρουσιν αὐτὰ σιδηρίων, πυρί τε καιομένων μύριόν τι σέλας ἐκεῖθεν ἐκ-

14. πεποιημένον] Fort. πεποιημένοι. ibid. τινας] Fort. add. ῥάβδους σιδηρᾶς. 19. ἐντιθέασιν] Ita Duc. Cod. ἐκτεθέασιν. 20. ὑατείῳ] ὑείῳ?

nulla enim re alia aeque commovetur barbarus ac suarum rerum et possessionum amissione. imperator autem haudquaquam adhuc scire Persas quae agebantur ratus, aliquot Romanorum copias ad praedam faciendam praemittit, ipseque a tergo cum paucis subsequitur. verum ut audivere Romani adventare Persas cum numeroso exercitu, continuo illos invasit pavor, eo magis quod ab iis abesset princeps. sed postquam ille intellecto Persarum adventu ad eos accessit, collectis animis maiori cum contentione deinceps progrediebantur. cum iam advesperasceret, ex equis desilientes pabulumque iis de more praebentes paulisper quievere: deinde ut nox ipsa advenit, praeeuntibus laternis, iter fecerunt. in hunc autem modum confectae sunt eiusmodi laternae. quadrilaterum quid in cubi formam ferro elaborant, quod circumambiunt distinctae per intervalla rectae virgulae, in inferiori sui parte latiores et sensim desinentes in acutum. a medio cubo exsurgentem aliam virgulam ferream statuunt, non quidem ceteris similem, sed primo spissiorem ac crassiorem, in acutum perinde paulatim desinentem. virgulas deinde quae cubum ambiunt circulis revincientes lychnuchum veluti conficiunt, quem hastarum cuspidibus appendunt. tum linea quaedam texta in longitudinem discissa suillo sevo iuncta ac diligenter contorta unicuique eminentium et in acumen desinentium ferrearum virgarum affigunt, quibus accensis magnum

πίπτειν ποιοῦσιν, ὡς χειροποίητόν τινα ἡμέραν ἐντεῦθεν σχεδιάζεσθαι τοῖς στρατεύμασι. περὶ μὲν τῶν λαμπτήρων τοσαῦτα εἰρήσθω· ὁ δὲ Ῥωμαίων στρατός, χιόνος κατενεχθείσης σφοδρᾶς τῶν ὁδῶν τε παντάπασιν ἠφανισμένων, ἐπὶ πλεῖστον τῆς
C ἐφ' ἣν ἐφέρετο ἀποπλανηθεὶς μικροῦ καὶ εἰς ὀλεθρίους ἂν καὶ κινδυνώδεις διεξέπεσε χώρους, εἰ μὴ ταχὺ τῆς πλάνης αἰσθόμενος βασιλεὺς λαμπτῆρά τε εἵλετο, καὶ ἔνθα καὶ ἔνθα περιελθὼν ἀνέγνω τε τὴν πορείαν καὶ ἐπὶ τὴν προκειμένην τὸ στράτευμα εὐώδωσεν. ἐπὶ χῶρόν τέ τινα Σαράπατα Μύλωνος πρὸς τῶν ἐγχωρίων ὠνομασμένον ἐλθὼν ἐκεῖθεν λοιπὸν προνομεύειν ἤρξατο. τῆς οὖν φήμης ἁπανταχῆ διαδραμούσης πυθόμενος ὁ τὴν τῆς γῆς ἐκείνης σατραπίαν διέπων (ὄνομα αὐτῷ Σολυμᾶς), ὤκνει καὶ εἰσέτι πιστεύειν τοῖς λεγομένοις. ὅθεν καὶ Πουπάκην ἀδελφιδοῦν αὐτῷ τυγχάνοντα βασιλεῖ δὲ πολλάκις εἰς ὄψιν ἐλθόντα,
D πέμψας ἐκέλευεν ἔγγιστα τοῦ Ῥωμαίων γεγονότα στρατοῦ ὅπῃ δυνατὸν τὸν βασιλέα περισκοπεῖν. ὁ τοίνυν Πουπάκης τὴν πρώτην τὸν βασιλέα διαγνοὺς ἀπέβαινέ τε τοῦ ἵππου καὶ δουλικῶς αὐτῷ προσελάλει. ὁ δὲ ὅστις τε εἴη καὶ παρ' ὅτου πεμφθείη μαθὼν "τάδε τῷ Σολυμᾷ" ἔφη "ἀγγελεῖς. ὅμοιόν τι ποιεῖς τίς ποτέ ἐστιν ὁ τὰ Περσῶν ληϊζόμενος μαθεῖν ἐπιζητῶν, ὥσπερ ἂν εἰ καὶ πυρὸς ἐπὶ τὴν σὴν ἀναφλεγέντος οἰκίαν, τοῦ μὲν ὅπως ἂν αὐτοῦ περιγένοιο λόγον ἐποιήσω οὐδένα, τὸ δὲ ὅθεν τε τὴν ἀρχὴν ἔσχε

4. τῆς] Ita Heyse. Cod. τις. 9. Σαράπατα] Ita Tollius. utrum hoc an Σπαράπατα in Cod. scriptum sit, incertum esse dicit Heyse. ibid. Μύλωνος] Ita Tollius. Cod. μύλωνας. locus fortasse Σαραπάτα μύλωνες (vel μυλῶνες) Sarapatae pistrina dicebatur.

adeo lumen inde diffunditur, ut arte quasi confecta dies exercitibus videatur. de laternis quidem haec sufficiant. ceterum cum Romanorum copiae, gravi delapsa nive, et contectis ubique itineribus, longe ea qua insistendum erat via aberrassent, in periculosa et incommoda incidissent loca, nisi errore statim cognito imperator, arreptaque laterna hac illac circumiens invenisset viam, et in proximam regionem exercitum feliciter perduxisset. postquam inde ad locum, Sarapata Mylonis ab incolis appellatum, accessit, ex eo coepit excursiones facere. cuius rei vulgata ubique fama, cum ad terrae istius principem, nomine Solymanum, pervenisset, adduci vix ille potuit, ut dictis fidem praestaret. unde Pupacem cognatum, qui tum sibi aderat, et in imperatoris conspectum saepius venerat, misit, ut proxime accedens ad Romanos, num ipse adesset imperator, quantum fieri posset disquireret. Pupaces igitur, illo statim agnito, ex equo desiliit, et humillime eum allocutus est. qui ubi didicit quis esset, et quorsum esset missus "haec" inquit "Solymano nuntiabis: cum quisnam ille sit qui Persidem depopulatur percontaris, perinde facis ac si conflagrante domo tua, quomodo ignem exstin-

καὶ παρ᾽ ὅτου ἀναφθείη ἐπιμελῶς ἀνηρεύνας. μὴ τοίνυν ὡς ὑπὸ παραπετάσματι τῇ δῆθεν ἀγνοίᾳ τὸ τῆς δειλίας περικαλύπτειν θέλε P 115 κακόν. ἀγνοίας γὰρ προσποίησις, ὁπότε μὴ κατὰ λόγον γένοιτο, V 90 οὐδαμῶς ἐξαιρεῖσθαι μέμψεως τὸν χρώμενον πέφυκεν. ἓν ἄριστον ὁ τῆς στρατηγίας οἶδε λόγος προκινδυνεύον πατρίδος ῥοπῇ τὰ πράγματα ταλαντεύειν· κἂν τις οὐκ ἐπιδράξοιτο ταύτης, ἀπολώλεκεν ἤδη τὸ πᾶν. σοὶ δὲ καὶ ἄλλως οὐκ ἔτι χώραν ἡ σκῆψις ἔχει. ἔγνως, ἰδού, συνεβάλου τὸν Πέρσας μαστίζοντα· κἂν ἀντιτάξασθαι θελήσῃς, λόγος οὐδείς." ταῦτ᾽ εἰπὼν αὐτὸν μὲν ἀπεπέμψατο, τὰ ἐν ποσὶ δὲ δῃώσας καὶ ἀφανισμῷ παραδοὺς παλινῳδίας ἥπτετο, πρᾶγμα πρὶν γενέσθαι ἀπιστούμενον. λέγε- B ται γὰρ οὐ πλείους τῶν ἑξήκοντα τὴν στρατιὰν ἐκείνην εἶναι ἀνδρῶν μαχητῶν, ὅτε δὴ τὰ Ῥωμαίων ἐπὶ μεγάλῳ γεγονότα κινδύνῳ παραδόξως ἐρρύσθη. Πέρσαι γὰρ εἰς μυριάδας τὸ ἀπὸ τοῦδε συλλεγέντες τοὺς ἐπικαίρους τῶν τόπων κατέσχον, ἔνθα γεγονότων Ῥωμαίων μάχη ῥήγνυται ἰσχυρά· καὶ Πέρσαι μὲν ἐξ ὑπερδεξίων βάλλοντες Ῥωμαίους ἔθλιβον, οἱ δὲ ὑπ᾽ ἀνάγκης ἐν χρῷ ἀλλήλοις ἀεὶ συνιόντες ἀνεπίμνηστοι παντάπασιν ἀρετῆς ἦσαν, τῆς τοῦ χώρου φύσεως οὐδὲ ὅσον τὰ εἰς τὴν πορείαν ἱκανῆς αὐτοῖς οὔσης. ἤδη δὲ καὶ περὶ αὐτὸν βασιλέα τὸ δεινὸν ἐφειστήκει. τῶν γὰρ παρασπιζόντων αὐτῷ τινες ἀπορρέειν ἤρξαντο. C ὁ δὲ καίτοι ἐν τῷδε κακοῦ γεγονὼς τοῦ συνήθους ὅμως οὐ κα-

2. τῇ δῆθεν] Ita Duc. Cod. τὰ δῆθεν. 5. προκινδυνεύον] Tollius coni. προκινδυνεύων. fort. προκινδυνεύοντα.

quas nihil sollicitus, quis in aedes immiserit curiosius inquireres. noli igitur in posterum ignorantia malum pavorem quasi velo contegere. ignorantiae enim simulatio, quando cum ratione non est coniuncta, nequaquam illum, qui ea utitur, a probro solet liberare. id potissimum principis et imperatoris munus est, pro patria discrimen subire et momenta rerum agendarum ponderare: quae si non ille apprehenderit, iam perdidit omnia. sed et alias in te locum non habet simulatio. en agnoscis et satis coniectas, quis sit qui Persas castigat: quodsi adhuc libet decernere acie, nihil impedio." his dictis Pupacem dimisit: ac deinde obviis quibusque vastatis et consumptis retro cessit, rem aggressus, priusquam illa perageretur, prorsus incredibilem. aiunt enim haud amplius sexaginta bellatoribus aciem istam fuisse conflatam. tum vero summum in discrimen adductae Romanorum res praeter opinionem servatae sunt. Persae siquidem ingenti multitudine ex eo tempore congregati, loca idonea insederant: quo cum advenissent Romani, validum inter illos concitatum est certamen. sed missis ex editiori loco telis gravius affecti Romani, in unum semper ac velut testudine coibant, cum ad id necessitas cogeret, pristinae autem audaciae prorsus immemores, cum ulterius progrediendi facultatem loci natura minus idonea iis denegaret. iam tota praelii moles in imperatorem incubuit: plerique enim ex comitibus recesserant. verum ille tanto discrimini obiectus, neutiquam a pristina fortitudine

θυφίει λήμματος, ἀλλὰ καὶ τὸν γαμβρὸν αὐτῷ προσιόντα Ἰωάν-
νην, οὗ πολλάκις ἐμνήσθην, τὴν ἀσπίδα τε προβάλλειν αὐτῷ
προτεθυμημένον (ἔτυχε γὰρ ὁπλοφορίας ἄνευ τῷ τηνικαῦτα ὤν)
ἀπεπέμψατο, ἀμήχανον εἶναι εἰπὼν ἀσπίδα μίαν δυεῖν καλῶς
προασπίζειν σωμάτοιν. ἐν τηλικαύτῃ δυσχερείᾳ τὸν χῶρον ἐκεῖ-
νον διελθόντες Ῥωμαῖοι, ἐπειδήπερ ἐν εὐρυτέροις ἤδη ἐγένοντο,
ἵππων τε ἀρετὴν καὶ ῥώμην ἀνδρῶν ἐλέγξαι δυναμένοις, τὴν
ἐνυάλιον ἠχὴν ἀλαλάξαντες κατὰ τῶν πολεμίων τὰς αἰχμὰς ἴθυ-
D ναν, τρεψάμενοί τε πολλοὺς ἔκτειναν καὶ πᾶσαν ἣν ἐπήγοντο λείαν
ἀνειληφότες ἀνεχώρησαν. ὅτε δὴ πολλῶν ἀνδραγαθησαμένων πάν-
τας βασιλεὺς ὑπερῆρεν. οὔτε γὰρ οὐδεὶς πρότερος αὐτοῦ τοῖς
ἔχθροις ξυνεπλάκη, καὶ τηλικούτων οὐδεὶς αὐτόχειρ γέγονεν ἀρι-
στειῶν. ταῦτα κατωρθωκὼς βασιλεὺς ἐπὶ Βυζάντιον ἦλθε.

24. Πέρσαι δὲ ὤδινον τοῖς συμπεσοῦσι καὶ ἀντιλυπήσειν
Ῥωμαίους διενοοῦντο, καιροῦ τε λαβόμενοι, Φιλητάν τε πόλιν
ἑῴαν διήρπασαν καὶ τὴν πρὸς τῇ μικρᾷ Φρυγίᾳ Λαοδίκειαν
P 116 ἀδόκητοι ἐπελθόντες κακῶς διέθεντο, πολλοὺς τῶν ἐγχωρίων στό-
ματι μαχαίρας ἡβηδὸν παραπέμψαντες, οὓς δὲ καὶ ἀνδραποδι-
σάμενοι, πολύ τι καὶ οὐκ εὐαρίθμητον πλῆθος. ταῦτα πυθό-
μενος βασιλεὺς ἤσχαλλε μὲν καὶ ἐδυσφόρει, καὶ εἴ γε δυνατὸν ἦν
εὐθυωρὸν ἐπὶ τὴν Ἀσίαν διαβῆναι ἤθελε, πρὸς Ἰκονίῳ ἐνστρα-
τοπεδευθησόμενος· ἐπεὶ δὲ τοῦτο καιροῦ τε χρῄζειν ἔγνω τηλι-

3. προτεθυμημένον] Ita Tollius. Cod. προτεθυμημένου. 10. ἀνδραγαθησαμένων] Cod. ἀνδραγαθημένων. praeterea malim ἀνδραγαθισαμένων. 20. ἤσχαλλε] Cod. ἤσχαλε.

ἀέρω μηδέν. τὸ δὲ τοῦ πράγματος τέλος τὴν τοῦ συνενεχθέντος ἐναργῶς παρεστήσατο δήλωσιν. καὶ Κλιτζιεσθλὰν γὰρ μετὰ πολλοὺς ἐπιγενομένους χρόνους τῶν εἰς βασιλέα συνθηκῶν ἀλογήσας πανστρατὶ Ῥωμαίους κατὰ Περσῶν ἐλθεῖν παρεσκεύασε. τύχῃ τέ C
τινι δυσχωρίαις ἐμπεσὸν τὸ στρατιωτικὸν τῶν ἐπὶ δόξης τε ἀποβεβλήκει πολλοὺς καὶ μεγάλου ἐγγὺς ἦλθε κακοῦ, εἰ μὴ βασιλεὺς ἐνταῦθα ἀνθρωπίνης ὅρον ἀρετῆς τὰ πολέμια παρελθὼν ὤφθη. ἀλλὰ ταῦτα μέν, ὥσπερ καὶ ἤδη ἔφην, εἰσέπειτά μοι λελέξεται; ὁ δὲ βασιλεὺς ἐς τὰ κατὰ νότον τῆς πόλεως ἀνάκτορα καταχθεὶς μεγαλοπρεπέσι τε ἐδεξιοῦτο δείπνοις αὐτὸν καὶ διὰ φιλοφροσύνης ἦγεν ἁπάσης. εἶτα καὶ ἵππων αὐτὸν ἔθελξεν ἁμίλλαις, ὑγρῷ τε πυρὶ κατὰ τὸ ἔθος λέμβους τινὰς ἐνεπίμπρα καὶ ἀκάτους, καὶ ὅλως τῶν τῆς ἱπποδρομίας ἐγέμιζε τὸν ἄνδρα θεαμάτων, ἐξ ὧν μάλιστα μεγέθη πόλεων φιλεῖ δείκνυσθαι. ὁ δὲ ἐφ' ἱκανὸν ἐν Βυζαντίῳ D
διατρίψας τὰ προλαβόντα τε δευτέροις ὅρκοις πιστωσάμενος ἐπὶ τὴν ἑαυτοῦ ἦλθεν. εἶχε δὲ τὰ τῆς ὁμολογίας αὐτοῦ ὧδε· ἐχθρὰ μὲν διὰ βίου φρονήσειν οἷς τὸ πρὸς βασιλέα τρέφοιτο ἔχθος, φίλια δ' αὖ τοῖς τοὐναντίον εὔνοις αὐτῷ καθεστῶσι. πόλεών τε ὧν ἂν αὐτὸς περιγένοιτο τὰς μείζους καὶ ἀξιολογωτέρας βασιλεῖ διδόναι. ἐξεῖναι δὲ αὐτῷ οὐδαμῇ τῶν ἐχθρῶν τινι σπείσασθαι ὅτι μὴ βασιλέως κελεύοντος. δεῆσάν τε Ῥωμαίοις συμμαχήσειν, πανστρατὶ ἀπαντᾶν κἂν ἑῷος κἂν ἑσπέριος ὁ πόλεμος εἴη. οὐ μὴν οὐδὲ τοὺς ὅσοι ὑπὸ τὴν αὐτοῦ μὲν κεῖνται παλάμην, κλέμμασι δὲ P 121

19. ἀξιολογωτέρας] Cod. ἀξιολογωτέρους.

quid autem illud portenderit, perspicue ostendit rei exitus. quippe Clitziesthlan multo post tempore ruptis quae cum principe sancita fuerant pactis, Romanos cum omnibus viribus in Persas convertit. ubi cum forte in loca difficilia eorum exercitus incidisset, plurimos dignitate illustres viros amisit, et in maius venisset discrimen, nisi imperator humanae illic audaciae modum excessisse visus esset. sed haec, uti iam diximus, deinceps a nobis commemorabuntur. princeps vero in ea palatia, quae ad australem urbis partem sunt, concedens, magnificis illum epulis, et omni benevolentiae genere excepit: inde et equestribus certaminibus oblectavit, scaphasque et acatia ex more liquido igne incendit, ludorum denique circensium spectaculis, ex quibus maxime civitatum amplitudo et magnificentia deprehendi solet, ad satietatem recreavit. is igitur cum diu satis Byzantii egisset, et priora pacta altero etiam firmasset iureiurando, domum reversus est. eae porro fuere foederis conditiones: eorum qui imperatoris hostes essent, quamdiu viveret, hostem futurum, amicum contra eorum, qui illius amici forent: urbium, quas ipse caperet, maiores ac praecipuas imperatori traditurum; foedus cum quolibet hoste, principe inconsulto, non facturum: ad Romanos, cum id necessitas postularet, cum omnibus accessurum viribus, seu in Oriente

διαζῆν ἐπίστανται, οὓς δὴ Τουρκομάνους ἔθος καλεῖν ἐστιν, ἀτι-
μωρήτους ἐᾶν ὁποιονοῦν τι ἐς Ῥωμαίων ἡμαρτηκότας τὴν γῆν.
ταῦτά τε αὐτὸς ὡμολόγηκε καὶ μεγιστάνων ὅσοι αὐτῷ εἵποντο, κἂν
ἐκεῖνος αὐτῶν ἀμελοίη, τοὺς δὲ σθένει παντὶ κωλύειν τὴν ἐγχείρη-
σιν. ταῦτα μὲν οὖν ἐν Βυζαντίῳ ἐτελεῖτο, ἡ δὲ φήμη φθάνει ἐξ
Εὐρώπης ἐπὶ τὴν Ἀσίαν διαβᾶσα. τοίνυν καὶ οὐ πρὸς καλὸν αὐ-
τοῖς ἔσεσθαι οἱ τῇδε νομίσαντες φύλαρχοι εἰ βασιλεὺς τὸν σουλτὰν
εἰσπεποίηται, πρέσβεις πέμψαντες ἐδέοντο ὡς καὶ αὐτοὺς τῷ
σουλτὰν διαλλάξαι· ὁ δὲ ἤκουσε μὲν αὐτῶν οὐκ ἀηδῶς, ἐς δὲ τὴν
B τοῦ σουλτὰν δῆθεν τὸ πᾶν ἀνατιθεὶς αἵρεσιν ἐπ' ἐκεῖνον αὐτοὺς
ἔπεμπεν ἐν παλατίῳ, καθάπερ εἴρηται, διατριβὴν ἔχοντα. οἳ
καὶ ἐπειδὴ τάχιστα πρὸς λόγους ἐκείνῳ κατέστησαν, διαλύσασθαί
τε σφίσι τὴν ἔχθραν ἴσχυσαν καὶ ἱκέτην ὑπὲρ αὐτῶν βασιλεῖ γε-
V 95 νέσθαι ἀνέπεισαν. ὁ δὲ ἱκετεύοντα προσηκάμενος ἐν φίλων μοίρᾳ
καὶ αὐτοὺς ἐποιήσατο, εἰρήνη τε τοῦ λοιποῦ σταθηρὰ τὴν Ῥω-
μαίων εἶχεν ἀρχήν.

4. Ἐπεὶ δὲ ἡ βασιλὶς Εἰρήνη τὸν βίον ἤδη μετήλλασσε,
βασιλεὺς δὲ οὔπω ἄρρενος τότε πατὴρ παιδὸς ἐτύγχανεν ὤν, ἐπὶ
δευτέρους λοιπὸν ἔβλεψε γάμους. καὶ ἦν γάρ τις κόρη τῶν κατὰ
τὴν ἐν Φοινίκῃ Τρίπολιν, Λατῖνα μὲν γένος περικαλλὴς δὲ ἐν
C ταῖς μάλιστα. ταύτην ἐκεῖθεν ἄξοντας Ἰωάννην τε σεβαστὸν τὸν
Κοντοστέφανον ἔπεμψε καὶ Θεοφύλακτον ἄνδρα Ἰταλόν, ὃν Ἐξου-

3. ὡμολόγηκε] Cod. ὁμωλόγηκε.

seu in Occidente bellum foret. neque etiam Turcomannos, quos vocant, rapto vivere assuetos, quotquot sub illius essent potestate, impunitos relicturum, in quacumque demum imperii parte deliquissent. haec ille pactus est, et qui eum comitabantur magnates, si ab eiusmodi conditionibus recederet, pro viribus illius se conatus impedituros sunt polliciti. his Byzantii transactis, ubi earum rerum fama ex Europa in Asiam pervenit, phylarchi, qui hasce regiones incolunt, haud sibi bene cessurum rati, si in suas partes Sultanum adduxisset imperator, per legatos illum rogavere, ut et Sultanum periade sibi reconciliaret. horum ille legationem haud illibenter audivit: sed velut rem omnem Sultani relinquens arbitrio, ipsos ad eum misit, in palatio, quemadmodum dictum est, tunc agentem. illi autem simul atque cum eo sunt congressi, tandem ut quae inter ipsos intercedebant simultates deponeret, et apud principem pro se intercederet, persuaserunt: cuius ille admissis precibus, et ipsos in numerum amicorum adscivit. atque inde in posterum firmam pacem Romanum imperium adeptum est.

4. Postquam imperatrix Irene vita excessit, princeps, cui nulli adhuc erant masculi liberi, de secundis nuptiis coepit cogitare. erat autem puella Tripoli in Phoenicia, gente quidem Latina, forma ceteroquin eximia et eleganti. eo qui inde illam abducerent misit Ioannem Contostephanum sebastum et Theophylactum virum Italum, quem Exubitum appellabant. ut igi-

βιον ἐπεκάλουν. εἶδόν τε οὖν τὴν κόρην οἱ ἄνδρες καὶ ἀγασάμενοι τοῦ κάλλους, ἐπειδὴ μηδὲν ὁθενδήποτε ὑπεφαίνετο τέως ἐμποδών, μηδὲν ὑπερθέμενοι ἐς τὴν τριήρη ἐμβιβάζουσιν. ἄρτι δὲ ἐκεῖθεν ἀφήσειν μελλόντων, νόσοι βαρεῖαι τῇ κόρῃ ἐνίσκηπτον, καὶ ἦν ἐν κακοῖς. ὅθεν καὶ ἀεὶ εἰς τὴν ἐπιοῦσαν ἀναβαλλόμενοι τὸν ἀπόπλουν εἰκῇ τὸν καιρὸν διῆγον. κἂν γὰρ ἐπ' ὀλίγον ἀνεθείη τῶν ὀδυνῶν προσδοκήσιμός τε ἀποπλεῖν γένοιτο, ἀλλ' ὥσπερ ἀπὸ προνοίας τινὸς ὀπισθόρμητον τὸ δεινὸν ἐπ' αὐτὴν ἤρχετο, καὶ κατακλιθεῖσα ἔφριττε τὸ σῶμα καὶ ἐκλονεῖτο ἐξαίσια, πυρε- D τοί τε αὐτὴν μετεδέχοντο, καὶ ὑπωπιασμὸς ἤδη καὶ τηκεδὼν ἐπηκολούθει. καὶ τὸ τῆς ὄψεως ἄνθος χαρίεν τι μαρμαῖρον τὰ πρότερα ἠλλοιοῦτο κατὰ βραχὺ καὶ ἐστυγνοῦτο. ἰδὼν ἄν τις δακρύων ἐπλήσθη τηλικούτου λειμῶνος ἔξωρα φθίνοντος. οὕτω μὲν ἡ κόρη κακῶς εἶχεν ἐπ' οἴκου διατρίβουσα· εἰ δέ ποτε καὶ τὴν ναῦν ἀναβαίη καὶ ὀλίγῳ Τριπόλεως ἀναθείη, ἐνταῦθα διπλοῦς ἐπωρύετο κλύδων. καὶ τὸ μὲν σκάφος εἶχεν ἡ Τρίπολις αὖθις, τὰς δὲ νόσους ἐκείνη οὐ πολλῷ ταύτης ἀπολειφθεῖσας ἐδέχετο μείζους. P 122
τοῦτο πολλάκις ἐπιγεγονὸς εἰς ἀπεράντους τὸν Κοντοστέφανον ἦγεν ἐννοίας. τοίνυν καὶ ἀσχάλλων ὡς τὸ εἰκὸς ἄλλοτε ἄλλους ἀναπολῶν λογισμοὺς τέλος ἐπί τινα τῶν ἐνταῦθα νεῶν παρελθὼν ἐπυνθάνετο εἰ βασιλεῖ τὴν παῖδα κατεγγυηθῆναι χρεών. ἀνεῖλε δέ οἱ τὸ ἱερὸν πυθεῖον“ ὁ μὲν γάμος ἕτοιμος, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν

14. ναῦν] Ita Tollius. Cod. ναῦ. cfr. p. 99, 14. 15. ἀναθείη] Fort. ἀναχθείη. 22. ὁ μὲν γάμος] Matthae. 22, 8.

tur virginem conspexere legati, statim iis forma arrisit: cumque obstare nihil videretur, nulla mora eam in triremem immisere. verum cum inde essent excessuri, gravioribus morbis correpta virgo male habuit. unde dilata in dies abitione, frustra ibi consumebant tempus. quippe si paululum a doloribus vacaret, atque adeo ad iter capessendum videretur idonea, statim, nescio quo fato, illam rursum invadebat morbus, ita ut lecto decumbens toto corpore fremeret, graviterque convelleretur. ad haec sequebatur febris, et livor et tabes: vultusque nitor, qui antea gratiis coruscabat, immutabatur sensim et obscurabatur. eam intuenti oboriebantur lacrymae, tam praeclaro pulchritudinis flore intempestive pereunte. his puella malis domi afficiebatur. si vero aliquando navem ingrederetur, paululumque abduceretur a Tripoli, tum vero duplo maior infremebat morbi fluctus, navemque iterum in urbem redire necesse erat, ac illa morbi ad breve tempus intermissi acriore impetu corripiebatur. id cum crebrius eveniret, Contostephanum in ambiguas incertasque cogitationes coniecit. ea igitur propter animo incertus dubiusque quo demum inclinaret, tandem in quoddam ibi templum accedens, sciscitatus est, an ducturus esset virginem hanc princeps, idque fatis decretum esset: hoc vero ei retulit sacrum oraculum “nuptiae quidem paratae,

ἄξιοι εἰσελθεῖν." τούτων ἐκεῖνος ἀκούσας συνείς τε τοῦ χρησμοῦ,
ἐπειδὴ καὶ φήμη τις ἤδη περιέθραυσε τούτους ὡς εἴη γάμων οὐκ
ἐκ νομίμων ἡ κόρη φυεῖσα, πρᾶγμα εἰς αἰσχύνην διαρκὲς μάλι-
στα, ἀπέσχετο ἤδη τῆς ἐγχειρήσεως ἄρας τε ἐγγύθεν ἐπὶ Βυζάν-
B τιον ἦλθεν. ἦσαν δὲ Ῥαϊμούνδῳ τῷ Ἀντιοχείας πρίγκιπι θυγατέ-
ρες κάλλει κατ' ἐκεῖνον διενεγκοῦσαι τὸν χρόνον. ταύτας ὀψόμε-
νον Βασίλειόν τινα ἐπίκλησιν Καματηρὸν ἀκόλουθον ὄντα τῷ τηνι-
κάδε βασιλεὺς ἔπεμψεν. ὁ δὲ ἐπειδὴ τάχιστα πρὸς Ἀντιοχείᾳ ἐγέ-
νετο, καλὰς μὲν εἶδε καὶ ἄμφω, καλλίων δέ οἱ ἡ Μαρία εἶναι
κατεφάνη. καὶ ἔτυχέ γε τῆς ἀκριβείας ἡ τοῦ πρεσβευτοῦ ἐκείνου
βάσανος. τηλίκον γὰρ κάλλος οὔπω, Βυζάντιοι ἔλεγον, ὁ καθ'
ἡμᾶς ἐγνώρισεν αἰών. ἀλλὰ ταῦτα μὲν ὕστερον· τότε δὲ ἐπειδή-
περ ἐπὶ τὴν Μαρίαν ὁ γνώμων εἶδε, πυθόμενος βασιλεὺς ἄνδρας
τῶν ἐπὶ δόξης ἐπ' Ἀντιοχείας ἔπεμψε τὴν κόρην αὐτῷ κατεγγυή-
C σοντας, Ἀλέξιον δὴ τὸν βασιλέως Ἀλεξίου θυγατριδοῦν, ὃς καὶ
μέγας τῷ τότε δοὺξ ἐτύγχανεν ὤν, καὶ Νικηφόρον τὸν ἐκ Βρυεν-
νίων, γαμβρὸν μὲν ἐπ' ἀδελφιδῇ βασιλεῖ γεγονότα, σεβαστὸν δὲ
ἤδη γεγενημένον. ἐν οἷς καὶ Ἀνδρόνικος ἦν ὁ Καματηρὸς ὃς τὴν
ἔπαρχον τότε διεῖπεν ἀρχήν, ἀνὴρ σεβαστότητι μὲν ἀξιωθεὶς ξυγ-
V 96 γενὴς δὲ βασιλεῖ καὶ αὐτὸς ὤν. οἱ δὲ καὶ εἶδον καὶ θαυμάσαντες
ἐνέθεσάν τε τῇ τριήρει καὶ μεγαλοπρεπῶς ἐς Βυζάντιον ἐκόμισαν.
πέμπτην τοίνυν καὶ εἰκοστὴν μηνὸς ἄγοντος Ἀπελλαίου, ὃν Δεκέμ-

10. πρεσβευτοῦ] Cod. πρεσβύτου. 14. κατεγγυήσοντας] Cod. κατανοήσοντας. correxit Duc.

invitati vero non sunt digni intrare." quibus auditis, intellectoque oraculo, cum ad haec nescio quis rumor percrebuisset, virginem haud legitimis esse prognatam nuptiis, rem maxime pudendam arbitratus, destitit ab incepto, indeque Byzantium reversus est. erant autem Raimundo Antiochiae principi filiae tunc temporis forma praecellentes. has ut spectaret, Basilium quemdam, cognomento Camaterum, qui tum acoluthi dignitate fungebatur, misit imperator. ille ut confestim Antiochiam venit, ambas quidem pulchritudine eximia praestantes vidit: potior tamen visa est illi Maria, quo quidem in delectu haud a vero aberrabat legatus ille. "nullam quippe" aiebant Byzantini "tam insignis formae mulierem nostra vidit aetas." sed de his postea. cum igitur quae inspector ille retulerat, accepisset princeps, viros dignitate illustres Antiochiam misit, qui virginem sibi desponsarent, Alexium nempe imperatoris Alexii ex Anna filia nepotem, qui tum magnus dux erat, et Nicephorum ex Bryenniorum familia, qui ex fratre vel sorore Manuëlis neptim uxorem duxerat, sebasti dignitate tum insignitum. cum iis etiam erat Andronicus Camaterus, qui praefecti urbis ea tempestate munus obibat, vir sebasti perinde dignitate auctus et imperatoris consanguineus. illi et eam viderunt et admirati sunt, ac triremi impositam magnifico apparatu Byzantium adduxerunt. quinto igitur et vicesimo mensis Apellaei, quem Decem-

βριον ῥωμαΐζοντες ὀνομάζουσιν ἄνθρωποι, εἰς τὸν περιώνυμον τῆς τοῦ θεοῦ Σοφίας οἶκον λαμπρῶς καταχθείς, ἐνταῦθα ταύτην D ἁρμόζεται, Λουκᾶ τοῦ τὴν ἐν Κωνσταντινουπόλει ἐκκλησίαν τηνικαῦτα λαχόντος, Σωφρονίου Ἀλεξανδρείας καὶ τοῦ Θεουπόλεως Ἀθανασίου, ᾗ Χριστιανοῖς ἔθος ἐστὶ τὰς χεῖρας αὐτοῖς ἐπιθέντων, Αὐγοῦσταν τε αὐτὴν ἀνειπὼν ἐς τὰ βασίλεια παλινδρομεῖ· μεγαλοπρεπέσι τε δείπνοις τοὺς ἐν τέλει εἱστία καὶ δημοθοινίας ἁπανταχῇ τῶν τῆς πόλεως ἐκάθιζε στενωπῶν· τῇ ἑξῆς δὲ συνδειπνήσοντας αὐτῷ τοὺς πατριάρχας ἦγεν, ἀφθόνῳ τε χρυσίῳ δεξιωσάμενος ἕκαστον ἀπέλυε. πρὸ πάντων γε μὴν χρυσίου κεν- P 123 τεναρίῳ τὴν ἐκκλησίαν ἐδωρήσατο. ὀλίγῳ δὲ ὕστερον καὶ ἁμίλλαις ἵππων διῆγε τὸν δῆμον καὶ τῶν εἰς εὐφροσύνην ἀγόντων οὐδενὸς καταμελεῖν ἤθελεν.

5. Ἐν Βυζαντίῳ μὲν ταῦτα ἐπράσσετο. Στέφανος δὲ τοῦ Βλαδισθλάβου τετελευτηκότος τῆς ἀρχῆς ἤδη ἐγκρατὴς γεγονὼς βαρὺς ἐδόκει τοῖς ἀρχομένοις καὶ λίαν ἐπαχθὴς ἦν. ὅθεν καὶ ἐλοιδοροῦντο αὐτῷ Οὖννοι τὰ πολλὰ καὶ ἔνδηλοι ἦσαν ὡς αὐτίκα τῆς ἡγεμονίας αὐτὸν κατασπάσοντες. ἐφ' οἷς ὁ Στέφανος ἐκταραχθεὶς βασιλέως καὶ πάλιν ἐδεῖτο. ὥρας τοίνυν ἰσημερούσης ἤδη τῆς ὥρας ἐπὶ τὴν πόλιν ἐφέρετο Φιλίππου, καὶ αὐτὸς μὲν ἐνταῦθα σὺν τῷ πλείονι τοῦ Ῥωμαίων ἔμεινε στρατοῦ, μοῖραν δέ τινα τοῦ στρατεύματος τῷ ἀδελφιδῷ πιστεύσας Ἀλεξίῳ τῷ Κοντοστε- B φάνου παιδὶ ἐπὶ Οὐννικὴν ἔπεμψεν. ἐν τούτῳ δὲ Στέφανος

6. Αὐγοῦσταν] Ita Cod. per siglum. Tollius αὐτῷ.

bream qui Latine loquuntur vocant, in celeberrimum divinae Sapientiae templum splendide deductus imperator, illam sibi matrimonio iungit, Luca Constantinopolitanae, Sophronio Alexandrinae, et Athanasio Theopolitanae ecclesiae patriarchis, ut Christianis mos est, manus ipsis imponentibus. cumque eam Augustam ibi renuntiasset, in palatia rursum revertitur, magnificisque conviviis proceres excipit, et ubique per singulos urbis angiportus epulas populo praebet. postridie demum epulaturos secum adduxit patriarchas, et unumquemque multo donatum auro dimisit. praesertim vero auri centenarium ecclesiae concessit. nec multo post equestribus certaminibus populum oblectavit, nihilque, quod ad delectationem conferret, voluit praetermittere.

5. Haec quidem Byzantii acta. Stephanus autem defuncto Vladislao principatum iam adeptus, gravis molestusque adeo subiectis esse coepit, ut passim illum probris insectarentur Hungari et regno viderentur statim depulsuri: quibus Stephanus conterritus opem rursum principis imploravit. motis igitur circa aequinoctium castris, Philippopolim venit imperator, ibique cum maiori exercitus Romani parte manens Alexium Contostephani filium ex sorore nepotem cum ceteris copiis in Hungariam misit. sed enim Stephanus

Οὔννοις ἤδη διαλλαγῆναι νομίσας οὐκέτι τούτου ἔχρῃζεν, ὅθεν καὶ οἴκοι λοιπὸν ὁ Ῥωμαίων ἀνεζεύγνυ στρατός. ἀλλὰ μεταξὺ Οὖννοι αὖθις Στεφάνῳ ἐπισυστάντες ἄλλα τε πολλὰ εἰς αὐτὸν ἀπερρίπτουν καὶ δὴ καὶ ὑπ' αὐτῷ τὰ Οὔννων ἀνατετράφθαι ἰσχυρίζοντο πράγματα. διὰ ταῦτα βασιλεὺς μὲν στράτευμα καὶ πάλιν ἤθροιζε, Στέφανος δὲ τὸν κίνδυνον διευλαβηθεὶς τὸ μὲν πρῶτον φυγὰς ἐπί τινα τῶν ἐγγυτάτω Ἴστρου πόλεων ἦλθεν, αἳ βασιλέως ἀνέκαθεν κατήκοοι τυγχάνουσιν οὖσαι, ἐκεῖθεν δὲ ἐπὶ Σαρδικὴν μεταβὰς ἐνταῦθα βασιλεῖ συνεγένετο. ὁ δὲ σφόδρα περιαλγήσας
C τοῖς ξυμπεσοῦσι τῆς τύχης τε τὸν ἄνθρωπον οἰκτισάμενος χρήμασί τε ἐδωρήσατο καὶ δυνάμεσιν ἀποχρώσαις ἐπὶ τὴν πατρῴαν αὖθις κατῆγεν ἀρχήν. ἦρχε δὲ τῶν δυνάμεων τούτων Ἀλέξιος οὗπερ ἤδη ἐμνήσθην, ὁ Κοντοστέφανος, βασιλεὺς δὲ κατόπιν ὀλίγῳ ἐχώρει. ἐπειδή τε ἐν Ναϊσῷ πόλει ἐγένετο, ἔννοιά τις αὐτῷ ἐπῆλθεν ἐνταῦθα στρατοπεδευσαμένῳ καὶ τῶν ἀμφὶ τῇ Σερβικῇ ἐν παρέργῳ ἐπιμεληθῆναι πραγμάτων. ἄγει γάρ πως ἐφ' ἑκατέρας Παιονικήν τε καὶ Σερβικήν, ὁ χῶρος οὗτος, καὶ ἔστιν ἀμφοτέραις ἐντεῦθεν δέον ἐνιέναι. Δεσὲ γὰρ ὃς βασιλέως δόντος τῆς Σερβικῆς ἦρχε τῷ τότε, ἐπειδὴ τῆς χώρας ἐγκρατὴς ἤδη ἐγένετο, τῶν συνθηκῶν ἀλογήσας Δένδρας τε χώρας εἰσαῦθις μετεποιεῖτο
D καὶ τῆς Ῥωμαίων ἀφηνιάζων ἀρχῆς ἔς τε Ἀλαμανοὺς ἔπεμψε, κῆδος ἐντεῦθεν ἑαυτῷ συνάψαι διανοηθείς, καὶ πᾶν ὃ μὴ κατὰ γνώμην Ῥωμαίοις ἦν τρόπῳ παντὶ ἔπρασσε· τότε δὴ καὶ βασιλέως αὐτὸν μεταστελλομένου ἐφ' ᾧ κατὰ Παιόνων αὐτῷ συστρατεύσει,

interea reconciliatum se iam cum Hungaris ratus, eius operam non adhibuit: quapropter domum rediit Romanus exercitus. verum mox in Stephanum rursum insurgentes Hungari, tum alia ei multa, tum et sub illo perditas esse Hungarorum res exprobrarunt. Stephanus autem discrimen veritus, fugit primum, et in quamdam e viciniis Istro civitatibus, quae iampridem imperatori obnoxiae fuerant, venit: inde in Sardicam transiens, ibi cum imperatore congressus est. ille eo casu admodum perculsus et hominis vicem miseratus, pecuniis eum et idoneis viribus donat ad recuperandum paternum regnum. iis praefuit copiis Alexius Contostephanus, cuius modo meminimus: imperator autem a tergo paululum subsequebatur. ubi ad Naisum urbem pervenit, animum subiit cogitatio, interim dum illic castra haberet, res etiam Servicas expediendi. in utramque enim regionem Pannoniam et Serviam ducit locus iste, indeque cum oportuerit, utramque ingredi licet ac incessere. Dese enim, qui imperatoris beneficio Serviae tum imperitabat, postquam principatum obtinuit, posthabitis pactis, Dendram regionem denuo occupaverat, spretoque Romanorum imperio legationem miserat ad Alemannos, ut inde sibi uxorem accerseret, et quidquid Romanis displiceret, omnino faciebat. etiam tum cum a principe evocaretur, ut adversus Hungaros bellum gerenti sibi adesset, difficilis ac pervicax videbatur, magnarum

ὁ δὲ δύστροπός τις καὶ ἰσχυρογνώμων ἐφαίνετο ἐπὶ μακροτέραις
τε ταῖς ἐλπίσιν ὠχεῖτο καὶ εἰς τὴν ἐπιοῦσαν τὴν ἄφιξιν ὑπισχνεῖτο. V 97
ὁ μὲν οὖν βασιλεὺς διὰ ταῦτα, ἐπειδὴ πρὸς τῇ Ναϊσῷ ἐγένετο,
ἔνθα ταῖν ὁδοῖν ἀμφοτέραιν ἡ μὲν ἐπὶ τὴν Σερβικὴν ἄγει, θατέρα
δὲ ἐπὶ τὸν Ἴστρον καὶ γῆν τὴν Παιονικήν, ἐν μεταιχμίῳ τὴν στρα-
τοπεδείαν ἐπήξατο, Δεσὲ δὲ τὸν ἐπικρεμάμενον ἤδη κίνδυνον αὐτῷ P 124
συνιδὼν τὸ περὶ αὐτὸν ἀναλαβὼν στράτευμα ἐς τὸ Ῥωμαίων ἀφι-
κνεῖται στρατόπεδον. βασιλεὺς δὲ εὐμενῶς τε αὐτῷ προσηνέχθη
καὶ τὰ εἰκότα τετίμηκεν. ἀλλ' ἔοικεν ἀκολάστου γλώσσης μηδὲν
αἴσχιον εἶναι κακόν. Δεσὲ γάρ, ἐπειδὴ μηδὲν ἐξ ἀβουλίας αὐτῷ
τῆς προτέρας ξυνενεχθὲν ἔγνω κακόν, ἐπῆρτό τε τὴν διάνοιαν καὶ
μείζω κακουργήσειν ἢ πρότερον ἐς Ῥωμαίους διενοεῖτο· εἶχε δὲ
ὅμως ἐν ἀπορρήτῳ τὸ σκέμμα. οὕτω φιλανθρωπίας ὑπόθεσις
τοῖς τῶν ἀνθρώπων πονηροτάτοις ὕλη μειζόνων ἀδικημάτων ὡς
τὰ πολλὰ γίνεσθαι εἴωθεν. ἧκον μὲν γὰρ ὀλίγῳ ὕστερον πρέσβεις
ἐς βασιλέα παρὰ τοῦ Παιόνων ἔθνους· ὁ δὲ κατά τινα τύχην αὐ- B
τοῖς συναντώμενος ὅπη τε τὰ κατ' αὐτὸν ἔχοι πρὸς αὐτῶν ἠρωτη-
μένος, ὥσπερ ἔθος ἐστίν, ἀπαρακαλύπτως ἔφησεν ὡς καλῶς καὶ
τῆς πρὸς αὐτὸν ἐπαξίως τοῦ σφῶν ῥηγὸς εὐμενείας, κύριον αὐτὸν
διαφανῶς ὀνομάσας. ταῦτα πυθόμενος βασιλεὺς οὐκέτι μέλλειν
ἔγνω, καὶ τοίνυν ἐπὶ δίκην καλέσας αὐτόν, ἐπειδήπερ ἐκράτει,
τῶν κατηγόρων αὐτῷ καὶ συνειδότων κατὰ πρόσωπον ἱσταμένων
ἤδη καὶ θεατριζόντων τῷ ἀνθρώπῳ τὴν ἀπιστίαν, τότε μὲν ἐν τῷ
ἀσφαλεῖ οὐ σὺν ἀτιμίᾳ τοῦτον ἔσχε· ταφρείᾳ γὰρ τὴν σκηνὴν αὐ-

rerum spem animo volvens et in diem prolato adventu. quamobrem imperator, ut ad Naisum accessit, ubi duarum viarum altera in Serviam ducit, altera ad Istrum et Hungariae fines, in medio castra posuit. Dese vero imminens sibi periculum advertens, acceptis quas tum habebat copiis, in Romanorum castra venit. eum imperator benevole exceptum quo decebat honore prosecutus est. sed proterva lingua nullum esse turpius malum videtur. siquidem Dese, ubi nihil sibi obvenisse incommodi ob priorem imprudentiam ac temeritatem agnovit, sustulit animos ac maiora quam antea damna Romanis inferre decrevit. consilium tamen eiusmodi silentio pressit. ita plerumque benevolentiae argumentum pessimis hominibus maiorum iniuriarum materia esse solet. venere quippe paulo post ex Hungarorum gente ad imperatorem legati, quibus ille forte fortuna obvius factus, rogatus est ab iis, uti moris est, quemadmodum res suae sese haberent: illis haud dissimulanter respondit, optime, et prout regis eorum erga se benevolentia mereretur: dominum illum palam nominans. his igitur cognitis imperator nequaquam cunctandum ratus, ipsum in ius vocat convictumque, accusatoribus et delictorum consciis in medium productis ac perfidiam ipsi coram obiicientibus, in custodia, sine dedecore tamen, eum habuit. vallo enim tabernaculum illius

τῷ περισχὼν κατὰ τὸν ἐν τοῖς χαρακώμασι νόμον ἐτήρει, ὡς ἀπ'
C ἐκείνου λοιπὸν Δεσὲ χάρακα τὸν τόπον ὀνομασθῆναι (οὕτω γὰρ
τὴν ταφρείαν ἰδιωτίζοντες ὀνομάζουσιν οἱ πολλοί)· ὀλίγῳ δ' ὕστε-
ρον ἐς Βυζάντιον πέμψας ἔμφρουρον ἐν παλατίῳ κατεστήσατο.
ταῦτα μὲν τῇδε ἐγένετο, βασιλεὺς δὲ τοῖς ἐκ τῶν Παιόνων ἀφικο-
μένοις χρηματίσας πρέσβεσιν, ἐπειδὴ μηδὲν ὑγιὲς αὐτοὺς ἀπαγ-
γέλλοντας ἔγνω, ἐκέλευεν εὐθυωρὸν τοῦ Ῥωμαϊκοῦ ἀπαλλαγέντας
στρατοπέδου τὴν αὐτὴν αὖθις πορεύεσθαι. οἱ μὲν οὖν ἀπῄεσαν,
ὁ δὲ ἐπὶ Βελέγραδα πόλιν ἐλθὼν ἐνταῦθα ηὐλίσατο, ἣν καθάπερ
εἴρηται Ζεύγμινον καθελὼν ὁ Ῥωμαίων ἐδείματο στρατός, συναι-
ρομένους τῶν πόνων καὶ Οὔννων πολλοὺς ἔχοντες. παίγνιον δὴ
D τοῦτο τύχης τὰ ἀνθρώπεια διαχλευαζούσης ἀεὶ πράγματα· κἂν γὰρ
ἐπεγγελάσῃ τις τοὺς πάλαι καθαιρεθέντας δομήτορας, αὖθις οἰκι-
στὰς καθορῶν. ἐκ τούτων οἶμαι τὸ τύχης ὄνομα πολὺ παρὰ τοὺς
ἀνθρώπους ἐρρύη. τῶν γὰρ τῆς προνοίας ἔργων τοῖς λόγοις ἐφι-
στάνειν οὐκ ἔχοντες, ἐκ τοῦ σφίσιν εἶναι δοκοῦντος, τῇ τύχῃ τὰς
τῶν πραγμάτων διδοῦσιν ἐκβάσεις. ἀλλὰ ταῦτα μὲν ὥς πῃ φίλον
ἑκάστῳ νομιζέσθω τε καὶ λεγέσθω, ὁ δὲ λόγος ἐχέσθω τῶν προτε-
θέντων. ἐπειδήπερ ὁ βασιλεὺς ἐνταῦθα ἐγένετο, γνοὺς ἀμήχανα
εἶναι λοιπὸν Στέφανον γῆς ἄρξειν τῆς Οὔννων (ἤδη γὰρ Στέφανον
P 125 αὖθις τὸν Ἰατζᾶ κατεστήσαντο φέροντες) ἑτέραν ἐτράπετο. Οὐν-
νικῆς γὰρ δυνάμει τῇ πάσῃ καθάπερ εἴρηται μεταποιεῖσθαι ἤθελεν
ἐν μεταιχμίῳ τῶν ἑσπερίων κειμένης ἐθνῶν. Βελᾶν τοίνυν ὃς

cingens, secundum eam quae in castris viget legem observari iussit. ita ut ab illo deinceps Dese vallum locus iste fuerit nuncupatus. sic enim fossam vulgus ut plurimum vocat. eum autem paucos post dies Byzantium misit, et in palatio includi praecepit. haec quidem ibi acta. et princeps auditis Hungarorum qui advenerant legatis, ubi nihil eos sani adferre cognovit, castris excedere Romanis, et recta domum abire iussit. iis abeuntibus, ipse ad Belegrada urbem venit, ibique castra posuit. hanc, uti supra commemoravimus, diruto Zeugmino, Romanus exstruxerat exercitus, compluribus Hungaris in laboris partem adscitis. iocus hic est illius, quae in rebus humanis semper ludit, fortunae. certe enim priscos illos urbium conditores pridem exstinctos, quis irrideat, dum videt novos rursum suboriri. ex iis τύχης seu fortunae vocabulum ut plurimum apud homines defluxisse arbitror. cum enim rerum quae a divina providentia proficiscuntur, rationem percipere non possunt, dum praeter opinionem videntur accidere, earum exitus fortunae adscribunt. sed de his prout cuique libitum fuerit censeat, scribatve: nos autem ad institutum redeamus. cum igitur eo pervenisset imperator, fierique haud posse agnovisset, ut Stephanus Hungariae regnum adipisceretur (Stephanum quippe Geizae filium iterum restituerant Hungari) alio se convertit. Hungariam enim, uti dictum est, in medio Occidentalium nationum positam sibi comparare totis viribus satagebat. quapropter Belam,

μετὰ Στέφανον τῷ Ἰατζᾶ παῖς ἦν, Μαρίᾳ τῇ αὐτοῦ θυγατρὶ συνάψαι πρὸς γάμον διενοήθη. Γεώργιον μὲν οὖν ὃς ἑταιρείας τῷ τότε ἡγεῖτο τῆς βασιλικῆς, Παλαιολόγον μὲν γένος ἐς δὲ τὸν τῶν σεβαστῶν ἀναβεβηκότα ὄγκον, ἐπὶ Οὐννικὴν πέμψας δοκιμάζειν ἐκέλευε περὶ τοῦ κήδους· ὁ δὲ τὴν ἐς Βυζάντιον αὖθις ἐστείλατο. V 98 Οὖννοι δὲ τῷ Παλαιολόγῳ κοινολογησάμενοι Βελάν τε φέροντες ἔδοσαν αὐτῷ καὶ χώραν, ἣν ὁ πατὴρ αὐτῷ περιὼν ἀπεδάσατο, ἄσμενοι ἐκληροῦντο. ὁ τοίνυν Παλαιολόγος παραλαβὼν αὐτὸν B σὺν ὁμολογίαις αἷς εἴρηται ἐν Βυζαντίῳ παρεγένετο. καὶ τὸ ἐντεῦθεν τῶν ἐπὶ τῷ κήδει βασιλεὺς ἐφρόντιζεν, ὅτε παῖς Ἀλέξιος ἤδη μετωνομάσθη καὶ δεσπότης ἀνεβοήθη.

6. Ἡ μὲν οὖν ἐπὶ Βυζάντιον ἄφιξις τῷ Βελὰν ταύτην ἔσχεν ἀρχήν, βασιλεὺς δὲ τὰ κατὰ τὴν ἑσπέραν ἤδη καλῶς ἔχειν ὑπολαβὼν ἐπὶ τὴν Ἀσίαν λοιπὸν ἔβλεψε, καὶ πρότερον μὲν τοῖς συμπεσοῦσιν εἰς τοῦτο κεκινημένος, πρὸς δὲ τῶν ἑσπερίων ἐκεῖθεν ἑλκόμενος πραγμάτων. Νουραδὶν γὰρ ὃς τῆς κατὰ Συρίαν ἦρχε Βερροίας καὶ Δαμασκοῦ, πόλεων ἄμφω περιφανῶν, τῆς τύχης εὐμενὲς ἐμβλεψάσης αὐτῷ, καὶ ἄλλων τε πόλεων ἦρξε πολλῶν αἳ C τῶν Εὐφράτου πίνουσι ναμάτων, καὶ χωρῶν οὔτι εὐκαταφρονήτων περιγέγονε συχνῶν, πολλοῖς τε τῶν τῇδε σατραπῶν εἰς χεῖρας ἐλθὼν οὓς μὲν δορυαλώτους ἔσχεν, ἐν οἷς καὶ Ἰατζουλῖνος ὁ Ἐδέσσης ἡγεμονεύων, οὓς δὲ καὶ πολέμῳ ἀπεκτονὼς ἔτυχε, Ῥαϊμοῦνδον δὴ τὸν ἐκ Πετούης, οὕπερ ἱκανῶς ἐν τοῖς ἔμπροσθεν ἐπεμνή-

23. δὴ] Ita Duc. Cod. δέ.

qui post Stephanum Geizae filius erat, Mariae filiae suae matrimonio iungere constituit. Georgium igitur cohortis imperatoriae tunc temporis praefectum, gente Palaeologum atque sebasti auctum dignitate, in Hungariam misit, quo de hac ineunda affinitate sermones ingereret: ipse vero Byzantium rursum rediit. Hungari, colloquio cum Palaeologo habito, et Belam ipsi tradiderunt et regionem, quam superstes adhuc pater illi assignaverat, lubentes in haeredii sortem concesserunt. eo itaque accepto Palaeologus quibus dictum est conditionibus Byzantium reversus est. deinceps autem quae ad affinitatem istam conficiendam necessaria erant curavit imperator. atque puero inprimis, mutato nomine, Alexii nomen indidit, eumque despotae dignitate donavit.

6. Tale quidem Belae in urbem adventus initium habuit. rebus in Occidente rite compositis, ad Asiaticas animum admovit imperator, iis quae prius acciderant ad id permotus, sed ob res Occidentales inde avocatus. Nuradinus quippe, qui in Syria Berrhoeae et Damasco, praeclaris utrisque civitatibus, aliisque urbibus quam plurimis, quae circa Euphratem sitae sunt, ita illi arridente fortuna, imperabat, loca varia haud contemnenda expugnaverat, multosque ibi satrapas bello aggressus, alios quidem captivos tenebat, in quibus erat Iosselinus Edessae princeps: alios vero in praeliis ob-

σθημεν λόγοις, ἄνδρα ἰσχύϊ καὶ ῥώμῃ κατὰ τοὺς θρυλλουμένους ἐκείνους Ἡρακλεῖς, καὶ Βαλδουῖνον τὸν Μαρασίου τότε κρατοῦντα. προϊὼν δὲ καὶ Κωνσταντίνῳ τῷ τῆς Κιλικίας δουκὶ εἰς μάχην κατέστη, ὃν Καλαμάνον ἐπεκάλουν νεανίαν, τήν τε ὄψιν
D ἀγαθῷ καὶ δραστηρίῳ τὰ ἐς μάχας. ἀλλὰ τὸ μὲν πρῶτον ἡττητό τε κατὰ κράτος τοῦ νεανίου καὶ ἀνηκέστοις περιπέπτωκε συμφοραῖς, εἶτα τύχῃ τινὶ αὐτόν τε καὶ Ῥενάλδον τὸν Ἀντιοχείας πρίγκιπα εἷλεν, ἐν οἷς καὶ ὁ τῆς ἐν Φοινίκῃ Τριπόλεως ἡγεμονεύων ἦν. Κωνσταντῖνος γάρ, ἐπειδὴ τοῦ πολέμου ἐκράτει, οὐκέτι καθεκτὸς ἦν, ἀλλ' ἀλογίστῳ τινὶ τόλμῃ καθυπαχθεὶς ἔς τε τὴν δίωξιν οὐ σὺν ἐπιστήμῃ πεσὼν αὐτός τε ἥλω καὶ τὰ Ῥωμαίων ἔσφηλε πράγματα. ὁ Νουραδὶν δὲ καὶ Τερόζην μάχῃ νικήσας ἐλπίσιν
P 126 ᾠχεῖτο ὡς αὐτίκα καὶ τῆς Ἀντιοχείας ἐπιβησόμενος. διὰ ταῦτα μὲν οὖν βασιλεὺς καὶ πρότερον ὤδινεν ἐπὶ τοῖς ξυμπεσοῦσι καὶ ἐπὶ τὴν Ἀσίαν διαβαίνειν διενοεῖτο, τότε δ' οὖν καιροῦ λαβόμενος πασίρροπος ἐς τοῦτο ἐφέρετο. ἀλλὰ καὶ πάλιν τὰ ἐκ τῆς ἑσπέρας ἐμποδὼν αὐτῷ ἔστησαν. ὅ τε γὰρ νέος Παιόνων ῥὴξ τοῦ Βελᾶ καὶ πάλιν ἐπεβάτευε κλήρου καὶ παρεσπόνδει καὶ τότε περιφανέστατα, καὶ Στέφανος, ὃν ἤδη τῆς ἀρχῆς ἀπεώσαντο Οὖννοι, δι' Ἀγχιάλου πόλεως ἐπὶ τὴν Οὐννικήν ποθεν παρεισδὺς ἀνακαλεῖσθαι τὴν ἀρχὴν διενοεῖτο. ἔλαθε δὲ προπετέστερον μᾶλλον ἢ προμηθέστερον τῷ πράγματι ἐπικεχωρηκώς. ὡς γὰρ περιιὼν τῶν Οὐν-

4. νεανίαν] Malim νεανίᾳ, id ut sequentibus iungatur. 22. ἐπικεχωρηκώς] Malim ἐπικεχειρηκώς.

truncaverat, quos inter fuit Raimundus Pictavinus, cuius in prioribus libris abunde meminimus, vir animo et fortitudine prisco illi Herculi par, et Balduinus Marasiae dominus. progressus autem manus etiam conseruit cum Constantino Ciliciae duce, quem Calamanum iuvenem vocabant, egregiae formae viro, et in re militari admodum strenuo. verum ille cum ab adolescente primum omnino fuisset superatus, in gravissimas calamitates incidit. deinde sorte aliqua Renaldum Antiochiae principem, necnon et Tripolitanum in Phoenicia comitem cepit. sed enim Constantinus, hac adepta victoria, continere se non potuit, et inconsiderata quadam abreptus audacia victosque temere insecutus, et ipse captus est resque Romanas perdidit. Nuradinus vero ut Torosum perinde superavit, Antiochiae mox invadendae spem animo volvebat. ea igitur propter imperator iis casibus indignatus in Asiam statuit transire, captataque ad id occasione totus in id consilii incubuit. sed obstitere allati rursum ex Occidente rumores: novus quippe Hungariae rex haereditarias Belae possessiones iterum invasit, foederibus aperte violatis. quin et Stephanus, quem paulo ante regno eiecerant Hungari, per Anchialum civitatem Hungariam ingressus, illud recuperare meditabatur. verum temeritate potius quam prudentia rem aggressus, a proposito aberravit. statim enim atque eum nonnullos Hungaros in suas partes adduxisse accepit

σιν ὑπεποιεῖτό τινας, γνοὺς ὁ Στέφανος πανστρατὶ ἐπ᾽ αὐτὸν B
ἐφέρετο. διὰ τοῦτο βασιλεὺς ἐπὶ Κιλικίαν μὲν στράτευμα τὰ ἐν-
ταῦθα φρουρῆσον ἱκανὸν ἔπεμψεν, ὁ δὲ ἐπὶ τὸν Ἴστρον καὶ πάλιν
ἤλαυνε Σάόν τε περαιωσάμενος ἀντικρὺ Τιτελίου τὸ στράτευμα
ἔστησε, κατὰ νοῦν ἔχων ὡς Βελᾷ μὲν τὸν κλῆρον ἀνασώσαιτο τὸν
πατρῷον, Στέφανον δὲ τῶν παρὰ πόδας ῥύσαιτο δυσχερῶν. ἤδη
γὰρ καὶ ὑπέρρει τὰ τῆς δυνάμεως αὐτῷ, καὶ ἦν ἐν στενῷ κομιδῇ,
τῶν σὺν αὐτῷ Οὔννων ἐπὶ τὸν ῥῆγα μετατιθεμένων ἑκάστοτε. καὶ
δὴ καὶ Ἀνδρόνικον τὸν τοῦ Κοντοστεφάνου υἱέα, ὃς καὶ μέγας
ὀλίγῳ ὕστερον ἐχρημάτισε δούξ, ἅμα στρατεύματι στείλας Στέ-
φανον μὲν ἀνήρπασε τοῦ κινδύνου, ὁ δὲ ἄρας ἐκ Τιτελίου παντὶ V 99
τῷ στρατῷ προσωτέρω ἐχώρει. ὁ γάρ τοι τῆς ἀρχῆς ἐπιβατεύων C
Στέφανος, ἐπειδὴ μὴ ἐξ ἀντιπάλου δυνάμεως τῷ βασιλεῖ συμπλα-
κήσεσθαι εἶχε, τὸ μὲν πρῶτον σὺν ταῖς περὶ αὐτὸν δυνάμεσι περί
που τὰ τῆς Οὐννικῆς ἔσχατα ἐχώρει· ἔπειτα συμμάχους ἐκεῖθεν
ἐπαγόμενος Ῥωμαίοις ἀντιτάξεσθαι ἠπείγετο. βασιλεὺς δὲ ἐπί
τινα χῶρον Πετρίκον καλούμενον καταλαβών, ἐνταῦθα ἐσκήνου.
ἔστι δὲ ὁ χῶρος οὗτος τῆς εἰς τὴν ἐνδοτέρω Παιονίαν παρελεύσεως
ὅρος ὁ πρῶτος. ἔνθα γεγονὼς Στεφάνῳ ἔγραψεν ὧδε. ἥκομεν,
ὦ ἐμὲ παῖ, οὐ πόλεμον Οὔννοις ἄγοντες, ἀλλὰ Βελᾷ τε ἀδελφῷ
τῷ σῷ τὴν χώραν ἀνασωσόμενοι, ἣν οὐ δυναστείᾳ τῇ ἡμῶν παρα-
σπάσαντες εἴχομεν, ἀλλὰ σύ τε ἔδως καὶ πατὴρ ὁ ὑμῶν πολλῷ D
ἤδη πρότερον. καὶ Στέφανον δὲ τὸν σὸν τοῦ κινδύνου ἐξαιρησό-
μενοι θεῖον, γαμβρὸν ἤδη καὶ αὐτὸν κράτει γεγονότα τῷ ἡμῶν.

Stephanus, cum universis copiis in illum profectus est. quamobrem imperator in Ciliciam ad oppidorum praesidia idoneo misso exercitu, ipse versus Istrum denuo contendit: Savoque transmisso castra posuit ad Titelium, tum ut Belae paternam haereditatem reciperet, tum ut Stephanum praesenti eriperet discrimini. quippe iam illius imminutae erant vires, summisque premebatur angustiis, Hungaris, qui cum eo erant, ad regem undique deficientibus. itaque Andronico Contostephani filio, qui magni ducis dignitatem brevi post obtinuit, cum copiis misso, Stephanum quidem periculo exemit: ipse vero, motis ab Titelio castris, cum universo exercitu ulterius perrexit. regni enim invasor Stephanus, cum viribus longe impar cum imperatore congredi non auderet, primum quidem cum iis quae aderant copiis in ultimos Hungariae fines concessit, atque ibi novis coactis auxiliis acie cum Romanis decertare statuit. imperator vero ut ad locum quemdam pervenit, quem Petricum vocant, castra ibi posuit. est vero locus iste aditus in interiorem Hungariam primus terminus, quo cum pervenisset, hunc in modum Stephano rescripsit. "non ad inferendum Hungaris bellum, fili mi, venimus, sed ut Belae fratri tuo possessionem restituamus, quam a dominatione tua minime abstulimus, sed quam tu ipse paterque vester iam pridem concessistis: atque adeo etiam ut patruum tuum Stephanum maiestatis nostrae affinem periculo

διαζῆν ἐπίστανται, οὓς δὴ Τουρκομάνους ἔθος καλεῖν ἐστιν, ἀτιμωρήτους ἐᾶν ὁποιονοῦν τι ἐς Ῥωμαίων ἡμαρτηκότας τὴν γῆν. ταῦτά τε αὐτὸς ὡμολόγηκε καὶ μεγιστάνων ὅσοι αὐτῷ εἵποντο, κἂν ἐκεῖνος αὐτῶν ἀμελοίη, τοὺς δὲ σθένει παντὶ κωλύειν τὴν ἐγχείρησιν. ταῦτα μὲν οὖν ἐν Βυζαντίῳ ἐτελεῖτο, ἡ δὲ φήμη φθάνει ἐξ Εὐρώπης ἐπὶ τὴν Ἀσίαν διαβᾶσα. τοίνυν καὶ οὐ πρὸς καλὸν αὐτοῖς ἔσεσθαι οἱ τῇδε νομίσαντες φύλαρχοι εἰ βασιλεὺς τὸν σουλτὰν εἰσπεποίηται, πρέσβεις πέμψαντες ἐδέοντο ὡς καὶ αὐτοὺς τῷ σουλτὰν διαλλάξαι· ὁ δὲ ἤκουσε μὲν αὐτῶν οὐκ ἀηδῶς, ἐς δὲ τὴν
B τοῦ σουλτὰν δῆθεν τὸ πᾶν ἀνατιθεὶς αἵρεσιν ἐπ' ἐκεῖνον αὐτοὺς ἔπεμπεν ἐν παλατίῳ, καθάπερ εἴρηται, διατριβὴν ἔχοντα. οἳ καὶ ἐπειδὴ τάχιστα πρὸς λόγους ἐκείνῳ κατέστησαν, διαλύσασθαί τε σφίσι τὴν ἔχθραν ἴσχυσαν καὶ ἱκέτην ὑπὲρ αὐτῶν βασιλεῖ γε-
V 95 νέσθαι ἀνέπεισαν. ὁ δὲ ἱκετεύοντα προσηκάμενος ἐν φίλων μοίρᾳ καὶ αὐτοὺς ἐποιήσατο, εἰρήνη τε τοῦ λοιποῦ σταθηρὰ τὴν Ῥωμαίων εἶχεν ἀρχήν.

4. Ἐπεὶ δὲ ἡ βασιλὶς Εἰρήνη τὸν βίον ἤδη μετήλλασσε, βασιλεὺς δὲ οὔπω ἄρρενος τότε πατὴρ παιδὸς ἐτύγχανεν ὤν, ἐπὶ δευτέρους λοιπὸν ἔβλεψε γάμους. καὶ ἦν γάρ τις κόρη τῶν κατὰ τὴν ἐν Φοινίκῃ Τρίπολιν, Λατῖνα μὲν γένος περικαλλὴς δὲ ἐν
C ταῖς μάλιστα. ταύτην ἐκεῖθεν ἄξοντας Ἰωάννην τε σεβαστὸν τὸν Κοντοστέφανον ἔπεμψε καὶ Θεοφύλακτον ἄνδρα Ἰταλόν, ὃν Ἐξού-

3. ὡμολόγηκε] Cod. ὁμολόγηκε.

seu in Occidente bellum foret. neque etiam Turcomannos, quos vocant, rapto vivere assuetos, quotquot sub illius essent potestate, impunitos relicturum, in quacumque demum imperii parte deliquissent. haec ille pactus est, et qui eum comitabantur magnates, si ab eiusmodi conditionibus recederet, pro viribus illius se conatus impedituros sunt polliciti. his Byzantii transactis, ubi earum rerum fama ex Europa in Asiam pervenit, phylarchi, qui hasce regiones incolunt, haud sibi bene cessurum rati, si in suas partes Sultanum adduxisset imperator, per legatos illum rogavere, ut et Sultanum perinde sibi reconciliaret. horum ille legationem haud illibenter audivit: sed velut rem omnem Sultani relinquens arbitrio, ipsos ad eum misit, in palatio, quemadmodum dictum est, tunc agentem. illi autem simul atque cum eo sunt congressi, tandem ut quae inter ipsos intercedebant simultates deponeret, et apud principem pro se intercederet, persuaserunt: cuius ille admissis precibus, et ipsos in numerum amicorum adscivit. atque inde in posterum firmam pacem Romanum imperium adeptum est.

4. Postquam imperatrix Irene vita excessit, princeps, cui nulli adhuc erant masculi liberi, de secundis nuptiis coepit cogitare. erat autem puella Tripoli in Phoenicia, gente quidem Latina, forma ceteroquin eximia et eleganti. eo qui inde illam abducerent misit Ioannem Contostephanum sebastum et Theophylactum virum Italum, quem Exubitum appellabant. ut igi-

βιον ἐπεκάλουν. εἶδόν τε οὖν τὴν κόρην οἱ ἄνδρες καὶ ἀγασάμενοι τοῦ κάλλους, ἐπειδὴ μηδὲν ὁθενδήποτε ὑπεφαίνετο τέως ἐμποδών, μηδὲν ὑπερθέμενοι ἐς τὴν τριήρη ἐμβιβάζουσιν. ἄρτι δὲ ἐκεῖθεν ἀφήσειν μελλόντων, νόσοι βαρεῖαι τῇ κόρῃ ἐνίσκηπτον, καὶ ἦν ἐν κακοῖς. ὅθεν καὶ ἀεὶ εἰς τὴν ἐπιοῦσαν ἀναβαλλόμενοι τὸν ἀπόπλουν εἰκῇ τὸν καιρὸν διῆγον. κἂν γὰρ ἐπ' ὀλίγον ἀνεθείη τῶν ὀδυνῶν προσδοκήσιμός τε ἀποπλεῖν γένοιτο, ἀλλ' ὥσπερ ἀπὸ προνοίας τινὸς ὀπισθόρμητον τὸ δεινὸν ἐπ' αὐτὴν ἤρχετο, καὶ κατακλιθεῖσα ἔφριττε τὸ σῶμα καὶ ἐκλονεῖτο ἐξαίσια, πυρε- D
τοί τε αὐτὴν μετεδέχοντο, καὶ ὑπωπιασμὸς ἤδη καὶ τηκεδὼν ἐπηκολούθει. καὶ τὸ τῆς ὄψεως ἄνθος χαρίεν τι μαρμαῖρον τὰ πρότερα ἠλλοιοῦτο κατὰ βραχὺ καὶ ἐστυγνοῦτο. ἰδὼν ἄν τις δακρύων ἐπλήσθη τηλικούτου λειμῶνος ἔξωρα φθίνοντος. οὕτω μὲν ἡ κόρη κακῶς εἶχεν ἐπ' οἴκου διατρίβουσα· εἰ δέ ποτε καὶ τὴν ναῦν ἀναβαίη καὶ ὀλίγῳ Τριπόλεως ἀναθείη, ἐνταῦθα διπλοῦς ἐπωρύετο κλύδων. καὶ τὸ μὲν σκάφος εἶχεν ἡ Τρίπολις αὖθις, τὰς δὲ νόσους ἐκείνη οὐ πολλῷ ταύτης ἀπολειφθεῖσας ἐδέχετο μείζους. P 122
τοῦτο πολλάκις ἐπιγεγονὸς εἰς ἀπεράντους τὸν Κοντοστέφανον ἦγεν ἐννοίας. τοίνυν καὶ ἀσχάλλων ὡς τὸ εἰκὸς ἄλλοτε ἄλλους ἀναπολῶν λογισμοὺς τέλος ἐπί τινα τῶν ἐνταῦθα νεῶν παρελθὼν ἐπυνθάνετο εἰ βασιλεῖ τὴν παῖδα κατεγγυηθῆναι χρεών. ἀνεῖλε δέ οἱ τὸ ἱερὸν πυθεῖον "ὁ μὲν γάμος ἕτοιμος, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν

14. ναῦν] Ita Tollius. Cod. ναῦ. cfr. p. 99, 14. 15. ἀναθείη] Fort. ἀναχθείη. 22. ὁ μὲν γάμος] Matthae. 22, 8.

tur virginem conspexere legati, statim iis forma arrisit: cumque obstare nihil videretur, nulla mora eam in triremem immisere. verum cum inde essent excessuri, gravioribus morbis correpta virgo male habuit. unde dilata in dies abitione, frustra ibi consumebant tempus. quippe si paululum a doloribus vacaret, atque adeo ad iter capessendum videretur idonea, statim, nescio quo fato, illam rursum invadebat morbus, ita ut lecto decumbens toto corpore fremeret, graviterque convelleretur. ad haec sequebatur febris, et livor et tabes: vultusque nitor, qui antea gratiis coruscabat, immutabatur sensim et obscurabatur. eam intuenti oboriebantur lacrymae, tam praeclaro pulchritudinis flore intempestive pereunte. his puella malis domi afficiebatur. si vero aliquando navem ingrederetur, paululumque abduceretur a Tripoli, tum vero duplo maior infremebat morbi fluctus, navemque iterum in urbem redire necesse erat, ac illa morbi ad breve tempus intermissi acriore impetu corripiebatur. id cum crebrius eveniret, Contostephanum in ambiguas incertasque cogitationes coniecit. ea igitur propter animo incertus dubiusque quo demum inclinaret, tandem in quoddam ibi templum accedens, sciscitatus est, an ducturus esset virginem hanc princeps, idque fatis decretum esset: hoc vero ei retulit sacrum oraculum "nuptiae quidem paratae,

ἄξιοι εἰσελθεῖν." τούτων ἐκεῖνος ἀκούσας συνείς τε τοῦ χρησμοῦ, ἐπειδὴ καὶ φήμη τις ἤδη περιέθραυσε τούτους ὡς εἴη γάμων οὐκ ἐκ νομίμων ἡ κόρη φυεῖσα, πρᾶγμα εἰς αἰσχύνην διαρκὲς μάλιστα, ἀπέσχετο ἤδη τῆς ἐγχειρήσεως ἄρας τε ἐγγύθεν ἐπὶ Βυζάντιον ἦλθεν. B ἦσαν δὲ Ῥαϊμούνδῳ τῷ Ἀντιοχείας πρίγκιπι θυγατέρες κάλλει κατ᾽ ἐκεῖνον διενεγκοῦσαι τὸν χρόνον. ταύτας ὀψόμενον Βασίλειόν τινα ἐπίκλησιν Καματηρὸν ἀκόλουθον ὄντα τῷ τηνικάδε βασιλεὺς ἔπεμψεν. ὁ δὲ ἐπειδὴ τάχιστα πρὸς Ἀντιοχείᾳ ἐγένετο, καλὰς μὲν εἶδε καὶ ἄμφω, καλλίων δέ οἱ ἡ Μαρία εἶναι κατεφάνη. καὶ ἔτυχέ γε τῆς ἀκριβείας ἡ τοῦ πρεσβευτοῦ ἐκείνου βάσανος. τηλίκον γὰρ κάλλος οὔπω, Βυζάντιοι ἔλεγον, ὁ καθ᾽ ἡμᾶς ἐγνώρισεν αἰών. ἀλλὰ ταῦτα μὲν ὕστερον· τότε δὲ ἐπειδήπερ ἐπὶ τὴν Μαρίαν ὁ γνώμων εἶδε, πυθόμενος βασιλεὺς ἄνδρας τῶν ἐπὶ δόξης ἐπ᾽ Ἀντιοχείας ἔπεμψε τὴν κόρην αὐτῷ κατεγγυήσοντας, C Ἀλέξιον δὴ τὸν βασιλέως Ἀλεξίου θυγατριδοῦν, ὃς καὶ μέγας τῷ τότε δοὺξ ἐτύγχανεν ὤν, καὶ Νικηφόρον τὸν ἐκ Βρυεννίων, γαμβρὸν μὲν ἐπ᾽ ἀδελφιδῇ βασιλεῖ γεγονότα, σεβαστὸν δὲ ἤδη γεγενημένον. ἐν οἷς καὶ Ἀνδρόνικος ἦν ὁ Καματηρὸς ὃς τὴν ἔπαρχον τότε διεῖπεν ἀρχήν, ἀνὴρ σεβαστότητι μὲν ἀξιωθεὶς ξυγ- V 96 γενὴς δὲ βασιλεῖ καὶ αὐτὸς ὤν. οἱ δὲ καὶ εἶδον καὶ θαυμάσαντες ἐνέθεσάν τε τῇ τριήρει καὶ μεγαλοπρεπῶς ἐς Βυζάντιον ἐκόμισαν. πέμπτην τοίνυν καὶ εἰκοστὴν μηνὸς ἄγοντος Ἀπελλαίου, ὃν Δεκέμ-

10. πρεσβευτοῦ] Cod. πρεσβύτου. 14. κατεγγυήσοντας] Cod. κατανοήσοντας. correxit Duc.

invitati vero non sunt digni intrare." quibus auditis, intellectoque oraculo, cum ad haec nescio quis rumor percrebuisset, virginem haud legitimis esse prognatam nuptiis, rem maxime pudendam arbitratus, destitit ab incepto, indeque Byzantium reversus est. erant autem Raimundo Antiochiae principi filiae tunc temporis forma praecellentes. has ut spectaret, Basilium quemdam, cognomento Camaterum, qui tum acoluthi dignitate fungebatur, misit imperator. ille ut confestim Antiochiam venit, ambas quidem pulchritudine eximia praestantes vidit: potior tamen visa est illi Maria, quo quidem in delectu haud a vero aberrabat legatus ille. "nullam quippe" aiebant Byzantini "tam insignis formae mulierem nostra vidit aetas." sed de his postea. cum igitur quae inspector ille retulerat, accepisset princeps, viros dignitate illustres Antiochiam misit, qui virginem sibi desponsarent, Alexium nempe imperatoris Alexii ex Anna filia nepotem, qui tum magnus dux erat, et Nicephorum ex Bryenniorum familia, qui ex fratre vel sorore Manuëlis neptim uxorem duxerat, sebasti dignitate tum insignitum. cum iis etiam erat Andronicus Camaterus, qui praefecti urbis ea tempestate munus obibat, vir sebasti perinde dignitate auctus et imperatoris consanguineus. illi et eam viderunt et admirati sunt, ac triremi impositam magnifico apparatu Byzantium adduxerunt. quinto igitur et vicesimo mensis Apellaei, quem Decem-

βριον ῥωμαΐζοντες ὀνομάζουσιν ἄνθρωποι, εἰς τὸν περιώνυμον τῆς τοῦ θεοῦ Σοφίας οἶκον λαμπρῶς καταχθείς, ἐνταῦθα ταύτην D ἁρμόζεται, Λουκᾶ τοῦ τὴν ἐν Κωνσταντινουπόλει ἐκκλησίαν τηνικαῦτα λαχόντος, Σωφρονίου Ἀλεξανδρείας καὶ τοῦ Θεουπόλεως Ἀθανασίου, ᾗ Χριστιανοῖς ἔθος ἐστὶ τὰς χεῖρας αὐτοῖς ἐπιθέντων, Αὐγούσταν τε αὐτὴν ἀνειπὼν ἐς τὰ βασίλεια παλινδρομεῖ· μεγαλοπρεπέσι τε δείπνοις τοὺς ἐν τέλει εἱστία καὶ δημοθοινίας ἁπανταχῇ τῶν τῆς πόλεως ἐκάθιζε στενωπῶν· τῇ ἑξῆς δὲ συνδειπνήσοντας αὐτῷ τοὺς πατριάρχας ἦγεν, ἀφθόνῳ τε χρυσίῳ δεξιωσάμενος ἕκαστον ἀπέλυε. πρὸ πάντων γε μὴν χρυσίου κεν- P 123 τεναρίῳ τὴν ἐκκλησίαν ἐδωρήσατο. ὀλίγῳ δὲ ὕστερον καὶ ἁμίλλαις ἵππων διῆγε τὸν δῆμον καὶ τῶν εἰς εὐφροσύνην ἀγόντων οὐδενὸς καταμελεῖν ἤθελεν.

5. Ἐν Βυζαντίῳ μὲν ταῦτα ἐπράσσετο. Στέφανος δὲ τοῦ Βλαδισθλάβου τετελευτηκότος τῆς ἀρχῆς ἤδη ἐγκρατὴς γεγονὼς βαρὺς ἐδόκει τοῖς ἀρχομένοις καὶ λίαν ἐπαχθὴς ἦν. ὅθεν καὶ ἐλοιδοροῦντο αὐτῷ Οὖννοι τὰ πολλὰ καὶ ἔνδηλοι ἦσαν ὡς αὐτίκα τῆς ἡγεμονίας αὐτὸν κατασπάσοντες. ἐφ᾽ οἷς ὁ Στέφανος ἐκταραχθεὶς βασιλέως καὶ πάλιν ἐδεῖτο. ὥρας τοίνυν ἰσημερούσης ἤδη τῆς ὥρας ἐπὶ τὴν πόλιν ἐφέρετο Φιλίππου, καὶ αὐτὸς μὲν ἐνταῦθα σὺν τῷ πλείονι τοῦ Ῥωμαίων ἔμεινε στρατοῦ, μοῖραν δέ τινα τοῦ στρατεύματος τῷ ἀδελφιδῷ πιστεύσας Ἀλεξίῳ τῷ Κοντοστε- B φάνου παιδὶ ἐπὶ Οὐννικὴν ἔπεμψεν. ἐν τούτῳ δὲ Στέφανος

6. Αὐγούσταν] Ita Cod. per siglum. Tollius αὐτῷ.

brem qui Latine loquuntur vocant, in celeberrimum divinae Sapientiae templum splendide deductus imperator, illam sibi matrimonio iungit, Luca Constantinopolitanae, Sophronio Alexandrinae, et Athanasio Theopolitanae ecclesiae patriarchis, ut Christianis mos est, manus ipsis imponentibus. cumque eam Augustam ibi renuntiasset, in palatia rursum revertitur, magnificisque conviviis proceres excipit, et ubique per singulos urbis angiportus epulas populo praebet. postridie demum epulaturos secum adduxit patriarchas, et unumquemque multo donatum auro dimisit. praesertim vero auri centenarium ecclesiae concessit. nec multo post equestribus certaminibus populum oblectavit, nihilque, quod ad delectationem conferret, voluit praetermittere.

5. Haec quidem Byzantii acta. Stephanus autem defuncto Vladislao principatum iam adeptus, gravis molestusque adeo subiectis esse coepit, ut passim illum probris insectarentur Hungari et regno viderentur statim depulsuri: quibus Stephanus conterritus opem rursum principis imploravit. motis igitur circa aequinoctium castris, Philippopolim venit imperator, ibique cum maiori exercitus Romani parte manens Alexium Contostephani filium ex sorore nepotem cum ceteris copiis in Hungariam misit. sed enim Stephanus

Οὔννοις ἤδη διαλλαγῆναι νομίσας οὐκέτι τούτου ἔχρῃζεν, ὅθεν καὶ οἴκοι λοιπὸν ὁ Ῥωμαίων ἀνεζεύγνυ στρατός. ἀλλὰ μεταξὺ Οὖννοι αὖθις Στεφάνῳ ἐπισυστάντες ἄλλα τε πολλὰ εἰς αὐτὸν ἀπερρίπτουν καὶ δὴ καὶ ὑπ' αὐτῷ τὰ Οὔννων ἀνατετράφθαι ἰσχυρίζοντο πράγματα. διὰ ταῦτα βασιλεὺς μὲν στράτευμα καὶ πάλιν ἤθροιζε, Στέφανος δὲ τὸν κίνδυνον διευλαβηθεὶς τὸ μὲν πρῶτον φυγὰς ἐπί τινα τῶν ἐγγυτάτω Ἴστρου πόλεων ἦλθεν, αἳ βασιλέως ἀνέκαθεν κατήκοοι τυγχάνουσιν οὖσαι, ἐκεῖθεν δὲ ἐπὶ Σαρδικὴν μεταβὰς ἐνταῦθα βασιλεῖ συνεγένετο. ὁ δὲ σφόδρα περιαλγήσας C τοῖς ξυμπεσοῦσι τῆς τύχης τε τὸν ἄνθρωπον οἰκτισάμενος χρήμασί τε ἐδωρήσατο καὶ δυνάμεσιν ἀποχρώσαις ἐπὶ τὴν πατρῴαν αὖθις κατῆγεν ἀρχήν. ἦρχε δὲ τῶν δυνάμεων τούτων Ἀλέξιος οὗπερ ἤδη ἐμνήσθην, ὁ Κοντοστέφανος, βασιλεὺς δὲ κατόπιν ὀλίγῳ ἐχώρει. ἐπειδή τε ἐν Ναϊσῷ πόλει ἐγένετο, ἔννοιά τις αὐτῷ ἐπῆλθεν ἐνταῦθα στρατοπεδευσαμένῳ καὶ τῶν ἀμφὶ τῇ Σερβικῇ ἐν παρέργῳ ἐπιμεληθῆναι πραγμάτων. ἄγει γάρ πως ἐφ' ἑκατέρας Παιονικήν τε καὶ Σερβικήν, ὁ χῶρος οὗτος, καὶ ἔστιν ἀμφοτέραις ἐντεῦθεν δέον ἐνιέναι. Δεσὲ γὰρ ὃς βασιλέως δόντος τῆς Σερβικῆς ἦρχε τῷ τότε, ἐπειδὴ τῆς χώρας ἐγκρατὴς ἤδη ἐγένετο, τῶν συνθηκῶν ἀλογήσας Δένδρας τε χώρας εἰσαῦθις μετεποιεῖτο D καὶ τῆς Ῥωμαίων ἀφηνιάζων ἀρχῆς ἔς τε Ἀλαμανοὺς ἔπεμψε, κῆδος ἐντεῦθεν ἑαυτῷ συνάψαι διανοηθείς, καὶ πᾶν ὃ μὴ κατὰ γνώμην Ῥωμαίοις ἦν τρόπῳ παντὶ ἔπρασσε· τότε δὴ καὶ βασιλέως αὐτὸν μεταστελλομένου ἐφ' ᾧ κατὰ Παιόνων αὐτῷ συστρατεύσει,

interea reconciliatum se iam cum Hungaris ratus, eius operam non adhibuit: quapropter domum rediit Romanus exercitus. verum mox in Stephanum rursum insurgentes Hungari, tum alia ei multa, tum et sub illo perditas esse Hungarorum res exprobrarunt. Stephanus autem discrimen veritus, fugit primum, et in quamdam e vicinis Istro civitatibus, quae iampridem imperatori obnoxiae fuerant, venit: inde in Sardicam transiens, ibi cum imperatore congressus est. ille eo casu admodum perculsus et hominis vicem miseratus, pecuniis eum et idoneis viribus donat ad recuperandum paternum regnum. iis praefuit copiis Alexius Contostephanus, cuius modo meminimus: imperator autem a tergo paululum subsequebatur. ubi ad Naisum urbem pervenit, animum subiit cogitatio, interim dum illic castra haberet, res etiam Servicas expediendi. in utramque enim regionem Pannoniam et Serviam ducit locus iste, indeque cum oportuerit, utramque ingredi licet ac incessere. Dese enim, qui imperatoris beneficio Serviae tum imperitabat, postquam principatum obtinuit, posthabitis pactis, Dendram regionem denuo occupaverat, spretoque Romanorum imperio legationem miserat ad Alemannos, ut inde sibi uxorem accerseret, et quidquid Romanis displiceret, omnino faciebat. etiam tum cum a principe evocaretur, ut adversus Hungaros bellum gerenti sibi adesset, difficilis ac pervicax videbatur, magnarum

ὁ δὲ δύστροπός τις καὶ ἰσχυρογνώμων ἐφαίνετο ἐπὶ μακροτέραις
τε ταῖς ἐλπίσιν ὠχεῖτο καὶ εἰς τὴν ἐπιοῦσαν τὴν ἄφιξιν ὑπισχνεῖτο. V 97
ὁ μὲν οὖν βασιλεὺς διὰ ταῦτα, ἐπειδὴ πρὸς τῇ Ναΐσῷ ἐγένετο,
ἔνθα ταῖν ὁδοῖν ἀμφοτέραιν ἡ μὲν ἐπὶ τὴν Σερβικὴν ἄγει, θατέρα
δὲ ἐπὶ τὸν Ἴστρον καὶ γῆν τὴν Παιονικήν, ἐν μεταιχμίῳ τὴν στρα-
τοπεδείαν ἐπήξατο, Δεσὲ δὲ τὸν ἐπικρεμάμενον ἤδη κίνδυνον αὐτῷ P 124
συνιδὼν τὸ περὶ αὐτὸν ἀναλαβὼν στράτευμα ἐς τὸ Ῥωμαίων ἀφι-
κνεῖται στρατόπεδον. βασιλεὺς δὲ εὐμενῶς τε αὐτῷ προσηνέχθη
καὶ τὰ εἰκότα τετίμηκεν. ἀλλ' ἔοικεν ἀκολάστου γλώσσης μηδὲν
αἴσχιον εἶναι κακόν. Δεσὲ γάρ, ἐπειδὴ μηδὲν ἐξ ἀβουλίας αὐτῷ
τῆς προτέρας ξυνενεχθὲν ἔγνω κακόν, ἐπῆρτό τε τὴν διάνοιαν καὶ
μείζω κακουργήσειν ἢ πρότερον ἐς Ῥωμαίους διενοεῖτο· εἶχε δὲ
ὅμως ἐν ἀπορρήτῳ τὸ σκέμμα. οὕτω φιλανθρωπίας ὑπόθεσις
τοῖς τῶν ἀνθρώπων πονηροτάτοις ὕλη μειζόνων ἀδικημάτων ὡς
τὰ πολλὰ γίνεσθαι εἴωθεν. ἧκον μὲν γὰρ ὀλίγῳ ὕστερον πρέσβεις
ἐς βασιλέα παρὰ τοῦ Παιόνων ἔθνους· ὁ δὲ κατά τινα τύχην αὐ- B
τοῖς συναντώμενος ὅπη τε τὰ κατ' αὐτὸν ἔχοι πρὸς αὐτῶν ἠρωτη-
μένος, ὥσπερ ἔθος ἐστίν, ἀπαρακαλύπτως ἔφησεν ὡς καλῶς καὶ
τῆς πρὸς αὐτὸν ἐπαξίως τοῦ σφῶν ῥηγὸς εὐμενείας, κύριον αὐτὸν
διαφανῶς ὀνομάσας. ταῦτα πυθόμενος βασιλεὺς οὐκέτι μέλλειν
ἔγνω, καὶ τοίνυν ἐπὶ δίκην καλέσας αὐτόν, ἐπειδήπερ ἐκράτει,
τῶν κατηγόρων αὐτῷ καὶ συνειδότων κατὰ πρόσωπον ἱσταμένων
ἤδη καὶ θεατριζόντων τῷ ἀνθρώπῳ τὴν ἀπιστίαν, τότε μὲν ἐν τῷ
ἀσφαλεῖ οὐ σὺν ἀτιμίᾳ τοῦτον ἔσχε· ταφρείᾳ γὰρ τὴν σκηνὴν αὐ-

rerum spem animo volvens et in diem prolato adventu. quamobrem imperator, ut ad Naisum accessit, ubi duarum viarum altera in Serviam ducit, altera ad Istrum et Hungariae fines, in medio castra posuit. Dese vero imminens sibi periculum advertens, acceptis quas tum habebat copiis, in Romanorum castra venit. eum imperator benevole exceptum quo decebat honore prosecutus est. sed proterva lingua nullum esse turpius malum videtur. siquidem Dese, ubi nihil sibi obvenisse incommodi ob priorem imprudentiam ac temeritatem agnovit, sustulit animos ac maiora quam antea damna Romanis inferre decrevit. consilium tamen eiusmodi silentio pressit. ita plerumque benevolentiae argumentum pessimis hominibus maiorum iniuriarum materia esse solet. venere quippe paulo post ex Hungarorum gente ad imperatorem legati, quibus ille forte fortuna obvius factus, rogatus est ab iis, uti moris est, quemadmodum res suae sese haberent: illis haud dissimulanter respondit, optime, et prout regis eorum erga se benevolentia mereretur: dominum illum palam nominans. his igitur cognitis imperator nequaquam cunctandum ratus, ipsum in ius vocat convictumque, accusatoribus et delictorum consciis in medium productis ac perfidiam ipsi coram obiicientibus, in custodia, sine dedecore tamen, eum habuit. vallo enim tabernaculum illius

τῷ περισχὼν κατὰ τὸν ἐν τοῖς χαρακώμασι νόμον ἐτήρει, ὡς ἀπ'
C ἐκείνου λοιπὸν Δεσὲ χάρακα τὸν τόπον ὀνομασθῆναι (οὕτω γὰρ τὴν ταφρείαν ἰδιωτίζοντες ὀνομάζουσιν οἱ πολλοί)· ὀλίγῳ δ' ὕστερον ἐς Βυζάντιον πέμψας ἔμφρουρον ἐν παλατίῳ κατεστήσατο. ταῦτα μὲν τῇδε ἐγένετο, βασιλεὺς δὲ τοῖς ἐκ τῶν Παιόνων ἀφικομένοις χρηματίσας πρέσβεσιν, ἐπειδὴ μηδὲν ὑγιὲς αὐτοὺς ἀπαγγέλλοντας ἔγνω, ἐκέλευεν εὐθυωρὸν τοῦ Ῥωμαϊκοῦ ἀπαλλαγέντας στρατοπέδου τὴν αὐτὴν αὖθις πορεύεσθαι. οἱ μὲν οὖν ἀπῄεσαν, ὁ δὲ ἐπὶ Βελέγραδα πόλιν ἐλθὼν ἐνταῦθα ηὐλίσατο, ἣν καθάπερ εἴρηται Ζεύγμινον καθελὼν ὁ Ῥωμαίων ἐδείματο στρατός, συναιρομένους τῶν πόνων καὶ Οὔννων πολλοὺς ἔχοντες. παίγνιον δὴ
D τοῦτο τύχης τὰ ἀνθρώπεια διαχλευαζούσης ἀεὶ πράγματα· κἂν γὰρ ἐπεγγελάσῃ τις τοὺς πάλαι καθαιρεθέντας δομήτορας, αὖθις οἰκιστὰς καθορῶν. ἐκ τούτων οἶμαι τὸ τύχης ὄνομα πολὺ παρὰ τοὺς ἀνθρώπους ἐρρύη. τῶν γὰρ τῆς προνοίας ἔργων τοῖς λόγοις ἐφιστάνειν οὐκ ἔχοντες, ἐκ τοῦ σφίσιν εἶναι δοκοῦντος, τῇ τύχῃ τὰς τῶν πραγμάτων διδοῦσιν ἐκβάσεις. ἀλλὰ ταῦτα μὲν ὥς πη φίλον ἑκάστῳ νομιζέσθω τε καὶ λεγέσθω, ὁ δὲ λόγος ἐχέσθω τῶν προτεθέντων. ἐπειδήπερ ὁ βασιλεὺς ἐνταῦθα ἐγένετο, γνοὺς ἀμήχανα εἶναι λοιπὸν Στέφανον γῆς ἄρξειν τῆς Οὔννων (ἤδη γὰρ Στέφανον
P 125 αὖθις τὸν Ἰατζᾶ κατεστήσαντο φέροντες) ἑτέραν ἐτράπετο. Οὐννικῆς γὰρ δυνάμει τῇ πάσῃ καθάπερ εἴρηται μεταποιεῖσθαι ἤθελεν ἐν μεταιχμίῳ τῶν ἑσπερίων κειμένης ἐθνῶν. Βελᾶν τοίνυν ὃς

cingens, secundum eam quae in castris viget legem observari iussit. ita ut ab illo deinceps Dese vallum locus iste fuerit nuncupatus. sic enim fossam vulgus ut plurimum vocat. eum autem paucos post dies Byzantium misit, et in palatio includi praecepit. haec quidem ibi acta. et princeps auditis Hungarorum qui advenerant legatis, ubi nihil eos sani adferre cognovit, castris excedere Romanis, et recta domum abire iussit. iis abeuntibus, ipse ad Belegrada urbem venit, ibique castra posuit. hanc, uti supra commemoravimus, diruto Zeugmino, Romanus exstruxerat exercitus, compluribus Hungaris in laboris partem adscitis. iocus hic est illius, quae in rebus humanis semper ludit, fortunae. certe enim priscos illos urbium conditores pridem exstinctos, quis irrideat, dum videt novos rursum suboriri. ex iis τύχης seu fortunae vocabulum ut plurimum apud homines defluxisse arbitror. cum enim rerum quae a divina providentia proficiscuntur, rationem percipere non possunt, dum praeter opinionem videntur accidere, earum exitus fortunae adscribunt. sed de his prout cuique libitum fuerit censeat, scribatve: nos autem ad institutum redeamus. cum igitur eo pervenisset imperator, fierique haud posse agnovisset, ut Stephanus Hungariae regnum adipisceretur (Stephanum quippe Geizae filium iterum restituerant Hungari) alio se convertit. Hungariam enim, uti dictum est, in medio Occidentalium nationum positam sibi comparare totis viribus satagebat. quapropter Belam,

μετὰ Στέφανον τῷ Ἰατζᾷ παῖς ἦν, Μαρίᾳ τῇ αὐτοῦ θυγατρὶ συνάψαι πρὸς γάμον διενοήθη. Γεώργιον μὲν οὖν ὃς ἑταιρείας τῷ τότε ἡγεῖτο τῆς βασιλικῆς, Παλαιολόγον μὲν γένος ἐς δὲ τὸν τῶν σεβαστῶν ἀναβεβηκότα ὄγκον, ἐπὶ Οὐννικὴν πέμψας δοκιμάζειν ἐκέλευε περὶ τοῦ κήδους· ὁ δὲ τὴν ἐς Βυζάντιον αὖθις ἐστείλατο. V 98 Οὖννοι δὲ τῷ Παλαιολόγῳ κοινολογησάμενοι Βελάν τε φέροντες ἔδοσαν αὐτῷ καὶ χώραν, ἣν ὁ πατὴρ αὐτῷ περιὼν ἀπεδάσατο, ἄσμενοι ἐκληροῦντο. ὁ τοίνυν Παλαιολόγος παραλαβὼν αὐτὸν B σὺν ὁμολογίαις αἷς εἴρηται ἐν Βυζαντίῳ παρεγένετο. καὶ τὸ ἐντεῦθεν τῶν ἐπὶ τῷ κήδει βασιλεὺς ἐφρόντιζεν, ὅ τε παῖς Ἀλέξιος ἤδη μετωνομάσθη καὶ δεσπότης ἀνεβοήθη.

6. Ἡ μὲν οὖν ἐπὶ Βυζάντιον ἄφιξις τῷ Βελὰν ταύτην ἔσχεν ἀρχήν, βασιλεὺς δὲ τὰ κατὰ τὴν ἑσπέραν ἤδη καλῶς ἔχειν ὑπολαβὼν ἐπὶ τὴν Ἀσίαν λοιπὸν ἔβλεψε, καὶ πρότερον μὲν τοῖς συμπεσοῦσιν εἰς τοῦτο κεκινημένος, πρὸς δὲ τῶν ἑσπερίων ἐκεῖθεν ἑλκόμενος πραγμάτων. Νουραδὶν γὰρ ὃς τῆς κατὰ Συρίαν ἦρχε Βερροίας καὶ Δαμασκοῦ, πόλεων ἄμφω περιφανῶν, τῆς τύχης εὐμενὲς ἐμβλεψάσης αὐτῷ, καὶ ἄλλων τε πόλεων ἦρξε πολλῶν αἳ C τῶν Εὐφράτου πίνουσι ναμάτων, καὶ χωρῶν οὔτι εὐκαταφρονήτων περιγέγονε συχνῶν, πολλοῖς τε τῶν τῇδε σατραπῶν εἰς χεῖρας ἐλθὼν οὓς μὲν δορυαλώτους ἔσχεν, ἐν οἷς καὶ Ἰατζουλῖνος ὁ Ἐδέσσης ἡγεμονεύων, οὓς δὲ καὶ πολέμῳ ἀπεκτονὼς ἔτυχε, Ῥαϊμοῦνδον δὴ τὸν ἐκ Πετούης, οὗπερ ἱκανῶς ἐν τοῖς ἔμπροσθεν ἐπεμνή-

23. δὴ] Ita Duc. Cod. δέ.

qui post Stephanum Geizae filius erat, Mariae filiae suae matrimonio iungere constituit. Georgium igitur cohortis imperatoriae tunc temporis praefectum, gente Palaeologum atque sebasti auctum dignitate, in Hungariam misit, quo de hac ineunda affinitate sermones ingereret: ipse vero Byzantium rursum rediit. Hungari, colloquio cum Palaeologo habito, et Belam ipsi tradiderunt et regionem, quam superstes adhuc pater illi assignaverat, lubentes in haeredii sortem concesserunt. eo itaque accepto Palaeologus quibus dictum est conditionibus Byzantium reversus est. deinceps autem quae ad affinitatem istam conficiendam necessaria erant curavit imperator. atque puero inprimis, mutato nomine, Alexii nomen indidit, eumque despotae dignitate donavit.

6. Tale quidem Belae in urbem adventus initium habuit. rebus in Occidente rite compositis, ad Asiaticas animum admovit imperator, iis quae prius acciderant ad id permotus, sed ob res Occidentales inde avocatus. Nuradinus quippe, qui in Syria Berrhoeae et Damasco, praeclaris utrisque civitatibus, aliisque urbibus quam plurimis, quae circa Euphratem sitae sunt, ita illi arridente fortuna, imperabat, loca varia haud contemnenda expugnaverat, multosque ibi satrapas bello aggressus, alios quidem captivos tenebat, in quibus erat Iosselinus Edessae princeps: alios vero in praeliis ob-

σθημεν λόγοις, ἄνδρα ἰσχύϊ καὶ ῥώμῃ κατὰ τοὺς θρυλλουμένους ἐκείνους Ἡρακλεῖς, καὶ Βαλδουῖνον τὸν Μαρασίου τότε κρατοῦντα. προϊὼν δὲ καὶ Κωνσταντίνῳ τῷ τῆς Κιλικίας δουκὶ εἰς μάχην κατέστη, ὃν Καλαμάνον ἐπεκάλουν νεανίαν, τήν τε ὄψιν
D ἀγαθῷ καὶ δραστηρίῳ τὰ ἐς μάχας. ἀλλὰ τὸ μὲν πρῶτον ἡττητό τε κατὰ κράτος τοῦ νεανίου καὶ ἀνηκέστοις περιπέπτωκε συμφοραῖς, εἶτα τύχῃ τινὶ αὐτόν τε καὶ Ῥενάλδον τὸν Ἀντιοχείας πρίγκιπα εἷλεν, ἐν οἷς καὶ ὁ τῆς ἐν Φοινίκῃ Τριπόλεως ἡγεμονεύων ἦν. Κωνσταντῖνος γάρ, ἐπειδὴ τοῦ πολέμου ἐκράτει, οὐκέτι καθεκτὸς ἦν, ἀλλ' ἀλογίστῳ τινὶ τόλμῃ καθυπαχθεὶς ἔς τε τὴν δίωξιν οὐ σὺν ἐπιστήμῃ πεσὼν αὐτός τε ἥλω καὶ τὰ Ῥωμαίων ἔσφηλε πράγματα. ὁ Νουραδὶν δὲ καὶ Τερόζην μάχῃ νικήσας ἐλπίσιν
P 126 ᾠχεῖτο ὡς αὐτίκα καὶ τῆς Ἀντιοχείας ἐπιβησόμενος. διὰ ταῦτα μὲν οὖν βασιλεὺς καὶ πρότερον ὤδινεν ἐπὶ τοῖς ξυμπεσοῦσι καὶ ἐπὶ τὴν Ἀσίαν διαβαίνειν διενοεῖτο, τότε δ' οὖν καιροῦ λαβόμενος πασίρροπος ἐς τοῦτο ἐφέρετο. ἀλλὰ καὶ πάλιν τὰ ἐκ τῆς ἑσπέρας ἐμποδὼν αὐτῷ ἔστησαν. ὅ τε γὰρ νέος Παιόνων ῥὴξ τοῦ Βελᾶ καὶ πάλιν ἐπεβάτευε κλήρου καὶ παρεσπόνδει καὶ τότε περιφανέστατα, καὶ Στέφανος, ὃν ἤδη τῆς ἀρχῆς ἀπεώσαντο Οὖννοι, δι' Ἀγχιάλου πόλεως ἐπὶ τὴν Οὐννικὴν ποθεν παρεισδὺς ἀνακαλεῖσθαι τὴν ἀρχὴν διενοεῖτο. ἔλαθε δὲ προπετέστερον μᾶλλον ἢ προμηθέστερον τῷ πράγματι ἐπικεχωρηκώς. ὡς γὰρ περιιὼν τῶν Οὐν-

4. νεανίαν] Malim νεανίᾳ, id ut sequentibus iungatur. 22. ἐπικεχωρηκώς] Malim ἐπικεχειρηκώς.

truncaverat, quos inter fuit Raimundus Pictavinus, cuius in prioribus libris abunde meminimus, vir animo et fortitudine prisco illi Herculi par, et Balduinus Marasiae dominus. progressus autem manus etiam conseruit cum Constantino Ciliciae duce, quem Calamanum iuvenem vocabant, egregiae formae viro, et in re militari admodum strenuo. verum ille cum ab adolescente primum omnino fuisset superatus, in gravissimas calamitates incidit. deinde sorte aliqua Renaldum Antiochiae principem, necnon et Tripolitanum in Phoenicia comitem cepit. sed enim Constantinus, hac adepta victoria, continere se non potuit, et inconsiderata quadam abreptus audacia victosque temere insecutus, et ipse captus est resque Romanas perdidit. Nuradinus vero ut Torosum perinde superavit, Antiochiae mox invadendae spem animo volvebat. ea igitur propter imperator iis casibus indignatus in Asiam statuit transire, captataque ad id occasione totus in id consilii incubuit. sed obstitere allati rursum ex Occidente rumores: novus quippe Hungariae rex haereditarias Belae possessiones iterum invasit, foederibus aperte violatis. quin et Stephanus, quem paulo ante regno eiecerant Hungari, per Anchialum civitatem Hungariam ingressus, illud recuperare meditabatur. verum temeritate potius quam prudentia rem aggressus, a proposito aberravit. statim enim atque eum nonnullos Hungaros in suas partes adduxisse accepit

ων ὑπεποιεῖτό τινας, γνοὺς ὁ Στέφανος πανστρατὶ ἐπ' αὐτὸν B
ἐφέρετο. διὰ τοῦτο βασιλεὺς ἐπὶ Κιλικίαν μὲν στράτευμα τὰ ἐν-
ταῦθα φρουρῆσον ἱκανὸν ἔπεμψεν, ὁ δὲ ἐπὶ τὸν Ἴστρον καὶ πάλιν
ἤλαυνε Σάόν τε περαιωσάμενος ἀντικρὺ Τιτελίου τὸ στράτευμα
ἔστησε, κατὰ νοῦν ἔχων ὡς Βελᾷ μὲν τὸν κλῆρον ἀνασώσαιτο τὸν
πατρῷον, Στέφανον δὲ τῶν παρὰ πόδας ῥύσαιτο δυσχερῶν. ἤδη
γὰρ καὶ ὑπέρρει τὰ τῆς δυνάμεως αὐτῷ, καὶ ἦν ἐν στενῷ κομιδῇ,
τῶν σὺν αὐτῷ Οὔννων ἐπὶ τὸν ῥῆγα μετατιθεμένων ἑκάστοτε. καὶ
δὴ καὶ Ἀνδρόνικον τὸν τοῦ Κοντοστεφάνου υἱέα, ὃς καὶ μέγας
ὀλίγῳ ὕστερον ἐχρημάτισε δούξ, ἅμα στρατεύματι στείλας Στέ-
φανον μὲν ἀνήρπασε τοῦ κινδύνου, ὁ δὲ ἄρας ἐκ Τιτελίου παντὶ V 99
τῷ στρατῷ προσωτέρω ἐχώρει. ὁ γάρ τοι τῆς ἀρχῆς ἐπιβατεύων C
Στέφανος, ἐπειδὴ μὴ ἐξ ἀντιπάλου δυνάμεως τῷ βασιλεῖ συμπλα-
κήσεσθαι εἶχε, τὸ μὲν πρῶτον σὺν ταῖς περὶ αὐτὸν δυνάμεσι περί
που τὰ τῆς Οὐννικῆς ἔσχατα ἐχώρει· ἔπειτα συμμάχους ἐκεῖθεν
ἐπαγόμενος Ῥωμαίοις ἀντιτάξεσθαι ἠπείγετο. βασιλεὺς δὲ ἐπί
τινα χῶρον Πετρίκον καλούμενον καταλαβών, ἐνταῦθα ἐσκήνου.
ἔστι δὲ ὁ χῶρος οὗτος τῆς εἰς τὴν ἐνδοτέρω Παιονίαν παρελεύσεως
ὅρος ὁ πρῶτος. ἔνθα γεγονὼς Στεφάνῳ ἔγραψεν ὧδε. ἥκομεν,
ὦ ἐμὲ παῖ, οὐ πόλεμον Οὔννοις ἄγοντες, ἀλλὰ Βελᾷ τε ἀδελφῷ
τῷ σῷ τὴν χώραν ἀνασωσόμενοι, ἣν οὐ δυναστείᾳ τῇ ἡμῶν παρα-
σπάσαντες εἴχομεν, ἀλλὰ σύ τε ἔδως καὶ πατὴρ ὁ ὑμῶν πολλῷ D
ἤδη πρότερον. καὶ Στέφανον δὲ τὸν σὸν τοῦ κινδύνου ἐξαιρησό-
μενοι θεῖον, γαμβρὸν ἤδη καὶ αὐτὸν κράτει γεγονότα τῷ ἡμῶν.

Stephanus, cum universis copiis in illum profectus est. quamobrem imperator in Ciliciam ad oppidorum praesidia idoneo misso exercitu, ipse versus Istrum denuo contendit: Savoque transmisso castra posuit ad Titelium, tum ut Belae paternam haereditatem reciperet, tum ut Stephanum praesenti eriperet discrimini. quippe iam illius imminutae erant vires, summisque premebatur angustiis, Hungaris, qui cum eo erant, ad regem undique deficientibus. itaque Andronico Contostephani filio, qui magni ducis dignitatem brevi post obtinuit, cum copiis misso, Stephanum quidem periculo exemit: ipse vero, motis ab Titelio castris, cum universo exercitu ulterius perrexit. regni enim invasor Stephanus, cum viribus longe impar cum imperatore congredi non auderet, primum quidem cum iis quae aderant copiis in ultimos Hungariae fines concessit, atque ibi novis coactis auxiliis acie cum Romanis decertare statuit. imperator vero ut ad locum quemdam pervenit, quem Petricum vocant, castra ibi posuit. est vero locus iste aditus in interiorem Hungariam primus terminus, quo cum pervenisset, hunc in modum Stephano rescripsit. "non ad inferendum Hungaris bellum, fili mi, venimus, sed ut Belae fratri tuo possessionem restituamus, quam a dominatione tua minime abstulimus, sed quam tu ipse paterque vester iam pridem concessistis: atque adeo etiam ut patruum tuum Stephanum maiestatis nostrae affinem periculo

εἰ βουλομένῳ σοι τοίνυν ἐστὶ γαμβρὸν ἡμῖν καὶ Βελὰν ἔσεσθαι, ὅπερ ἤδη καὶ διωμολόγηταί σοι, τί μὴ τὴν χώραν ἀποδοὺς τῆς ἡμετέρας θᾶττον ἀπαλάσσῃ ξενίας; εἰ δὲ τὸ κῆδος ἀποπροσποιῇ, καί σοι ἕτερα περὶ τούτου δοκεῖ, ἴσθι ὡς τοῦ βιάσασθαί σε πολλῷ ἡμεῖς ἀπεχόμεθα μᾶλλον."

7. Βασιλεὺς μὲν ταῦτα ἔγραψεν. ὁ δὲ ἄλλην τε καθάπερ
P 127 εἴρηται σύμμαχον χεῖρα ἔκ τε Ἀλαμανῶν καὶ τῶν πρὸς τῷ Ταύρῳ ἱδρυμένων ἐπηγάγετο Σκυθῶν, καὶ δὴ καὶ τὸ Τζέχων ἑαυτῷ συνεστήσατο ἔθνος, τοῦ ἐν σφίσιν ἄρχοντος πανστρατὶ ἐπ' αὐτὸν ἀφικομένου. ἦν δὲ οὗτος ὁ Κορράδῳ πάλαι τῷ Ἀλαμανῶν συστρατεύσας ῥηγί, ὁπηνίκα ὥσπερ μοι δεδιήγηται ἐπὶ Ἀσίαν ἐκεῖνος ἐστέλλετο, ῥὴξ τε διὰ ταῦτα ὑπ' ἐκείνου γενόμενος. καίτοι ἐψεύσαντο ἄμφω, ὁ μὲν τὴν κλῆσιν, ἅτερος δὲ τὴν χάριν ὁ διδούς. μακρὸς γὰρ ἐξ οὗ χρόνος τὸ τῆς βασιλείας ὄνομα ἐν Ῥώμῃ ἀπώλετο, ἐξ ὅτου μετὰ Αὔγουστον, ὃν καὶ Αὐγουστοῦλον ἐκάλουν τὸ τῆς ἡλικίας αἰνιττόμενοι νέον καθ' ἣν ἐπελάβετο τῆς ἀρχῆς, ἐπὶ
B Ὀδόακρον καὶ Θευδέριχον ἑξῆς τὸν Γότθων ἡγεμόνα τυράννους ἄμφω μετέβη τὰ τῆς ἡγεμονίας. ῥὴξ γὰρ Θευδέριχος καὶ οὐ βασιλεὺς διεβίω καλούμενος, καθάπερ Προκόπιος ἱστορεῖ. Ῥώμη μέντοι ἀπὸ Θευδερίχου καὶ ὀλίγῳ πρότερον ἄχρι καὶ νῦν στασιαζομένη διαγέγονε, πολλάκις μὲν πρὸς Βελισαρίου καὶ Ναρσοῦ τῶν Ῥωμαίων στρατηγῶν ἐπὶ τῶν Ἰουστινιανοῦ Ῥωμαίοις ἀνασωθεῖσα

3. ἀπαλάσσῃ] Heyse ἀπαλλάσσῃ. Duc. ἀπολαύσῃ ex coni. Tollii.

eximamus. si igitur, te etiam volente, Belam generum nostrum esse contigit, quod et tu pactis ipsis firmasti, cur non reddita ei sua possessione, nostra potius frueris societate et benevolentia? si vero necessitudinem et affinitatem respuis, aliaque modo de iis tibi mens est; scias longe nos amplius ab eo abesse, ut vim nobis inferri patiamur."

7. Istius epistolae sententia haec fuit. imperator autem, uti dictum est, alias auxiliares copias ex Alemannis et Taurum accolentibus Scythis conflatas adduxit: Tzechorum praeterea sibi adiunxit nationem, quorum princeps ad eum venit cum universo exercitu. erat autem is, qui Conrado Alemannorum regi pridem militaverat, cum in Asiam, quemadmodum commemoravimus, ille traiecit, eamque ob causam rex ab eo est renuntiatus. sed uterque vicissim falsus est, et qui appellationem regiam recepit, et alter qui munus impertiit. iamdudum enim imperatorium nomen Romae exstinctum erat, ex quo ab Augusto (quem et Augustulum vocabant, aetatem eius teneram, in qua occupavit imperium, significantes) in Odoacrum et Theodoricum deinceps Gothorum principem, tyrannum utrumque, translatus est principatus. regis enim nomine, non imperatoris, quoad vixit, insignitus fuit Theodoricus, ut scribit Procopius. ipsa quidem Roma a Theodorici temporibus et paulo ante in hunc usque diem a cetero imperio divulsa mansit. licetque a Belisario et Narse, ducibus Romanis, sub Iustiniano recuperata

χρόνων, αὖθις δὲ οὐδὲν ἧττον τυράννοις βαρβάροις δουλεύουσα, οἳ καὶ ῥῆγες κατὰ Θευδερίχου τοῦ πρώτου καὶ ῥηγὸς ἅμα καὶ τυράννου κέκληνται ζῆλον. οἷς δὲ μὴ τοῦ τῆς βασιλείας μέτεστιν ὕψους, πόθεν οὗτοι τηλίκας προβεβλήσονται ἀρχάς, αἳ καθάπερ ἤδη ἔφην οἷόν τινες διαιρέσεις ἐκ τοῦ τῆς βασιλείας καθίενται κράτους; C τοῖς δὲ οὐκ ἀπόχρη μόνον, εἰ τοῦ τῆς βασιλείας οὐδὲν προσῆκον ἐπιβατεύουσιν ὕψους, ἰμπέριον ἑαυτοῖς περιτιθέντες κράτος. βούλεται δὲ τοῦτο τὸ ἄκρατον ἑρμηνεύειν. ἀλλ' ἤδη καὶ τὴν ἐν Βυζαντίῳ βασιλείαν ἑτέραν παρὰ τὴν ἐν Ῥώμῃ ἀποφαίνειν τολμῶσιν. ἅπερ ἐμοὶ διασκοπουμένῳ πολλάκις ἤδη καὶ δακρῦσαι ἐπῆλθεν. οἷον γάρ, οἷον ἡ Ῥώμης ἀρχὴ βαρβάροις καὶ δεινῶς ἀνδραποδώδεσιν ἀνθρώποις διεκαπηλεύθη χρῆμα· κἀντεῦθεν V 100 οὔτε ἀρχιερέως αὐτῇ μέτεστιν οὔτε πολλῷ δήπουθεν ἄρχοντος. ὁ μὲν γὰρ τῷ τῆς βασιλείας ἐπεμβαίνων μεγαλείῳ, ἀναξίως ἑαυτῷ D ἱππευομένῳ πεζῇ τῷ ἀρχιερεῖ παραθέει καὶ ὅσα καὶ ἱπποκόμος αὐτῷ γίνεται, ὁ δὲ ἰμπεράτορα τοῦτον εἰς ταὐτὸν ἄγων βασιλεῖ ὀνομάζει. πῶς, ὦ βέλτιστε, καὶ πόθεν σοι τοῖς Ῥωμαίων βασιλεῦσιν εἰς ἱπποκόμους κεχρῆσθαι ἐπῆλθεν; ἀλλ' οὔτε ποθὲν ἔσχες, καὶ σὺ μὲν ψεύδῃ τὸν ἀρχιερέα, ὁ δὲ τὸν βασιλέα διακιβδηλεύει. μὴ γὰρ τὸν ἐν Βυζαντίῳ τῆς βασιλείας θρόνον Ῥώμης θρόνον εἶναι διομολογοῦντί σοι, πόθεν αὐτῷ σοι τὸ Πάπα κεκλήρωται

7. ἰμπέριον] Cod. ἐμπόριον. Duc. ἰμπέριον. 13. πολλῷ δήπουθεν] ?

fuerit, Romanoque asserta imperio: rursum tamen in tyrannorum barbarorum servitutem decidit, qui Theodorici primi regis perinde ac tyranni exemplo reges appellantur. qui igitur fieri potest, ut qui imperatorii culminis non sunt participes, tantas dignitates conferre possint, quae, ut iam diximus ab imperatoria maiestate velut quaedam particulae, profluxerunt. iis vero non sufficit modo, si imperatoriam celsitudinem nullo iure ad se pertinentem imperiique maiestatem invadant (id enim vocabuli supremam potestatem denotat). sed iam eo venere audaciae, ut Byzantinum imperium a Romano diversum esse contendant: quae mihi perpendenti saepe obortae sunt lacrymae. qualis enim quantaque res Romae principatus a barbaris foedisque mancipiis divendita est? atque inde neque habuit illa pontificem, multoque minus principem. iste enim qui imperatoriam usurpat maiestatem, equitantem pontificem praeter dignitatem pedes praecedit, et equisonis implet munus. hic vero imperatorem istum appellat et pari cum principibus nostris honore vult censeri. quomodo, o bone, et unde tibi in mentem venit Romanorum uti imperatoribus equisonum et stratorum vice? at cum neutiquam illud aliunde acceperis, et tu pontificem mentiris, ille vero imperatoriam adulterat maiestatem. at tu qui Byzantinam imperii sedem eamdem esse cum Romana imperii sede diffiteris, unde Papae dignitatem consecutus es? uni-

P 128 ἀξίωμα; εἷς ἐστιν ᾧ ταῦτα ἔδοξε Κωνσταντῖνος, ὁ πρῶτος ἐν βα-
σιλεῦσι Χριστιανός. πῶς οὖν τὸ μὲν αὐτοῦ ἄσμενος δέχῃ, τὸν
θρόνον φημὶ καὶ τὸ τῆς ἀξίας ὑπερβάλλον, τὸ δὲ ἀπροσποιῇ; ἢ
ἀμφότερα στέρξον ἢ καὶ θατέρου ἀπόστηθι. ἀλλ' ἐμοί, φησί,
βασιλέας προβεβλῆσθαι ἔξεστι. ναί, ὅσον ἐπιθεῖναι χεῖρας, ὅσον
ἁγιάσαι, ταῦτα δὴ τὰ πνευματικά. οὐχὶ δὲ καὶ βασιλείας ἤδη
καταχαρίζεσθαι καὶ τά γε τοιαῦτα καινοτομεῖν. ἐπεὶ εἴ γε ὑμέτερον
ἦν βασιλείας μετατιθέναι, τί μὴ τὴν ἐν Ῥώμῃ αὐτοὶ μετετάξατε;
ἀλλ' ἑτέρου πράξαντος ἄκων ἠγάπα τοῖς δεδογμένοις ὁ τηνικαῦτα
τὴν καθ' ὑμᾶς ἐκκλησίαν λαχών. σὺ δὲ καὶ περιπίπτεις τοῖς
σεαυτοῦ καὶ λανθάνεις πως τἀναντία ποιῶν. οὓς γὰρ οὐ πολλῷ
B πρότερον εἰς βασιλέα μὲν καλῶς ποιῶν οὔκουν ἐδέξω παρακαλοῦν-
τας, ὅτι μηδὲ ἐξῆν, εἰς δὲ ἱπποκόμους κατέλεξας, νῦν οὐκ οἶδ'
ὅπως εἰς βασιλέας παραλαμβάνεις, καὶ κρίνεις τὸν ἐξ οὗ καὶ δι'
οὗ καὶ καθ' οὗ σοὶ τοῦ θρόνου μέτεστιν οὐδὲ ταὐτὸν τῷ βαρβάρῳ
ἴσως, τῷ τυράννῳ, τῷ δούλῳ. ἀλλὰ τυραννοῦμαι, φησίν, ἀλλὰ
βιάζομαι. οὐκ ἔχει σοι χώραν ἡ σκῆψις· χθὲς γὰρ καὶ οὐ πολλῷ
πρότερον βασιλεῖ Μανουὴλ ταῦτα διωμολόγεις. κἂν αὐτὸς ἀρνη-
θείης, ἀλλ' αἱ βίβλοι κηρύττουσιν αἳ τὰ γράμματά σου τῷ ἐδα-
φίῳ μετεδέξαντο. ἀλλ' ὄντως βωμολοχία τίς ἐστι τὸ πρᾶγμα καὶ
τρόπος μικροπρεπὴς καὶ ἀνελεύθερος, καὶ κοθόρνου δίκην ἀεὶ με-
C θαρμόζῃ ταῖς τύχαις. ἀλλὰ ταῦτα μὲν πλέον ἢ χρονικαῖς προσῆ-
κε διεξήλθομεν ὑποθέσεσιν, ὁ δὲ λόγος ἀναγέσθω καὶ πάλιν ἐπὶ
τὰ πρότερα.

cus est Constantinus, primus imperator Christianus, qui haec decrevit. cur igitur id quidem lubens excipis, sedem inquam pontificiam illiusque supremum fastigium, istud vero respuis. utrumque amplectere, aut abstine ab altero. verum, inquit, imperatores mihi praeficere licet: sane, ut manus imponas et consecres; ea enim spiritualia sunt; imperium vero aliis tribuere aut similia innovare licet minime. nam si vestrum erat transferre imperia, cur illud quod Romae erat non transtulistis? sed alterius id facientis decretis acquievit invitus, qui tum vestrae praeerat ecclesiae: tu vero propriis ipse commodis obluctaris, nescius te facere prorsus contraria. quos enim non multo ante, imperatori gratificatus, supplicantes non admisisti, quod neque licebat: quos stratoribus accensueras, eos nunc nescio quo pacto in imperatores promoves, illumque ex quo et per quem et sub quo thronum es consecutus, nec barbaro forsan et tyranno et mancipio aequalem facis. sed ais tyrannide opprimor, vi cogor. non habet locum praetextus: heri enim et non multo ante imperatori Manuëli ista pactus es. etsi infitias ieris, haec praedicant epistolae, quae characteres tuos proprio exaratos calamo exceperunt. sed id mera est scurrilitas, ratioque agendi indecens atque illiberalis, ac cothurni instar semper te ad fortunam componis. verum cum haec a nobis pluribus, quam annalium materiae conveniat, enarrata sint, ad priora rursum redeat oratio.

8. Στέφανος μὲν οὕτω συσκευασάμενος κατὰ Ῥωμαίων ἐφέρετο. βασιλέα δὲ ἐν τῇ τῶν Οὔννων γεγονότα ἐξῄεσαν οἱ ταύτῃ ἄνθρωποι πανδημεὶ ὑποδεξόμενοι, ὅσοι τε ἐς τοὺς ἱερέας κατελέγοντο ἐριουργεῖς ἀναβεβλημένοι στολὰς καὶ τὰ ἱερὰ χερσὶν ἔχοντες λόγια, καὶ ὅσοι ὀχλικὸν καὶ δημῶδες ἦν, ᾠδήν τινα ἐμμελῶς συντεθειμένην ἐκ τῶν παρ' ἡμῖν ἁρμοδιώτατα προσφωνοῦντες. εἶχε δὲ ὧδε·

ὦ συμμαχήσας κύριε τῷ πρᾳοτάτῳ Δαβὶδ

καὶ τὰ ἑξῆς. ὁ δὲ τὰ τῇδε χωρία ὑπερβὰς Ἴστρον διαβῆναι ἠπείγετο, τὴν ἐνταῦθά τε νῆσον παρελθὼν ἐπὶ τὰ ἐνδότερα χωρεῖν D ἤθελεν. ὅτε δὴ τοῦ Ῥωμαϊκοῦ περαιουμένου λέγεται μίαν τῶν νεῶν φόρτου πλέαν ὅπλων τε καὶ ἀνθρώπων ὡς πλείστων οὐ μακρὰν ὄχθης γεγενημένην ἐπὶ θατέραν νεῦσαι πλευράν, ὡς ἤδη καὶ εἰσρεῖν τὸ ὕδωρ ἐπ' αὐτήν. ὁ μὲν οὖν ἄλλος Ῥωμαίων στρατός, ὅσοι τε ναυσὶν ἐμβάντες τοῖς ποταμίοις ἐφέροντο νώτοις καὶ ὅσοι ἐπὶ τῆς ἠπείρου ἵσταντο ἔτι, οἱ μὲν ὑποψίᾳ κινδύνου οἱ δὲ ὀλιγωρίᾳ ἐχόμενοι περιώρων τὸ πρᾶγμα, καὶ ἡ ναῦς ὀλίγου δεῖν αὔτανδρος τῷ βυθῷ κατεδύσατο, εἰ μὴ βασιλεὺς ἐπὶ ὕδωρ ἁλόμενος V 101 ἐπὶ πλεῖστόν τε πεζῇ προελθών, καίτοι τοῦ ῥεύματος σὺν ῥύμῃ P 129 σφοδρᾷ καταφερομένου καὶ τέλμα τι ἐνταῦθα δυσδιεξόδευτον ἐργαζομένου, τῷ ὤμῳ τε ὑπέσχε τῇ νηῒ καὶ τὸν τοῦ κινδύνου ὑποτε-

4. ἐριουργεῖς] Tollius ἱερουργεῖς. ibid. χερσὶν ἔχοντες] In margine Cod. χερσὶ φέροντες. 5. ὅσοι] Malim ὅσον. 8. ὦ συμμαχήσας] Cod. ὁ συμμαχήσας. 18. ἁλόμενος] Cod. ἀλλόμενος. 21. τῷ ὤμῳ] Malim τὼ ὤμω.

8. Stephanus itaque rebus omnibus apparatis, in Romanos profectus est. ubi vero in Hungariam pervenit imperator, ad eum excipiendum universi confluxere incolae, atque in iis sacerdotali ordine conspicui, laneis induti vestibus et divina manibus ferentes evangelia, una cum promiscua plebe, eiusmodi canticum, a scriptoribus nostris concinnatum, suavissime praecinentes. "qui auxilium, domine, tulisti mansuetissimo David" et quae sequuntur. ille autem loca ista praetergressus, Istrum transmittere properat, et superata quae hic adiacet insula in interiora pergere constituit. aiunt Romanis copiis eo loco traiicientibus, unam ex navibus, sarcinis armisque et militibus cum maxime refertam, cum haud procul abesset a littore, in alterum inclinasse latus, ita ut in eam aqua influeret. ibi reliquus Romanorum exercitus, tum qui naves ingressi flumine vehebantur, tum qui adhuc in continente stabant, periculi metu vel ignavia de re haud erant solliciti: iamque navis propemodum una cum ipsis hominibus aquis absorbenda erat, nisi imperator in aquam desiliens, longiusque pedes progressus, magna licet vi impellente fluctu, et limum hoc loco aegre pervium faciente, humeris navem sustinuisset, et inhibito tantisper periculo facultatem ceteris auxiliandi prae-

μόμενος χρόνον ἄδειαν τοῖς λοιποῖς ἐπιβοηθεῖν δέδωκεν, οἳ τὴν αὐτοῦ αἰδεσάμενοι προθυμίαν παρέστησάν τε τοῖς κινδυνεύουσι καὶ τοῦ κινδύνου ἐξείλοντο. ἐξ ἐκείνου τοίνυν μέγα ἐπὶ φιλανθρωπίᾳ βασιλεὺς ὄνομα ἔσχε. τότε δ' οὖν Ἴστρον ἄνωθέν που διαβὰς ἐπί τινα πόλιν ὄνομα Παγάτζιον ἐφέρετο· ἡ δὲ πόλις μητρόπολις τῶν ἐν Σιρμίῳ τυγχάνει οὖσα· ἐνταῦθά τε διατριβὴν ὁ τοῦ ἔθνους ποιεῖται ἀρχιερεύς· ἔνθα πλῆθος κατοίκων λόγου κρεῖσσον ἐξῄει B δορυφορῆσον αὐτόν. τότε μὲν οὖν ἐνταῦθά που ηὐλίσατο, ἑξῆς δὲ πυθόμενος Στέφανον ἐγγὺς ἤδη γεγονέναι εἰς μὲν τὸν πόλεμον αὐτίκα καθίσταται. Ῥωμαίων δέ τινα τῆς Τζέχων συνιέντα γλώττης προσκαλεσάμενος ἐκέλευε μεταμφιεσάμενον ἐπὶ τὸ τῶν πολεμίων καθυποδῦναι στρατόπεδον εἰς ὄψιν τε τῷ τῶν Τζέχων ἐλθόντα ῥηγὶ τάδε ἀνειπεῖν αὐτῷ. "ποῖ δήποτε πορεύῃ; τίνα ταύτην πορείαν σὺν τῷ ὑπό σε φέρῃ στρατεύματι; ἢ οὐκ οἶδας ὡς βασιλεῖ μεγάλῳ χεῖρας ἀνταίρειν τολμᾷς; ᾧ καὶ τὸ ὑπ' αἰτίαις λόγον ἐχούσαις διὰ μάχης ἰέναι σφαλερόν, μὴ ὅτι γε πρὸς τῶν Οὔννων τουτωνὶ περιφρονεῖσθαι κινδυνεύοντι, οἳ Βελᾷ κλῆρον δόντες εἶτα ἀφείλαντο, ὅσα καὶ παιγνίοις ὅρκοις χρησάμενοι τοῖς C αὐτῶν. καί τις μὲν ἰδιώτῃ ξυναλλάττων ἀνδρὶ οὔκουν ἀθῷος τῷ νόμῳ διαγίνεται τῶν δεδογμένων, ἂν οὕτω τύχῃ, καταφρονῶν· βασιλεῖ δὲ τηλικούτῳ ταῖς ὁμολογίαις ἤδη προσκεκρουκότες ἀτιμώρητοι διαμενοῦσιν Οὖννοι; πολλοῦ γε καὶ δεῖ. ἆρα δίκαια

1. λοιποῖς] Cod. πολλοῖς, superscripto λοιποῖς. 5. ἡ δὲ] Malim ἢ δή.

buisset, qui eius alacritatem suspicientes periclitantibus succurrerunt eosque a discrimine omnino liberarunt; qua ex re magnam sibi humanitatis famam comparavit imperator. itaque superiori e parte Istro traiecto ad civitatem nomine Pagatzium pervenit. est vero illa Sirmiensis agri metropolis. hic habitat gentis istius antistes, et ex ea incolarum multitudo innumera egressa est, quo illius comitatui sese adiungeret. hic igitur castris positis consedit; postquam autem accepit Stephanum iam prope esse, ad bellum se confestim comparat. gnarum vero Tzechorum linguae Romanum quemdam ad se vocat eique imperat, ut mutatis vestibus castra hostium subiret, atque ubi ad regis Tzechorum venisset conspectum, eum hisce verbis alloqueretur. "quo tandem proficisceris? quod iter cum tuis capessis copiis? an nescis te in magnum imperatorem manum intentare velle? cum quo vel iustis de causis bellum gerere periculosum est, nedum cum eo, quem Hungari isti despicatui habent, qui eam, quam Belae in haereditatis partem concesserant, possessionem abstulerunt, sacramentis pro ludo iocoque habitis. sed neque qui cum privato homine paciscitur, innocens ex lege iudicatur, si cum in mentem venit negligere pacta velit. an vero qui tantum imperatorem violatis foederibus offenderunt Hungari, manebunt impuniti? nequaquam: nonne

βασιλεὺς πολεμεῖ; πρὸς δὲ τὸ δίκαιον καὶ ἀεὶ ἡ τοῦ πολέμου ῥοπὴ γίνεται. σὺ δὲ κἀκεῖνο ἀναλόγισαι. δοῦλος ἐπὶ δεσπότην ἥκεις πολεμησείων, καὶ δοῦλος οὐ βίᾳ τὸν ζυγὸν ὑποδὺς (ἦ γὰρ ἂν εἶχε λόγον τινά, φύσει γὰρ δι' ἀπεχθείας τὸ τοιοῦτον τοῖς κεκτημένοις ἐστίν), ἀλλὰ δοῦλος ἐθελόδουλος (ἑρμηνεύει δέ σοι τοῦτο τὸ λίζιον), εἴ γε μὴ διέφυγέ σου τὴν μνήμην ὅσα ἐν Βυζαντίῳ πάλαι τετέλεκας, ὁπηνίκα σὺν τῷ Κορράδῳ ἐπὶ Ἀσίαν ἐστέλλου. ἕως τοίνυν αἱρέσεως τῆς σῆς ἡ τοῦ πράγματος ἤρτη- D ται ἀπόβασις, ἑλοῦ τὸ Τζέχοις τε πᾶσι καὶ σοὶ συνοῖσον αὐτῷ. μεταμέλεια γὰρ οὐκ ἐν καιρῷ γενομένη ἥκιστα τῷ χρωμένῳ συντελεῖν εἴωθεν." ὁ μὲν ταῦτα εἶπε· Βλαδίσθλαβος δὲ (τοῦτο γὰρ αὐτῷ ὄνομα ἔκειτο) ἀμείβεται ὧδε. "οὐ πόλεμον ἄγοντες ἐπὶ βασιλέα μέγαν ἐνταῦθα πάριμεν, ὦ λῷστε, (μὴ οὕτω τῶν εἰς αὐτὸν ἀμνηστήσαιμεν συνθηκῶν) ἀλλὰ Στεφάνῳ τούτῳ ἀμυνοῦντες οὐ δίκαια πρὸς πατραδέλφου πεπονθότι, ὅς γε τὸ μὲν πρῶτον τῆς πατρῴας αὐτὸν ἤλασε γῆς καὶ τοῦ κλήρου, εἶτα τῆς δίκης ἀντεισαγούσης, ὁ δὲ αὖθις ἐπιστρατεύει τούτῳ καὶ ἣν ἐν P 130 τῷ κακῶς ἄρχειν ἀποβεβλήκει ἀρχὴν δυναστείᾳ καὶ πάλιν κτᾶσθαι διανοεῖται. ὑπὲρ ὧν καὶ δεησόμενος ἥκω βασιλέως καὶ ὀρφανοῦ παιδὸς χεῖρα μᾶλλον ὑπερσχεῖν λιτασόμενος. εἰ δέ τι καὶ πρὸς Στεφάνου τουτουὶ τοῦ νεωτέρου ἐπὶ τὴν αὐτὴν διημάρτηται βασιλείαν (πυνθάνομαι γὰρ ὡς τῆς Βελᾶ μηδὲν αὐτῷ

4. εἶχε] Malim εἶχες. 17. ἀντεισαγούσης] Malim ἀντεισαγαγούσης. 18. ἀποβεβλήκει] Ita Tollius. Cod. ἀποβεβλήκοι. 21. τὴν αὐτὴν] Fort. τὴν σήν.

iustum gerit bellum imperator? et ad iustitiam semper belli fortuna inclinat. tu vero illud perpende: servus domino bellum illaturus venis, non tamen servus, cui per vim imposita est servitus (sic enim profecto res aliquam rationem haberet, siquidem qui invitam servitutem serviunt naturaliter a dominis abhorrent), sed servus voluntarius, seu ut vos dicitis lizius: nisi forte tuam effugerunt memoriam quae quondam Byzantii pactus es, cum in Asiam una cum Conrado expeditionem suscepisti. dum igitur ab optione tua pendet rei exitus, elige quod et tibi et Tzechis omnibus expediat: quae enim non opportuna fit poenitentia, eam facienti prodesse haudquaquam solet." ita quidem ille locutus est. Vladislaus autem (sic enim appellabatur) in hunc modum respondit. "non illaturi bellum magno imperatori huc venimus, o bone; neque enim eorum quae cum illo pacti sumus memoria nos fugit; sed Stephano iniuste a patruo impetito opem laturi. illum quippe paterna primum terra et haereditate exuit: deinde iure suo restitutum rursum bello lacessit et regnum, quod male imperando amisit, per vim recuperare iterum contendit. eapropter imperatorem supplicaturus venio, ut pupillum potius puerum protegat ac tutetur. si quid autem Stephanus hic iunior in tuam peccavit maiestatem (audio enim Belae terram nihil ad se pertinentem occu-

προσῆκον καὶ πάλιν ἐπελάβετο χώρας) αὐτίκα ἐφ' ἡμῖν διαλ-
λακταῖς τήν τε χώραν ἀποδοίη καὶ τρόπῳ παντὶ τὴν ἁμαρτάδα
ἐξιλάσεται." ταῦτ' εἰπὼν ἀπεπέμψατο τὸν ἄνθρωπον. ὁ δὲ
ἐπὶ τὸ Ῥωμαίων ἀναστρέψας στρατόπεδον βασιλεῖ τοὺς λόγους
ἐκόμισεν. ὁ δὲ ἤκουσε μὲν τῶν λόγων οὐκ ἀηδῶς, οὐ μέντοι
B παντάπασι πιστεύειν εἶχεν. ἔννοια γάρ τις αὐτῷ γέγονε, μὴ
V 102 Βλαδισθλάβῳ οὐκ ἄπο γνώμης εἴρηται ταῦτα, ἀλλ' ὑποκάθη-
ταί τις καὶ δόλος αὐτοῖς. ἀμέλει καὶ τῶν περὶ αὐτόν τινας αὖ-
θις ἐς αὐτὸν πέμψας ὅρκοις τὰ δεδογμένα πιστοῦσθαι ἐκέλευε,
καὶ ὃς αὐτίκα μηδὲν μελλήσας ἐπιτελῆ ταῦτα ἔθετο. οὐ μὴν
ἀλλὰ καὶ ὅσα πάλαι, καθάπερ ἔφην, ὑπέσχετο δευτέροις ἐπικα-
τελάμβανεν ὅρκοις. ὀλίγῳ δὲ κατόπιν καὶ Στέφανος πρέσβεις ἐς
βασιλέα πέμψας τήν τε χώραν ἀπεδίδου καὶ παράκλησιν προσῆγε,
μηκέτι Στεφάνῳ κατὰ τῆς Οὐννικῆς ἐφιέναι στρατεύειν τῷ θείῳ.
ὅπερ ὁ βασιλεὺς προσδεξάμενος, τὸν πόλεμον λύσας ὡς ἐπὶ τὴν
Ῥωμαίων μετέβαινε, Στεφάνῳ τε παρῄνει ἀπαλλάσσεσθαι ἤδη
C τῆς Οὐννικῆς καὶ αὐτὸν ἅτε πείρᾳ μαθόντα τὸ περὶ αὐτὸν δύσ-
νουν τῶν ὁμοφύλων. πείθειν δ' οὐκ ἔχων τὸν ἄνθρωπον "ἐγὼ
μὲν" "ἔφη" ἄπειμι ἤδη· ἀνασωσαμένῳ γάρ μοι τὴν χώραν τῷ
Βελᾷ μάχης ὅτι μὴ ἀδίκου λόγος ὑπολέλειπται οὐδείς· σὺ δὲ
οὐκ εἰς μακρὰν ἴσθι προδοθησόμενος τοῖς ἐχθροῖς. εἰ βούλει
δέ, καὶ εἰς ὄψιν ἄρτι τὸ πρᾶγμά σοι παραστήσω. ἔστι σοι
ἀδελφιδοῦς Στέφανος τοσούτῳ τὰ εἰς μορφὴν ἐμφερής, ὅσῳ τοῖς

3. ἐξιλάσεται] Cod. ἐξιλάσσεται.

passo) continuo nobis arbitris et regiones restituet et omni modo delictum expiabit." his dictis hominem dimisit. ille vero in Romanorum castra reversus imperatori quae ab eo audiverat retulit: quae quidem accepit haud illubenter, etsi fidem iis omnino non praestaret. neque enim haec a Vladislao ex animi sententia dicta esse opinabatur, verebaturque ne quis subesset dolus. quapropter quosdam ex suis ad illum denuo misit, ut pacta iureiurando firmarent; quod ille nihil moratus confecit. neque ea solum, verum quae olim etiam uti diximus pepigerat, secundo iuramento sancivit. paulo post et Stephanus missis ad imperatorem legatis, regionem restituit simulque deprecatus est, ne unquam Stephanum patruum bello Hungariam infestare permitteret. his acceptis conditionibus princeps bello dirempto in Romanos prope rediit fines. Stephanum autem hortatus est imperator, ut et ipse ab Hungaria excederet, ut qui revera odium erga se indignationemque contribulium esset expertus. sed cum id homini persuadere haud potuisset "ego quidem" inquit "nunc recedo; Bela quippe in integrum restituto, nulla mihi amplius belli nisi iniusti ratio relinquitur. tu vero pro certo scias te brevi inimicis tuis prodendum esse; et si videtur, quomodo id futurum sit ostendam. est tibi ex fratre nepos Stephanus, adeo vultu et

ἀπεριέργως ἐς ὑμᾶς ὁρῶσι πράγματα εἶναι θατέρου διαιρεῖσθαι τὸν ἕτερον. τοῦτον δὴ ὅπλοις τοῖς σαυτοῦ κοσμήσας κέλευσον τὸ ὑπόσε ἀναλαβόμενον στράτευμα ἐπὶ τοὺς πολεμίους χωρεῖν. σὺ δὲ ἐνταῦθά που κατακρυψάμενος ἑαυτὸν τήρει, καὶ γνώσῃ αὐτίκα ὅπως ποτέ σοι προσφέρονται Οὖννοι." ὁ μὲν οὖν σκαφίδιον ἐμβὰς περί που τὰς τοῦ Ἴστρου λανθάνων ἐσάλευεν ὄχθας, D
ὁ δὲ ἀδελφιδοῦς αὐτοῦ Στέφανος ἅμα τοῖς περὶ αὐτὸν Οὔννοις Στεφάνῳ τῷ ῥηγὶ συμπλακήσεσθαι ἠπείγετο. ἀλλ' οὔπω ἐς ταὐτὸν ἀλλήλοις ἐγένοντο τὰ στρατεύματα, καὶ οἱ σὺν τῷ Στεφάνῳ Οὖννοι χεῖρας ἐπιβαλόντες αὐτῷ ὡς αὐτὸν τὸν πρεσβύτερον Στέφανον τῷ ῥηγὶ παρετίθεσαν φέροντες. τοῖς μὲν Οὔννοις ἡ πλάνη ἐν τῷδε ἐτελεύτα, βασιλεὺς δὲ πυθόμενος ταῦτα παραίνεσιν Στεφάνῳ προσῆγεν "ἀπόχρη" λέγων "ὦ ἄνθρωπε. ὡς γὰρ τῷ μὴ ἐνδέοντι ἀναπίπτειν ἐπισφαλές, οὕτω δὴ τὸ παρακαίρια P 131
τολμᾶν ἀμαθές. ἰδοὺ δὶς ἔχεις μαθὼν ὁπόσα σοι τὸ καθ' ἕκαστον προὐξένησεν ἤδη κακά. μὴ καὶ τρίτην ἀναμείνῃς, ὦ βέλτιστε, πεῖραν. τάχα γὰρ οὐδὲ διορθοῦσθαί σοι βουλομένῳ ἐνέσται." βασιλεὺς μὲν τοσαῦτα ἔλεγεν, ὁ δὲ "νῦν μᾶλλον" εἶπεν "αἰδέσονταί με Οὖννοι, ὁπότε κακουργοῦντες ἤδη πεφώρανται." οὕτω ψυχὴ καθάπαξ ἐπιθυμίαις ἁλοῦσα πάντα λόγον εἰς αὐτὰς μεταφέρει καὶ βιάζεται. ἐφ' οἷς ἀπειρηκὼς βασιλεὺς Νικηφόρον μὲν

14. τῷ μὴ ἐνδέοντι] Fort. τὸ μὴ ἐν δέοντι hoc sensu: *ut enim, ubi res postulat, non cedere periculosum est.* 15. καθ' ἕκαστον] Fort. ἀνθέκαστον. quod sequitur προὐξένησεν, in Cod. bis scriptum est.

lineamentis tibi similis, ut nisi attente admodum vos intuentibus haud facile sit alterum ab altero discernere. hunc tuis indutum armis iube tuo cum exercitu in hostem ire: tu vero interea te in occulto tene, et nosces continuo qualis sit erga te Hungarorum affectus." ille igitur scapham ingressus, clam circa Istri ripas obnavigat: interea dum illius ex fratre nepos Stephanus cum Hungaricis quas habebat copiis cum rege Stephano praelium initurus deproperat. sed nondum coiverat uterque exercitus, cum qui Stephanum comitabantur Hungari, manus in illum iniiciunt, et tamquam esset Stephanus ille senior, coram rege eum sistunt. in iis quidem Hungarorum error desiit. postquam ea princeps intellexit, iterum admonuit Stephanum "nunc tandem" inquiens "sufficit, mi homo. ut enim rebus se intricare non necessariis periculosum, ita intempestiva aggredi stultum est. ecce iam bis didicisti, quanta tibi unumquodque ex iis paraverit mala: ne et tertio, bone vir, facere periculum velis: fortassis enim emendandae culpae facultas non daretur." haec quidem imperator; ille vero "at nunc multo magis" inquit "me reverebuntur Hungari, quia perperam egisse deprehensi sunt." ita victus semel cupiditatibus animus omnes eo transfert rapitque cogitationes. imperator igitur hominem persuadendi spem omnem abiiciens Nicephorum Chalu-

τὸν Χαλούφην αὐτοῦ ἔλιπεν ἅμα στρατεύματι, συμπαρεσόμενόν
τε τῷ Στεφάνῳ καὶ τὰ παραπίπτοντα συνδιοικησόμενον. ὁ δὲ
ἐπὶ τὴν Ῥωμαίων ἦλθεν. οὐ πολὺ τὸ μεταξύ, καὶ πυθόμενος
B ὁ τῶν Οὔννων ῥὴξ ἐπὶ Οὐννικῆς Στέφανον εἰσέτι διατριβὴν ποιεῖ-
σθαι, δυνάμεις ἔτι μᾶλλον ἀγείρας πολέμῳ τὸ πᾶν διακρῖναι
ἠπείγετο, ἐν δὲ τούτῳ πολλοὶ τῶν σὺν Στεφάνῳ ἐπὶ τὸν ῥῆγα
μετατιθέμενοι ἑκάστοτε ψιλοῦσθαι τοῦτον ἐποίουν. ὃ γνοὺς ὁ
Χαλούφης βουλὴν προσῆγεν αὐτῷ τῆς Οὐννικῆς ἀποσχομένῳ ἐπὶ
Σίρμιον ἀφικέσθαι. τῆς γὰρ ἐνταῦθα χώρας ὑπὸ βασιλεῖ κει-
μένης ἐξεῖναι αὐτῷ ἔλεγε κατ' ἐξουσίαν οἷς ἂν βούλοιτο ἐγχειρεῖν.
ὡς δ' ἰσχυρῶς ἐκεῖνος ἀνένευεν, ὁ δὲ τοιάδε ἐνενόει. σκηψάμε-
νος γράμματα ἐκ βασιλέως ἥκειν αὐτῷ ἐπὶ τὸν Ἴστρον ἐχώρει,
τοῖς ταῦτα κομίζουσιν ἐντευξόμενος ἐνταῦθά που παρὰ τὸν Ἴστρον
δέει τῷ ἐκ τῶν Οὔννων διατριβὴν ποιουμένοις. ἐπειδή τε ἐν-
V 103 ταῦθα ἐγένετο, περαιωσάμενος ἐπὶ Σίρμιον ἦλθεν. ὀλίγῳ δὲ
C ὕστερον καὶ Στέφανος ἐγγὺς ἁλῶναι τοῖς πολεμίοις ἐλθὼν φυγὰς
ἐς αὐτὸν παραγίνεται. τούτων ἀκούσας βασιλεὺς στράτευμα λό-
γου ἄξιον ἐπὶ Σίρμιον ἔπεμψε, τὸ μέν τι τὴν χώραν αὐτῷ τη-
ρῆσον (ὑποψίᾳ γὰρ ἐς τοὺς Οὔννους ἐχρῆτο πολλῇ μή τι καὶ πά-
λιν νεωτερίσαιεν), τὸ δὲ καὶ τῷ εὐπροσώπῳ τῆς τῶν οἰκείων
ἀσφαλείας καὶ Στεφάνῳ τὴν σωτηρίαν πραγματευσόμενον. ἦρχε
δὲ ταυτησὶ τῆς στρατιᾶς Μιχαὴλ ἐπίκλησιν Γαβρᾶς, ὃς καὶ αὐ-
τὸς βασιλέως γήμας ἀδελφιδῆν σεβαστὸς σὺν τῷ Χαλούφῃ τετί-

18. μέν τι] Cod. μέν τοι.

phem ibi cum exercitu relinquit, ut Stephano adesset, et prout res postularent negotia una cum eo expediret. ipse interim in fines Romanorum venit. non multo post, ubi accepit Hungarorum rex Stephanum adhuc in Hungaria morari, maioribus contractis copiis, rem totam bello decernere statuit. interea multis ubique de Stephani exercitu ad regem deficientibus, minuebantur illius vires; quo cognito, Chaluphes consilium ei dedit, ut relicta Hungaria in Sirmiensem agrum concederet: in ista enim regione imperatori subdita, posse illum aiebat pro arbitrio quae vellet moliri. sed illo pertinacius renuente, tale quid comminiscitur. literas imperatoris fingens sibi esse allatas, versus Istrum profectus est, ut eos qui illas attulerant ibique prae Hungarorum metu substiterant, conveniret. postquam eo pervenit, in Sirmiensem regionem traiecit. nec multo post Stephanus cum prope fuisset captus ab hostibus, fugiens ad illum accessit. ubi haec rescivit princeps, idoneum exercitum Sirmium mittit, tum ut conservaret sibi regionem istam (verebatur enim maxime ne Hungari iterum res innovarent) tum ut subditorum securitati et Stephani saluti consuleret. praeerat istis copiis Michaël cognomento Gabras, qui et ipse ex fratre Manuëlis neptim uxorem duxerat, et sebasti honore cum Chaluphe fuerat donatus. princeps vero Procopii

μηται. βασιλεὺς δὲ ἣν ἐκ τοῦ Σιρμίου Προκοπίου τοῦ μάρτυρος ἀνελόμενος ἔτυχε χεῖρα ἐπὶ τὸν ἐν Ναϊσῷ νεὼν ἄγων τῷ λοιπῷ ταύτην ἀπέδωκε σώματι, παλαιοῦ τοῦ χρόνου ἀπ' αἰτίας ἀπορραγεῖσαν τοιᾶσδε. τὸ τῶν Οὔννων ἔθνος πολλὰ μὲν πολλάκις D τὴν Ῥωμαίων κατέδραμε γῆν, ὀλίγῳ δὲ ἔμπροσθεν τῆς Ἀλεξίου τοῦ Κομνηνοῦ βασιλείας Σίρμιόν τε εἷλε καὶ πολλὰς τῶν Παριστρίων ἀνδραποδισάμενος πόλεων ἄχρι καὶ ἐπὶ Ναϊσὸν ἦλθεν. ἔνθα τῇ τοῦ μάρτυρος τοῦδε ἱερᾷ περιτετυχηκότες σορῷ ὅλον μὲν ἀφαιρεῖσθαι τὸ σῶμα κεκρίκασιν οἶμαι ἀπάνθρωπον, τήν γε μὴν χεῖρα διελόμενοι ἀπεχώρησαν· ἐν Σιρμίῳ δὲ γεγονότες ἐπὶ τὸν τῇδε τοῦ μάρτυρος Δημητρίου κατέθεντο νεών, ὃν ἐν τοῖς ἄνω χρόνοις ὁ τὴν τοῦ Ἰλλυρικοῦ διέπων ἐδομήσατο ἀρχήν. ἔνθα ταύτην εὑρὼν βασιλεὺς ἀνέλαβέ τε ἐκεῖθεν καὶ τῷ P 132 λοιπῷ, καθάπερ εἴρηται, φέρων ἀπέδωκε σώματι.

9. Καὶ τὰ μὲν εἰς ἐκεῖνο τὸ ἔτος κατὰ Οὔννων τῷ βασιλεῖ πεπραγμένα τοιάδε τινὰ ἦσαν. ὁ δὲ Ἀλέξιον τὸν τοῦ δομεστίκου υἱέα, ὃς τὴν πρωτονοταρίου, ὥσπερ μοι πολλάκις ἐρρέθη, διεῖπεν ἀρχήν, σὺν ἀξίᾳ λόγου παρασκευῇ ἐπὶ τὴν Κιλίκων ἐξαπέστειλε γῆν, στρατηγὸν αὐτοκράτορα τοῦ πολέμου τοῦδε καταστησάμενος. Νουραδίν τε γὰρ ὁ Βερροιαῖος σατράπης νίκαις ταῖς προλαβούσαις ἐπαρθεὶς ἐλπίσιν ᾠχεῖτο πόλεως οὐκ εἰς μακρὰν περιγεγονέναι Ἀντιοχείας, καὶ Τερόζης ὃς Ἀρμενίων ἐδυνάστευε τότε πολλὰς τῶν βασιλεῖ κατηκόων πόλεις Ἰσαυρικὰς δόλῳ ἥρπασε, τῷ Φερβηνῷ δυσμεναίνων Ἀνδρονίκῳ τῷ βασι- B

23. τῶν βασιλεῖ] Ita Heyse. Cod. τῷ βασιλεῖ.

martyris manum, quam ex Sirmio forte abstulerat, in Naisi templum adlatam, reliquo reddidit corpori, cum ea, quam dicturus sum, de causa ab eo olim fuisset avulsa. Hungarorum gens saepe Romanorum fines incursavit, et paulo ante quam imperaret Alexius Comnenus, Sirmium cepit multisque Transistrianis urbibus expugnatis Naisum usque pervenit. ibi in sanctum illius martyris incidentes feretrum, totum quidem inde corpus auferre inhumanum, ut arbitror, existimantes, sola manu ablata recessere: et Sirmium reversi, eam deposuere in templo Demetrii martyris, quod pridem exstruxerat is qui Illyricum praefectus regebat, eam igitur illic inventam sustulit inde imperator et reliquo, ut diximus, reddidit corpori.

9. Atque haec fere sunt, quae eo anno contra Hungaros gessit princeps. Alexium deinde domestici filium, qui protonotarii, ut saepius a me narratum est, munere fungebatur, magno instructum apparatu in Ciliciam misit et summum eius belli ducem constituit. quippe Nuradinus Berrhoeae Sultanus prioribus elatus victoriis potiundae quam primum civitatis Antiochenae spem conceperat, et Torosus, qui tum Armeniis imperabat, plurimas Isauriae urbes principi obnoxias dolo ceperat, Andronico Eupherbeno prin-

λίως ἐξαδέλφῳ καὶ Κιλίκων στρατηγοῦντι τῷ τότε. ἄλλα τε γὰρ πλεῖστα ἐπεκάλει τούτῳ καὶ δὴ καὶ τῆς τοῦ ἀδελφοῦ Στεφάνου ᾐτιᾶτο σφαγῆς. ταῦτα μὲν οὖν τῇδε ἐπράσσετο. Φρεδερίκῳ δὲ τῷ ῥηγὶ Ἀλαμανῶν ἐπὶ μέγα ἑκάστοτε τὰ τῆς δυνάμεως ἐχώρει καὶ ηὔξανεν. ἄλλων τε γὰρ ὡς πλείστων ἐπ' ἀσφαλείᾳ τοῦ κράτους ἐφρόντισε καὶ δὴ καὶ χρημάτων μεταπεποίηται μάλιστα, οὐκ εἰθισμένον τοῦτό γε αὐτῷ πρότερον. τοίνυν Μεδιόλανόν τε εἷλε πόλιν περιφανῆ, καὶ τὸ Λιγούρων εἴτ' οὖν Λαμπάρδων ἐτροπώσατο ἔθνος, ὁδῷ τε προϊὼν καὶ ἐπὶ τὰ ἐνδότερα τῶν ἑσπερίων ἐχώρει. καὶ ὁ μηδὲ τῶν ἔγγιστα πολέμῳ δεδυνημένος περι-
C γενέσθαι τὸ πρότερον, τότε καὶ τῶν ἀπωτάτω ἐκράτει. ἤδη δὲ καὶ Ῥώμῃ αὐτῇ πρὸς μάχην κατέστη. ὅθεν καὶ δι' ἐπιμελείας βασιλεῖ Μανουὴλ ἐγένετο, ὅπως ἂν τῆς ὁρμῆς αὐτὸν σχήσῃ, ὡς μὴ τὸ παραλόγως εὐημερεῖν καὶ ἐπὶ τὴν Ῥωμαίων αὐτὸν τρέψειε, πολὺς ἐξ οὗ χρόνος λίχνον ἐπιρρίψαντα ταύτῃ ὀφθαλμόν. ὅθεν καὶ ἐπὶ μὲν ἔθνη τὰ τῇδε καὶ ὅσα κόλπου ἐντὸς ἵδρυται τοῦ Ἰονίου τῶν ἀσημοτέρων τινὰς ἀφανῶς ἐκπέμπων τῆς Φρεδερίκου τε αὐτὰ ὑπομιμνήσκειν ἐκέλευεν ἀπληστίας καὶ πρὸς ἀντίστασιν ἤγειρεν. εἰς δὲ τὸ Οὐεννέτων ἔθνος Νικηφόρον σὺν χρήμασι τὸν Χαλούφην ἔπεμπε, πειρασόμενόν τε τῆς εἰς αὐτὸν τοῦ ἔθνους εὐνοίας καὶ ἐπὶ τῷ Ῥωμαίοις συμφέροντι τὰ τῇδε
D διοικησόμενον. Φρεδερίκος δὲ Ῥώμης ἤδη περιγεγονὼς ἄλλα τε πολλὰ ἐνεωτέρισε καὶ δὴ καὶ Ἀλέξανδρον τὸν τῇδε ἀρχιερέα τοῦ

1. *Κιλίκων*] Ita Duc. Cod. *λίκων*.

cipis cognato, Ciliciae tum praefecto, infensus. nam plurimis aliis eum criminibus insectabatur, ac caesi maxime fratris in eum culpam referebat. haec tum ibi gesta sunt. Frederico autem Alemannorum regi in dies augebatur in immensum potestas. cumque aliis multis imperium sibi corroborare sollicitus esset, ad id quoque pecunias quam plurimas avara votorum cupiditate congessit, quod alias facere non consueverat. igitur Mediolanum cepit, civitatem celebrem, et Ligurum sive Lombardorum gentem devicit: longiusque progressus in ipsa Occidentis viscera transiit. ita qui primum vicinos sibi hostes bello superare non potuerat, remotissimos etiam debellavit, ita ut Romae ipsi iam bellum intentaret. unde id praesertim principi curae fuit, quo pacto illius impetum reprimeret, ne tot immensi successus in Romanorum fines, quo iamdudum avidos oculos intenderat, illius arma converterent. eapropter ad gentes ibi sitas, et quae Ionium intra sinum adiacent, ignobilioribus quibusdam clam submissis, Frederici insatiabilem animum ob oculos ponens ad resistendum incitavit. ad Venetos autem Nicephorum Chaluphem cum pecuniis misit, qui istius nationis exploraret affectum et cetera quae Romanis conducerent ibi ageret. Fredericus interea Roma iam potitus tum alia multa innovavit, tum et Alexandrum, qui ea tempestate summus

θρόνου κατασπάσας Ὀκταβιανὸν ἀντεισῆξεν, ἐντεῦθεν οἶμαι τοῦ V 104
Ῥωμαίων αὐτοκράτορος προσαρμόσειν αὐτῷ τὸ ἀξίωμα οἰηθείς·
οὐδενὶ γὰρ ἄλλῳ ὅτι μὴ βασιλεῖ Ῥωμαίων ἀρχιερέα προβεβλῆ-
σθαι τῇ Ῥώμῃ ἐφεῖται. τοίνυν καὶ ἐξότου ὀλιγωρίᾳ τῶν ἐν Βυ-
ζαντίῳ βασιλέων τὸ τοιοῦτον ἀπεσβήκει ἔθος, οὐδεὶς οὐδένα ἐν
Ῥώμῃ ἀρχιερέα καθίστη, ἀλλ' ἐπισκοπικῶν συνόδων καὶ τοῦ
κατὰ τὴν Ῥώμην ἀρχιερατικοῦ ταῦτα ἐτελεῖτο. ἀλλὰ Φρεδερί- P 133
κος τῇ αὐτοκράτορος πάλαι ἐποφθαλμίζων ἀρχῇ, καὶ τοῦτο δὴ
μέγιστον αὐτῆς γνώρισμα ὑφαρπασάμενος ἔδοξεν ἔχειν. ὁ δὲ καὶ
τῶν ἐπισκόπων ὑποποιησάμενος πολλοὺς ὑπὸ συνόδῳ δῆθεν ἐκύ-
ρωσε τὰ τοῦ νεωτερισμοῦ. τοῦτο ῥηξὶ τοῖς ἄλλοις ἔδοξε μὲν οὐκ
ἐπαινετόν, ἐδυνήθη δὲ οὐδεὶς Φρεδερίκῳ ἀντιπρᾶξαι δυνάμεως
ἐπὶ πλεῖστον ἥκοντι, ὅτι μὴ βασιλεὺς χρήμασί τε καὶ μηχαναῖς
ἑτέραις ἐμποδὼν αὐτῷ κἂν τούτῳ ἐγένετο, Ἀλέξανδρον ἐπὶ τοῦ
θρόνου εἰσαῦθις καταστησάμενος. ἀλλὰ ταῦτα μὲν ὕστερον. ὁ
δὲ Χαλούφης, ἐπειδὴ πρὸς Ἐπιδάμνῳ ἐγένετο, ἐνταῦθα προστε-
ταγμένον αὐτῷ τὰ πλείω τῶν χρημάτων λιπὼν αὐτὸς ἐπὶ Οὐεν-
νέτους ναυσὶν ἦλθε πνεύματος ἐπιφόρου τυχών, τῷ τῆς χώρας B
τε δουκὶ καὶ τοῖς ἄλλοις τῶν ἐν τῷ ἔθνει τούτῳ λογίμων εἰς λό-
γους ἐλθὼν ἔλεξε τάδε. "Μηδεὶς ὑμῶν, ὦ ἄνδρες, ὑπολαβέτω
δέει τοῦ μὴ τὸ ἐς τὴν Ῥωμαίων εὔνουν βασίλειαν προήσεσθαί
ποτε τὴν ὑμετέραν ἀγχίνοιαν πρὸς βασιλέως ἐνταῦθά με ἀφῖχθαι,
στηρίξοντα τὸ ὑμῶν ἴσως ὀκλάζον τῆς γνώμης. μὴ γὰρ οὕτως

23. στηρίξοντα] Cod. στηρίζοντα.

pontifex erat, throno deiecit et Octavianum substituit: inde, ut opinor, arrogare sibi Romanorum imperatoris volens potestatem. nulli enim alii praeterquam Romanorum imperatori summum Romae pontificem licet praeficere. ex quo enim propter Byzantinorum imperatorum neglectum is mos abolitus est, nemo quemquam Romae constituit pontificem, sed is per episcoporum et Romani cleri antistitum concilium creabatur. Fredericus autem imperatoriae iam olim inhians dignitati, hoc sibi si arrogasset, praecipuum illius argumentum habere sibi videbatur. verum ille conciliatis compluribus episcopis, quodcumque novi peregerat per synodum confirmari curavit. id regibus ceteris haud placuit. nemo tamen ad resistendum Frederico, qui ad id potestatis et virium pervenerat, idoneus fuit nisi imperator, qui pecuniis artibusque aliis et in hoc quoque illi obstitit, et Alexandrum rursus in thronum imposuit. sed de iis postea. Chaluphes vero cum Epidamnum accessisset, relicta ibi sicuti imperatum erat maiori pecuniarum parte, ventum secundum nactus ad Venetos navigio pervenit: et in colloquium veniens cum regionis duce aliisque in ista gente viris illustribus, huiusmodi orationem habuit: "nemo vestrum existimet, viri, me, quia metuimus ne vestra fluctuet erga Romanum imperium benevolentia, ideo huc missum esse ab imperatore, ut labantes vestros animos erigam ac confirmem. neque enim futurum arbitror,

αὐτοί τε ἀγεννῶς καὶ ἀναξίως τοῦ ὑμῶν αὐτῶν σχοίητε γένους, καὶ βασιλεὺς τῆς περὶ ὑμᾶς πάλαι διαμάρτοι δόξης. ἀλλ᾽ ἐπειδὴ τῶν ἄλλων, ὅσοι ὑπὸ τὴν παλάμην τελοῦσι τὴν αὐτοῦ, ὑμῖν μάλιστα εἰς εὐγνωμοσύνην τεθαρρηκὼς εἴη, πρώτην διὰ τοῦτο καὶ τὴν αὐτοῦ κηδεμονίαν ὑμῖν ἐπιδεῖξασθαι ἔγνω. αἰσχρὸν μὲν C γὰρ χρῆσθαι τοῖς ὑπηκόοις εὐημεροῦσι, δυσπραγούντων δὲ ἀπροσποιεῖσθαι τὴν σωτηρίαν. ἵνα τοίνυν μὴ καὶ ὑμῖν σὺν ἄλλοις, ὅσοις οὐ τῆς βασιλέως μέτεστιν εὐμενείας, βεβιάσθαι παρὰ Φρεδερίκου συμβαίη, ἀνδρὸς ὑπὸ φιλαρχίᾳ καὶ τὰ χρόνῳ καὶ ἔθει κεκρατηκότα μακρῷ διαλύειν πόνῳ οὐδενὶ φιλονεικοῦντος, ἐμὲ παρ᾽ ὑμᾶς ὡς ὁρᾶτε ἔπεμψε πάντα παρεξόμενον ὅσων ἂν τυχεῖν παρ᾽ αὐτοῦ δέησθε. καὶ τὴν ἐν Μεδιολάνοις γάρ ποτε βασιλέως συμπράξαντος πρὸς Φρεδερίκον τόνδε διαράμενοι μάχην ἴστε ὅπως αὐτοῦ ἐκρατήσατε. δι᾽ ἃ καὶ δι᾽ ἀπεχθείας αὐτὸς βασιλεῖ φέρεται, ἀλογίστῳ τε πιστεύων εὐπραγίᾳ καὶ Ῥωμαίων οὐδὲν προσῆκον αὐτοκράτωρ κεκλῆσθαι ἀξιοῖ, οὐκ εἰδὼς D ὡς τὰ τῆς τύχης παράλογα ἅτε οὐκ ἐπ᾽ ἀσφαλοῦς βεβηκότα τῆς ἕδρας ταχὺ καταρρεῖν εἴωθε. δι᾽ ἃ μὲν οὖν αὐτὸς ἐφ᾽ ὑμᾶς ἦλθον, ταῦτά εἰσι. μελήσει δ᾽ ὑμῖν ἐπὶ τῶν ἔργων ἐξάγειν, ὅσα παρὰ βασιλέα πέμψαντες ἔναγχος διωμολογεῖτε. ἔφατε τοίνυν τὰς ἀγχιγείτονας ἡμῖν παραστήσασθαι πόλεις Λιγούρων, εἴ καί τις ἐκ Βυζαντίου ἔργου συλληψόμενος ὑμῖν ἔλθοι. ὃ δὴ καὶ γέγονεν, ὥσπερ ὁρᾶτε." Νικηφόρος μὲν τοσαῦτα εἶπεν, Οὐέν-

4. πρώτην] Fort. πρώτοις. 9. φιλαρχίᾳ] Malim φιλαρχίας.

ut aut vos ipsi tam degeneres et vestra indignos gente praestetis, aut ab ea quam de vobis pridem concepit opinione recedat imperator. quandoquidem vero inter omnes qui sub illius potestate sunt populos, in vestra benevolentia potissimam habet fiduciam, eapropter et suam sollicitudinem vobis primum indicare atque ostendere statuit. turpe enim est subditis quidem uti felicibus, infelicium vero posthabere salutem. ne igitur vobis, ut et ceteris qui imperatoris amicitia non fruuntur, vis aliqua a Frederico inferatur, viro imperandi percupido et quae tempore et longa saeculorum consuetudine stabilita sunt convellere nullo labore satagente, me, uti videtis, ad vos misit, praebiturum omnia, quae ab ipso poposceritis. nostis enim, ut aliquando ad Mediolanum, adiuvante principe, praelio cum Frederico isto commisso victores evaseritis: unde et imperatorem exosum habet, stolidaeque confisus socordiae, Romanorum sese imperatorem, nullo licet iure, vocari vult: nesciens extraordinarios fortunae successus, cum soliditate nulla fulciantur, cito solere diffluere et evanescere. atque ea sunt quorum gratia ad vos veni: vestrum autem erit illa conficere, quae nuper per legatos cum imperatore pepigistis. dicebatis namque adiungendas fore vicinas Ligurum civitates, si modo aliquis Byzantio, qui vobiscum rem capesseret, adventaret: quod et factum est, uti videtis." haec quidem dixit Nicephorus.

νετοι δὲ τοὺς λόγους εἰσδεξάμενοι ἐπιτελῆ πάντα ποιήσειν ὑπέσχοντο. καὶ δὴ Κρεμών τε καὶ Πατυβία καὶ πλεῖσται ἄλλαι τῶν ἐν Λιγούροις περιφανεστάτων πόλεων βασιλεῖ προσεχώρησαν. P 134 ἐν μὲν δὴ Ἰταλίᾳ ταῦτα βασιλεὺς ἔπρασσεν, οὔπω μέντοι ἐπιδήλως· τὸ γὰρ ἐς Φρεδερίκον ἔχθος ἐγκρυφιάζειν ἔτι ἤθελεν.

10. Ὁ δὲ τῶν Παιόνων ῥὴξ Σίρμιόν τε αὖθις Ῥωμαίοις V 105 ἀφελόμενος ἔσχε καὶ Ζευγμίνου αὐτοῦ ἤδη μετεποιεῖτο. ταῦτα πυθόμενος βασιλεὺς ἐπέστειλεν αὐτῷ τοιάδε. "οὐ δίκαια ποιεῖς, ὦ εὐγενέστατε, ὅρκους ἀτιμάζων, οὓς ἔναγχος κράτει τῷ ἡμετέρῳ Σιρμίου τε ἕνεκα καὶ τῶν ἄλλων ὀμωμοκὼς ἔφθης. ἴσθι τοίνυν (τὸ γὰρ μακρολογεῖν ὑποτέμνει τῶν σοι πεπραγμένων ἡ ἐπίδειξις) ὡς εἰ μὴ θᾶττον ὧν οὐδέν σοι προσήκει ἀπαλλαγῇς, οὐ τόσα δράσεις Σίρμιον ἀφελών, ὅσαπερ ἂν αὐτίκα πείσῃ, B ὁπότε Ῥωμαῖοι πᾶσαν καὶ πάλιν τοῖς ὅπλοις ἐπιτρέχοιεν τὴν σήν. ἢ λέληθέ σε ὁπόσων Οὐννικὴ μυριάδων ἐψίλωτο πρότερον πρὸς πατρὸς τοῦ σοῦ τῇ Ῥωμαίων προσκεκρουκότος ἀρχῇ; ἀλλ' ἐκείνων μὲν ἡ τῶν πεπραγμένων μετάνοια σώτειρα γέγονε φθάσασα, σοὶ δὲ ὅρα μή ποτε οὐχὶ καὶ μεταμέλῳ γεγονότι ὄνησις ἔσται οὐδεμία. τὸ γὰρ τῆς δίκης ξίφος διὰ πολλῶν ἤδη τεθηγμένον διὰ τοσούτων δὴ καὶ πρὸς ἀμβλύτητα στρέφεσθαι πέφυκε. καὶ οὐκ ἄν τις οἶμαι πρότερον ἁπάντων τὴν τομὴν ἐκφεύξοιτο." τὰ μὲν δὴ τοῦ βασιλέως ἐν τούτοις ἦσαν, Στέφανος δὲ ἐν ὀλιγωρίᾳ τοὺς λόγους ποιούμενος ἐπὶ τοῖς αὐτοῖς καὶ πάλιν ἦν. διὸ δὴ καὶ πᾶσι C

Veneti autem excepta illius oratione, omnia se executuros polliciti sunt. sed et Cremona et Patavium, compluresque aliae in Liguria celeberrimae civitates principis partes sunt amplexae. haec in Italia ab imperatore acta sunt, non aperte quidem: nam conceptum adversus Fredericum odium tegere adhuc cupiebat.

10. Dum haec geruntur, Hungarorum rex Sirmium iterum Romanis abstulerat ipsique imminebat Zeugmino. quod ubi accepit princeps, scriptas in hanc sententiam literas ad illum misit. "non iuste agis, vir nobilissime, dum sacramenta quae nuper de Sirmio aliisque locis maiestati nostrae dedisti infringis. scias igitur (longiori enim te detinere oratione prohibent quae a te acta sunt) quod nisi primo quoque tempore ab iis, quae tui non sunt iuris, decedas, non tanta te effecturum Sirmium eripiendo, quanta confestim passurus es, cum tuos vicissim fines ferro et incursionibus vastabunt Romani. an te fugit quot olim millium iacturam primum fecerit Hungaria, cum pater tuus Romanum imperium offendisset? sed enim horum delictorum poenitentia salutaris ipsi fuit. tu vero vide, ne et poenitere perinde tibi inutile sit et infructuosum. iustitiae quippe gladius quamvis iamdudum exacutus, hoc uno maxime modo quandoque ad hebetudinem solet redire. secus haud scio an quisquam omnium eius aciem effugerit." talis erant argumenti principis literae: quibus neglectis Stephanus prioribus rursum insistebat consiliis.

τρόποις ἐπὶ τὸν κατ' αὐτοῦ πόλεμον ὁ βασιλεὺς ἔβλεψεν, Στέφανόν τε τὸν πατράδελφον, οὐ πρότερον τοῦτο βεβουλημένος, ἐπὶ τὴν ἀρχὴν αὖθις καθιστᾶν ἤθελε. καὶ δὴ Μανουὴλ μέν, ὃς ἐς Κομνηνοὺς τὸ γένος ἀνέφερεν, εἰς τὸ τῶν Ταυροσκυθῶν ἀφίκετο ἔθνος, ὁμολογιῶν τὸν ἄρχοντα σφῶν ἀναμνήσων, ἃς διωμότους ἤδη τῷ βασιλεῖ ἔθετο, πρὸς δὲ καὶ τὴν πρὸς Ἱερόσθλαβον τὸν Γαλίτζης ἡγεμονεύοντα φιλίαν αὐτῷ διονειδίσων. Ἱερόσθλαβος γὰρ τά τε ἄλλα ἐς Ῥωμαίους παρασπονδήσας ἔτυχε, καὶ δὴ καὶ Ἀνδρόνικον, οὗ πολὺν ἤδη ἐποιησάμεθα λόγον, τῆς ἐν παλατίῳ φρουρᾶς ἀποδράντα, ἔνθα ἐνναέτης οἶμαι κα-
D θεῖρκτο, προσιόντα αὐτῷ ἐδέξατο καὶ φιλοφροσύνης ἠξίωσεν. ὅπως δὲ Ἀνδρονίκῳ τὰ τοῦ δρασμοῦ γέγονεν, ἄρτι δηλώσω.

11. Οὗτος καὶ ἄλλοτε μὲν ἤδη λαθὼν δαιμονίῳ τινὶ τρόπῳ τὴν εἱρκτὴν ὑπερεξέδυ, ἀλλὰ τὸ χρῆναι οἶμαι καὶ εἰσέτι τὰς τῶν πεπραγμένων ὑπέχειν εὐθύνας εἰς χεῖρας αὖθις τοῖς ζητοῦσι πόνῳ οὐδενὶ τὸν κακοδαίμονα ἐτίθει. καί ποτέ φασι Σαγγαρέως ἄχρι ποταμοῦ γεγονώς, τῆς ἐκ τοῦ ψύχους ἀνάγκης ἐπειγούσης, δωμάτιόν τι ὑπῆλθε λυπρὸν καὶ ἅμα ἔκδηλος τοῖς τῇδε ἀνθρώποις ἐκ τοῦ σχήματος ἐγένετο. σεσόβητο γὰρ ἀεὶ φύσει
P 185 καὶ γοργόν τι καὶ ἐντρεχὲς ἔβλεπεν, ὡς ἂν οἶμαι τῶν ψυχικῶν αὐτῷ κινημάτων ἐκδυομένων ἤδη κἀντοῖς ἐκτός. περιστάντες τοίνυν αὐτὸν οἱ ἀγροιῶται πολλὰ ἀναινόμενον ὡς οὐκ Ἀνδρόνικός

6. διωμότους] Cod. διομοτούς. ibid. τὴν πρὸς] Ita Heyse: in Cod. deest πρός. 9. ἐποιησάμεθα] Cod. ποιησόμεθα. correxit Duc. 21. κἀντοῖς] Fort. κἂν τοῖς.

quapropter ad bellum illi inferendum totus incubuit imperator et, quod prius noluerat, Stephanum patruum iterum in regnum restituere decrevit. sed et Manuël quidem, qui a Comnenis genus referebat, ad Tauroscytharum gentem perrexit, ut pactorum quae sacramentis cum imperatore sanciverat memoriam illi princeps revocaret: insuper etiam erga Hieroslaum Galitzae principem amicitiam ipsi exprobraturus. Hieroslaus enim, cum et alia multa in Romanos praeter foederis leges fecisset, tum et Andronicum, de quo iam plurima commemoravimus, e carcere palatii, in quo iam novem ut credo detentus annos fuerat, profugum et ad se venientem comiter exceperat. qua vero ratione effugerit Andronicus, nunc expediam.

11. Ille non semel miro quodam modo e carcere iam evaserat. sed quod oportebat eum, ut opinor, deinceps sustinere facinorum poenas, in persequentium manus miser nullo negotio rursum venit. cum aliquando, ut aiunt, ad Sangarium usque fluvium pervenisset, vi frigoris adactus agreste quoddam subiit tugurium et continuo ab incolis ex corporis forma fuit agnitus. natura enim concitatior erat, visuque acri ac volubili, animi quippe affectionibus extrinsecus etiam apparentibus. qui ergo circumstabant rustici multum renitentem seque Andronicum esse pernegantem vinctum denuo By-

τε εἴη ἰσχυριζόμενον ἔδησάν τε καὶ ἐς Βυζάντιον ἄγοντες ἦλθον, αὖθίς τε τὰ κλοιὰ καὶ τὸ δωμάτιον αὐτὸν εἶχεν. ἀλλὰ τελευταῖον κηρῷ τὰς κλεῖδας μεταλαβὼν ἔς τε τὴν γυναῖκα καὶ τὸν υἱὸν ἔπεμψεν. οἱ δὲ συνειδόσι πρὸς τοῦτο καὶ ἄλλοις χρησάμενοι σιδήρου ταύτας εἰργασμένοι ἔπεμψαν αὖθις αὐτῷ. ὁ δὲ ἐπειδὴ ταύτας ἔλαβεν, ἄρτι δεδυκότος φασὶν ἡλίου, καθ' ὃν ξυνέκειτο ταῦτα καιρόν, ἐρημίαν τῶν φυλάκων τηρήσας ἐξῄει. ἔστι δέ τις αὔλιος ἐχόμενος τοῦ τειχίου, ἐν ᾧ δὴ καθεῖρκτο. ἔνθα ἅτε ὀλίγα πατουμένου τοῦ χώρου βοτάναι τινὲς αὐτόματοι φυόμεναι B ἐπὶ πλεῖστον ἀνέτρεχον μῆκος. ἐνταῦθα ἐκδραμὼν ἅτε λαγὼς ἐκρύψατο τὸ σῶμα συστείλας ἐπὶ βραχύ. ἐπεὶ δὲ νὺξ ἤδη ἦν καὶ ἔδει τοὺς ἐξ ἔθους αὐτῷ νυκτοφυλακήσοντας περιστήσεσθαι τὴν φρουράν, προσιὼν ὁ τὴν τήρησιν πρὸς βασιλέως ἐπιτετραμμένος V 106 τὴν αὐτοῦ τάς τε φυλακὰς ἔταττε καὶ τὰ κλεῖθρα ἀνασείων, ὅπερ ἑκάστης αὐτῷ ἐπὶ ὕπνῳ χωροῦντι εἴθιστο ἡμέρας, ἐπειρᾶτο εἰ μή τι κακουργηθείη γνῶναι. ὡς δὲ παντάπασιν ἀνεπιβούλευτα ταῦτα ἔγνω, ἀπιὼν τὸ λοιπὸν ἐς ὕπνον κατέδαρθεν. Ἀνδρόνικος γὰρ δείσας μὴ ἀνακεκλιμένῃ τῇ πύλῃ περιτυχὼν ὁ Κλάδων (τοῦτο γὰρ ἐπίκλησις ἔκειτο τῷ ἀνδρὶ) ταχὺ ἐς τὴν ζήτησιν τὴν αὐτοῦ κατασταίη, αὖθις αὐτὴν ἐπιθεὶς ἀσφαλισάμενός C τε ἀνεχώρησεν, ἐπειδή τε ἀωρὶ τῶν νυκτῶν ἤδη ἐγένετο ἐπὶ τὰ ἔσχατα τῆς αὐλίου ἐλθών, οὗ δὴ τελευτῶσαν αὐτὴν τειχίον ὑπερείδει, μετέωρον μὲν οὐ πάνυ τι ὂν τοσούτῳ δὲ τῆς

8. ἐχόμενος] Nonne ἐχομένη? 12. νυκτοφυλακήσοντας] Cod. νυκτοφυλακήσ^{o}αντας.

zantium reduxere, ubi iterum compedibus et carcere multatus est. ad ultimum vero expressas in cera claves ad coniugem filiumque mittit, qui et aliis ad hoc ipsum assumptis consciis, ex ferro confectas ad eum remittunt. iis acceptis statim post solis, ut aiunt, occasum, quod tempus ad id peragendum praefinitum fuerat, observata custodum absentia, e carcere evasit. est vero quoddam domicilium muro adiunctum, in quo custodiebatur: ubi, utpote rarius conculcata terra, herbae aliquae sponte altius succreverant, in quas cum elapsus se recepisset, contracto quam maxime corpore leporis instar delituit. cum ergo nox iam adesset, tempusque quo qui vigilias ex more obeunt, custodias lustrare solent, procedens is, cui demandata ab imperatore illius custodiendi cura fuerat, vigilibus positis, serisque concussis, quod singulis diebus priusquam dormitum concederet facere solebat, exploravit an etiam aliquid ille mali esset machinatus. sed ut ea omnino procul ab omni dolo esse advertit, inde egressus somno se daturus abiit. Andronicus enim veritus ne si portam offendisset apertam Cladon (id enim homini nomen erat) continuo insequeretur et se perquireret, illa iterum clausa et obserata abscesserat. mox intempesta iam nocte ad extrema domicilii istius

προσῆκον καὶ πάλιν ἐπελάβετο χώρας) αὐτίκα ἐφ' ἡμῖν διαλλακταῖς τήν τε χώραν ἀποδοίη καὶ τρόπῳ παντὶ τὴν ἁμαρτάδα ἐξιλάσεται." ταῦτ' εἰπὼν ἀπεπέμψατο τὸν ἄνθρωπον. ὁ δὲ ἐπὶ τὸ Ῥωμαίων ἀναστρέψας στρατόπεδον βασιλεῖ τοὺς λόγους ἐκόμισεν. ὁ δὲ ἤκουσε μὲν τῶν λόγων οὐκ ἀηδῶς, οὐ μέντοι
B παντάπασι πιστεύειν εἶχεν. ἔννοια γάρ τις αὐτῷ γέγονε, μὴ
V 102 Βλαδισθλάβῳ οὐκ ἄπο γνώμης εἴρηται ταῦτα, ἀλλ' ὑποκάθηταί τις καὶ δόλος αὐτοῖς. ἀμέλει καὶ τῶν περὶ αὐτόν τινας αὖθις ἐς αὐτὸν πέμψας ὅρκοις τὰ δεδογμένα πιστοῦσθαι ἐκέλευε, καὶ ὃς αὐτίκα μηδὲν μελλήσας ἐπιτελῆ ταῦτα ἔθετο. οὐ μὴν ἀλλὰ καὶ ὅσα πάλαι, καθάπερ ἔφην, ὑπέσχετο δευτέροις ἐπικατελάμβανεν ὅρκοις. ὀλίγῳ δὲ κατόπιν καὶ Στέφανος πρέσβεις ἐς βασιλέα πέμψας τήν τε χώραν ἀπεδίδου καὶ παράκλησιν προσῆγε, μηκέτι Στεφάνῳ κατὰ τῆς Οὐννικῆς ἐφιέναι στρατεύειν τῷ θείῳ. ἅπερ ὁ βασιλεὺς προσδεξάμενος, τὸν πόλεμον λύσας ὡς ἐπὶ τὴν Ῥωμαίων μετέβαινε, Στεφάνῳ τε παρῄνει ἀπαλλάσσεσθαι ἤδη
C τῆς Οὐννικῆς καὶ αὐτὸν ἅτε πείρᾳ μαθόντα τὸ περὶ αὐτὸν δύσνουν τῶν ὁμοφύλων. πείθειν δ' οὐκ ἔχων τὸν ἄνθρωπον "ἐγὼ μὲν" ἔφη "ἄπειμι ἤδη· ἀνασωσαμένῳ γάρ μοι τὴν χώραν τῷ Βελᾷ μάχης ὅτι μὴ ἀδίκου λόγος ὑπολέλειπται οὐδείς· σὺ δὲ οὐκ εἰς μακρὰν ἴσθι προδοθησόμενος τοῖς ἐχθροῖς. εἰ βούλει δέ, καὶ εἰς ὄψιν ἄρτι τὸ πρᾶγμά σοι παραστήσω. ἔστι σοι ἀδελφιδοῦς Στέφανος τοσούτῳ τὰ εἰς μορφὴν ἐμφερής, ὅσῳ τοῖς

3. ἐξιλάσεται] Cod. ἐξιλάσσεται.

passe) continuo nobis arbitris et regiones restituet et omni modo delictum expiabit." his dictis hominem dimisit. ille vero in Romanorum castra reversus imperatori quae ab eo audiverat retulit: quae quidem accepit haud illubenter, etsi fidem iis omnino non praestaret. neque enim haec a Vladislao ex animi sententia dicta esse opinabatur, verebaturque ne quis subesset dolus. quapropter quosdam ex suis ad illum denuo misit, ut pacta iureiurando firmarent; quod ille nihil moratus confecit. neque ea solum, verum quae olim etiam uti diximus pepigerat, secundo iuramento sancivit. paulo post et Stephanus missis ad imperatorem legatis, regionem restituit simulque deprecatus est, ne unquam Stephanum patruum bello Hungariam infestare permitteret. his acceptis conditionibus princeps bello dirempto in Romanos prope rediit fines. Stephanum autem hortatus est imperator, ut et ipse ab Hungaria excederet, ut qui revera odium erga se indignationemque contribulium esset expertus. sed cum id homini persuadere haud potuisset "ego quidem" inquit "nunc recedo; Bela quippe in integrum restituto, nulla mihi amplius belli nisi iniusti ratio relinquitur. tu vero pro certo scias te brevi inimicis tuis prodendum esse; et si videtur, quomodo id futurum sit ostendam. est tibi ex fratre nepos Stephanus, adeo vultu et

ἀπεριέργως ἐς ὑμᾶς ὁρῶσι πράγματα εἶναι θατέρου διαιρεῖσθαι τὸν ἕτερον. τοῦτον δὴ ὅπλοις τοῖς σαυτοῦ κοσμήσας κέλευσον τὸ ὁπόσε ἀναλαβόμενον στράτευμα ἐπὶ τοὺς πολεμίους χωρεῖν. σὺ δὲ ἐνταῦθά που κατακρυψάμενος ἑαυτὸν τήρει, καὶ γνώσῃ αὐτίκα ὅπως ποτέ σοι προσφέρονται Οὖννοι." ὁ μὲν οὖν σκαφίδιον ἐμβὰς περί που τὰς τοῦ Ἴστρου λανθάνων ἐσάλευεν ὄχθας, D ὁ δὲ ἀδελφιδοῦς αὐτοῦ Στέφανος ἅμα τοῖς περὶ αὐτὸν Οὔννοις Στεφάνῳ τῷ ῥηγὶ συμπλακήσεσθαι ἠπείγετο. ἀλλ' οὔπω ἐς ταὐτὸν ἀλλήλοις ἐγένοντο τὰ στρατεύματα, καὶ οἱ σὺν τῷ Στεφάνῳ Οὖννοι χεῖρας ἐπιβαλόντες αὐτῷ ὡς αὐτὸν τὸν πρεσβύτερον Στέφανον τῷ ῥηγὶ παρετίθεσαν φέροντες. τοῖς μὲν Οὔννοις ἡ πλάνη ἐν τῷδε ἐτελεύτα, βασιλεὺς δὲ πυθόμενος ταῦτα παραίνεσιν Στεφάνῳ προσῆγεν "ἀπόχρη" λέγων "ὦ ἄνθρωπε. ὡς γὰρ τῷ μὴ ἐνδέοντι ἀναπίπτειν ἐπισφαλές, οὕτω δὴ τὸ παρακαίρια P 131 τολμᾶν ἀμαθές. ἰδοὺ δὶς ἔχεις μαθὼν ὁπόσα σοι τὸ καθ' ἕκαστον προὐξένησεν ἤδη κακά. μὴ καὶ τρίτην ἀναμείνῃς, ὦ βέλτιστε, πεῖραν. τάχα γὰρ οὐδὲ διορθοῦσθαί σοι βουλομένῳ ἐνέσται." βασιλεὺς μὲν τοσαῦτα ἔλεγεν, ὁ δὲ "νῦν μᾶλλον" εἶπεν "αἰδέσονταί με Οὖννοι, ὁπότε κακουργοῦντες ἤδη πεφώρανται." οὕτω ψυχὴ καθάπαξ ἐπιθυμίαις ἁλοῦσα πάντα λόγον εἰς αὐτὰς μεταφέρει καὶ βιάζεται. ἐφ' οἷς ἀπειρηκὼς βασιλεὺς Νικηφόρον μὲν

14. *τῷ μὴ ἐνδέοντι*] Fort. *τὸ μὴ ἐν δέοντι* hoc sensu: *ut enim, ubi res postulat, non cedere periculosum est.* 15. *καθ' ἕκαστον*] Fort. *αὐθέκαστον.* quod sequitur *προὐξένησεν*, in Cod. bis scriptum est.

lineamentis tibi similis, ut nisi attente admodum vos intuentibus haud facile sit alterum ab altero discernere. hunc tuis indutum armis iube tuo cum exercitu in hostem ire: tu vero interea te in occulto tene, et nosces continuo qualis sit erga te Hungarorum affectus." ille igitur scapham ingressus, clam circa Istri ripas obnavigat: interea dum illius ex fratre nepos Stephanus cum Hungaricis quas habebat copiis cum rege Stephano praelium initurus deproperat. sed nondum coiverat uterque exercitus, cum qui Stephanum comitabantur Hungari, manus in illum iniiciunt, et tamquam esset Stephanus ille senior, coram rege eum sistunt. in iis quidem Hungarorum error desiit. postquam ea princeps intellexit, iterum admonuit Stephanum "nunc tandem" inquiens "sufficit, mi homo. ut enim rebus se intricare non necessariis periculosum, ita intempestiva aggredi stultum est. ecce iam bis didicisti, quanta tibi unumquodque ex iis paraverit mala: ne et tertio, bone vir, facere periculum velis: fortassis enim emendandae culpae facultas non daretur." haec quidem imperator; ille vero "at nunc multo magis" inquit "me reverebuntur Hungari, quia perperam egisse deprehensi sunt." ita victus semel cupiditatibus animus omnes eo transfert rapitque cogitationes. imperator igitur hominem persuadendi spem omnem abiiciens Nicephorum Chalu-

τὸν Χαλούφην αὐτοῦ ἔλιπεν ἅμα στρατεύματι, συμπαρεσόμενόν τε τῷ Στεφάνῳ καὶ τὰ παραπίπτοντα συνδιοικησόμενον. ὁ δὲ ἐπὶ τὴν Ῥωμαίων ἦλθεν. οὐ πολὺ τὸ μεταξύ, καὶ πυθόμενος B ὁ τῶν Οὔννων ῥὴξ ἐπὶ Οὐννικῆς Στέφανον εἰσέτι διατριβὴν ποιεῖσθαι, δυνάμεις ἔτι μᾶλλον ἀγείρας πολέμῳ τὸ πᾶν διακρῖναι ἠπείγετο, ἐν δὲ τούτῳ πολλοὶ τῶν σὺν Στεφάνῳ ἐπὶ τὸν ῥῆγα μετατιθέμενοι ἑκάστοτε ψιλοῦσθαι τοῦτον ἐποίουν. ὃ γνοὺς ὁ Χαλούφης βουλὴν προσῆγεν αὐτῷ τῆς Οὐννικῆς ἀποσχομένῳ ἐπὶ Σίρμιον ἀφικέσθαι. τῆς γὰρ ἐνταῦθα χώρας ὑπὸ βασιλεῖ κειμένης ἐξεῖναι αὐτῷ ἔλεγε κατ᾽ ἐξουσίαν οἷς ἂν βούλοιτο ἐγχειρεῖν. ὡς δ᾽ ἰσχυρῶς ἐκεῖνος ἀνένευεν, ὁ δὲ τοιάδε ἐνενόει. σκηψάμενος γράμματα ἐκ βασιλέως ἥκειν αὐτῷ ἐπὶ τὸν Ἴστρον ἐχώρει, τοῖς ταῦτα κομίζουσιν ἐντευξόμενος ἐνταῦθά που παρὰ τὸν Ἴστρον δέει τῷ ἐκ τῶν Οὔννων διατριβὴν ποιουμένοις. ἐπειδή τε ἐν- V 103 ταῦθα ἐγένετο, περαιωσάμενος ἐπὶ Σίρμιον ἦλθεν. ὀλίγῳ δὲ C ὕστερον καὶ Στέφανος ἐγγὺς ἁλῶναι τοῖς πολεμίοις ἐλθὼν φυγὰς ἐς αὐτὸν παραγίνεται. τούτων ἀκούσας βασιλεὺς στράτευμα λόγου ἄξιον ἐπὶ Σίρμιον ἔπεμψε, τὸ μέν τι τὴν χώραν αὐτῷ τηρῆσον (ὑποψίᾳ γὰρ ἐς τοὺς Οὔννους ἐχρῆτο πολλῇ μή τι καὶ πάλιν νεωτερίσαιεν), τὸ δὲ καὶ τῷ εὐπροσώπῳ τῆς τῶν οἰκείων ἀσφαλείας καὶ Στεφάνῳ τὴν σωτηρίαν πραγματευσόμενον. ἦρχε δὲ ταυτησὶ τῆς στρατιᾶς Μιχαὴλ ἐπίκλησιν Γαβρᾶς, ὃς καὶ αὐτὸς βασιλέως γήμας ἀδελφιδῆν σεβαστὸς σὺν τῷ Χαλούφῃ τετί-

18. μέν τι] Cod. μέν τοι.

phem ibi cum exercitu relinquit, ut Stephano adesset, et prout res postularent negotia una cum eo expediret. ipse interim in fines Romanorum venit. non multo post, ubi accepit Hungarorum rex Stephanum adhuc in Hungaria morari, maioribus contractis copiis, rem totam bello decernere statuit. Interea multis ubique de Stephani exercitu ad regem deficientibus, minuebantur illius vires; quo cognito, Chaluphes consilium ei dedit, ut relicta Hungaria in Sirmiensem agrum concederet: in ista enim regione imperatori subdita, posse illum aiebat pro arbitrio quae vellet moliri. sed illo pertinacius renuente, tale quid comminiscitur. literas imperatoris fingens sibi esse allatas, versus Istrum profectus est, ut eos qui illas attulerant ibique prae Hungarorum metu substiterant, conveniret. postquam eo pervenit, in Sirmiensem regionem traiecit. nec multo post Stephanus cum prope fuisset captus ab hostibus, fugiens ad illum accessit. ubi haec rescivit princeps, idoneum exercitum Sirmium mittit, tum ut conservaret sibi regionem istam (verebatur enim maxime ne Hungari iterum res innovarent) tum ut subditorum securitati et Stephani saluti consuleret. praeerat istis copiis Michaël cognomento Gabras, qui et ipse ex fratre Manuëlis neptim uxorem duxerat, et sebasti honore cum Chaluphe fuerat donatus. princeps vero Procopii

μηται. βασιλεὺς δὲ ἣν ἐκ τοῦ Σιρμίου Προκοπίου τοῦ μάρτυ-
ρος ἀνελόμενος ἔτυχε χεῖρα ἐπὶ τὸν ἐν Ναΐσῷ νεὼν ἄγων τῷ λοι-
πῷ ταύτην ἀπέδωκε σώματι, παλαιοῦ τοῦ χρόνου ἀπ᾿ αἰτίας
ἀπορραγεῖσαν τοιᾶσδε. τὸ τῶν Οὔννων ἔθνος πολλὰ μὲν πολλά- D
κις τὴν Ῥωμαίων κατέδραμε γῆν, ὀλίγῳ δὲ ἔμπροσθεν τῆς Ἀλε-
ξίου τοῦ Κομνηνοῦ βασιλείας Σίρμιόν τε εἷλε καὶ πολλὰς τῶν
Παριστρίων ἀνδραποδισάμενος πόλεων ἄχρι καὶ ἐπὶ Ναΐσὸν ἦλ-
θεν. ἔνθα τῇ τοῦ μάρτυρος τοῦδε ἱερᾷ περιτετυχηκότες σορῷ
ὅλον μὲν ἀφαιρεῖσθαι τὸ σῶμα κεκρίκασιν οἶμαι ἀπάνθρωπον,
τήν γε μὴν χεῖρα διελόμενοι ἀπεχώρησαν· ἐν Σιρμίῳ δὲ γεγο-
νότες ἐπὶ τὸν τῇδε τοῦ μάρτυρος Δημητρίου κατέθεντο νεών,
ὃν ἐν τοῖς ἄνω χρόνοις ὁ τὴν τοῦ Ἰλλυρικοῦ διέπων ἐδομήσατο
ἀρχήν. ἔνθα ταύτην εὑρὼν βασιλεὺς ἀνέλαβέ τε ἐκεῖθεν καὶ τῷ P 132
λοιπῷ, καθάπερ εἴρηται, φέρων ἀπέδωκε σώματι.

9. Καὶ τὰ μὲν εἰς ἐκεῖνο τὸ ἔτος κατὰ Οὔννων τῷ βα-
σιλεῖ πεπραγμένα τοιάδε τινὰ ἦσαν. ὁ δὲ Ἀλέξιον τὸν τοῦ δο-
μεστίκου υἱέα, ὃς τὴν πρωτονοταρίου, ὥσπερ μοι πολλάκις ἐρ-
ρέθη, διεῖπεν ἀρχήν, σὺν ἀξίᾳ λόγου παρασκευῇ ἐπὶ τὴν Κιλί-
κων ἐξαπέστειλε γῆν, στρατηγὸν αὐτοκράτορα τοῦ πολέμου τοῦδε
καταστησάμενος. Νουραδίν τε γὰρ ὁ Βερροιαῖος σατράπης νί-
καις ταῖς προλαβούσαις ἐπαρθεὶς ἐλπίσιν ᾠχεῖτο πόλεως οὐκ εἰς
μακρὰν περιγεγονέναι Ἀντιοχείας, καὶ Τερόζης ὃς Ἀρμενίων ἐδυ-
νάστευε τότε πολλὰς τῶν βασιλεῖ κατηκόων πόλεις Ἰσαυρικὰς
δόλῳ ἥρπασε, τῷ Φερβηνῷ δυσμεναίνων Ἀνδρονίκῳ τῷ βασι- B

23. τῶν βασιλεῖ] Ita Heyse. Cod. τῷ βασιλεῖ.

martyris manum, quam ex Sirmio forte abstulerat, in Naisi templum adlatam, reliquo reddidit corpori, cum ea, quam dicturus sum, de causa ab eo olim fuisset avulsa. Hungarorum gens saepe Romanorum fines incursavit, et paulo ante quam imperaret Alexius Comnenus, Sirmium cepit multisque Transistrianis urbibus expugnatis Naisum usque pervenit. ibi in sanctum illius martyris incidentes feretrum, totum quidem inde corpus auferre inhumanum, ut arbitror, existimantes, sola manu ablata recessere: et Sirmium reversi, eam deposuere in templo Demetrii martyris, quod pridem exstruxerat is qui Illyricum praefectus regebat, eam igitur illic inventam sustulit inde imperator et reliquo, ut diximus, reddidit corpori.

9. Atque haec fere sunt, quae eo anno contra Hungaros gessit princeps. Alexium deinde domestici filium, qui protonotarii, ut saepius a me narratum est, munere fungebatur, magno instructum apparatu in Ciliciam misit et summum eius belli ducem constituit. quippe Nuradinus Berrhoeae Sultanus prioribus elatus victoriis potiundae quam primum civitatis Antiochenae spem conceperat, et Torosus, qui tum Armeniis imperabat, plurimas Isauriae urbes principi obnoxias dolo ceperat, Andronico Eupherbeno prin-

λέως ἐξαδέλφῳ καὶ Κιλίκων στρατηγοῦντι τῷ τότε. ἄλλα τε γὰρ πλεῖστα ἐπεκάλει τούτῳ καὶ δὴ καὶ τῆς τοῦ ἀδελφοῦ Στεφάνου ᾐτιᾶτο σφαγῆς. ταῦτα μὲν οὖν τῇδε ἐπράσσετο. Φρεδερίκῳ δὲ τῷ ῥηγὶ Ἀλαμανῶν ἐπὶ μέγα ἑκάστοτε τὰ τῆς δυνάμεως ἐχώρει καὶ ηὔξανεν. ἄλλων τε γὰρ ὡς πλείστων ἐπ' ἀσφαλείᾳ τοῦ κράτους ἐφρόντισε καὶ δὴ καὶ χρημάτων μεταπεποίηται μάλιστα, οὐκ εἰθισμένον τοῦτό γε αὐτῷ πρότερον. τοίνυν Μεδιόλανόν τε εἷλε πόλιν περιφανῆ, καὶ τὸ Λιγούρων εἴτ' οὖν Λαμπάρδων ἐτροπώσατο ἔθνος, ὁδῷ τε προϊὼν καὶ ἐπὶ τὰ ἐνδότερα τῶν ἑσπερίων ἐχώρει. καὶ ὁ μηδὲ τῶν ἔγγιστα πολέμῳ δεδυνημένος περι-
C γενέσθαι τὸ πρότερον, τότε καὶ τῶν ἀπωτάτω ἐκράτει. ἤδη δὲ καὶ Ῥώμῃ αὐτῇ πρὸς μάχην κατέστη. ὅθεν καὶ δι' ἐπιμελείας βασιλεῖ Μανουὴλ ἐγένετο, ὅπως ἂν τῆς ὁρμῆς αὐτὸν σχήσῃ, ὡς μὴ τὸ παραλόγως εὐημερεῖν καὶ ἐπὶ τὴν Ῥωμαίων αὐτὸν τρέψειε, πολὺς ἐξ οὗ χρόνος λίχνον ἐπιρρίψαντα ταύτῃ ὀφθαλμόν. ὅθεν καὶ ἐπὶ μὲν ἔθνη τὰ τῇδε καὶ ὅσα κόλπου ἐντὸς ἵδρυται τοῦ Ἰονίου τῶν ἀσημοτέρων τινὰς ἀφανῶς ἐκπέμπων τῆς Φρεδερίκου τε αὐτὰ ὑπομιμνήσκειν ἐκέλευεν ἀπληστίας καὶ πρὸς ἀντίστασιν ἤγειρεν. εἰς δὲ τὸ Οὐεννέτων ἔθνος Νικηφόρον σὺν χρήμασι τὸν Χαλούφην ἔπεμπε, πειρασόμενόν τε τῆς εἰς αὐτὸν τοῦ ἔθνους εὐνοίας καὶ ἐπὶ τῷ Ῥωμαίοις συμφέροντι τὰ τῇδε
D διοικησόμενον. Φρεδερίκος δὲ Ῥώμης ἤδη περιγεγονὼς ἄλλα τε πολλὰ ἐνεωτέρισε καὶ δὴ καὶ Ἀλέξανδρον τὸν τῇδε ἀρχιερέα τοῦ

1. Κιλίκων] Ita Duc. Cod. λίκων.

cipis cognato, Ciliciae tum praefecto, infensus. nam plurimis aliis eum criminibus insectabatur, ac caesi maxime fratris in eum culpam referebat. haec tum ibi gesta sunt. Frederico autem Alemannorum regi in dies augebatur in immensum potestas. cumque aliis multis imperium sibi corroborare sollicitus esset, ad id quoque pecunias quam plurimas avara votorum cupiditate congessit, quod alias facere non consueverat. igitur Mediolanum cepit, civitatem celebrem, et Ligurum sive Lombardorum gentem devicit: longiusque progressus in ipsa Occidentis viscera transiit. ita qui primum vicinos sibi hostes bello superare non potuerat, remotissimos etiam debellavit, ita ut Romae ipsi iam bellum intentaret. unde id praesertim principi curae fuit, quo pacto illius impetum reprimeret, ne tot immensi successus in Romanorum fines, quo iamdudum avidos oculos intenderat, illius arma converterent. eapropter ad gentes ibi sitas, et quae Ionium intra sinum adiacent, ignobilioribus quibusdam clam submissis, Frederici insatiabilem animum ob oculos ponens ad resistendum incitavit. ad Venetos autem Nicephorum Chaluphem cum pecuniis misit, qui istius nationis exploraret affectum et cetera quae Romanis conducerent ibi ageret. Fredericus interea Roma iam potitus tum alia multa innovavit, tum et Alexandrum, qui ea tempestate summus

θρόνου κατασπάσας Ὀκταβιανὸν ἀντεισῆξεν, ἐντεῦθεν οἶμαι τοῦ V 104
Ῥωμαίων αὐτοκράτορος προσαρμόσειν αὐτῷ τὸ ἀξίωμα οἰηθείς·
οὐδενὶ γὰρ ἄλλῳ ὅτι μὴ βασιλεῖ Ῥωμαίων ἀρχιερέα προβεβλῆ-
σθαι τῇ Ῥώμῃ ἐφεῖται. τοίνυν καὶ ἐξότου ὀλιγωρίᾳ τῶν ἐν Βυ-
ζαντίῳ βασιλέων τὸ τοιοῦτον ἀπεσβήκει ἔθος, οὐδεὶς οὐδένα ἐν
Ῥώμῃ ἀρχιερέα καθίστη, ἀλλ' ἐπισκοπικῶν συνόδων καὶ τοῦ
κατὰ τὴν Ῥώμην ἀρχιερατικοῦ ταῦτα ἐτελεῖτο. ἀλλὰ Φρεδερί- P 133
κος τῇ αὐτοκράτορος πάλαι ἐποφθαλμίζων ἀρχῇ, καὶ τοῦτο δὴ
μέγιστον αὐτῆς γνώρισμα ὑφαρπασάμενος ἔδοξεν ἔχειν. ὁ δὲ καὶ
τῶν ἐπισκόπων ὑποποιησάμενος πολλοὺς ὑπὸ συνόδῳ δῆθεν ἐκύ-
ρωσε τὰ τοῦ νεωτερισμοῦ. τοῦτο ῥῆξι τοῖς ἄλλοις ἔδοξε μὲν οὐκ
ἐπαινετόν, ἐδυνήθη δὲ οὐδεὶς Φρεδερίκῳ ἀντιπρᾶξαι δυνάμεως
ἐπὶ πλεῖστον ἥκοντι, ὅτι μὴ βασιλεὺς χρήμασί τε καὶ μηχαναῖς
ἑτέραις ἐμποδὼν αὐτῷ κἀν τούτῳ ἐγένετο, Ἀλέξανδρον ἐπὶ τοῦ
θρόνου εἰσαῦθις καταστησάμενος. ἀλλὰ ταῦτα μὲν ὕστερον. ὁ
δὲ Χαλούφης, ἐπειδὴ πρὸς Ἐπιδάμνῳ ἐγένετο, ἐνταῦθα προστε-
ταγμένον αὐτῷ τὰ πλείω τῶν χρημάτων λιπὼν αὐτὸς ἐπὶ Οὐεν-
νέτους ναυσὶν ἦλθε πνεύματος ἐπιφόρου τυχών, τῷ τῆς χώρας B
τε δουκὶ καὶ τοῖς ἄλλοις τῶν ἐν τῷ ἔθνει τούτῳ λογίμων εἰς λό-
γους ἐλθὼν ἔλεξε τάδε. "Μηδεὶς ὑμῶν, ὦ ἄνδρες, ὑπολαβέτω
δέει τοῦ μὴ τὸ ἐς τὴν Ῥωμαίων εὔνουν βασιλείαν προήσεσθαί
ποτε τὴν ὑμετέραν ἀγχίνοιαν πρὸς βασιλέως ἐνταῦθά με ἀφῖχθαι,
στηρίξοντα τὸ ὑμῶν ἴσως ὀκλάζον τῆς γνώμης. μὴ γὰρ οὕτως

23. στηρίξοντα] Cod. στηρίζοντα.

pontifex erat, throno deiecit et Octavianum substituit: inde, ut opinor, arrogare sibi Romanorum imperatoris volens potestatem. nulli enim alii praeterquam Romanorum imperatori summum Romae pontificem licet praeficere. ex quo enim propter Byzantinorum imperatorum neglectum is mos abolitus est, nemo quemquam Romae constituit pontificem, sed is per episcoporum et Romani cleri antistitum concilium creabatur. Fredericus autem imperatoriae iam olim inhians dignitati, hoc sibi si arrogasset, praecipuum illius argumentum habere sibi videbatur. verum ille conciliatis compluribus episcopis, quodcumque novi peregerat per synodum confirmari curavit. id regibus ceteris haud placuit. nemo tamen ad resistendum Frederico, qui ad id potestatis et virium pervenerat, idoneus fuit nisi imperator, qui pecuniis artibusque aliis et in hoc quoque illi obstitit, et Alexandrum rursus in thronum imposuit. sed de iis postea. Chaluphes vero cum Epidamnum accessisset, relicta ibi sicuti imperatum erat maiori pecuniarum parte, ventum secundum nactus ad Venetos navigio pervenit: et in colloquium veniens cum regionis duce aliisque in ista gente viris illustribus, huiusmodi orationem habuit: "nemo vestrum existimet, viri, me, quia metuimus ne vestra fluctuet erga Romanum imperium benevolentia, ideo huc missum esse ab imperatore, ut labantes vestros animos erigam ac confirmem. neque enim futurum arbitror,

αὐτοί τε ἀγεννῶς καὶ ἀναξίως τοῦ ὑμῶν αὐτῶν σχοίητε γένους, καὶ βασιλεὺς τῆς περὶ ὑμᾶς πάλαι διαμάρτοι δόξης. ἀλλ' ἐπειδὴ τῶν ἄλλων, ὅσοι ὑπὸ τὴν παλάμην τελοῦσι τὴν αὐτοῦ, ὑμῖν μάλιστα εἰς εὐγνωμοσύνην τεθαρρηκὼς εἴη, πρώτην διὰ τοῦτο καὶ τὴν αὐτοῦ κηδεμονίαν ὑμῖν ἐπιδείξασθαι ἔγνω. αἰσχρὸν μὲν C γὰρ χρῆσθαι τοῖς ὑπηκόοις εὐημεροῦσι, δυσπραγούντων δὲ ἀπροσποιεῖσθαι τὴν σωτηρίαν. ἵνα τοίνυν μὴ καὶ ὑμῖν σὺν ἄλλοις, ὅσοις οὐ τῆς βασιλέως μέτεστιν εὐμενείας, βεβιάσθαι παρὰ Φρεδερίκου συμβαίη, ἀνδρὸς ὑπὸ φιλαρχίᾳ καὶ τὰ χρόνῳ καὶ ἔθει κεκρατηκότα μακρῷ διαλύειν πόνῳ οὐδενὶ φιλονεικοῦντος, ἐμὲ παρ' ὑμᾶς ὡς ὁρᾶτε ἔπεμψε πάντα παρεξόμενον ὅσων ἂν τυχεῖν παρ' αὐτοῦ δέησθε. καὶ τὴν ἐν Μεδιολάνοις γάρ ποτε βασιλέως συμπράξαντος πρὸς Φρεδερίκον τόνδε διαράμενοι μάχην ἴστε ὅπως αὐτοῦ ἐκρατήσατε. δι' ἃ καὶ δι' ἀπεχθείας αὐτὸς βασιλεῖ φέρεται, ἀλογίστῳ τε πιστεύων εὐπραγίᾳ καὶ Ῥωμαίων οὐδὲν προσῆκον αὐτοκράτωρ κεκλῆσθαι ἀξιοῖ, οὐκ εἰδὼς D ὡς τὰ τῆς τύχης παράλογα ἅτε οὐκ ἐπ' ἀσφαλοῦς βεβηκότα τῆς ἕδρας ταχὺ καταρρεῖν εἴωθε. δι' ἃ μὲν οὖν αὐτὸς ἐφ' ὑμᾶς ἦλθον, ταῦτά εἰσι. μελήσει δ' ὑμῖν ἐπὶ τῶν ἔργων ἐξάγειν, ὅσα παρὰ βασιλέα πέμψαντες ἔναγχος διωμολογεῖτε. ἔφατε τοίνυν τὰς ἀγχιγείτονας ἡμῖν παραστήσασθαι πόλεις Λιγούρων, εἴ καί τις ἐκ Βυζαντίου ἔργου συλληψόμενος ὑμῖν ἔλθοι. ὃ δὴ καὶ γέγονεν, ὥσπερ ὁρᾶτε." Νικηφόρος μὲν τοσαῦτα εἶπεν, Οὐέν-

4. πρώτην] Fort. πρώτοις. 9. φιλαρχίᾳ] Malim φιλαρχίας.

ut aut vos ipsi tam degeneres et vestra indignos gente praestetis, aut ab ea quam de vobis pridem concepit opinione recedat imperator. quandoquidem vero inter omnes qui sub illius potestate sunt populos, in vestra benevolentia potissimam habet fiduciam, eapropter et suam sollicitudinem vobis primum indicare atque ostendere statuit. turpe enim est subditis quidem uti felicibus, infelicium vero posthabere salutem. ne igitur vobis, ut et ceteris qui imperatoris amicitia non fruuntur, vis aliqua a Frederico inferatur, viro imperandi percupido et quae tempore et longa saeculorum consuetudine stabilita sunt convellere nullo labore satagente, me, uti videtis, ad vos misit, praebiturum omnia, quae ab ipso poposceritis. nostis enim, ut aliquando ad Mediolanum, adiuvante principe, praelio cum Frederico isto commisso victores evaseritis: unde et imperatorem exosum habet, stolidaeque confisus socordiae, Romanorum sese imperatorem, nullo licet iure, vocari vult: nesciens extraordinarios fortunae successus, cum soliditate nulla fulciantur, cito solere diffluere et evanescere. atque ea sunt quorum gratia ad vos veni: vestrum autem erit illa conficere, quae nuper per legatos cum imperatore pepigistis. dicebatis namque adiungendas fore vicinas Ligurum civitates, si modo aliquis Byzantio, qui vobiscum rem capesseret, adventaret: quod et factum est, uti videtis." haec quidem dixit Nicephorus.

νετοι δὲ τοὺς λόγους εἰσδεξάμενοι ἐπιτελῆ πάντα ποιήσειν ὑπέσχοντο. καὶ δὴ Κρεμών τε καὶ Πατάβια καὶ πλεῖσται ἄλλαι τῶν ἐν Λιγούροις περιφανεστάτων πόλεων βασιλεῖ προσεχώρησαν. P 184
ἐν μὲν δὴ Ἰταλίᾳ ταῦτα βασιλεὺς ἔπρασσεν, οὔπω μέντοι ἐπιδήλως· τὸ γὰρ ἐς Φρεδερίκον ἔχθος ἐγκρυφιάζειν ἔτι ἤθελεν.

10. Ὁ δὲ τῶν Παιόνων ῥὴξ Σίρμιόν τε αὖθις Ῥωμαίοις V 105
ἀφελόμενος ἔσχε καὶ Ζευγμίνου αὐτοῦ ἤδη μετεποιεῖτο. ταῦτα πυθόμενος βασιλεὺς ἐπέστειλεν αὐτῷ τοιάδε. "οὐ δίκαια ποιεῖς, ὦ εὐγενέστατε, ὅρκους ἀτιμάζων, οὓς ἔναγχος κράτει τῷ ἡμετέρῳ Σιρμίου τε ἕνεκα καὶ τῶν ἄλλων ὀμωμοκὼς ἔφθης. ἴσθι τοίνυν (τὸ γὰρ μακρολογεῖν ὑποτέμνει τῶν σοι πεπραγμένων ἡ ἐπίδειξις) ὡς εἰ μὴ θᾶττον ὧν οὐδέν σοι προσήκει ἀπαλλαγῇς, οὐ τόσα δράσεις Σίρμιον ἀφελών, ὅσαπερ ἂν αὐτίκα πείσῃ, B
ὁπότε Ῥωμαῖοι πᾶσαν καὶ πάλιν τοῖς ὅπλοις ἐπιτρέχοιεν τὴν σήν. ἢ λέληθέ σε ὁπόσων Οὐννικὴ μυριάδων ἐψίλωτο πρότερον πρὸς πατρὸς τοῦ σοῦ τῇ Ῥωμαίων προσκεκρουκότος ἀρχῇ; ἀλλ' ἐκείνων μὲν ἡ τῶν πεπραγμένων μετάνοια σώτειρα γέγονε φθάσασα, σοὶ δὲ ὅρα μή ποτε οὐχὶ καὶ μεταμέλῳ γεγονότι ὄνησις ἔσται οὐδεμία. τὸ γὰρ τῆς δίκης ξίφος διὰ πολλῶν ἤδη τεθηγμένον διὰ τοσούτων δὴ καὶ πρὸς ἀμβλύτητα στρέφεσθαι πέφυκε. καὶ οὐκ ἄν τις οἶμαι πρότερον ἁπάντων τὴν τομὴν ἐκφεύξοιτο." τὰ μὲν δὴ τοῦ βασιλέως ἐν τούτοις ἦσαν, Στέφανος δὲ ἐν ὀλιγωρίᾳ τοὺς λόγους ποιούμενος ἐπὶ τοῖς αὐτοῖς καὶ πάλιν ἦν. διὸ δὴ καὶ πᾶσι C

Veneti autem excepta illius oratione, omnia se executuros polliciti sunt. sed et Cremona et Patavium, compluresque aliae in Liguria celeberrimae civitates principis partes sunt amplexae. haec in Italia ab imperatore acta sunt, non aperte quidem: nam conceptum adversus Fredericum odium tegere adhuc cupiebat.

10. Dum haec geruntur, Hungarorum rex Sirmium iterum Romanis abstulerat ipsique imminebat Zeugmine. quod ubi accepit princeps, scriptas in hanc sententiam literas ad illum misit. "non iuste agis, vir nobilissime, dum sacramenta quae nuper de Sirmio aliisque locis maiestati nostrae dedisti infringis. scias igitur (longiori enim te detinere oratione prohibent quae a te acta sunt) quod nisi primo quoque tempore ab iis, quae tui non sunt iuris, decedas, non tanta te effecturum Sirmium eripiendo, quanta confestim passurus es, cum tuos vicissim fines ferro et incursionibus vastabunt Romani. an te fugit quot olim millium iacturam primum fecerit Hungaria, cum pater tuus Romanum imperium offendisset? sed enim horum delictorum poenitentia salutaris ipsi fuit. tu vero vide, ne et poenitere perinde tibi inutile sit et infructuosum. iustitiae quippe gladius quamvis iamdudum exacutus, hoc uno maxime modo quandoque ad hebetudinem solet redire. secus haud scio an quisquam omnium eius aciem effugerit." talis erant argumenti principis literae: quibus neglectis Stephanus prioribus rursum insistebat consiliis.

τρόποις ἐπὶ τὸν κατ' αὐτοῦ πόλεμον ὁ βασιλεὺς ἔβλεψεν, Στέφανόν τε τὸν πατράδελφον, οὐ πρότερον τοῦτο βεβουλημένος, ἐπὶ τὴν ἀρχὴν αὖθις καθιστᾶν ἤθελε. καὶ δὴ Μανουὴλ μέν, ὃς ἐς Κομνηνοὺς τὸ γένος ἀνέφερεν, εἰς τὸ τῶν Ταυροσκυθῶν ἀφίκετο ἔθνος, ὁμολογιῶν τὸν ἄρχοντα σφῶν ἀναμνήσων, ἃς διωμότους ἤδη τῷ βασιλεῖ ἔθετο, πρὸς δὲ καὶ τὴν πρὸς Ἱερόσθλαβον τὸν Γαλίτζης ἡγεμονεύοντα φιλίαν αὐτῷ διονειδίσων. Ἱερόσθλαβος γὰρ τά τε ἄλλα ἐς Ῥωμαίους παρασπονδήσας ἔτυχε, καὶ δὴ καὶ Ἀνδρόνικον, οὗ πολὺν ἤδη ἐποιησάμεθα λόγον, τῆς ἐν παλατίῳ φρουρᾶς ἀποδράντα, ἔνθα ἐνναέτης οἶμαι κα- D θεῖρκτο, προσιόντα αὐτῷ ἐδέξατο καὶ φιλοφροσύνης ἠξίωσεν. ὅπως δὲ Ἀνδρονίκῳ τὰ τοῦ δρασμοῦ γέγονεν, ἄρτι δηλώσω.

11. Οὗτος καὶ ἄλλοτε μὲν ἤδη λαθὼν δαιμονίῳ τινὶ τρόπῳ τὴν εἱρκτὴν ὑπερεξέδυ, ἀλλὰ τὸ χρῆναι οἶμαι καὶ εἰσέτι τὰς τῶν πεπραγμένων ὑπέχειν εὐθύνας εἰς χεῖρας αὖθις τοῖς ζητοῦσι πόνῳ οὐδενὶ τὸν κακοδαίμονα ἐτίθει. καί ποτέ φασι Σαγγαρέως ἄχρι ποταμοῦ γεγονώς, τῆς ἐκ τοῦ ψύχους ἀνάγκης ἐπειγούσης, δωμάτιόν τι ὑπῆλθε λυπρὸν καὶ ἅμα ἔκδηλος τοῖς τῇδε ἀνθρώποις ἐκ τοῦ σχήματος ἐγένετο. σεσόβητο γὰρ ἀεὶ φύσει P 135 καὶ γοργόν τι καὶ ἐντρεχὲς ἔβλεπεν, ὡς ἂν οἶμαι τῶν ψυχικῶν αὐτῷ κινημάτων ἐκδυομένων ἤδη καὐτοῖς ἐκτός. περιστάντες τοίνυν αὐτὸν οἱ ἀγροιῶται πολλὰ ἀναινόμενον ὡς οὐκ Ἀνδρόνικός

6. διωμότους] Cod. διομοτούς. *ibid.* τὴν πρὸς] Ita Heyse: in Cod. deest πρός. 9. ἐποιησάμεθα] Cod. ποιησόμεθα. correxit Duc. 21. καὐτοῖς] Fort. κἂν τοῖς.

quapropter ad bellum illi inferendum totus incubuit imperator et, quod prius noluerat, Stephanum patruum iterum in regnum restituere decrevit. sed et Manuël quidem, qui a Comnenis genus referebat, ad Tauroscytharum gentem perrexit, ut pactorum quae sacramentis cum imperatore sanciverat memoriam illi princeps revocaret: insuper etiam erga Hieroslaum Galitzae principem amicitiam ipsi exprobraturus. Hieroslaus enim, cum et alia multa in Romanos praeter foederis leges fecisset, tum et Andronicum, de quo iam plurima commemoravimus, e carcere palatii, in quo iam novem ut credo detentus annos fuerat, profugum et ad se venientem comiter exceperat. qua vero ratione effugerit Andronicus, nunc expediam.

11. Ille non semel miro quodam modo e carcere iam evaserat. sed quod oportebat eum, ut opinor, deinceps sustinere facinorum poenas, in persequentium manus miser nullo negotio rursum venit. cum aliquando, ut aiunt, ad Sangarium usque fluvium pervenisset, vi frigoris adactus agreste quoddam subiit tugurium et continuo ab incolis ex corporis forma fuit agnitus. natura enim concitatior erat, visuque acri ac volubili, animi quippe affectionibus extrinsecus etiam apparentibus. qui ergo circumstabant rustici multum renitentem seque Andronicum esse pernegantem vinctum denuo By-

τε εἴη ἰσχυριζόμενον ἔδησάν τε καὶ ἐς Βυζάντιον ἄγοντες ἦλθον,
αὖθίς τε τὰ κλοιὰ καὶ τὸ δωμάτιον αὐτὸν εἶχεν. ἀλλὰ τελευ-
ταῖον κηρῷ τὰς κλεῖδας μεταλαβὼν ἔς τε τὴν γυναῖκα καὶ τὸν
υἱὸν ἔπεμψεν. οἱ δὲ συνειδόσι πρὸς τοῦτο καὶ ἄλλοις χρησά-
μενοι σιδήρου ταύτας εἰργασμένοι ἔπεμψαν αὖθις αὐτῷ. ὁ δὲ
ἐπειδὴ ταύτας ἔλαβεν, ἄρτι δεδυκότος φασὶν ἡλίου, καθ' ὃν ξυν-
έκειτο ταῦτα καιρόν, ἐρημίαν τῶν φυλάκων τηρήσας ἐξῄει. ἔστι
δέ τις αὔλιος ἐχόμενος τοῦ τειχίου, ἐν ᾧ δὴ καθεῖρκτο. ἔνθα
ἅτε ὀλίγα πατουμένου τοῦ χώρου βοτάναι τινὲς αὐτόματοι φυό- B
μεναι ἐπὶ πλεῖστον ἀνέτρεχον μῆκος. ἐνταῦθα ἐκδραμὼν ἅτε
λαγὼς ἐκρύψατο τὸ σῶμα συστείλας ἐπὶ βραχύ. ἐπεὶ δὲ νὺξ ἤδη
ἦν καὶ ἔδει τοὺς ἐξ ἔθους αὐτῷ νυκτοφυλακήσοντας περιστήσε-
σθαι τὴν φρουράν, προσιὼν ὁ τὴν τήρησιν πρὸς βασιλέως ἐπι- V 106
τετραμμένος τὴν αὐτοῦ τάς τε φυλακὰς ἔταττε καὶ τὰ κλεῖθρα
ἀνασείων, ὅπερ ἑκάστης αὐτῷ ἐπὶ ὕπνῳ χωροῦντι εἴθιστο ἡμέ-
ρας, ἐπειρᾶτο εἰ μή τι κακουργηθείη γνῶναι. ὡς δὲ παντάπα-
σιν ἀνεπιβούλευτα ταῦτα ἔγνω, ἀπιὼν τὸ λοιπὸν ἐς ὕπνον κατέ-
δαρθεν. Ἀνδρόνικος γὰρ δείσας μὴ ἀνακεκλιμένῃ τῇ πύλῃ περι-
τυχὼν ὁ Κλάδων (τοῦτο γὰρ ἐπίκλησις ἔκειτο τῷ ἀνδρὶ) ταχὺ ἐς
τὴν ζήτησιν τὴν αὐτοῦ κατασταίη, αὖθις αὐτὴν ἐπιθεὶς ἀσφαλι- C
σάμενός τε ἀνεχώρησεν, ἐπειδή τε ἀωρὶ τῶν νυκτῶν ἤδη ἐγένετο
ἐπὶ τὰ ἔσχατα τῆς αὐλίου ἐλθών, οὗ δὴ τελευτῶσαν αὐτὴν τει-
χίον ὑπερείδει, μετέωρον μὲν οὐ πάνυ τι ὂν τοσούτῳ δὲ τῆς

8. ἐχόμενος] Nonne ἐχομένη? 12. νυκτοφυλακήσοντας] Cod. νυκτοφυλακήσαντας (ο superscr.).

zantium reduxere, ubi iterum compedibus et carcere multatus est. ad ultimum vero expressas in cera claves ad coniugem filiumque mittit, qui et aliis ad hoc ipsum assumptis consciis, ex ferro confectas ad eum remittunt. iis acceptis statim post solis, ut aiunt, occasum, quod tempus ad id peragendum praefinitum fuerat, observata custodum absentia, e carcere evasit. est vero quoddam domicilium muro adiunctum, in quo custodiebatur: ubi, utpote rarius conculcata terra, herbae aliquae sponte altius succreverant, in quas cum elapsus se recepisset, contracto quam maxime corpore leporis instar delituit. cum ergo nox iam adesset, tempusque quo qui vigilias ex more obeunt, custodias lustrare solent, procedens is, cui demandata ab imperatore illius custodiendi cura fuerat, vigilibus positis, serisque concussis, quod singulis diebus priusquam dormitum concederet facere solebat, exploravit an etiam aliquid ille mali esset machinatus. sed ut ea omnino procul ab omni dolo esse advertit, inde egressus somno se daturus abiit. Andronicus enim veritus ne si portam offendisset apertam Cladon (id enim homini nomen erat) continuo insequeretur et se perquireret, illa iterum clausa et obserata abscesserat. mox intempesta iam nocte ad extrema domicilii istius

ὑγρᾶς ἀφεστώς, ὅσῳ πνεύματι θυμομαχοῦσαν νοτεραῖς αὐτὸ πολλάκις ἐπιρραπίζειν παλάμαις. ἐντεῦθεν καλωδιόν τι ἐξῆπτε λαβόμενός τε αὐτοῦ καθεῖτο εἰς τὴν ἀκτήν. ἔνθα καὶ πάλιν βλοσυροῖς τοῖς προσώποις δεδεξαμένη τοῦτον ἡ τύχη βραχὺ εἶτα προσεμειδία καὶ ἀνεῖτο πρὸς χάριν, θρυπτομένη πως καὶ διαφανῶς παίζουσα. τῶν γάρ τις ἐν παλατίῳ φυλάκων, οἵπερ ἐξ D ἔθους ἀεὶ διεσκηνημένοι κάθηνται ὑπὲρ τῶν πύργων ἐκ περιτροπῆς τινος ἐπιθωύσσοντές τε ἀλλήλοις καὶ τακτὸν ὅ τι δὴ ἐπιφωνοῦντες ῥημάτιον οὕτω τε ἐγρηγόρασι μάλιστα, ἐπειδὴ τοῦτον εἶδε, προσιὼν ὅστις ποτὲ εἴη διεπυνθάνετο ἀνειπεῖν. ὁ δὲ δεσμώτης εἶναι ἔφασκε τῶν ἐν παλατίῳ πρὸς τοῦ Παπίου ἐπ' αἰτίαις ἐχομένων χρηματικαῖς, καὶ "εἴ γε ἀφήσεις με" ἔφη "ἀπιέναι, αὕτη δή σοι παρ' ἐμοῦ χάρις ἔσται." καὶ ἅμα λέγων τὸ ἐπικόλπιον αὐτῷ ἐξαγαγὼν ἐδείκνυ φυλακτήριον. ὁ δὲ (τῶν γὰρ ἀγροικικῶν τις ἦν καὶ τοῖς πενίας ἔργοις ἐμάχετο διηνεκῶς), ἐπειδὴ τὰς P 136 ὄψεις αὐτῷ κατέστραψεν ὁ χρυσός, λαβὼν τὸ χρῆμα Ἀνδρόνικον ἀφῆκε φέρεσθαι. ἐν τούτῳ δὲ καὶ τὸ ληψόμενον τοῦτον ἀκάτιον οὐ μακρὰν ἀποσαλεῦον προσῄει· καὶ λαβόντες αὐτὸν ἐπ' οἴκου ἐκόμισαν, ἔνθα τὰς πέδας ἀποσεισάμενος, αἳ τὼ πόδε εἶργον αὐτῷ, ἀνέβη τε εἰσαῦθις τὴν ναῦν καὶ διαπλωισάμενος ἔξω τειχέων ἐγένετο. ἔνθα ἵππους εὑρών, οἳ ἐν παρασκευῇ ἐτύγχανον αὐτῷ ὄντες, ἐπέβη τε καὶ ἀπιὼν ᾤχετο. Ἀνδρόνικος μὲν δὴ οὕτω τῆς εἱρκτῆς ἀποδρὰς ἐπὶ Ταυροσκύθας ἦλθεν. ἡμῖν δ' ἀνακτέον τὸν λόγον ἐπὶ τὰ πρότερα.

4. δεδεξαμένη] διαδεξαμένη? 21. ἐτύγχανον] Cod. ἐντύγχανον.

venit, qua parte muro insistit non quidem excelso omnino, nec tamen tantum a mari remoto, quin illud ventis australibus agitatum saepe eum undis fluctibusque suis pulset. hoc ille in loco appenso fune eoque apprehenso in littus sese demisit. ibi torvo vultu illum excipiens paulisper fortuna, arridere demum et quasi manifestius colludere visa est. quidam enim de palatii excubitoribus, qui semper permutatis ex more vicibus stationes in turribus tenent, certum aliquod sibi invicem inclamantes verbum, sic vigilias suas obeunt, ut illum vidit, accedens quis esset percunctatus est. ille unum se ex vinctis esse dixit, qui in palatio ob aes alienum a Papia detinebantur et "si me sinis abire" inquit "haec tibi a me gratia referetur;" continuoque quod pectori appensum gestabat phylacterium eductum ostendit. is vero (erat enim homo agrestis et qui cum paupertate perpetuo colluctabatur), simul atque illius oculos aurum perstrinxit, eo accepto, Andronicum abire passus est. scapha interim, quae haud procul aberat, illum exceptura accessit, qua conscensa domum relatus est. ibi exutis compedibus quae pedes constrinxerant, rursum ingressus est navem, eaque vectus extra muros traiecit. illic paratos ad hoc ipsum inveniens equos conscendit et abscessit: sic quidem evadens e carcere Andronicus ad Tauroscythas pervenit. nunc autem ad ea quae supra retulimus, reducatur oratio.

12. *Τῶν εἰρημένων τε ἕνεκα ὁ Μανουὴλ παρὰ Πριμίσθλαβον ἦλθε καὶ ὅπως χεῖρα ἐκεῖθεν σύμμαχον ἐπὶ Ῥωμαίους* B *ἄξῃ. ἐπέσταλτο γὰρ αὐτῷ καὶ Ῥωσισθλάβῳ τῷ καὶ αὐτῷ ἐπὶ Ταυροσκυθικῆς ἄρχοντι περὶ συμμαχίας διειλέχθαι. καὶ μέντοι καὶ τετύχηκε τοῦ κατὰ σκοπόν. ὑπερφυῶς γὰρ ἡσθέντες ὅτι δὴ τηλικούτῳ ἐς αὐτοὺς ὁ βασιλεὺς ἐχρήσατο πρεσβευτῇ, ὑπέσχοντο ἐπιτελῆ πάντα ποιήσειν ὅσα τῷ βασιλεῖ βουλομένῳ ἦσαν. οὐ μὴν οὐδὲ Ἰερόσθλαβον διὰ ταῦτα βασιλεὺς περιεῖδε· μηχαναῖς δὲ καὶ τοῦτον ἑτέραις κατὰ Στεφάνου ἐξεπολέμωσεν, ἐπιστείλας αὐτῷ οὑτωσί. "οὐ μιμησόμεθά σου τὴν ἀστοργίαν, ἣν οὐδὲν δέον εἰς ἡμᾶς ἐπεδείξω, λόγων τε καὶ συνθηκῶν τῶν πρώην ἤδη ὀμωμοσμένων σοι κατωλιγωρηκώς. ἀλλά σοι τὰ ἔσχατα διυβρίσθαι κινδυνεύοντι ὑπ᾽ ὄψιν τὰ τῆς ὕβρεως τίθεμαι. ἴσθι τοίνυν ἀνδρὶ παῖδα συνοικίζων τὴν σὴν τῷ ῥηγὶ Παιόνων κακοήθει τε καὶ δεινῶς* C *ἀβεβαίῳ τὴν γνώμην ὄντι· δίκης γάρ ποτε ἢ ἀληθείας ἐντροπὴν πεποίηται οὐδεμίαν. ἀνθρώπῳ δὲ ἀπολύτῳ φύσεώς τε καὶ νόμων ὡς ἐπίπαν φερομένῳ πάντα ποιεῖν οἶμαι ῥᾴδιον. οὐκοῦν οὐδὲ ξυνοικήσει σοι Στέφανος τῇ θυγατρί, οὐδέ τι ἄλλο τῶν κατὰ νόμον ἐπὶ ταύτῃ διαπράξεται. εἰ δὲ καὶ ξυνοικήσει, ἀλλ᾽ ὅσα καὶ* V 107 *τριοδίτιδι ταύτῃ προσενεχθήσεται. ὁ γὰρ ἐς τὸ ἡμέτερον οὕτω κράτος ἁμαρτὼν ὅρκους τε ὡς ἐν παιδιᾶς λόγῳ τοὺς ἔναγχος ὀμωμοσμένους αὐτῷ λογίζεσθαι ἀπαναισχυντῶν, συλλόγισαι τί οὐκ ἂν ἐπὶ σὲ ποιήσειν ἀπανθρωπεύσεται." τούτων ὁ Πριμίσθλαβος σὺν*

12. Propter haec igitur quae diximus Manuël ad Primislaum venit, et ut auxiliares copias ibi pro Romanis contraheret. sed et missus est ad Rosislaum, qui et ipse Tauroscythicae imperitabat, de ineunda armorum societate cum eo acturus. resque illi ex voto successit. maxime enim gavisi quod tam illustri eos dignatus esset legato, omnia quae vellet princeps se facturos ultra polliciti sunt. neque ideo tamen Hieroslaum despexit imperator, sed arte alia adversus Stephanum concitavit, missis huiuscemodi ad ipsum literis. "non imitabimur tuam ingratitudinem, quam nulla ad id impellente necessitate erga nos exhibuisti, neglectis promissis pactisque iis, quae nuper sanciveras: sed tibi, ultima nos iniuria afficere paranti, ob oculos eam proponimus. scias igitur, dum filiam tuam Hungariae regi uxorem tradis, illam te iungere viro maligno, animoque valde instabili. iustitiae enim seu veritatis nullum unquam respectum habuit. hominem autem qui nec naturam nec leges reveretur, suoque prorsus fertur arbitrio, omnia exsequi posse haud aegre existimo. proinde neque filiam tuam ducet Stephanus, neque aliud quidpiam legibus consentaneum, quantum ad illam spectat, exsequetur. quod si eam ducat, vulgaris cuiusdam et velut e trivio adductae feminae loco habebit. qui enim maiestatem nostram tantopere offendit et sacramenta nuper data pro ludo habere non erubuit, cogita quam in te inhumanitatem non sit commissurus." his cum barbara quadam simplicitate

D βαρβάρῳ τινὶ ἀφελείᾳ τῶν λόγων ἀκούσας ἑάλω τε αὐτίκα καὶ ὡς πολέμιον τὸν γαμβρὸν ὑπεβλέπετο, κατ' αὐτοῦ τε Ῥωμαίοις στρατεύουσι παντὶ τρόπῳ συναίρεσθαι ὡμολόγει. ἔστι δέ τις ἐν Ταυροσκυθικῇ πόλις ὄνομα Κίαμα, ἣ πόλεών τε ὑπερκάθηται τῶν ἄλλων ὅσαι τῇδε ἵδρυνται, καὶ ὅσα καὶ μητρόπολις τῷ ἔθνει τούτῳ τυγχάνει οὖσα. ἀρχιερεύς τε γὰρ ἐκ Βυζαντίου παρ' αὐτὴν ἥκει, καὶ τῶν ἄλλων ὅσα ἐς πρεσβεῖον φέρουσι κατεξαίρετον αὐτῇ μέτεστιν. ὁ δὴ καὶ ταύτης ἡγεμονεύων τῆς χώρας Στεφάνῳ καὶ αὐτὸς πολεμήσειν συνθέμενος ὅρκοις τὰ δεδογμένα ἐπέρρωσεν. ἐν P 137 ᾧ δὲ ταῦτα ἐγίνετο, Φρεδερίκος ὁ Ἀλαμανῶν ῥὴξ ἰσχυρῶς ἀντιπράττοντος ἐς τὰ πρὸς δύοντα ἥλιον τοῦ βασιλέως ἤδη αἰσθόμενος, τὰ διάφορα λύσας Ῥωμαίοις ἐσπείσατο, πόλεμόν τε κατὰ Στεφάνου διενεγκεῖν καὶ αὐτὸς τῷ βασιλεῖ διωμολόγηκεν. οὐ μὴν οὐδὲ Ἐρρίκος ταύτης ἀπεῖναι ἤμελλε τῆς μάχης, ὃς Θεοδώρᾳ τῇ βασιλέως ξυνῴκει ἀδελφιδῇ, ὥσπερ ἤδη πολλάκις ἐρρήθη, ἀλλὰ Σκυθῶν ἀπειροπληθὴς στρατιὰ καὶ Σερβίων τῶν Ῥωμαίοις κατηκόων ὅτε σουλτὰν κατὰ τὰ ξυγκείμενα δυνάμεις αὐτῷ τὰς ξυμμαχίδας ἔστελλε, καὶ βαρεῖά τις ἁπανταχόθεν ἤθροιστο χείρ. κατὰ τὸν αὐτὸν χρόνον καὶ Βλαδίσθλαβος, εἷς ὢν τῶν ἐν Ταυροσκυ- B θικῇ δυναστῶν, σὺν παισί τε καὶ γυναικὶ τῇ αὐτοῦ δυνάμει τε τῇ πάσῃ αὐτόμολος ἐς Ῥωμαίους ἦλθε, χώρα τε αὐτῷ παρὰ τὸν Ἴστρον δεδώρηται, ἣν δὴ καὶ Βασιλίκᾳ πρότερον τῷ Γεωργίου παιδί, ὃς τὰ πρεσβεῖα τῶν ἐν Ταυροσκυθικῇ φυλάρχων εἶχε,

4. *Κίαμα*] Duc. suspicatur *Κιόβα*.

auditis sermonibus, captus est continuo Primislaus, et generum velut hostem aversatus bellum ei inferentibus Romanis omni se affuturum auxilio professus est. est vero in Tauroscythica regione civitas nomine Kiovia, quae omnes alias illic sitas praecellens metropolis est totius gentis. episcopus Byzantio missus illi praefici solet, gaudetque ceteris omnibus, quae ad excellentiorem conferunt praerogativam. huius itaque regionis princeps bellum et ipse contra Stephanum susceptnrum se pollicitus, pacta iureiurando firmavit. dum haec geruntur, Fredericus Alemannorum rex, ubi in Occidente strenue se gerere imperatorem rescivit, diremptis simultatibus et pace cum Romanis icta, se quoque belli adversus Stephanum socium fore principi paciscitur. neque abfuturus ab hoc bello erat Henricus, qui, ut saepius a me narratum est, Theodoram imperatoris ex fratre neptim uxorem duxerat: ad haec Scytharum innumerabilis exercitus et Serviorum Romanis obnoxiorum; ipseque Sultanus secundum initorum pactorum leges copias auxiliares submissurus erat: et aliae undecumque validae copiae cogebantur. sub idem tempus Vladislaus etiam, unus e principibus Tauroscytharum, cum liberis et uxore et omnibus viribus ultro ad Romanos venit. regio illi versus Istrum concessa est, quam antea Basilicae Georgii filio, qui ceteros Tauroscythicae phylar-

προσελθόντι βασιλεὺς ἔδωκε. τηνικαῦτα καὶ Οὐένετοι στόλῳ τριήρεων ἑκατὸν Ῥωμαίοις ἐς τοὺς κατὰ θάλασσαν συναίρεσθαι ὡμολόγησαν πόνους, τὰς πρότερον τὸ δεύτερον ἀνανεωσάμενοι ξυνθήκας. οὐ μὴν ἀλλὰ καὶ Φρεδερίχῳ τῷ Ἀλαμανῶν ῥηγὶ πᾶσί τε ἄλλοις τοῖς ἀνὰ τὴν ἑσπερίαν λῆξιν ἀπεναντίας διὰ βίου ἰέναι ἢν ἐπὶ Ῥωμαίους στρατεύοιεν, πίστεις ἔδοσαν.

13. Καὶ τὰ μὲν κατὰ τὴν ἑσπέραν τῇδε ἐφέρετο. Βαλδουῖνος δὲ ὁ Παλαιστίνης ῥὴξ ἀδελφιδῇ τοῦ βασιλέως ξυνοικῶν ἐξ ἀνθρώπων ἠφάνιστο. ἅτε δὲ αὐτοῦ ἄπαιδος τὸν βίον ξυμμετρησαμένου, ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ ἡ τῆς χώρας μετῆλθεν ἐπικράτησις, ὃς ἄρτι ταύτην ἀναλαβών, πέμψας ἐς βασιλέα ᾐτεῖτο κήδους καὶ αὐτὸς τοῦ ἐκ Ῥωμαίων τυχεῖν, ἅμα τε καὶ γνώμης πειρᾶσθαι ἤθελε τῆς αὐτοῦ ὅπως ποτὲ περὶ Ἀντιοχείας ἔχει. Ἀντιοχεῖς γὰρ ἅτε φύσει ψεύδορκοι ὄντες ἐπὶ Παλαιστίνην τῷ Βαλδουίνῳ συγγεγονότες, αὐθαίρετοι τὴν τῆς πόλεως καὶ σφῶν αὐτῶν ἐχείριζον προστασίαν. ἀλλ' ἐκεῖνος εἰδὼς ὡς βασιλεῖ κατήκοος ἡ πόλις αὕτη τυγχάνει οὖσα, δεῖν ἔκρινε πυθέσθαι τούτου πρότερον, ὥσπερ εἴρηται. ὁ δὲ τοιούτοις αὐτὸν ἀμείβεται· "ὁ μὲν περὶ κήδους λόγος, ἐπειδή σοι βουλομένῳ ἐστὶν εὔνοιαν ἐπισπᾶσθαι τὴν ἡμετέραν, οὐκ εἰς μακρὰν ἐπιτελὴς ἔσται, πόλεως δὲ Ἀντιοχείας πάλαι τε Ῥωμαίοις ὑποφόρου καὶ νῦν δὲ κράτει δεδουλωμένης τῷ ἡμετέρῳ οὔτε σοι περιόντων ἡμῶν κατακυριεύσειν δυνατὰ ἔσται οὔτε τῶν ἄλλων οὐδενί. Ἀντιοχεῖς μέντοι τῆς ἐς Ῥωμαίους ἀπιστίας αὐτίκα πρὸς τοῦ ἡμετέρου κράτους τὰ ἐπίχειρα

C D V 108

chos praecellebat, ad se transeunti dederat. tum quoque Veneti centum triremium classem ad maritimos labores auxilio se missuros Romanis, prioribus renovatis foederibus, promisere. sed et Frederico Alemannorum regi ceterisque Occidentis gentibus hostes se futuros, quamdiu vita superstes foret, fidem dedere, si Romanis ab iis bellum inferretur.

13. Haec eo tempore in Occidente acta. Balduinus autem Palaestinae rex, imperatoris ex fratre nepti matrimonio iunctus, diem obiit: cumque nullos reliquisset liberos, in illius fratrem regionis principatus transivit. hunc ubi ille suscepit, ad imperatorem legatos misit, tum ut affinitatem et ipse ex Romanis deposceret, tum etiam ut illius de Antiochia animi sensum exploraret. Antiocheni enim, utpote ingenio perfidi, Balduinum in Palaestina convenientes urbis suae principatum ultro illi tradiderant. at is haud ignarus civitatem istam imperatori esse obnoxiam, eius primum, uti dictum est, sciscitandam esse voluntatem existimavit. hic vero in hanc ferme sententiam respondit. "quod quidem de ineunda affinitate requiris, quando tibi est animus nostram comparare benevolentiam, ratum id brevi erit. civitatis autem Antiochenae, Romanis iamdudum vectigalis nostraeque maiestati obnoxiae, neque tu, quamdiu vixerimus, neque ullus alius principatum capessere potest. at Antiocheni suae erga Romanos perfidiae a maiestate nostra

κληρωσάμενοι εἴσονται τίνι ξυγκρούειν αὐτοὶ τετολμήκασιν." ἐν τούτοις μὲν τὰ τοῦ γράμματος ἦσαν. ὁ δὲ ἐπειδὴ τῶν ἐπ' Ἀντιοχείᾳ ἠλπισμένων ἀπετύγχανεν ἤδη, ἐνέκειτο περὶ κήδους λοιπὸν P 138 τὸν βασιλέα παραιτούμενος. μίαν τοίνυν τῶν τοῦ πρωτοσεβαστοῦ ἁρμοσάμενος θυγατέρων ὁμώμοκε λοιπὸν καὶ αὐτός, ὅσα καὶ Βαλδουῖνος ὁ ἀδελφὸς αὐτοῦ πρότερον. βασιλεὺς δέ, ἐπειδὴ μηδέπω τὰ πρὸς τὴν παρὰ πόδας ἐξαρτυσάμενος ἔτυχε μάχην, δείσας περὶ τῇ πόλει Ζεύγμῃ ἐπὶ πλεῖστον ἤδη πρὸς τοῦ Στεφάνου πυργηρουμένῃ, πρὸ τοῦ τὸν ὑπὲρ τῶν ὅλων ἐκρῆξαι πόλεμον, στράτευμα λόγου ἄξιον βοηθῆσον αὐτῇ ἔστελλεν, ὑπὸ στρατηγοῖς Μιχαὴλ τε τῷ Γαβρᾷ καὶ τῷ Βρυεννίῳ Ἰωσήφ, ὑφ' οὓς ἐτέλουν ἄλλοι τε τῶν ἐν Ῥωμαίοις ἐπιφανεστέρων, καὶ Ἰωάννης ὃν Ἄγγελον ἐπεκάλουν, ἀνὴρ ἐμπειροπόλεμος, καὶ Ἰωάννης ὁ Ἰσής, Πέρσης μὲν τὸ γένος τροφῆς δὲ καὶ διαίτης μεταλαχὼν Ῥωμαϊκῆς. ἐπὶ πλέον γε μὴν B τῇ πόλει ἐπαρκέσαι βουληθεὶς ναῦς ὡσεὶ πλείστας στρατιωτῶν τε καὶ τῶν ἐπιτηδείων ἐμπλησάμενος ἐκέλευε τὸν Ἴστρον παραπλεούσας τοῖς ἔνδοθι παρέχειν τῶν ἀναγκαίων, ἕως αὐτὸς πανστρατὶ ἐπὶ τὴν Οὐννικὴν ἀφίκηται. Οὖννοι δέ, ἐπειδὴ πολύν τινα χρόνον ἀμφὶ τῷ περιβόλῳ ἐνδιατρίψαντες πολλάκις τε αὐτοῦ ἀποπειρασάμενοι ἔγνωσαν ἀνεφίκτοις ἐπιχειρεῖν (αἱ γὰρ Ῥωμαϊκαὶ νῆες ἐπὶ τὴν ἐχομένην ποταμοῦ Ἴστρου πλευρὰν ὁρμιζόμεναι μεγάλα τοῖς ἔνδον Ῥωμαίοις συνεβάλλοντο, πρὸς δὲ καὶ τοὺς ἐν πολέμῳ τραυματίας γεγενημένους ἀπολαμβάνουσαι ἑτέρους ἀκραιφνεῖς τοῖς σώ-

8. Ζεύγμῃ] Cod. Ζεύγμι. Duc. Ζευγμῖνον.

poenam referentes, tum primum sentient, quem ausi fuerint offendere." eiusmodi fuere literae principis. is autem ubi nihil de Antiochia sibi sperandum vidit, perstitit de affinitate imperatorem rogare: et accepta in matrimonium una filiarum protosebasti, eadem quae antea eius frater Balduinus, pactus est. imperator rebus omnibus nondum satis ad praesens bellum apparatis, metuens Zeugmae urbi, quam Stephanus arctissima obsidione premebat, priusquam de summa rerum bellum arriperet, idoneas aliquot copias in auxilium eo misit, ducibus Michaële Gabra et Iosepho Bryennio, sub quibus militabant tum alii inter Romanos illustriores, tum Ioannes cognomento Angelus, vir militiae peritissimus, et Ioannes Ises, natione quidem Persa, ceterum inter Romanos nutritus et educatus. cumque plurimum urbi auxilium ferre vellet, naves complures militibus rebusque aliis necessariis oneratas superare Istrum et obsessis commeatum praebere iussit, donec ipse cum universo exercitu in Hungariam descenderet. Hungari vero, cum diu circa urbis moenia morati ea saepius nequicquam tentassent, rem supra vires aggredi statuerunt. classis enim Romana in alterum fluvii latus advecta, tum et magna Romanis, qui in urbe erant, commoda praestabat, tum etiam iis qui inter pugnandum vulnera exceperant receptis, alios corporibus integros

μασιν ἀντιπαρεῖχον αὐτοῖς), νῆας καὶ αὐτοὶ συλλεξάμενοι, μήπω τοῦ σὺν τῷ Γαβρᾷ καὶ τῷ Βρυεννίῳ στρατεύματος ἀφικομένου
ἐπὶ Οὐννικήν, διὰ τοῦ ποταμοῦ κατὰ τῶν Ῥωμαϊκῶν ἐφέροντο ὡς C
καταδύσοντές τε αὐτὰς καὶ μάχῃ οὐ σὺν πόνῳ περιγενησόμενοι, εἰ καὶ ταύτης τῆς πείρας ἠλέγχοντο δεύτεροι. αἱ γὰρ αὐτῶν νῆες, ἅτε ἥκιστα τοῦ ναυπηγεῖσθαι δεξιῶς ἐς ἀσύμμετρόν τι διατεινόμεναι εὖρος, τὰ δευτερεῖα ἐπὶ ταχύτητι κομίζονται τῶν Ῥωμαϊκῶν. ᾔεσαν μὲν γὰρ διὰ τοῦ ποταμοῦ, Ῥωμαῖοι δὲ παρατάξεως σχῆμα ποιησάμενοι κατὰ μέσον ἀπολαμβάνουσιν αὐτοὺς συχνά τε τοῖς τοξεύμασιν ἔβαλλον, ἐφ' οἷς ἀπειρηκότες ἐκεῖνοι πρύμναν ἐκρούσαντο. αἱ μὲν οὖν ἄλλαι νῆες αὐτῶν θατέρᾳ τοῦ ποταμοῦ πελάσασαι ὄχθῃ τὸν κίνδυνον ἔφυγον, μία δὲ αὐτῶν ἀνδρῶν πλέα τῶν παρ' αὐτοῖς στρατηγούντων ὑποχείριος Ῥωμαίοις ἐγένετο σκευαστῷ πυρὶ καταπλήξασι ταύτην. Οὖννοι τοίνυν, ἐπειδὴ καὶ ταύ- D
της ἀπετύγχανον τῆς πείρας, ἐφ' ἑτέρας ἐτράποντο. τῶν γὰρ τῷ Στεφάνῳ διυπηρετουμένων Οὔννων χρήμασί τινας ὑποκλέψαντες δηλητήριον τῷ ἀνθρώπῳ κεράσαι ἀνέπεισαν. κἀντεῦθεν ἥ τε πόλις ἑάλω καὶ Σίρμιον ἅπαν ὑπὸ Οὔννους αὖθις ἐγένετο. οἱ μέντοι ἔνδον Ῥωμαῖοί τε καὶ Οὖννοι, ὅσοι σὺν τῷ Στεφάνῳ ἐτάττοντο, ἀσινεῖς διεγένοντο, ἅτε ὁμολογίᾳ τοιαύτῃ τὴν πόλιν ἐνδόντες αὐτοῖς. Οὖννοι δὲ τῷ τοῦ Στεφάνου ἐνυβρίζοντες νεκρῷ τὸ μὲν πρῶτον οὔτε ὁσίας μετέδωκαν οὔτε τινὸς ἄλλου τῶν ἐπὶ τεθνεῶσι νομίμων ἠξίωσαν, πρὸ δὲ τῶν τῆς πόλεως ἔκθετον ποιη- P 139

6. ἥκιστα] Addendum videtur ἔχουσαι vel ἐλθοῦσαι. 11. θατέρᾳ] Cod. ἀτέρᾳ 15. ἐφ' ἑτέρας] Duc. ἐφ' ἑτέραν.

in eorum locum substituebat. navigiis igitur et ipsi collectis, priusquam Gabrae et Bryennii in Hungariam advenissent copiae, per flumen in Romanas naves delati sunt, ut eas submergerent nec multo cum labore hostes praelio devincerent; etsi hic conatus minus prospere iis cessit. eorum quippe naves minus apte fabricatae et in immodicam extensae latitudinem velocitate Romanorum superabantur. et iam in flumen deductae erant, cum Romani navibus suis in aciem ordinatis illas excipiunt crebrisque iaculationibus infestant: quibus illi fatigati naves inhibuere. earum pars alteri appulsa littori discrimen evasit: una vero ducum militarium plena in Romanorum potestatem venit, arteque confecto igne absumpta est. Hungari itaque, postquam et hic irritus conatus fuit, aliud sunt moliti. nonnullos enim ex sua gente, qui Stephano famulabantur, pecuniis corrumpunt, iisque persuadent ut propinato veneno hominem necarent. ita et urbs capta est et totum Sirmium in ius venit Hungarorum. at qui in civitate pro Stephano stabant, Romani perinde ac Hungari, incolumes et illaesi mansere, utpote qui his conditionibus urbem tradiderant. Stephani vero cadaveri illudentes Hungari primum quidem illud nullis sacris prosecuti sunt honoribus, neque aliis quae mortuis

σάμενοι πυλῶν, ἄταφον μένειν ἐδικαίουν. ὀψὲ δ' οὖν ὑπὸ τῆς φύσεως παρακληθέντες ἐς τὸν Στεφάνου τοῦ πρωτομάρτυρος ἄγουσι νεὼν, ἔνθα τῷ χώματι τοῦτον ἔδωκαν.

14. Τούτων ἀκούσας βασιλεὺς, καίτοι τῆς βασιλίδος νόσῳ V 109 βαρείᾳ τῷ τηνικάδε πιεζομένης, αὐτὸς δαιμονίᾳ τινὶ ὥσπερ εἰώθει κεκινημένος ὁρμῇ καθίστατο πρὸς τὸν πόλεμον. ἐν Σαρδικῇ τοίνυν τῇ Ἰλλυριῶν γενόμενος μητροπόλει ἐνταῦθα τὸν στρατὸν ἤθροιζεν. Ἰουνίου δὲ φθίνοντος ἐκεῖθεν ἄρας ἐπὶ τὸν Ἴστρον ἦλθε. B μέλλων δὲ ἤδη περαιοῦσθαι κατὰ τάδε ἐποίει. ὁπόσον ἐν τῷ στρατεύματι ὁπλίσει τε διαφέρον καὶ μαχιμώτερον ἦν, ἀντικρὺ Χράμου πόλεως ἔστησεν Οὐννικῆς, δόκησιν παρέχων ὡς αὐτίκα ἐκεῖθεν περαιωσόμενος. ὅθεν καὶ ἐπειδὴ ἀντίπορθμιον ἐνταῦθα τὸ Οὐννικὸν ἑστὼς εἶδεν, ἐπὶ Βελέγραδα μεταβὰς ὄρθρου ἐκεῖθεν ἀπέπλει. ἐντεῦθέν τε διηρῆσθαι συνέβαινε τοὺς πολεμίους ἑκατέροις ἀντιτάξασθαι διανοουμένους μέρεσι. πλὴν ἀλλὰ καὶ οἱ Ῥωμαῖοι ὀκνήσει πολλῇ ἐς τὴν διάβασιν εἴχοντο, ὃ γνοὺς βασιλεὺς αὐτὸς πρὸ τῶν ἄλλων, ὁποῖα πολλάκις ἤδη τολμήσας ἔτυχε, λεμβαδίῳ ἐπιβὰς ἐπὶ τὴν ἀντιπέρας ἐφέρετο ὄχθην, ἑξῆς δὲ καὶ ὁ Ῥω- C μαίων στρατὸς τὴν βασιλέως ὁρμὴν αἰδεσθέντες ἐπὶ τὰς ναῦς ἐχώρουν. Οὖννοι δὲ ἐπειδὴ βασιλέα περαιωσάμενον εἶδον, ἔλυόν τε παρ' αὐτὰ τὸν συνασπισμὸν καὶ ἀνεχώρουν ὀπίσω. ὅτε συνέβη τῷ βασιλεῖ ἐν τῇ πρὸς τὴν πολεμίαν ἀποβάσει πλέον ἢ ἐχρῆν

10. μαχιμώτερον] Toll. μαχιμώτατον.

debentur, officiis: sed expositum proiectumque ante urbis portas inhumatum reliquerunt, donec ipsis naturae affectibus permoti illud tandem in Stephani protomartyris intulere templum, ibique humo mandavere.

ratoris, mandata exposuere rogavereque, ut iram remitteret. id ille primo negavit "rem certe magnam" inquiens "confecturus ille esset, legati, si quae iam ablata sunt, ea rursum donare vellet. habemus Sirmium, cepimus Zeugmen, Dalmatas tenemus, eorumque omnino domini facti sumus, quae vobis erepta etiam concedere nunc vultis. estne ergo alterum apud vos Sirmium, et altera Zeugme, Dalmatiaque alia, quae nobis tradituri sitis? si habetis, ea nobis ostendite, ut haec apertis continuo manibus excipiamus: quae quidem etsi haud tuto nos possessuros sciamus (quippe contra ius fasque agere nulla vobis est cura) iisdem tamen nostris viribus, deo iuvante, ut et ista tuebimur. si ergo haec nostra sunt, nihilque vobis amplius in iis iuris est, quae vos daturos dicitis, quibus conditionibus pacta fient? aut quid illud erit, quod vos nobis reconciliet?" iis quidem sermonibus legatos primum est allocutus: inde commutata oratione, "sed ut sciatis" ait "quam libenter vobiscum, qui Christiani estis velimus pacisci, agedum, sacramenta fiant." hactenus imperator. illi vero omnia iureiurando firmantes recessere: ipse autem princeps Byzantium est reversus.

17. Cum Ioannes Ducas Dalmatiam Romanorum imperio asseruisset, Nicephoro Chaluphae, quemadmodum ei a principe mandatum fuerat, istius administrandae curam imposuit. eo enim fuerat cum copiis missus, ut sive per vim sive per conditiones illam in potestatem redigeret: quod hanc scilicet

των τῷ λόγῳ δῆθεν Βελᾷ πρὸς κλῆρον καὶ ταύτην ἀφοριζόντων. ὁ δὲ τὴν Σερβίων παραμείψας χώραν, ἐπειδὴ εἰς ταύτην εἰσέβαλε πᾶσα ἐν βραχεῖ δυναστεία τὸ πλέον ὑπὸ τῷ βασιλεῖ ἔθετο. ὅτε δὴ Τραγούριόν τε ὑπὸ Ῥωμαίους ἐγένετο καὶ Σεβένικος, πρὸς δὲ καὶ Σπάλαθος καὶ τὸ Κατζικίων ἔθνος Διόκλειά τε πόλις περιφανής, ἣν Διοκλητιανὸς ὁ Ῥωμαίων ἐδείματο αὐτοκράτωρ, Κάρδων P 146 τε καὶ Ὀστρουμπίτζα καὶ Σάλων, καὶ ὅσαι ἐπὶ Δαλματικῇ ἵδρυνται ἄλλαι, ἑπτὰ καὶ πεντήκοντα ἅπασαι. τὰ μὲν κατὰ Δαλματίαν τῇδε ἐχώρησαν. βασιλεὺς δέ, ὥσπερ ἐλέγομεν, ἐς Βυζάντιον ἐπανιὼν θρίαμβον ἐξ ἀκροπόλεως ἄχρι καὶ ἐς τὸ τῆς Σοφίας μέγα κατήνεγκεν ἱερόν. ἐνταῦθά τε τὰ χαριστήρια θύσας καὶ χρυσίῳ τοὺς ἱεροπόλους δωρησάμενος, ὃ ἐκ Σιρμίου φορολογηθὲν Ῥωμαίοις ἔτυχεν, ἐν παλατίῳ ἡσύχαζεν. ἀλλ' ὅ με μικροῦ παρῆλθεν, ἐν ἐκείνῳ δὴ τῷ θριάμβῳ καὶ ἅρμα χρυσίου εἴργαστο ἀκηράτου, ἐφ' ᾧ τὸν βασιλέα ἐπιβήσεσθαι. οὐ μὴν καὶ ἐπέβη, τὸ μὲν πρὸς τὸν ὄγκον εὐλαβηθείς, τὸ δέ τοι καὶ πρωτοζύγων τῶν ἵππων ὄντων, οἳ τὸν δίφρον εἷλκον, θαμά τε τοῦτον ἐκταραττόντων, ὡς μικροῦ καὶ ἀνατετράφθαι κινδυνεύειν. B οὔπω δὲ συχνὸς ἐξῆκε χρόνος, καὶ αὖθις Σερβίους τε ὠδίνειν καὶ Παννόνων τὸ ἔθνος μεμαθηκὼς προφθάνειν ἠπείγετο τὴν ὁρμήν. ἀλλ' ἄρτι προσιόντα τοῦτον ἤκουσαν, καὶ τῆς ὁρμῆς ἀνακοπέντες ἀπαράλυτα τὰ δεδογμένα ἐτήρησαν.

1. ταύτην] Ita coni. Tollius. Cod. ταύτας. 6. Κάρδων] Rectius Σκάρδων. 17. θαμά τε] Ita Duc. cum Tollio. Cod. θαῦμά τε.

provinciam Belae in haereditatis sortem adsignarent Hungari. is itaque Serviorum fines praetergressus, postquam totus in Dalmatiam exercitus traductus erat, brevi pleraque imperatoris ditioni subiecit. tum enim in Romanorum ius concessere Tragurium et Sebenicus, ad haec Spalathus et Catziciorum gens; Dioclea urbs percelebris, quam Diocletianus imperator condidit, Scardona, Ostrubitza, Salona, omnesque aliae civitates quae in Dalmatia sitae sunt, numero in universum septem et quinquaginta. haec in Dalmatia feliciter gesta sunt. imperator autem Byzantium, uti diximus, reversus ab acropoli usque ad aedem S. Sophiae triumphum egit; ubi deo gratiis persolutis et sacerdotibus auro donatis, quod ex tributis Sirmii contraxerant Romani, in palatio quieti se dedit. sed me fere praeterierat, currum quo imperator veheretur, isto in triumpho ex auro solido confectum fuisse; non conscendisse illum tamen, tum quod vereretur ne arrogantiae incusaretur et fastus, tum etiam quod currui adiuncti equi tunc primum domiti et iugo pressi sic crebro succussissent iactassentque, ut haud multum abfuerit quin totus subverteretur. nec longum intercessit tempus, cum Servios et Pannones nova iterum moliri edoctus, eorum conatus praevertere statuit. sed statim atque illum accedere perceperunt, omisso incepto, pacta servavere.

ΒΙΒΛΙΟΝ Ζ.

1. Ὁ βασιλεὺς δὲ Ἀνδρόνικον ἀπὸ Ταυροσκυθῶν ἤδη, καθάπερ εἴρηται, ἐπανιόντα φιλοφροσύνης τε τῆς ἄλλης ἠξίωσε καὶ ἀφθόνῳ χρυσίῳ τὸν ἄνθρωπον δωρησάμενος ἐπὶ Κιλικίας τὰ τῇδε καταστησόμενον ἔπεμψεν· ὥς γε μὴν ἀφθόνοις ἔχοι χρῆσθαι τοῖς V 114 ἀναλώμασι καὶ Κύπρον αὐτῷ φορολογεῖσθαι ἔδωκεν. ἀλλ' ἐκεῖ- C νος ὀλίγον ἐν τοῖς καθεστῶσιν ἐπιμείνας χρόνον, πρῶτα μὲν Φιλίππαν τὴν Αὐγούστης κασιγνήτην γυναῖκα ἐγγυητὴν ἐποιήσατο, τοῦ παρ' ἡμῖν νομίμου ἥκιστα ξυγχωροῦντος αὐτῷ· εἶτα λόγῳ οὐδενὶ ταύτης ἀπεσχημένος ἐπὶ Παλαιστίνης μετέβη, χρήματα τῶν βασιλέως πλεῖστα συνεπαγόμενος, ἃ Κιλικίας τε αὐτῆς καὶ τῆς Κυπρίων ἐκπεφορολόγηκε γῆς. ἐνταῦθά τε τῇ σεβαστοκράτορος Ἰσαακίου ἐντετυχηκὼς θυγατρί, ἣ Βαλδουίνῳ, καθάπερ εἴρηται, τῷ ῥηγὶ ξυνοικήσασα, ἐπειδήπερ ἐκεῖνος ἀποθάνοι καὶ τὰ τῆς ἀρχῆς ἐπὶ τὸν ἀδελφὸν μεταπέσοι τὸν αὐτοῦ, ἐνταῦθα ἐπὶ Ἄκης καθῆστο πόλεως χηρεύουσα· θαμά τε ἐφοίτα παρ' αὐτὴν ἅτε ξυγγενῇ καὶ ὁμιλίας τινὰς ἰδιαζούσας ἐποιεῖτο τῇ ἀνθρώπῳ. προβαί- D νων δὲ καὶ ἐκτόπως ἠράσθη ταύτης ἄθεσμόν τινα καὶ ἀνόσιον ἔρωτα, ἕως ἤδη πλησιάσας αὐτῇ ἀνέλαβέ τε ἐκεῖθεν καὶ ἐπὶ τὴν τῶν Σαρακηνῶν σὺν αὐτῇ χώραν ἦλθεν, ἐξ ἧς καὶ παῖδας ἐτέκνω-

7. κασιγνήτην] Cod. κασιγνῆτιν. 14. ἐπὶ Ἄκης] Cod. ἐπὶ Ἄκε. correxit Heyse.

LIBER VI.

1. Ceterum imperator reversum, sicuti memoravimus, ex Tauroscythis Andronicum benevolentia singulari prosecutus, ingenti auri pondere donatum in Ciliciam ad res ibi componendas misit: et ut largiores ei sumptus suppeterent, vectigalia insuper Cypri attribuit. sed ille haud diu ibi locorum moratus, primo quidem Philippam Augustae sororem, legibus id nostris minime concedentibus, sibi despondet: deinde nulla ratione relicta illa in Palaestinam transiit, ingentes secum deferens imperatoris pecunias, quas ex Ciliciae et Cypri tributis coegerat. illic forte incidit in Isaacii sebastocratoris filiam, quae Balduino regi, uti dictum est, nupserat et functo marito fratreque illius regnum iam consecuto, vidua in urbe Ace morabatur. crebrius illam ut consanguineam convenit, et secretas etiam consuetudines cum ea habuit. tandem impuro atque illicito illius amore flagrans ac concubitu potitus in Saracenorum fines una cum illa traiecit et liberos ex ea postea sustulit.

σιν ὕστερον. τότε δὲ πολλήν τινα γῆν ὀθνείαν περιελθών, εἶτα καὶ εἰς τὴν ἑῴαν Ἰβήρων ἐμβάλλει χώραν. οὐ πολλῷ δὲ ὕστερον αὖθις ἐπὶ τοὺς Πέρσας ἦλθε σὺν τῇ γυναικί, ὅθεν συχνὰς ἐπὶ τὴν Ῥωμαίων ποιούμενος ἐμβολὰς πολλούς τε ἀνθρώπων ἀνδραποδιζόμενος ὁ κακοδαίμων ἁρπάγματα τοῦ πολέμου Πέρσαις παρεῖχε, δι' ἃ καὶ ἀναθέματι πρὸς τῆς ἐκκλησίας ὑποβέβληται.

2. Ὑπὸ τοῦτον τὸν χρόνον ζήτησίς τις ἐν Βυζαντίῳ ἀμφὶ τῇ Χριστοῦ συνέπεσε δόξῃ ἀπ' αἰτίας τοιᾶσδε. ἦν τις Δημήτριος, P 147 Ῥωμαῖος μὲν γένος Λάμπης δὲ κώμης ὡρμημένος Ἀσιανῆς, παιδεύσεως τῆς ἐγκυκλίου καὶ μαθημάτων τῶν ἐκτὸς ὀλίγον οἶμαι μετεσχηκώς, δόγμασι δὲ ὡς ἐπίπαν τοῖς θείοις ἐνευκαιρῶν καὶ ἀπέραντόν τινα περὶ ταῦτα κατατείνων ἀδολεσχίαν ἀεί. οὗτος πολλάκις περὶ τὴν ἑσπέραν καὶ ἔθνη πρεσβεύσας τὰ Ἰταλικὰ κορύζης μεστὸς ἐκεῖθεν ἐπανήει καὶ ἐτερατεύετο ἄλλα τε πολλὰ καὶ δὴ καὶ τὴν θεοῦ φύσιν οὐδέποτε ἀνίει πολυπραγμονῶν, πρᾶγμα οὐδενὶ ἄλλῳ ὅτι μὴ διδασκάλοις καὶ τῶν ἱερέων ἐφειμένον τοῖς προὔχουσιν, ἤδη δὲ καὶ βασιλεῦσι διὰ τὸ ἀξίωμα ἴσως. τότε δὲ ἐκ τῆς χώρας ἀναζεύξας Ἀλαμανῶν διαφανῶς ἑτεροφρονεῖν τὰ τῇδε διε- B τείνετο ἔθνη, καί ποτε τῷ βασιλεῖ διομιλούμενος τοιάδε τινὰ συνεῖρε. πυνθανομένου δὲ τοῦ βασιλέως τίνα ταῦτα εἶεν, ὑπολαβὼν ἐκεῖνος αὐτίκα τὸν πάντα διεξῄει λόγον. εἶχε δὲ οὕτως. "ἐλάσσω τὸν αὐτὸν καὶ ἴσον τῷ φύσαντι θεῷ λέγειν τολμῶσι."

10. ὀλίγον] Cod. ὀλίγας. 12. κατατείνων] Ita Tollius. Cod. κατατίνων. 15. ἀνίει] Cod. ἀνήει.

inde plurimas regiones exteras circumiens Orientalem Iberorum plagam adiit. neque ita multo post ad Persas iterum cum muliere reversus est: unde crebris in Romanorum fines factis excursionibus plurimos captivos fecit, quos ut belli praedam scelestus iste Persis concessit: ob quae facinora ab ecclesia anathemate perculsus est.

2. Per idem tempus orta est Byzantii de gloria Christi controversia hac occasione. quidam Demetrius, genere quidem Romanus sed Lampe vico Asiae oriundus, in disciplinis externis ac secularibus parum opinor versatus, institutis autem divinis assiduo deditus absurdissima quaeque de iis crebrius proferebat. hic saepius in Occidentem gentesque Italicas legatus missus et stolido fastu plenus inde reversus tum alia quaedam effudit portentosa, tum et dei naturam curiosius investigare non destitit: rem alii nulli permissam praeterquam doctoribus et iis qui in sacerdotum albo praecipui fulgeant, atque adeo ipsis iam imperatoribus, propter dignitatis forte excellentiam. cum e finibus Alemannorum rediret, gentes eas propalam contendebat a vera aberrare opinione, inque colloquium imperatoris aliquando admissus eadem effutiit. quaenam autem ista essent illo percontante, sermonem arripiens, statim rem omnem, cuius haec est summa, explicuit. "dicere" inquit "audeat minorem eumdem esse et aequalem deo a quo genitus est." at im-

βασιλέως δὲ "τί δέ; οὐχὶ καὶ θεὸν τὸν αὐτὸν καὶ ἄνθρωπόν φαμεν;" εἰπόντος, ὁ δὲ "ναί," εἶπεν. "οὐκοῦν" βασιλεὺς ἔφη "ἐν τῷ ἄνθρωπος μὲν τὸ ἧττον, ἐν δὲ τῷ θεὸς τὸ ἴσον ὁμολογοῦμεν. ταὐτὸ δὲ τοῦτο καὶ τοῦ σωτῆρος ἀκούομεν λέγοντος. φησὶ
C *γάρ που· ὁ πατήρ μου μείζων μού ἐστι. καὶ εἰ μὴ θατέρᾳ τοῦτο προσαρμοστέον φύσει (ἀτοπώτατον γάρ), ἀνάγκη λοιπὸν τῇ ἑτέρᾳ τὸν λόγον προσάπτειν. τὸ γὰρ μηδεμιᾷ λέγειν ἀνόητον. ἆρα καλῶς τοῖς ἀνθρώποις ὁ λόγος ἔχει, ὅσα γε τέως κράτος εἰδέναι τὸ ἡμέτερον." ὁ δὲ καὶ πάλιν "ἀλλὰ περιφανῶς ἀσεβοῦσιν" ἔλεγε. τότε μὲν οὖν ἐν τούτοις τὸν διάλογον ἔλυον· ὀλίγῳ δ' ὕστερον καὶ βιβλίῳ τὰ δοκοῦντα αὐτῷ Δημήτριος ἐνθέμενος τῷ βασιλεῖ ἐκόμισεν. ὁ δὲ "εἴ γε" ἔφη "ὑπὸ γῆν αὐτὸ κατακρύψαι δυνατά ἐστιν, αὐτίκα τοῦτο κατάχωσον, ὡς μὴ ἐντεῦθεν ὀλέθρου πολλοῖς πρό-*
D V 115 *ξενος ἔσῃ. ἐμοὶ γὰρ ἀραρότως ἔχειν συμβαίνει τὰ ἐς τὴν θεωρίαν ταυτηνί, καὶ οὐκ ἄν τις ῥᾳδίως οἶμαι αὐτῆς με ἕξει παρακινεῖν." ἀλλ' ἐκεῖνος ἔτι μᾶλλον θρασὺς ἦν ἰδίᾳ τε καὶ ἐν συλλόγοις αὐτὸ προὔφερεν. ἤδη δὲ καὶ τῶν ἀρχιερέων ἐκοινοῦτο πολλοῖς καὶ τοῖς ἐκ τῆς τῶν Λευιτῶν μερίδος, οὓς διακόνους καλοῦμεν. ἐπεί τε συμφωνοῦντας αὐτῷ πολλοὺς εὕρισκεν, ἔτι μᾶλλον ἀναφανδὰ κατὰ τῶν τὸ ἔλαττόν πως πεφρονηκότων ἔπνει καὶ ἐφέρετο· προϊόν τε ἐπὶ μέγα ἤρθη τὸ νεῖκος, καὶ οὐκ ἦν οὐδαμοῦ ὅστις τῷ τότε καὶ ἐλάλει καὶ ἐζήτει, κἂν ὁποιασοῦν ἐτύγχανε μερίδος ὤν. ὡς οὖν*

20. προϊόν] Cod. προϊών.

perator subiiciens "num quid" ait "eumdem esse et deum et hominem dicimus?" ille vero "sic se res habet." tum imperator: "an non igitur, quatenus homo est, minorem, quatenus autem deus, aequalem confitemur? hoc ipsum scilicet servatorem nostrum audivimus dicentem. alicubi enim ait: pater meus maior me est. quodsi divinae istud naturae non est adscribendum (id enim dicere prorsus absurdum esset) necesse est ut alteri, nempe humanae, sermo iste conveniat. dicere enim id neutri competere stultum esset. recte igitur homines isti sentiunt et loquuntur, quantum hactenus maiestati nostrae coniectari licuit." ille vero rursum "manifeste" inquit "errant in fide." atque in his diremptum est colloquium. at paulo post sententiam suam libello exaratam imperatori porrexit Demetrius: is vero "si" ait "condi sub terram potest libellus iste, defode illum protinus, ne multis causa perditionis fiat. mihi quidem immota super ea quaestione stat sententia, neque facile quis ab illa me dimoveat." ceterum insolentior etiam factus, libellum privatim ac publice in coetibus proferebat: atque cum ipsis etiam episcopis, Levitarumque ordine conspicuis, quos diaconos vocamus, de illo disserebat. cum vero iam plurimos in suam pertraxisset sententiam, manifestius contra eos qui minoris opinione tenerentur insurrexit, adeo ut maxima deinceps excitaretur contentio, cum occurreret nemo, cuiuscumque esset dignitatis, qui obloqui et ab eo inquirere quidpiam auderet. quae ut

ταῦτα βασιλεὺς ἔγνω, τὸ μὲν ἐπὶ κοινῆς τεθεικέναι ζητήσεως ὤκνει P 148 καὶ ἀνεδύετο, σὺν εὐλαβείᾳ τῷ πράγματι προσφερόμενος. ὁρῶν δὲ σχεδόν τί μοι ἅπαντας ἐς γνώμην τὴν Δημητρίου νεύοντας, ἕνα καθ᾽ ἕνα, ἤδη δὲ καὶ ξύνδυο καὶ κατὰ πλείους παραλαμβάνων ἐδοκίμαζε τὰ λεγόμενα, οὕτω τε πολλοὺς αὐτῶν ἐπὶ θατέραν μετήνεγκε δόξαν οὐκ ἔχοντας ἀντιλέγειν οὐδέν. κἂν γὰρ καὶ παιδείας ἄγευστος λογικῆς ἦν, ἀλλὰ φύσεως ὀξύτητι καὶ μεγαλείῳ νοήσεως πάντων καθάπαξ ἐκράτει τῶν ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις γεγενημένων ἀνθρώπων. καὶ οὐκ ἦν ὅστις ἠρνεῖτο ταῦτα, μὴ ὅτι τῶν ἐν βασιλέως ἀναστρεφομένων τὰ πολλὰ (ἦ γὰρ ἂν θωπείας ὑπώ- B πτευσέ τις ἐνταῦθα), ἀλλ᾽ ἤδη καὶ τῶν ἄλλων ἀγνώστων αὐτῷ· κἂν τι διερμηνεῦσαι προθυμηθείη, σὺν ἐξαισίᾳ τινὶ προμηθείᾳ καὶ σαφηνείᾳ καὶ φράσεως ἁπλότητι τοῦτο διεξῄει· κἂν ὁποίου δή τινος τῶν φιλοσοφίας ἤρτητο τὸ ζητούμενον εἰδῶν, φυσικῶν ἢ θεολογικῶν καὶ καθάπαξ τῶν ἄλλων. ἠσχόλει γὰρ ἑαυτὸν τοῖς τε θείοις καὶ τοῖς ἐκτὸς ἀκροάμασι, πολύν τε ἀμφοτέρων Ἄρεός τε καὶ Ἑρμοῦ λόγον ἐποιεῖτο, καίτοι σχεδὸν πολεμίων ἔργων οὐδένα καιρὸν ἀνιείς. ὁ μὲν οὖν οὕτως δεξιότητι φύσεως, ὅπερ ἐλέγομεν, πολλοὺς τῶν ἐντυγχανόντων ἐς γνώμην μετετίθει τὴν ἑαυτοῦ. τὸ γὰρ πρότερον οὐδεὶς ἦν ὅστις οὐχὶ τῆς ἀντικειμένης αὐτῷ μοίρας C ἦν, ὅτι μὴ Λουκᾶς ὁ τηνικάδε τοῖς ἐκκλησιαστικοῖς ἐφεστώς, ὃς καὶ αὐτὸς οὐδαμῇ παρρησιάζεσθαι ἔτι ἐτόλμα, καὶ διακόνων οὐ

3. σχεδόν τί μοι] ? Duc. σχεδόν τι μή. 11. ἄλλων] Malim ἄλλως.

imperatori comperta fuerunt, publico quidem examini hanc ille committere controversiam prae religione quadam in dies differebat. ubi vero omnes propemodum in Demetrii opinionem inclinare vidit, singulos primo, inde binos et plures ad se vocans, agitata et discussa quaestione, plurimos ex iis, cum quid opponerent non suppeteret, in alteram perduxit sententiam, licet enim logicam et dialecticam non attigisset, praestantia tamen ingenii et acumine mentisque et animi magnitudine ceteros omnino, qui nostra aetate vixerunt, homines praecellebat. et nemo haec infitiabatur, non eorum modo qui cum principe saepius versabantur, quorumque suspecta haberi posset adulatio, sed et aliorum, qui ei prorsus ignoti sunt. si quid enim interpretari vellet, id singulari accuratione et perspicuitate, necnon et nativa simplicitate referebat, ex quacumque demum philosophiae parte deducta esset quaestio, sive ex physica sive ex theologica ceterisque. exercebat enim sese in divinis perinde ac humanioribus disciplinis, et magno utrumque habebat loco, Martem et Mercurium, etsi nullo propemodum tempore illi a bellicis curis vacaret. ille itaque, uti diximus, complures ex iis, quibuscum congressus est, ad suam perduxit sententiam. primum enim nemo erat, qui non partis esset sibi adversae, praeterquam Lucas rebus ecclesiasticis tum praepositus, qui et ipse nec aperire libere mentem suam audebat, cum sex non amplius dia-

πλείους τῶν ἕξ. οἱ δὲ δὴ ἄλλοι ἅπαντες, ὡς ἐκ τῆς ἰδίᾳ τῷ βασιλεῖ κοινωνίας πολλοὺς τοῦ κατ' αὐτοὺς ἀπορρέοντας ἑώρων χοροῦ, οἰηθέντες τῷ διαφόρῳ τῆς νοήσεως καὶ τῷ τῆς γλώττης εὐστρόφῳ ἐν ταῖς ἰδιαζούσαις τοὺς πολλοὺς αὐτῶν εἰς ἑαυτὸν ἐφέλκεσθαι συνουσίαις, ἔστησαν παρ' ἑαυτοῖς, μηκέτι μηδένα κατὰ μόνας καὶ ἐν παραβύστῳ τῷ βασιλεῖ ἐντεύξεσθαι αὐτῶν. "κἂν γὰρ μὴ νῦν, ἀλλ' ὀψὲ καὶ μετὰ ἀποβίωσιν ἀναθέματι πάντως
D ὑποβληθήσεται" ἔλεγον συνελεύσεις ἔς τε ἀλλήλων καὶ δὴ καὶ ὑπερεχόντων τινῶν ποιούμενοι οἰκίας. ὧν οὐδὲν ἔτι συνιδὼν ὁ βασιλεὺς Εὐθύμιόν ποτε τῶν Νέων Πατρῶν ἀρχιερέα ἰδίᾳ καλέσας, ἀνεπυνθάνετο τῶν εἰρημένων γυμνάζειν τε σὺν αὐτῷ τὴν δόξαν ἤθελεν. ὁ δὲ μεμυκὼς τὰ χείλη σιγῇ ἵστατο. τοῦ βασιλέως δὲ τὴν αἰτίαν ἐρομένου τῆς σιωπῆς, τὸν πάντα λόγον ὑπολαβὼν ἐκεῖνος διεξῄει. θυμήνας οὖν ἐπὶ τούτοις, καίτοι οὐ πρότερον εἰθισμένον αὐτῷ τοῦτο (ὅ,τι γὰρ ἂν πράττοι σὺν εὐσταθείᾳ καὶ ἀκρο-
P 149 χολίας ἔπραττεν ἔξω), ἠπείλησε κατὰ κρημνοῦ τοῦτον ὠθήσειν,
V 116 εἴ γε αὐτοὶ τὴν ὑγιᾶ περὶ θεοῦ διαστρέφοντες δόξαν αὐτῷ ταῦτα ἐπικαλοῦσιν. "ἀλλ' ἵνα" ἔφη μεταβαλὼν "γνώσεσθε πρῶτον οἵτινες ὄντες καὶ ὅπως ποτὲ περὶ θεοῦ φρονοῦντες σκώμματά τε ἐπιρριπτεῖτε κἀμοί (ἀνέχομαι δὲ ὑβριζόμενος, ὡς μὴ δόξαν ὀρθὴν αὐθεκάστῳ διαβάλλοιμι πράξει. αἱ γὰρ πρὸς τὰ φαῦλα τῶν ἀγαθῶν ἔργων ὁμοιότητες ἱκαναὶ καὶ τὰς γνώμας ταυτίζειν, ἐξ ὧν

3. διαφόρῳ] Fort. διατόρῳ. 21. αὐθεκάστῳ] Ita Tollius coniecit. Cod. ἀνθεκαίνῳ.

coniis. ceteri autem omnes, ut plerosque post familiare cum imperatore colloquium a suis partibus abscedere viderunt, in secretis istis congressibus, ingenii solertia ac linguae lenocinio ad illius esse pertractos sententiam rati: apud se statuere, ut nemo e suis deinceps solus aut secreto cum principe colloqueretur. quippe, etsi non in hac vita quidem, tandem tamen post mortem anathemati omnino esse subdendum aiebant. ad haec mutuo in aedibus suis et principum aliquot virorum conventus instituerunt, quorum omnium ignarus imperator, Euthymium Novarum Patrarum episcopum secreto de hac controversia percontatur, hancque cum illo agitare se velle quaestionem ait. at is labia occludens silebat. exquirente autem imperatore causam silentii, tum respondens ille rem omnem explicuit. ex quibus non modice commotus princeps iraque succensus, quod alias solitus non erat, utpote qui cum animi constantia et praeter iracundiam quaelibet ageret, comminatur eum de excelsiori loco praecipitem se daturum, si qui sanam de deo doctrinam perverterent, sibi eam crimini ducerent. "sed ut intelligatis" inquit mutata primum voce "quales vos et quomodo de deo sentientes probra mihi ingeritis (ego autem iniuriam transmitto, ne rigidiore facinore verae rectaeque doctrinae officere videar: bonorum enim operum cum pravis similitudo ad animos etiam, unde utraque proveniunt, pari labe aspergendos

ἑκάτερα προέρχονται), ἀνθοπλίσασθε τοίνυν ὅπως μοι μόνῳ τῶν ἁπάντων ἀπεναντίας ὑμῖν ἥξοντι συμπλακήσεσθαι λοιπὸν δυνηθῆτε, οὐ βίᾳ χειρῶν, ἀλλ' ἐνεργείᾳ λόγων. μισεῖται γάρ μοι νικᾶν ἡττωμένῳ, καὶ μάρτυς ἡ πρᾶξις ἥδε. σαφέστατα γὰρ περιυ- B βρισμένος, ὥσπερ ὁρᾷς, ἐπέχω τὴν ἄμυναν· καίτοι ἔδει μὴ ἐν γωνίαις ὑμᾶς ταῦτα διασύρειν. τίς γὰρ ὑμᾶς καὶ ἐβιάσατο; ἢ τίς τὴν παρρησίαν ἀφεῖλε; πότε μοι πρὸ τοῦ βήματος ἀπεώσθητε λέγοντες; τί κερδανῶ αὐτός, δόξῃ παρίσταμαι ἀλλοκότῳ; ἆρα ὡς μὴ τὴν περὶ λόγους μοι δόξαν αἰσχυνῶ, ὅπερ ἤδη πολλοὶ τῶν καθ' ὑμᾶς ἔπαθον (καὶ μὴν οὐδέποτε τηλικαῦτα ἐπήγγελμαι) λείπεται πάντως, ἵνα μὴ περὶ θείου δόξαν καταπροδῶ. εἰ δέ τις μεταδιδάξαι με σχοίη τὴν γνώμην, συμφώνως γραφαῖς λαλῶν ταῖς ἱεραῖς, οὐδεμία μοι πάντως αἰσχύνη ἐπ' ἐκεῖνα μεταθέσθαι· ἓν δὲ C μόνον τοῦτο τετηρήσθω, ἀνύβριστος θεός. ὑπὲρ τούτου γὰρ μυριάκις αὐτὸς ὑβριζόμενος ὑπενέγκω." ταῦτα μὲν τῇδε ἐχώρησαν, ἡμερῶν δὲ ὀλίγων ὕστερον βίβλους τε, ὅσαι τε περὶ τούτων τρανοῦσιν, ἐκόμιζε συχνὰς κἀπὶ κοινοτέρας τὸ πρᾶγμα προὐτίθει ζητήσεως. ὑπέρρεον οὖν ἑκάστοτε συχνοὶ τῆς ἀντιθέτου μοίρας, ἕως ἅπαντες ἅμα πατριάρχαις τοῖς ἄλλοις ὡμοφρόνησάν τε καὶ τὸν βασιλέα τῆς τῶν γραφῶν μᾶλλον ξυνιέναι ὡμολόγουν διανοίας. τῷ γε μὴν Λουκᾷ ἐχαλέπαινόν τε περιφανῶς καὶ σκώμματα προσῆγον, δι' ἃ τοῦ θρόνου κατασπᾶν ἐπεβοῶντο τὸν ἄνθρωπον, πάνυ

1. ἑκάτερα] Cod. ἑκάτεροι. 8. δόξῃ παρίσταμαι] Duc. ante δόξῃ inseruit εἰ. fort. παριστάμενος. 16. ὅσαι τε] ὅσαι γε?

sufficit) agite, arma induite, ut mecum tandem solo contra vos venturo, non manuum vi, sed rationum et argumentorum pondere, depugnare possitis. nolo enim victus vincere; et testis mihi est haec actio. manifesta quippe affectus iniuria, ut vides, ab ultione abstineo. minime autem oportuerat vos ea in angulis proferre. quis enim vos ad id coegit? aut quis libertatem abstulit? quando ego sedens pro tribunali dicendi facultatem denegavi? quid inde ego lucri referam, si ineptam ac insulsam opinionem defendero? igitur ut non pudeat, quod non satis eruditae linguae animique existam, quod iam multis vestrum accidit (licet eiusmodi numquam professus sim) superest omnino, ut quam de deo habeo opinionem, non prodam aut deseram. si vero aliquis nova quaepiam docere me velit, quae scripturis sacris consentanea sint, in illius sententiam transire haud verebor. unum hoc interea observetur, ut non irrideatur deus: pro illo enim millies ipse contumeliam patiar." haec tum ibi gesta. paucis vero deinceps elapsis diebus libros complures, quotquot praedictam controversiam videbantur explanare, produxit communique concilio rem decidendam statuit. descivere igitur undique plures ab adversa parte, ita ut universi cum ceteris patriarchis eamdem amplexati sententiam imperatorem sacrarum scripturarum scientia ceteros anteire confiterentur. Lucae autem indignabantur propalam dicteriisque eum incessebant, atque adeo hominem throno depellendum inclamabant, viri

ἀμαθῶς τοῖς πράγμασιν ἐφιστάνειν εἰδότες. τῆς Λουκᾶ γὰρ ἡτ-
D τῆσθαι ὁμολογήσαντες γνώμης, ὅτι καὶ τῆς βασιλέως πολλῷ πρότερον, ἁλώσιμοί τε αὐτοῖς ἐς τὴν θρησκείαν γεγονότες, οἱ δὲ ἐγκλημάτων ἑτέρων ἐγράφοντο τοῦτον. ἐφ' οἷς οἶμαι καὶ βασιλεὺς αὐτῶν καταγνοὺς σὺν ἐπιπαθεῖ τινι λογισμῷ τῷ Λουκᾷ ἐπιφυομένων "ἀλλὰ τοῦτο μὲν" ἔφη "τέως ἀποκείσθω· ὁπηνίκα δὲ τέλος ἕξει τὸ τῶν παρόντων, βασανισθήσεται καὶ ταῦτα, καὶ τέλος αὐτοῖς ἐπιθήσομεν τὸ προσῆκον" ἐφ' οἷς ἀποκρουσθέντες ἐκύρουν ἤδη τὰ δεδογμένα. βασιλεὺς δὲ ὑπεσημήνατο τούτοις· καὶ τὸ λοιπὸν λίθοις ἐγκολαψάμενοι τὴν γραφὴν ἐπὶ τοῦ Σοφίας ἱεροῦ ἀρι-
P 150 στερᾷ εἰσιόντι φέροντες ἔστησαν. καὶ τέλος ἤδη εὕρατο τὰ τῆς ζητήσεως. ἐγὼ δ' ἐκεῖνο περὶ τῶν τοιούτων ἀεὶ φρονῶν διατετέλεκα, ὅτι δὴ φύσιν θεοῦ πολυπραγμονεῖν ἀνθρώπῳ γε ὄντι οὔκουν ἀνέγκλητον. ὅ γε μὴν θαυμάζειν ἔχω τῷ αὐτοκράτορι τούτῳ αὐτίκα μοι λελέξεται. συζητοῦντί ποτε περὶ τούτων αὐτῷ (ἐπὶ ἓξ καὶ γὰρ ἐνιαυτῶν παρετέτατο κύκλους τὰ τῆς ἀμφισβητήσεως) τῶν τις περὶ τὴν βασιλικὴν ἀμφιπονουμένων ἐγένετο ἑστίαν, ἀγγέλλων οὖν αὐτῷ ἡσυχῇ, ἠμβλωκέναι τὴν βασιλίδα, εἶτα καὶ ὅτι ἄρρεν. ὁ δὲ οὐδ' ὅσον ἐν σχήματι τὸ πάθος ἐπιδειξάμενος καθῆστο προσανέχων τοῖς λεγομένοις. ἐπεὶ δὲ τέλος ἤδη εἶχε τὰ τῆς τηνικάδε ζητήσεως, ὄρθιος ἀναστὰς ῥιπτεῖ παρὰ τοὺς τῶν ἱερέων πόδας
B ἑαυτόν, καὶ "ἄρτι μοι" ἔφη "πατέρες ἱεροί, λόγος ἐκ τῆς γυ-
V 117 ναικωνίτιδος ἦλθεν, ἐκτετρῶσθαι παῖδά μοι λέγων ἄρρενα, μεγίστην ἐλπίδα ἔμοιγε. ἀλλ' αἰτοῦμαι δὴ τὴν ὑμετέραν ἁγιότητα,

rerum gerendarum prorsus imperiti: ut qui cum Lucae et imperatoris multo ante sententia victos se profiterentur deprehensique iis essent a vera fide alieni, nova tamen crimina in eum coniicerent. unde factum opinor, ut et princeps eos damnaret, quod animo affectibus praeoccupato in Lucam ferrentur. "sed haec" inquit "differantur tantisper: ista etiam, ubi res praesentes absolverimus, examinabimus, et finem iis decentem imponemus." his itaque repulsi decreta confirmarunt, quibus ipse etiam subscripsit imperator. eadem vero postea lapidibus inscripta in templo sanctae Sophiae collocavere ad ingredientium partem sinistram. atque ita finita est illa controversia. illud equidem semper huiusmodi in rebus sensi ac credidi, dei naturam curiosius inquirere homini nefas esse. ceterum quod in principe isto admiratione dignum mihi visum est, nunc exponam. disceptanti aliquando super hoc ipso (sex enim totos annos agitata est ea quaestio) accurrens quidam e domesticis ministris Augustam fecisse abortum, ac deinde prolis masculae, in aurem insusurravit. sed ille nec vultu affectum prodens, ad ea quae tum disceptabantur intento semper animo sedit. qua tum finita disputatione, ante sacerdotum pedes procumbens "modo" inquit "patres sancti, adfertur mihi ex gynaeceo filium, spem mihi maximam, abortu periisse. sed sanctitatem

πέμψατέ τινα πρὸς θεὸν ἱκετηρίαν, πέμψατε ἀντιβολῶ. κἂν μὲν οὐκ ὀρθῶς ἔγωγε περὶ τοῦτον δὴ τὸν ἱερὸν ἐκονισάμην ἀγῶνα, μηκέτι μηδ' εἰσέπειτά μοι τελεσφορηθείη σπέρμα γένους ἑκατέρου μηδέν, μηδ' ὀναίμην ἐλπίδων τῶν ἐμαυτοῦ, εἰ δ' ἀρεστὰ θεῷ τὰ τῆς ἐμῆς γνώμης ἐστίν, οὐκ εἰς μακράν μοι τὴν ἐλπίδα παρέξοιτο ταύτην." ὁ μὲν τοσαῦτα εἰπὼν ἀνίστατο γῆθεν, οἱ δὲ ἐς γόνυ κλιθεὶς ἕκαστος σὺν δάκρυσι θεὸν ἐπεκάλουν. τότε μὲν οὖν ἐπὶ τοιούτοις ἀπηλλάγησαν. οὔπω δὲ χρόνος ἐξῆκε συχνός, καὶ τεκνοῖ παῖδα βασιλεύς, γλύμμα Χαρίτων, φύσεως ἄνθος. C ἀλλὰ τοῦτον μὲν ὁποῖός τις ἐστὶν ἰδεῖν ὁ λόγος ἐν δέοντι διαγράψει μοι, τὰ δὲ τῶν ἀγώνων ἐκείνων ἐν τούτοις ἐτελεύτα. Λουκᾶς δέ, ἐπειδὴ μηδὲν ὅ,τι καὶ λόγου ἄξιον πρὸς τῶν κατηγορούντων αὐτῷ προσετρίβετο, ἐπὶ τοῦ θρόνου ἔμεινεν αὖθις. Ἰωάννης δὲ ὁ τὴν Κερκυραίων λαχὼν καὶ μοναχῶν τις, ὃν ἐπεκάλουν Εἰρηνικόν, τῇ προτέρᾳ ἐπιμείναντες δόξῃ ἀναθέματι ὑποβέβληντο, ἄλλοι τε ἐξῆς τῶν ἐκκλησιαστικῶν ἐξωστρακίσθησαν καταλόγων.

3. Ὁ δὲ τῶν Οὔννων ῥὴξ τὰ καθεστῶτα πάλιν κινήσας Διονύσιόν τινα τῶν παρ' αὐτῷ ἐπιφανῶν, ἄνδρα πολέμων πολλῶν ἔμπειρον, στρατεύματι μεγάλῳ Σιρμίου καὶ πάλιν ἀντιποιηθῆναι ἔπεμψεν. D ὃ πυθόμενοι οἱ τῶν Ῥωμαίων στρατηγοὶ βουλευτέα σφίσι περὶ τούτου ἐποίουν. προὔβαινε μὲν τὰ τῆς βουλῆς, οὐκ ἐπὶ τὸ Ῥωμαίοις ξυνοῖσον, ὁρώντων τῶν βουλευτῶν, ἀλλ' ὡς ἄν τις παραλογίσαιτο τὸν ἕτερον, μάλιστα μέντοι ἄμφω

21. ἐποίουν]?

vestram obsecro, preces ad deum fundite orateque, ut si in eo sacro certamine non recte sanaque fide desudavi, nulla mihi deinceps utriusque sexus proles ad maturam aetatem perveniat, nec votis unquam potiar meis: sin autem grata deo nostra fuit sententia, hanc spem meam non in longum tempus protrahat." quibus dictis humo se tollit. illi autem in genua flexi cum lacrimis deum invocant, iisque peractis precibus digrediuntur. neque multum effluxit temporis, cum puerum genuit imperator, Gratiarum imaginem, florem naturae. sed quali fuerit is forma congruenti loco pluribus exsequemur. et in his finem habuere eiuscemodi quaestiones. Lucas autem, cum nihil gravioris momenti ei ab adversariis obiiceretur, in sede rursum permansit. at Ioannes Corcyraeorum episcopus et monachus alius, cognomento Irenicus, in priori sententia persistentes, excommunicationi subditi sunt, aliique insuper ex ecclesiasticis catalogis deleti.

3. Interea Hungarorum rex ruptis rursum foederibus Dionysium quemdam ex aulae primatibus, virum qui multis iam in bellis inclaruerat, cum ingenti exercitu ad Sirmium iterum occupandum mittit. quod simul atque percepere Romani duces, quid in eo rerum statu esset agendum deliberant. sed non in Romanorum commodum processit eiusmodi consilium, utpote in id intentis consiliariis, ut alius alium deciperet: utroque in primis Michaële,

τῷ Μιχαήλ, ὅς τε Γαβρᾶς ἐπεκέκλητο δοὺξ τῆς τῆδε χώρας τελῶν, καὶ ὁ Βρανᾶς στρατεύματος ἰδίᾳ κατάρχων καὶ αὐτός, ἀμφοτέρω μὲν πολεμικωτάτω, ἀλλ' ὁ Βρανᾶς ἐκράτει μᾶλλον. βουλευομένοις τοίνυν ἐπειδήπερ ἐδόκει νύκτωρ ἐπιθέσθαι Διονυσίῳ, P 151 ἄραντες πανστρατεὶ πρόσω ἐχώρουν. γεγονότες δ' ἔνθα Διονύσιον στρατοπεδεύεσθαι συνέβαινεν, ἐπειδὴ παντάπασιν ἀνδρῶν ἔρημον τὸ στρατόπεδον εὗρον, ὑποδειλιᾶν ἤρξαντο. ἱκανὸν γὰρ εἴπερ τι χῶρος ἔρημος καὶ ἀήθης διατριβὴ ψυχὴν ἐπὶ πολεμίας κατασεῖσαι στρατιωτικήν. ἰχνοσκοποῦντες δ' ὅμως ἐπορεύοντο, καὶ τάχα ἄν τι καὶ ἔπραξαν, εἴ γε πρωιαίτερον τοῖς Οὔννοις ἐπέθεντο. τότε δὲ ἐπεὶ ἡμέρα ἤδη διαφανῶς ἦν, αἰσθόμενοι Οὖννοι τούς τε ἵππους εἰσελαύνειν ἐπὶ τὸ στρατόπεδον ἤρξαντο (ἐτύγχανον γὰρ ἐπὶ νομὴν ἀναθέντες) καὶ τοῖς πρὸ τῶν σκηνῶν ἐξ ἔθους ἀεὶ ἑστῶσιν ἐπιβαίνοντες φαλαγγηδὸν ἐτάττοντο, Ῥωμαίους τε σὺν ἀκοσμίᾳ πολλῇ φερομένους ἰδόντες (τοῖς γὰρ B τὴν ἵππον ἐλαύνουσιν ἐπιθέμενοι Οὔννοις οἱ πλείους ἐσκεδάσθησαν) ἐπήλασάν τε αὐτοῖς καὶ τρεψάμενοι εἰς τοὺς κατόπιν ἰόντας τῆς Ῥωμαϊκῆς φάλαγγος συνελάσαι ἴσχυσαν. ἐφ' οἷς συνταραχθέντες ἐκεῖνοι ἐς ὑπαγωγὴν ἔκλιναν. καὶ τὸ λοιπὸν ἀνὰ κράτος Ῥωμαῖοι ἔφευγον, οἰηθέντες πολλῷ πλείονα τῆς ὁρωμένης ἐπιθέσθαι σφίσι στρατιᾶς. τὴν γὰρ τοῦ ἀληθοῦς γνῶσίν τε καὶ διάκρισιν κομιδῇ ὀλίγοις ἀνθρώπων ἐν τοῖς τοιούτοις ἔστιν εὑρεῖν. ὅθεν καὶ ταχὺ πάντων ἀπαγορευσάντων μέχρι μέν τι-

4. βουλευομένοις] Cod. βουλομένοις. corr. Tollius. 10. πρωιαίτερον] Cod. προιαίτερον. 13. ἀναθέντες] Fort. ἀνεθέντες.

Gabra nimirum, qui dux erat regionis, et Branas, qui et ipse exercitui praeerat, utroque belli cupidissimo: verum praevaluit Branas. cum igitur Dionysium noctu adoriri vellent, quandoquidem ita inter se decreverant, motis inde castris cum omnibus viribus ulterius sunt progressi. ubi ad eum pervenere locum, in quo sua Dionysius castra posuerat, nullumque omnino in iis invenere exercitum, tum eos occupavit pavor. si quid enim aliud, locus desertus et incognitus in hostium solo ad commovendos militum animos plurimum valet. nihilo minus iter agebant, eorum subinde observantes vestigia: et forte confecissent quidpiam, si maturius adorti fuissent Hungaros. tum enim clara iam luce, ut id illi advertere, equis qui in pascuis erant in castra abactis, et ceteris qui ante tentoria stare de more solent conscensis, in turmas ordinantur: mox ut Romanos negligenter et incomposite ferri vident (plurimi enim ex iis, dum Hungaros, qui equos in castra agebant, adoriuntur, sese huc illuc effuderant), illos invadunt, fusisque iis ceteros, qui Romanam phalangem a tergo sequebantur, propulere etiam. quibus perculsi Romani receptum primo cogitarunt, ac deinde longe maiorem viso instare exercitum rati in fugam sese coniecere. veritatem enim aut cognoscere, aut diiudicare iis in momentis pauci admodum mortales sciunt. pro-

νες ἵστατον ἀμφοτέρω τὼ στρατηγὼ σὺν τοῖς σημείοις καὶ ὀλίγοις τῶν ἀμφ' αὐτούς, οἰομένω ἐπισυστήσασθαι αὖ Ῥωμαίων τινάς· ὡς δὲ οὐδεὶς οὐδαμόθεν συνίστατο τούτοις, νῶτα λοιπὸν ἔδοσαν καὶ αὐτοί. ἀλλ' ὁ μὲν Βρανᾶς μεταξὺ ἐπιστραφεὶς τῶν C τινα πολεμίων δόρατι ἔπαισεν, ἅτερος δὲ ἀπῄει. ὅτε δὴ καταφανῶς ἔγνωστο τὰ τῆς ἐν βουλῇ πρότερον αὐτοῖς διαφορᾶς. V 118 ὁ γάρ τοι Βρανᾶς ἐπειδὴ φεύγοντι αὖθις συνέμιξε τῷ Γαβρᾷ, ἐπιτωθάζων μάλα καὶ ἐνδιάθρυπτος "ἆρα" ἔφη "συνεβάλου με, ὦ σεβαστέ, ὅπως ἐσαῦθις τοῖς πολεμίοις ἀντεκατέστην, ἀπὸ δόρατός τε αὐτοῖς προσηνέχθην;" τοῦ δὲ καταφήσαντος, "ἀλλ' ἔγωγε" εἶπεν "οὐ μὰ τὴν βασιλέως εἶδόν σε κεφαλὴν ὅτι μὴ ἀπιόντα." οὕτως οἱ νῦν Ῥωμαῖοι οὐκ ἐπὶ τῷ κοινῇ συμφέροντι οὐδὲν πεπραγμάτευται ἕκαστος, ἀλλ' ὡς ἄν τις αὐτὸς καλὸς καὶ ἀγαθὸς εἶναι δόξῃ, πάντα ἀναδέχεται πόνον. Οὖννοι δὲ κατὰ D νώτου διώξαντες οὐ σφόδρα πολλοὺς Ῥωμαίων ἔκτειναν, εἷλον δὲ καὶ οὐ συχνούς. δειλίᾳ γὰρ ἔτι πολλῇ εἴχοντο. τεκμηριώσαιτο δ' ἄν τις ἐντεῦθεν. τῶν γάρ τις ἐκ πεζικῶν καταλόγων φυγὰς ἄχρι καὶ ἐπὶ Ζεύγμην ἦλθε, πρὸς οὐδενὸς Ῥωμαίων καταληφθείς. οὕτω σχολῇ τὴν ὁδὸν ἐποιοῦντο. ὅτε δὴ πρὸς ὄγκον ἐπᾶραι τὸ πραχθὲν ἐννοησάμενος Διονύσιος ὀλίγα τῶν πεπτωκότων συναγαγὼν σώματα χοῦν ἐπ' αὐτὰ ὅτι πλεῖστον ἤγειρε, τῷ τοῦ χώματος μεγέθει καὶ τὰ νεκριμαῖα συμμετρεῖσθαι διανοηθείς. ταῦτα μὲν οὖν οὕτω συνηνέχθη γενέσθαι, βασιλεὺς δὲ P 152

5. καταφανῶς] Cod. καὶ ἀφανῶς. correxit Heyse. 8. ἐνδιάθρυπτος] Fort. ἐνδιαθρυπτόμενος.

tinus itaque omnibus discedentibus, aliquamdiu cum signis, et paucis ex suis, restitere dux uterque, aliquot adhuc secum permansuros Romanos rati. sed ubi nemo usquam cum iis stetit, terga et ipsi tandem dederunt. Branas quidem conversus unum de hostibus hasta percussit; alter autem fuga evasit. tum sane quod in consilio prius inter eos dissidium intercesserat innotuit; postquam enim fugientem Gabram iterum assecutus est Branas, irridens ac illudens "num" inquit "vidisti, o sebaste, ut iterum restiterim hostibus, eosque hasta invaserim?" illo annuente "enimvero" ait "per caput imperatoris nusquam vidi te nisi fugientem." sic igitur nunc aetatis Romanorum quisque, si de communi agatur commodo ac publica utilitate, egregium nihil conficit: contra vero, ut manu strenuus fortisque omnibus appareat, nulli labori parcit. at Hungari, qui a tergo fugientibus instabant, paucos e Romanis cecidere, nec plures admodum cepere, cum essent et ipsi pavore haud minimo conturbati: quod inde colligere quivis potest. quidam enim ex pedestribus numeris ad Zeugmen usque fuga delatus, in nullum Romanorum incidit, adeo oscitanter illi iter faciebant. tum quidem Dionysius in immensum attollere rem gestam cogitans, paucis in unum collectis interemptorum cadaveribus, humum iis iniecit, aggeremque altius eduxit, futurum ratus, ut caesorum inde numerus deprehenderetur. in hunc modum res ibi peractae

ἰσφάδαζε μὲν διὰ ταῦτα καὶ ἤθελεν αὐτὸς καὶ πάλιν ἐπὶ Οὐννικῆς ἰέναι, ἐπίδειξιν δὲ μᾶλλον τῆς Ῥωμαίων ἰσχύος ποιεῖσθαι θέλων αὐτοῖς, τοιάδε τινὰ ἐνενόει. Ἀλέξιον μέν, ᾧ τὴν θυγατέρα ἠγγύα, στρατεύμασιν ἅμα πολλοῖς, ὧν Ἀλέξιος ἦρχεν ὃς πρωτοστράτωρ ἐτύγχανεν ὤν, ἐπὶ τὸν Ἴστρον ἔπεμπε δόκησιν ἐμποιήσοντα Οὔννοις ὡς ἐκ τῶν συνήθων καὶ πάλιν αὐτοῖς ἐπιτεθήσεται χωρίων, Λέοντα δέ τινα Βατάτζην ἐπίκλησιν ἑτέρωθεν στράτευμα ἐπαγόμενον ἄλλο τε συχνὸν καὶ δὴ καὶ Βλάχων πολὺν ὅμιλον, οἳ τῶν ἐξ Ἰταλίας ἄποικοι πάλαι εἶναι λέγονται, ἐκ τῶν πρὸς τῷ Εὐξείνῳ καλουμένῳ πόντῳ χωρίων ἐμβαλεῖν ἐκέ-
B λευεν εἰς τὴν Οὐννικήν, ὅθεν οὐδεὶς οὐδέποτε τοῦ παντὸς αἰῶνος ἐπέδραμε τούτοις. Ἀλέξιος μὲν οὖν καὶ τὸ ἄλλο Ῥωμαίων στράτευμα ἐπὶ τοῦ Ἴστρου γεγονότες δέος ὑπέτεινον Οὔννοις ὡς ἐκεῖθεν αὐτίκα περαιωσόμενοι, ὁ Βατάτζης δὲ ὅθεν εἴρηται προσβαλὼν ἔκειρέ τε ἀφειδῶς πάντα καὶ ξυνεπάτει τὰ παραπίπτοντα. ἀνθρώπων τε οὖν πολὺν εἴργαστο φόνον καὶ ἀνδραποδισμὸν οὐκ ἐλάσσω πεποίητο. πρὸς δὲ καὶ ζώων ἀγέλας ἵππων τε καὶ ἄλλων παντοδαπῶν ἐκεῖθεν ἐλάσας ἐπὶ βασιλέα ἦλθεν. ὁ δὲ καὶ δευτέραν ἐπιθεῖναι σφίσι θέλων πληγὴν στράτευμα καὶ πάλιν ἐπ' αὐτοὺς ἔπεμψεν ἐπιστείλας ἄνωθέν ποθεν ἐς τοὺς προσοικοῦντας τὴν Ταυροσκυθικὴν ἐμβαλεῖν Οὔννους. ἡγοῦντό τε τοῦ
C στρατεύματος τούτου Ἀνδρόνικός τε ὁ Λαμπαρδᾶς καὶ Νικηφόρος ὁ Πετραλοίφας ἄλλοι τε ἱκανοί. πᾶσι μέντοι ἐφίστατο Ἰωάννης, οὗ πολλάκις ἤδη ἐμνήσθην, ὁ Δούκας· οἳ καὶ οὐκ

sunt. at imperator ex iis non modice indignatus, ipse iterum in Hungariam movere instituit: atque ut Romanae fortitudinis hostibus daret argumentum, id potissimum comminiscitur. Alexium quidem, cui desponderat filiam, cum multis copiis, quibus Alexius protostrator praefuerat, versus Istrum misit, quo Hungaris fucum faceret quasi ex consuetis rursum locis in eos impetum esset facturus. Leonem autem Batatzem nomine aliunde cum exercitu perinde magno, maxime vero Valachorum ingenti multitudine, qui Italorum coloni quondam fuisse perhibentur, ex locis Ponto Euxino vicinis irruptionem in Hungariam facere iubet, qua ex parte nemo adhuc a primis seculis eos invaserat. Alexius itaque et reliquus Romanorum exercitus cum ad Istrum pervenissent metum Hungaris fecere quasi continuo inde traiecturi. Batatzes autem ab iis quae diximus locis irrumpens, omnia depopulatus obvia quaeque prosternit hominum ingentem caedem edit, nec pauciores captivos ducit. ad haec pecorum equorumque et aliorum inde animalium greges agens ad imperatorem revertitur. sed ille alteram quoque iis inferre plagam volens novas in eos rursus copias misit: iussitque ut superiora adirent loca et Hungaros qui Tauroscythicam accolunt aggrederentur. iis copiis praeerant Andronicus Lampardas et Nicephorus Petralipha aliique non pauci. summa autem rerum penes Ioannem Ducam, cuius non semel meminimus,

ἐς μακρὰν δολιχοὺς τινας καὶ δυσεμβόλους διαμείψαντες χώρους ἀνθρώπων τε παντάπασιν ἔρημον διελθόντες γῆν ἐμβάλλουσι τῇ Οὐννικῇ, κώμαις τε πολυανθρωποτάταις ἄγαν ἐντετυχηκότες πολλαῖς μέγα τέ τι λαφύρων περιεβάλλοντο χρῆμα καὶ ἀνθρώπων πολλοὺς ἔκτειναν, πλείστους δὲ καὶ ἠνδραποδίσαντο. μέλλοντές τε ἤδη ἐκεῖθεν ἀπαίρειν σταυρὸν χαλκοῦ πεποιημένον ἐνταῦθα ἀναστήσαντες τοιάδε τινὰ ἔγραψαν.

Ἐνθάδε Παννονίης ποτὲ ἄκριτα φῦλα γενέθλης
Δεινὸς Ἄρης καὶ χεὶρ ἔκτανεν Αὐσονίων. D
Ῥώμης ὁππότε κλεινῆς δῖος ἄνασσε Μανουήλ,
Κομνηνῶν κρατόρων εὖχος ἀριστονόων.

4. Ἐν ᾧ δὲ ταῦτα ἐγίνετο, Ἐρρίκος Ὀστριχίων δοὺξ σὺν V 119
τῇ γυναικὶ Θεοδώρᾳ τῇ βασιλέως ἀδελφιδῇ ἐπὶ Σαρδικὴν ἦλθε, Φρεδερίκον τε τὸν Ἀλαμανῶν ῥῆγα τῷ βασιλεῖ διαλλάξων καὶ πολέμων ἐκεχειρίαν Οὔννοις ἐξαιτησόμενος. Φρεδερίκος γάρ, ὡς ἐν τοῖς ἔξωθέν μοι δεδιήγηται λόγοις, βασιλέως ἀντιπράττοντος αὐτῷ, τήν τε Ῥώμης ἀρχὴν παρὰ μικρὸν ἀφῃρῆσθαι ἦλθεν, ἐς τὸ πάλαι ἔθος ἀνακεχωρηκέναι τοῦ ἐν Ῥώμῃ ἀρχιερέως συνομολογήσαντος, καὶ ἄλλα τῶν οὐ κατὰ γνώμην ὑπέστη πολλά, τῶν P 153
τῇδε ἐθνῶν ἐκπεπολεμωμένων αὐτῷ ταῖς ἐκ βασιλέως συνωθήσεσι. δι' ἃ καὶ ὀλίγῳ μὲν πρότερον, ὁπηνίκα ἔτι ἐν κακοῖς ἦν, ὑποποιεῖσθαι τὸν βασιλέα θέλων, πέμψας φίλια διελέξατο κατὰ

4. περιεβάλλοντο] Malim περιεβάλοντο. 12. Ὀστριχίων] Ita Duc. Cod. ὁ Στριχίων. 16. ἔξωθεν] Duc. ἔπροθεν. voluit ἔμπροσθεν. 17. ἐς τὸ πάλαι] Duc. ἔς τε τὸ πάλαι.

fuit. nec diu cunctati loca longa atque inaccessa terrasque hominibus prorsus vacuas emensi Hungariam invadunt, et in vicos incidentes frequentissimos complures ingenti praeda potiuntur, homines multos caedunt, plurimos captivos faciunt: cumque inde essent excessuri confectam ex aere crucem isthic loci statuunt cum huiusmodi inscriptione:

Pannonicae quondam numerosa hic germina stirpis
Mars et dura manus sustulit Ausonium:
Imperium Manuēl Romae cum divus habebat,
Comnenum Augustae gloria prima domus.

4. Interea dum haec geruntur, Austriae dux Henricus cum uxore Theodora imperatoris adgnata Sardicam venit, tum ut Fredericum Alemannorum regem imperatori reconciliaret, tum etiam ut belli inducias pro Hungaris expeteret. Fredericus enim, ut supra commemoravimus, obnitente ei Manuële, non multum abfuit quin Romano privaretur principatu, Romano pontifice ut ad normam id antiquam rediret consentiente. alia item multa minime iucunda perpessus erat, infensis ei populis, quos in illum concitaverat imperator. quapropter paulo ante cum in discrimine adhuc res eius essent, placare volens imperatorem per legatos amicitiam ipsius expetiit se-

Οὔννων τε ὥσπερ εἴρηται συνάρασθαι αὐτῷ ὡμολόγει. ἐπεὶ δὲ τὰ ἀμφὶ τῇ Ῥώμης ἀρχῇ τῷ πάπᾳ διωμολογημένα ἀνατετράφθαι ξυνέβη, ἅτε δὴ βασιλέως μὲν ἐπὶ Βυζάντιον τὴν Ῥώμης καὶ αὖθις μεῖναι ἰσχυριζομένου βασιλείαν, τοῦ δὲ πάπα τοῦτο μὲν οὐ καταδεχομένου ἐν Ῥώμῃ δὲ βασιλεύειν αὐτὸν ἀξιοῦντος, διὰ ταῦτα ἀναθαρσήσας Φρεδερίκος αὖθις τὴν δυσμένειαν ἐξεδείκνυ,
B *εἰς γῆν τε τὴν Ῥωμαίων εἰσβαλεῖν διανοούμενος βαρβαρικῇ τινι ἀπονοίᾳ ἤδη καὶ διαμερίζειν αὐτὴν τοῖς περὶ αὐτὸν ἤρξατο. ἐπεὶ δὲ τοῦ βασιλέως ἀντιπραττομένου ἐπινοίαις ἑτέραις ἄπρακτος ἦν, ἐπὶ τὴν δι' Ἐρρίκου τούτου καὶ Βλαδιγράτζου ἐπεῖδε πρεσβείαν, μηχανώμενος ὅπως ἂν ἐν φιλίας προσχήματι ἀποσχέσθαι τῶν κατ' αὐτοῦ ἐγχειρουμένων ἀναπείσας τὸν βασιλέα αὐτὸς οὕτω ἐς τὸν κατὰ Ῥωμαίων εὐχερῶς ἀποδύσηται πόλεμον. ἀλλὰ βασιλεὺς ταῦτα ἐννοησάμενος Ἐρρίκον μὲν σὺν εὐμενείᾳ εἶδεν ἄνεσίν τε πολέμου Οὔννοις αἰτησαμένῳ ἐπένευσε, τῶν δὲ ἀμφὶ τῷ Φρεδερίκῳ πέρατι δέδωκεν οὐδέν. ἀλλὰ Ἐρρίκος ἐπὶ οἴκου ἀναχω-*
C *ρῶν, ἐπειδήπερ ἐν Παιονίᾳ ἐγένετο, Στέφανον ἀναπείθει τὴν Ταυροσκυθίδα διωσάμενον κόρην θυγατέρα τὴν αὐτοῦ ἀγαγέσθαι. γέγονε δὴ ταῦτα· καὶ Οὖννοι οὐ πολλῷ ὕστερον Δαλματίαν αὖθις ἀφελέσθαι διενοήθησαν. ἄλλα τε οὖν στρατεύματα παρ' αὐτὴν ἦλθον καὶ ὁ παρ' αὐτοῖς τὴν ζουπάνου ἔχων ἀρχὴν (βούλεται δὲ τοῦτο τὸν μετὰ τὸν ῥῆγα παρὰ τῷ ἔθνει δε-*

8. **Βυζάντιον**] **Βυζαντίου?** 9. **ἀντιπραττομένου**] **Fort. ἀντιταττομένου.** 17. **τὴν**] **Ita Tollius. Cod. τόν.**

que belli contra Hungaros socium fore pollicitus est. verum cum ea quae de imperio Romano a Papa sancita fuerant convulsa essent penitus et in irritum cecidissent: principe nimirum ut Byzantii rursum maneret imperii Romani sedes contendente, idque non admittente Papa, sed ut Romae imperaret postulante: his rebus elatus Fredericus rursum quo adversus principem flagrabat odium palam fecit, atque in terras Romanorum irrumpere statuens barbarica quadam amentia ac stoliditate eas iam suis partiri coeperat. ubi ergo principe obviam eunte conficere nihil potuit, ad alia versus consilia, legationem huius Henrici et Bladigratzi instituit: ut hac arte sub amicitiae et benevolentiae praetextu a conatibus avocato imperatore facilius ad bellum Romanis inferendum sese deinceps accingeret. sed ubi id imperatori compertum est, Henricum quidem multa comitate excepit induciasque pro Hungaris expetenti indulsit: eorum vero quae ad Fredericum spectabant nihil est exsecutus. Henricus autem domum rediens cum in Hungariam pervenisset, Stephano persuasit ut remissa ac pulsa Tauroscythica puella filiam suam in matrimonium duceret. quo facto Hungari non multo post occupare iterum Dalmatiam statuerunt, aliaeque eo missae copiae, et ipse etiam qui Zupani dignitate inter illos fungebatur, quod nomen proximam a rege in ea gente

ἐκτημένον) ἀλλὰ πολέμῳ μὲν τῶν τῇδε περιγενέσθαι οὐδαμῇ ἴσχυσαν, τὸν Χαλούφην δὲ ὑπὸ χερσὶ θέμενοι ἀνεχώρησαν. ὅπως γε μὴν Νικηφόρῳ τοῦτο συνέβη, αὐτίκα μοι λελέξεται. οὗτος στράτευμα Οὐννικὸν ἐπὶ χώρας γενέσθαι πυθόμενος, ὀλίγους τῆς περὶ αὐτὸν ἐπιθέμενος στρατιᾶς ἔξῄει τοῦ Σπαλαθᾶ. ἐν ᾧ δὲ D τὴν πορείαν ἐτίθετο, οἱ πλείους τῶν αὐτῷ ἑπομένων κατ' ὀλίγους ἀπορρέοντες ἀεὶ εὐχείρωτον τοῖς πολεμίοις τὸν ἄνθρωπον ἔθεντο. περιστάντες οὖν αὐτὸν ἔργα χειρὸς ἐργασάμενον ἁδρᾶς αἰχμάλωτον ἔσχον.

5. Ὁ βασιλεὺς δὲ τούτων ἀκούσας ἐς Βυζάντιον ἦλθεν, ἔαρος σὺν μείζονι ἄλλῃ παρασκευῇ κατ' αὐτῶν ἀφικέσθαι διανοούμενος. οὐ μέντοι καὶ ἠδυνήθη περὶ τὴν στρατευσίμην ἐνταῦθα παραγενέσθαι ὥραν, τύχης ἐμποδὼν αὐτῷ χωρησάσης τινός, ἥτις ὁποία ποτὲ ἦν ὁ λόγος δηλώσει. ἐξῆκε μὲν ὁ χει- P 154 μών, ἀνακεκαθαρμένου δὲ τοῦ ἀχλυώδους ἐπί τι σωφρονικὸν καθίει γυμνάσιον ἑαυτὸν εἰθισμένον ὃν βασιλεῦσι καὶ παισὶ βασιλέων ἀνέκαθεν. ἔστι δὲ τὸ τοιοῦτον. νεανίαι τινὲς εἰς ἴσα διαιρεθέντες ἀλλήλοις σφαῖραν σκύτους μὲν πεποιημένην μήλῳ δὲ V 120 παρεμφερῆ τὸ μέγεθος εἰς χῶρόν τινα ὕπτιον ἀφιᾶσιν, ὃς ἂν δηλαδὴ συμμετρησαμένοις αὐτοῖς δόξῃ, ἐπ' αὐτήν τε οἷόν τι ἆθλον ἐν μεταιχμίῳ κειμένην ἀπὸ ῥυτῆρος ἀντιθέουσιν ἀλλήλοις, ῥάβδον ἐνδέξια χειριζόμενος ἕκαστος συμμέτρως μὲν ἐπιμήκη εἰς δὲ καμπήν τινα πλατεῖαν ἄφνω τελευτῶσαν, ἧς τὸ μέσον χορ-

15. ἀνακεκαθαρμένου] Ita Duc. Cod. ἀνακεκαρθαρμένου.

potestatem significat. sed cum bello isto nihil essent consecuti, solo capto Chaluphe redierunt. quomodo vero id Nicephoro acciderit, commemorabimus. cum ille accepisset venisse in regionem istam Hungarorum exercitum, paucis militum suorum assumptis Spalatha egreditur: dumque iter facit, plerisque ex iis qui subsequebantur sensim semper diffluentibus ac recedentibus, haud aegre ab hostibus captus est. circumstantes igitur illum fortia manu edentem facinora, captivum tandem abducunt.

5. Postquam ea rescivit princeps Byzantium venit, vere primo maiori cum apparatu ipsos statuens invadere. neque tamen opportuno militiae tempore adesse ibi potuit, interveniente tum casu, qui qualis fuerit commemorabo. circumacta iam hieme discussaque coeli caligine, honesto se dedit exercitio, quod ab antiquo imperatoribus eorumque liberis proprium ac solemne fuit. est vero id eiusmodi. adolescentes aliquot aequo divisi inter se numero factam ex corio pilam magnitudine malo similem in locum quemdam ad id prius prout visum fuerit dimensum emittunt. tum vero ad illam veluti praemium aliquod in medio positam plenis invicem habenis contendunt, singuli in dextris virgam habentes, quae longitudine mediocri in orbiculatam quamdam latitudinem subito desinit, cuius medium chordis aliquot desiccatis

B δαῖς τισι χρόνῳ μὲν αὐανθείσαις, ἀλλήλαις δὲ δικτυωτόν τινα ξυμπεπλεγμέναις διαλαμβάνεται τρόπον. σπουδὴν μέντοι ἑκάτερον πεποίηται μέρος ὅπως ἂν ἐπὶ θάτερον προτερήσαντες μεταγάγωσι πέρας, ὃ δηλονότι ἀρχῆθεν αὐτοῖς ἀποδέδασται. ἐπειδὰν γὰρ ταῖς ῥάβδοις εἰς ὁποτερονοῦν ἐπειγόμενος ὁ σφαῖρος ἀφίκηται πέρας, τοῦτο ἡ νίκη ἐκείνῳ τῷ μέρει γίνεται. ἡ μὲν παιδιὰ τοιάδε τίς ἐστιν, ὀλισθηρὰ πάντη καὶ κινδυνώδης. ὑπτιάζειν τε γὰρ ἀεὶ καὶ ἰσχιάζειν ἀνάγκη τὸν ταύτην μετιόντα, ἔν κύκλῳ τε τὸν ἵππον περιελίσσειν καὶ παντοδαποὺς ποιεῖσθαι τοὺς δρόμους τοσούτοις τε κινήσεων ὑπενηνέχθαι εἴδεσιν, ὅσοις δήπου καὶ τὴν σφαῖραν ξυμβαίνει. ἡ μὲν δὴ παιδιὰ τοιάδε τίς ἐστι.
C τῷ δὲ βασιλεῖ δαιμονίως περὶ ταύτην στρεφομένῳ πάνσωμον εἰς γῆν ἐνεχθῆναι συνέβη τὸν ἵππον. ὁ δὲ νέρθεν ὑπενεχθεὶς ἔκαμνε μὲν καὶ πολλὰ ἐβιάζετο τοῦ πτώματος ἀνανεῦσαι, οὐκ ἔχων δ' ὅπως τὸν ἵππον διωθήσαιτο ὁλόσωμον, ὥσπερ ἔφην, αὐτοῦ κατενηνεγμένον, μηρόν τε καὶ χεῖρα τῇ ἐκ τῆς ἐφεστρίδος ἐπιλήψει διετέθη κακῶς. οὕτω μέντοι μεγαλοψύχως ἤνεγκεν, ὡς καίτοι καιριώτατα πεπονθὼς ἀναστῆναί τε ταχέως, πολλῶν ἤδη περιστάντων αὐτόν, καὶ τὸν ἵππον αὖθις ἀναθορεῖν διαύλους τέ τινας σχολῇ ποιεῖσθαι ἐφ' ἱκανόν, ἕως ἤδη σφοδροτέρων αἰσθόμενος τῶν ὀδυνῶν ἐπὶ τὴν κλίνην ἦλθε. τὸ δ' ἐντεῦθεν οὕτω
D δὴ τοῦ πάθους ἥττητο, ὡς ἐκ τῆς περιχυθείσης αὐτὸν τότε ἀθυμίας τῇ ὑστεραίᾳ μηδεμίαν τῶν τότε λελαλημένων ἢ πεπραγμένων μνήμην ἴσχειν τινά. τοῦτο μὲν δὴ τοιοῦτον ἐγένετο, ὁ δὲ

1. αὐανθείσαις] Ita Duc. Cod. ἀνανθείσαις.

retisque in modum inter se connexis intercipitur. dat vero operam utraque pars ut ultra alteram antea definitam metam prior quisque pilam transmittat. eum enim in alterutram metam reticulatis virgis pila transmittitur, id parti alteri pro victoria est. huiusmodi quidem est ludus iste, lapsui obnoxius plane ac periculosus. necesse quippe est ut qui in eo se exerceat sese supinet continuo inque latus utrumque flectatur, ut in orbem equum circumagat et varios subinde instituat cursus totidemque motus, quot pilam facere contigerit: atque hoc se modo habet exercitium istud. dum igitur princeps miro quodam modo in eo sese circumageret, accidit ut quo vehebatur equus in terram totus corrueret. cumque ille subter effusus magno labore, ut se erigeret a casu isto, anniteretur, nec equum toto uti diximus, incumbentem corpore removere posset, femur manumque, dum sub sella equestri intercipiuntur, graviter laesit: tantaque id malum constantia pertulit, ut quantumvis letales pateretur dolores, et confestim surrexerit, multis eum iam circumstantibus, et conscenderit rursus equum cursusque aliquot citra laborem fecerit: donec augescere dolores percipiens ad lectum tandem sese contulit. deinceps vero ita crevit malum, ut ex animi deliquio nihil postridie eorum quae dixerat, aut fecerat, recordaretur. id quidem huiusmodi fuit.

δυεῖν ὕστερον ἡμέραιν ῥώων γεγονὼς ἐπὶ Ἀπάμειαν ἐφέρετο. οἷα δὲ εἰκὸς συντάσεως ἐκ τῆς ὁδοιπορίας γεγενημένης τινὸς ὄγκος αὖθις ἀνέβη καὶ ὀδύναι τοῦτον ἐκέντουν συχναί. καὶ δὴ ἀμφὶ πόλει Σηλυβρίᾳ τὰς πασχαλίους διαγαγών, ἐπειδήπερ ᾔσθετο ἐν καλλίονι γεγονώς, ἐπὶ τὴν Φιλίππου ἐφέρετο. ἔνθα δὴ πρέσβεσι χρηματίσας ἐκ Παιόνων ἀφικομένοις, ἐπειδὴ μηδὲν ὑγιὲς αὐτοὺς ἀπαγγέλλειν ἔγνω, ἐκεχειρίαν δὲ μόνον καὶ ἀνοχήν τινα τοῦ πολέμου ἐκ παντὸς τρόπου πειρῶντας λαβεῖν, αὐτοὺς μὲν ἀπρά- P 156
κτους ἀπεπέμψατο, συνεκπέμψας αὐτοῖς καὶ Ῥωμαίων τινά, ἐφ' ᾧ τόν τε Χαλούφην αἰτήσαιτο καί, εἰ μὴ τοῖς δεδογμένοις ἀγαπῷεν αὐτίκα, καὶ πάλιν ἀπειλήσαι βασιλέα καὶ τὸν Ῥωμαίων στρατὸν ὄψεσθαι. ὁ δὲ ἐπὶ Σαρδικῆς γεγονὼς ἐνταῦθα τὰς δυνάμεις ἤθροισεν.

6. Ἔνθα διατριβὴν ποιουμένου συνέπεσέ τι τοιοῦτον. Ἀλέξιος, ὃς τὴν πρωτοστράτορος τότε, ὡς πολλάκις μοι ἐρρήθη, διεῖπεν ἀρχήν, ἐκ πολλοῦ μὲν ἀποστασίαν ὤδινε, τότε δὲ καταφανὴς γεγονὼς τὴν τρίχα ἐκάρη καὶ ἐς τοὺς μοναχοὺς μεταθέμενος ἐπί τι τῶν ὀρεστέρων ἀπήχθη σεμνείων, ἅπερ ἐπὶ Στρυμόνος ἐν ὄρει Παπικίῳ ἵδρυνται πλεῖστα. ἔνθα ἐφ' ἱκανὸν δια- B
γαγὼν ἀπεβίω. ἀλλ' ὅθεν τε καὶ ἀπ' αἰτίας τίνος ἐς τοῦτο τύχης ὁ ἄνθρωπος ἦλθεν, ἤδη λέγωμεν. οὗτος ὁπηνίκα τὴν ἐπὶ Κιλικίας ἐστέλλετο πρότερον, αὐτοκράτωρ τοῦ πολέμου ἐκείνου πρὸς βασιλέως ἀναδειχθείς, ἐπίτηδες ἐς Ἰκόνιον συγγεγονὼς τῷ

10. αἰτήσαιτο] ἀπαιτήσαιτο? 11. ἀπειλήσαι] Cod. ἀπειλῆσαι.

biduo autem post, cum convaluisset, Apameam proficiscitur: at ex itinere, nec mirum, orta nervorum distensione, tumor iterum rediit, crebrique eum dolores pupxere. quapropter in urbe Selybria diebus Paschalibus transactis, ut melius se habere sensit, Philippopolim contendit: ubi cum Pannonum legatis congressus, cum nihil eos sani adferre cognovisset, sed belli tantum inducias omni modo sollicitare, rebus infectis dimisit: iisque adiunxit Romanum quemdam, qui et Chaluphen repeteret, et nisi mox imperata facerent, imperatorem rursum Romanorumque exercitum praesto fore minaretur. ipse autem Sardicam progressus, copias contrahit: ubi dum moratur haec acciderc.

6. Alexius qui protostratoris tunc dignitate fungebatur, uti saepius a me narratum est, iamdudum quidem defectionem molitus, tum vero illius convictus resectis crinibus monachus factus est, et in monticolarum quoddam monasterium ex iis, quae ad Strymonem in monte Papicio plurima sita sunt, amandatus. quo in loco cum annos aliquot exegisset, vita tandem concessit. sed unde et qua de causa ad eam fortunam redactus ille fuerit, commemorabimus. is cum in Ciliciam primum summo cum imperio bello isti ab imperatore praepositus missus esset, ad Sultanum dedita opera Iconium venit, et

V 121 σουλτὰν εἴς τε φιλίαν αὐτὸν ὑπηγάγετο καὶ τῶν εἰς τυραννίδα τεινόντων διελέξατο τούτῳ πολλά, γράμματά τε τὰ μὲν λαβὼν παρ' αὐτοῦ τὰ δ' ἀντιδοὺς ἐν οἷς τὰ δεδογμένα σφίσιν ἐγέγραπτο, τότε μὲν ἐπὶ Κιλικίαν ἦλθε, χρόνῳ δὲ ὕστερον ἐς Βυζάντιον ἐπανιών, ἐπειδή ποτε γραφαῖς ἐπαγλαΐσαι τῶν προαστείων αὐτῷ C δωματίων ἠβουλήθη τινά, οὔτε τινὰς Ἑλληνίους παλαιοτέρας ἐνέθετο πράξεις αὐτοῖς, οὔτε μὴν τὰ βασιλέως, ὁποῖα καὶ μᾶλλον τοῖς ἐν ἀρχαῖς εἴθισται, διεξῆλθεν ἔργα, ὅσα ἔν τε πολέμοις καὶ θηροκτονίαις αὐτὸς εἴργαστο. τοσούτοις γὰρ αὐτὸν ξυμπλακῆναι συνέβη καὶ τοιοῖσδε φύσιν ἀντικαταστῆναι θηρίοις, ὅσοις οὐδένα τῶν πώποτε γεγονότων ἠκούσαμεν. καὶ εἴ τι μὴ νόμων ἄπο φέρομαι ἱστορικῶν, ὁποιονοῦν τι ἄρτι ἐκ τούτων ἐξέλθω. ἦν μὲν περὶ τροπὰς ἤδη χειμερινάς, καὶ χιὼν κατὰ γῆς τοσαύτη ἐπεστοίβαστο, ὡς φάραγγας μὲν καὶ τὰς ἐν ὄρεσι σήραγγας πάσας ὑποκεκρύφθαι μονονουχί, ὑπερβολῇ δὲ τῇ ἐκ τοῦ ψύχους μικροῦ D καὶ πεπῆχθαι τὰ σώματα· ἀμέλει καὶ θηρία μὲν πάντα οὐκ ἔχοντα ὅπη κρύψαιντο, τὰς λόχμας ἐξαναδύντα ἀθρόα ὑπὲρ τῆς χιόνος ἐφέροντο, πτηνῶν δὲ ἀγέλαι οὐκέτι τοῖς πτίλοις κεχρῆσθαι δεδυνημέναι (συνεῖχε γὰρ ταῦτα ὁ κρύσταλλος καὶ οἷόν τις δεσμὸς ἐπεκάθιζεν, ὡς ἐπὶ τῶν ἰξευτῶν ἔστιν ἰδεῖν) πεζαὶ λοιπὸν ἀντὶ πτηνῶν ἦσαν θηρσὶ καὶ ἀνθρώποις ἑτοιμότατον θήραμα κείμεναι. βασιλεὺς δὲ θηρευσόμενος ἐπί τι τῶν ἑῴων ἐξῄει χώρων, ᾧ Δαματρῦς ἡ κλῆσίς ἐστιν. ἐπὶ τοῦ ἔργου τοίνυν γεγονότι μέγα τι

22. χώρων] Malim χωρίων. ibid. Δαματρῦς] Tollius Δάματρις.
23. ἐστιν] Cod. ἦν superscripto ἐστίν.

2. Ἐπεὶ δὲ διηλλαξάτην ἄμφω τὴν ἥβην, εὐθὺς ταῖς βασιλικαῖς ἑταιρίαις συγκατελεγήτην· ἔθος γὰρ τοῦτο βασιλεῦσι Ῥωμαίων τοὺς τῶν ἀρίστων ἀνδρῶν παῖδας καὶ τῶν εὖ γεγονότων τῇ σφῶν αὐτῶν ὑπηρεσίᾳ συγκαταλέγειν. οὔπω συχνὸς παρεῤῥύη καιρός, καὶ αἱ μέγισται τῶν τιμῶν εἶχον αὐτούς, ἐπαρχίαι τε καὶ

trocinio peculiari Basilii commendasset, non facile dictu est, quam benevolo prolixoque animo clemens ille ac sapiens princeps nobilitatem pro eo ac par erat honorare solitus, pupillorum curam educationemque sit amplexus. paedagogos eis statim, et moderatores imposuit optimos, qui et mores adolescentulorum ad decus omne formarent: corporaque tenera pro aetatis captu ad militarium iam tum artium meditationem fingerent. armari eos expedite docentes, galeamque apte induere adversus infestas iaculationes hostium, telum vibrare, equitare perite, collimare iaculo in scopum: et ut praecipuam disciplinae bellicae partem commemorem rationem instruendarum acierum sic habere in promptu, ut quovis loco ac tempore quemvis numerum, qua figura expediret ordinare extemplo possent, callerentque ad unguem quis insidiarum collocandarum modus, quid spectandum in loci delectu ad castrametationem opportuni, castrorum ipsorum quae forma quaeve descriptio sit optima, ceteraque istiusmodi ad scientiam ducendorum exercituum pertinentia. diversorium illis assignatum est in monasterio Studii duabus de causis, primum ut ad virtutem exemplis virorum praestantium informarentur, deinde ut facilem haberent exitum ex urbe, quoties vel venationis vel exercitationis ergo prodire ipsos oporteret.

2. Ubi vero pubertatem ambo attigerunt, statim societatibus Palatinorum adscripti sunt. mos enim hic fuit Romanis imperatoribus, ut virorum praestantium et nobilissimorum quorumque filios honoris causa familiaribus sui ipsorum ministeriis allectos adhiberent. hinc iam brevi tempore maximi certatim honores ultro his deferebantur, provinciarum videlicet administrationes copiarumque bellicarum atque adeo integrorum exercituum praefectu-

φαλαγγαρχίαι καὶ στρατηγίαι. ἐπεὶ δὲ γάμων ἔδει λαμπρῶν τοῖς
οὕτω τὸ γένος περιφανέσι, καὶ τούτων τυγχάνουσι. συζεύγνυται
γὰρ ὁ μὲν Ἰσαάκιος τῇ πρεσβυτέρᾳ τῶν βασιλέως Βουλγάρων Σα- C
μουὴλ θυγατέρων, Αἰκατερίνα ὄνομα, ὁ δὲ Ἰωάννης τῇ τοῦ Χά-
ρωνος Ἀλεξίου, ᾧ τὰ κατὰ τὴν Ἰταλίαν ἐκ βασιλέως ἐγκεχείριστο V 9
πράγματα, ἀνδρὸς φρενήρους καὶ νουνεχοῦς καὶ τὴν χεῖρα γεν-
ναίου καὶ τὴν ψυχὴν θαρσαλέου, ᾧ καὶ τὸ ἐπώνυμον ἐκ τῆς ἀν-
δρίας κεκλήρωτο· τόν τινα γὰρ τῶν ἐναντίων βαλὼν ἐπεὶ νεκρὸν
ἀποδέδειχε, Χάρων ἐντεῦθεν ἐπωνομάσθη. τούτου τὴν θυγα-
τέρα γήμας ὁ Ἰωάννης Ἄνναν εἰς Δαλασηνοὺς τὸ γένος μητρόθεν
ἀνέλκουσαν τοὺς Ἀδριανοὺς ἐκείνους καὶ τοὺς Θεοφυλάκτους, παί-
δων ἀρίστων ἀπεφάνθη πατήρ. ἐκ δὴ τούτων πέντε μὲν ἄρρε- D
νες, Μανουήλ, Ἰσαάκιος, Ἀλέξιος, Ἀδριανός, Νικηφόρος, τρεῖς
δὲ θήλειαι, Μαρία, Εὐδοκία καὶ Θεοδώρα, αἳ καὶ μέχρι τέλους
αὐτοῦ διεσώθησαν· ἐπὶ τούτοις γὰρ τὸν βίον κατέλυσεν. ἀλλὰ
ταῦτα μὲν ὕστερον. νυνὶ δὲ τῆς ἀκολουθίας ὁ λόγος ἐχέσθω.

3. Προϊόντε γοῦν ἐκ δόξης εἰς δόξαν ἄμφω τὼ ἀδελφὼ
τὴν ὁμόνοιαν μέχρι τέλους ἐτηρησάτην, τοῦ νεωτέρου τῷ πρεσβυ-
τέρῳ ἐν ἅπασι καθυπείκοντος κἀκείνου τῷ νέῳ τὴν προσήκουσαν
τιμὴν ἀπονέμοντος. ὡς δὲ καὶ εἰς τὴν βασίλειον περιωπὴν ἀνή- P 18
χθη Ἰσαάκιος, κουροπαλάτην τὸν ἀδελφὸν τιμήσας ἄρχοντα τῶν

8. τόν τινα] P. οἷόν τινα. fort. τῶν τινα γὰρ ἐναντίων.
15. αὐτοῦ] Cod. αὐτῶν. correxit P.

rae. quoniam vero coniuges adultis iuvenibus quaerendae erant, quae natalium ipsorum illustri nobilitati pari generis claritudine responderent, nupsit Isaacio quidem maxima natu filiarum Samuelis regis Bulgarorum, cui nomen Aecatharinae fuit. Ioanni vero filia Charonis Alexii, cui ab imperatore res Italicae commendatae fuerant, viri consilio iudicioque praestantis, nec minus manu prompti animique ingentis ad quidvis arduum aggrediendum. cui et a fortitudinis specimine nomen obtigit. quoniam enim saepe observatum erat quemcumque is percussisset hostium statim mortuum cadere, Charon is inde cognominatus est. huius Anna filia Ioannes ducta maternum genus a Dalassenis ducente, atque ab Hadrianis et Theophylactis illis inclytis, filiorum ab ea optimorum felix pater est factus, ex quibus quinque mares, Manuël, Isaacius, Alexius, Adrianus, Nicephorus: tres vero feminae, Maria, Eudocia, et Theodora, quae et usque ad eius obitum superfuere, adfueruntque omnes patri morienti. sed haec postea: nunc quae sequuntur ordine reddenda.

3. Proficientes per hunc modum fratres duo et per honorum gradus ad summum continue nitentes concordiam inter se usque ad finem miram tenuerunt, iuniore maiori natu in omnibus obtemperante, illoque vicissim germano suo minori quem oportebat honorem tribuente. ut vero in principale fastigium evectus Isaacius est, curopalatae dignitate ornatum fratrem, du-

τῆς δύσεως στρατευμάτων ἀποδέδειχεν, ὃν πάλαι δομέστικον τῶν σχολῶν ἐκάλουν, νυνὶ δὲ μέγαν καλοῦσι δομέστικον. τὰ μὲν οὖν κατὰ τὸν Ἰσαάκιον ὅπως τῶν βασιλείων ἐπελάβετο σκήπτρων καὶ ἐφ᾽ ὅσον καὶ ὅπως ταῦτα διίθυνε, περιττὸν ἂν εἴη λέγειν· ἔξεστι γὰρ τοῖς βουλομένοις ἀναλέγεσθαι ταῦτα ταῖς περὶ τοῦτον ἐντυγχάνοντα ἱστορίαις. ὁ δὲ Ἰωάννης ἐπειδὴ τῆς δύσεως ἄρχειν ἔλαχεν, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, μνημεῖον ἄλῃστον τὰς αὐτοῦ B πράξεις κατέλιπε Θρᾳξί τε καὶ Μακεδόσι καὶ μέντοι καὶ Ἰλλυριοῖς καὶ Βουλγάροις ἄρχουσί τε καὶ ἀρχομένοις. καὶ οὐκ ἦν ὃς οὐ πεπείρατο τῆς τοῦ ἀνδρὸς καλοκαγαθίας· ἐπιεικὴς γὰρ καὶ μέτριος εἴπερ τις ἄλλος ἀνθρώπων γενόμενος τὴν ἁπάντων εὔνοιαν ἐπεσπάσατο, πρὸς μὲν τὸ εὐεργετεῖν ὀξύτατος ὢν καὶ συντονώτατος, πρὸς δὲ τὸ κολάζειν ἀμβλὺς καὶ δυσκίνητος. τεκμήρια δὲ τῆς τἀνδρὸς ἀρετῆς καὶ ἄλλα μὲν πλεῖστα, οὐχ ἧττον δὲ καὶ τὸ τὴν βασιλείαν ἀποσκευάσασθαι· ὅπως δέ, προϊὼν ὁ λόγος δηλώσει.

4. Τρίτον ἔτος ἀνύων ἤδη κατὰ τὴν βασιλείαν ὁ ἀδελφός τε καὶ βασιλεὺς τὸν τῆς Προποντίδος διαπεράσας πορθμὸν ἐν τοῖς C περὶ τὸ Ὀνοράτου πολίχνιον προαστείοις ηὐλίζετο, ἐπὶ θήραν τε συνεχῶς ἐξιὼν καὶ τὸ σῶμα γυμνάζων. ἀλλὰ κατ᾽ οὐδὲν αὐτῷ συνετέλει τὸ γυμνάσιον· νόσῳ γὰρ συνεσχέθη πλευρίτιδι, καὶ τρίτην ἡμέραν ἐγκαρτερήσας, ἐπειδὴ ᾔσθετο ἑαυτοῦ μὴ καλῶς ἔχοντος, εἰς τὸν βασιλικὸν εἰσελθὼν δρόμωνα ἐκομίσθη πρὸς τὰ ἀνά-

15. δηλώσει] V. δηλώσειε. 18. τε] V. δέ.

cem summum Occiduorum exercituum declaravit, quem domesticum scholarum vocabant olim, hodie magnum domesticum appellare mos est. iam quomodo Isaacius imperium arripuerit, quaque ratione et quamdiu gesserit, supervacaneum fuerit exponi a me. licebit enim cognoscere ista volentibus commodius ea petere e publicis quae exstant historiis temporum illorum. Ioannes porro Occiduarum partium cura, uti diximus, suscepta immortale monumentum virtutis suae actis insignibus et laudatissimis apud Thracas, Macedonas, Illyrios et Bulgaros reliquit summis se iuxta infimisque privatis et magistratibus ex aequo probans, neminemque ullius generis aut sortis suae humanitatis aequitatisque expertem sinens. nemo illo facilior, moderatior, amabilior omnibus, quippe ad benefaciendum promptissimus, istoque in studio de quovis bene merendi iuxta diligentissimus et constantissimus. ad puniendum segnis aegreque mobilis. documenta vero virtutis viri cum afferri multa possint, tum nullum illustrius recusatione imperii, de qua mox agam.

4. Tertium in imperio annum agens eius frater Isaacius Augustus, traiecto Propontidis freto, in Onorati oppidi suburbiis diversabatur, venatum continuo exiens corpusque exercens. id quod illi parum profuit. pleuritide siquidem correptus, cum triduo in loco manens morbum frangere tentasset, denique malo victus dromone imperatorio conscenso in palatium deportatus

κτορα. φροντὶς οὖν εἶχεν αὐτὸν εὐθὺς τοῦ μετ' αὐτὸν βασιλεύσοντος, καὶ πάντων ὁ ἀδελφὸς προτετίμητο· ᾔδει γὰρ τοῦτον χρηστὸν ὄντα καὶ ἱκανὸν περὶ τὴν τῶν κοινῶν πραγμάτων ἀντίληψιν. εὐθύς τε μετεκέκλητο καὶ λόγων πρὸς αὐτὸν ὁ βασιλεὺς ἤρχετο παρακλητικῶν. "ἐμὲ μὲν" λέγων "ὦ φίλτατε ἀδελφέ, τὸ πέρας D ἤδη τοῦ βίου καταλαβὸν βιάζεται πρὸς τὴν ἔξοδον, σὲ δὲ χρὴ τῶν κοινῶν ἀντιλαβέσθαι πραγμάτων καὶ τοὺς τῆς βασιλείας οἴακας ἀναδέξασθαι· τοῦτο γὰρ λυσιτελήσειν οἶμαι οὐ τοῖς καθ' αἷμα μόνον ἡμῖν προσήκουσιν, ἀλλὰ καὶ τοῖς ὑπὸ Ῥωμαίους ἅπασι. ταινιωθεὶς οὖν τῷ διαδήματι ἕως αὐτὸς ἐμπνέων εἰμὶ τῶν πραγμάτων ἀντιλαβοῦ· πολλοὶ γάρ, ὡς οἶσθα, τῇ βασιλείᾳ Ῥωμαίων V 10 ἐποφθαλμίζουσι." τούτων ἀκούσας τῶν λόγων ἐκεῖνος δραμεῖν πρὸς τὴν τῶν κοινῶν ἀντίληψιν ἀνασχάλλων ἦν καὶ ἀναδυόμενος καὶ πάντα παθεῖν ἕτοιμος μᾶλλον ἢ τῶν κοινῶν ἀντιλήψεσθαι. ἀλλ' ὁ μὲν οὕτως εἶχε προθέσεως, ἡ δ' αὖ ὁμευνέτις αἰσθομένη τῶν λεγομένων βαρέως ἔφερε τὴν παραίτησιν, καὶ παρὰ τῷ ἀνδρὶ P 19 παρακαθίσασα τοιούτοις ἐχρῆτο παρ' αὐτὸν λόγοις, "ἵνα τί" λέγουσα "κύριέ μου, ξίφος ἕλκεις πρὸς ἑαυτὸν καὶ τὰ φίλτατα, μήτε τὸ τούτων οἰκτείρων ἄωρον μήτε ἡμῶν κηδόμενος; οὐκ οἶσθα ὡς εἴ τις ἐπιλάβηται ἄλλος τῆς Ῥωμαίων ἀρχῆς, ἐκ ποδῶν ποιῆσαι σπεύσειεν ἅπαν τὸ γένος ἡμῶν, οἰόμενος οὕτως ἐπ' ἀσφαλοῦς ἡδράσθαι αὐτῷ τὰ τῆς ἀρχῆς; ἵνα τί γοῦν οὕτω ματαιώμεθα

13. ἀνασχάλλων] Ita P. Cod. ἀνασχάλων. Bekker ἀσχάλλων.

est. ibi sollicitudo eum cepit designandi sibi successoris, quam ad rem facile omnibus fratrem praetulit, quem benignum et cunctis partibus multo maxime idoneum norat gubernationi communium negotiorum. vocatus ergo statim ab imperatore talem ab eo principatus capessendi adhortationem audivit. "mihi quidem, frater carissime, vitae huius exitus non obscure imminet; urgeri enim me in extrema sentio. te vero pro me oportet procurationem suscipere publicarum rerum et imperii clavum in manus sumere: id enim ego expedire iudico, non familiae dumtaxat ac cognationi nostrae, sed communiter omnibus, qui Romanae ditioni subiectae sunt. iam nunc igitur censeo, sumpto diademate, quoad ipse adhuc spiro, administrationem capesse rei publicae; nosti enim quam multi Romano imperio cupiditatis oculos adiiciant." his ille auditis, contraxit animum virtuteque sua involvit se, subiturum quidvis potius mali ac periculi ostendens quam ut rei communis delatam gubernationem admittere sustineret. cuius hoc proposito uxor eius cognito graviter summi honoris iacturam ferens, his fere virum sermonibus aggreditur. "cur obsecro te, domine mi, ensem stringis in te ipsum et communia pignora, neque nobis consulens neque horum immaturae misertus aetatis? non vides omnino fore, ut quicumque Romanum imperium arripiat alius, studio conatuque enitatur omni genus universum delere nostrum, sic se demum sibi suaeque familiae possessionem imperii asserturum autumans. quae haec igitur, malum, stultitia est praecipites abiicere nos nostrosque liberos

ἑαυτοὺς καὶ τὰ φίλτατα εἰς προῦπτον ἐπιρρίπτοντες κίνδυνον;
καὶ τὸ πᾶσιν ἱμερτὸν ἀπωθούμεθα τὴν βασιλείαν Ῥωμαίων; τίς
B ἡ ἐπιβλαβὴς αὕτη φιλοσοφία καὶ ἄκαιρος μετριοφροσύνη; ἀλλ' εἴ
τι ἐμοὶ πείθῃ, σπεῦσον ὡς τάχιστα ταῖς συμβουλαῖς πεισθῆναι
τοῦ βασιλέως καὶ ἀδελφοῦ, καὶ τῶν πραγμάτων ἐπιλαβοῦ."

5. Ταῦτα καὶ πλείω τούτων εἰποῦσα (ἦν γὰρ δεινή τις
καὶ λέγειν καὶ πράττειν) ἐπειδὴ μὴ ἔπειθε, πρὸς ἱκεσίαν ἐτρά-
πετο καὶ τὰς διὰ δακρύων καὶ στεναγμῶν ἐντεύξεις προσέφερεν.
ὡς δ' ἄτεγκτον ἑώρα καὶ πρὸς πᾶν σκληρυνόμενον, ἀπογνοῦσα
τοῦ πείθειν ἐσίγα, πολλὰ καθ' ἑαυτὴν ἀλγοῦσα καὶ τούτου κατα-
C στεγνάζουσα. οὕτω μὲν οὖν ἐκεῖνος τὴν βασιλείαν ἀπεσκεύσατο.
ὁ δὲ βασιλεὺς τὴν νόσον ὁρῶν ἐπιτείνουσαν, ἐπείπερ ἀπέγνωστο
αὐτῷ τὰ κατὰ τὸν ἀδελφόν, πρὸς τὸν Δούκα Κωνσταντῖνον ἀπεῖ-
δεν, ἄνδρα πολλοῖς κομῶντα πλεονεκτήμασιν. εὐθὺς οὖν ἐκάλει
καὶ διαλεχθεὶς αὐτῷ περὶ τῶν κοινῶν καὶ τοὺς *** αὐτῷ παρα-
θέμενος τῷ βασιλικῷ ταινιώματι στεφανοῖ, αὐτὸς πρότερον τῆς
ἁλουργίδος τὸ ἀγγελικὸν ἀνταλλαξάμενος σχῆμα. ὁ μὲν οὖν πρὸς
τὴν τοῦ Στουδίου μονὴν ὑπήγετο. ὁ δέ γε Δούκας τῶν τῆς βα-
σιλείας οἰάκων δραξάμενος εὐθὺς ἔσπευσε πλεονεξίαν μὲν ἀνελεῖν,
D μετριότητα δὲ καὶ δικαιοσύνην εἰσενεγκεῖν. καὶ μέντοι καὶ κα-

10. καταστεγνάζουσα] P. καταστενάζουσα. fort. καταστυγνάζουσα. 11. ἀπεσκεύσατο] P. ἀπεσκευάσατο. fort. ἀπεσκεύαστο. 14. εὐθὺς οὖν ἐκάλει] P. εὐθὺς οὖν Κωνσταντῖνον μετεκάλει. 15. καὶ τοὺς *** αὐτῷ] Probabiliter P. καὶ τοὺς οἴακας τῆς ἀρχῆς αὐτῷ. 16. τῷ βασιλικῷ] P. ἐκεῖνον τῷ βασιλικῷ.

in certissimum periculum potius quam excipere ultro sese offerentem rem unam omnibus desideratissimam, Romanae rei potestatem summam, quaenam isthaec perniciosa male sanaque philosophia? apage istam sis moderationem intempestivam; et si quid mihi credis, fac quam primum, consiliis obsecutus Augusti fratris, ut publicae rei auspiceris regimen."

5. Haec et his plura cum dixisset mulier in dicendo et in agendo vehemens, nec persuasisset tamen, ad supplicationes versa, preces infimas suspiriis crebris largisque fletibus admixtis admovit viro, sicco vultu immotoque animo audienti cuncta; quem illa duritie rigere adversus quosvis impulsus invicta ubi satis sensit, suasionis sucoessu desperato, silentio se ac moerori tradidit, multa virum incusans seque ipsam miserans. sic Ioannes principatum recusavit. imperator autem intendi morbum videns, nec sperans induci fratrem ad imperandum posse, ad Constantinum Ducam vertit oculos, virum multis praeclaris dotibus ornatum. re igitur cum fratre communicata, de huius sententia Constantinum accersitum, diademate summi principatus insigni coronat, sicque illi administrationem attribuit Romanae rei, purpura ipse prius regia in angelicum monachi habitum mutata. quibus actis, Isaacius quidem in Studii monasterium delatus est: Ducas vero regimine imperii arrepto magno statim impetu in id incubuit, ut vi atque avaritia sublatis moderationem iustitiamque induceret in mores usumque saeculi, in quo et

τωρθώθη τοῦτο αὐτῷ. ὁρῶν γὰρ τοὺς πλείστους ἐπὶ τὸ ἀδικεῖν
τετραμμένους ἐπὶ τὸ δικάζειν ἐτράπετο. μὴ λαμβάνων δ' ἐν κρί-
σει πρόσωπον, κατὰ τὸν προφήτην, μήτε μὴν ἐκκλίνων εἰς δεξιὰ
ἢ εἰς ἀριστερά, ἀλλ' ὁδῷ βασιλικῇ πορευόμενος τοῖς μὲν ἀδικοῦ-
σιν ἐμβριθής τις ἐφαίνετο καὶ δεινὸς τὰ τῆς ἀδικίας ἐκκόπτων ὁρ-
μήματα, τοῖς δ' αὖ ἀδικουμένοις προσφιλής τε καὶ χαριέστατος.
καὶ μέντοι οὐδὲ πρὸς τὸν βασιλεύσαντα τοῦτον ἀχάριστος ἐναπέ-
φηνεν· ἐπεὶ γὰρ μετὰ τὴν μονήρους βίου καὶ σχήματος τὴν περι- P 20
βολὴν καὶ πρὸς τὴν τοῦ Στουδίου μονὴν ἐπαγωγὴν τὰ τῆς νόσου
ἐρρώϊσε καὶ ὑγιὴς ὁ πρὶν θανεῖν προσδοκήσιμος ἀποδέδεικτο, διὰ
πάσης ἦγεν ὁ Δούκας τοῦτον τιμῆς κύριόν τε καὶ βασιλέα ἀποκα-
λῶν καὶ προεδρίας ἀξιῶν, ὁπηνίκα φοιτῶν ἦν πρὸς αὐτόν. ἐφοίτα
δὲ συνεχῶς. οὐκ αὐτὸν δὲ μόνον ἦγε διὰ τιμῆς, ἀλλὰ καὶ τὸ
τούτου συγγενὲς ἅπαν, γυναῖκα καὶ θυγατέρα καὶ ἀδελφὸν καὶ V 11
τοὺς ἄλλους. ἀλλ' ὁ μὲν Κομνηνὸς ἐνιαυτὸν ἐπιβιοὺς μετὰ τὴν
τούτου ἀνάρρησιν ἐτελεύτα.

6. Ὁ δέ γε Δούκας ἐπὶ ἑπτὰ ἔτεσι τοῖς πᾶσιν ἐννόμως τὴν
βασιλείαν Ῥωμαίων ἰθύνας τὸν βίον καὶ οὗτος κατέλυσε. διαδέ- B
χεται δὲ τὴν βασιλείαν ἡ τούτου σύνοικος Εὐδοκία σὺν Μιχαὴλ
καὶ Κωνσταντίνῳ τοῖς παισί. βραχὺν δέ τινα χρόνον μετὰ τὸν
τοῦ Δούκα θάνατον καὶ ὁ κουροπαλάτης ἐπιβιοὺς παῖδας ὀκτὼ

1. ἐπὶ] V. περί. 7. ἐναπέφηνεν] ὢν πέφηνεν? 19. Μιχαὴλ] P. addit Ἀνδρονίκῳ. 21. ἐπιβιοὺς] Addendum ἐτελεύτησε vel simile quid.

operam navavit. cernens quippe plerosque magna passim licentia per iniurias grassari, iuri dicundo vacandum sibi diligenter statuit, personam in iudicio non accipiens (quod vetat propheta) neque vel ad dexteram vel ad sinistram declinans, sed via gradiens regia iniuriosis quidem severus et austera constantia cupiditatibus iniquorum per vim ac fraudes erumpentibus occursans, iniurias vero patientibus ultro non amicitiam ac benevolentiam solum, sed blanditias paene quasdam tenerrimi affectus indices offerens. nec vero idem non gratissimo se animo adversus imperii decessorem gessit. cum enim is, suscepta instituti monastici professione ac veste, deportatus in Studiense coenobium, ibi praeter spem morbo coepisset relevari, immo ex moribundo prius credito plane iam convaluisse videretur, summo semper honore observatus a Duca cultusque est, dominum illum et imperatorem appellante nec sedere nisi post ipsum sustinente, quoties ad ipsum accederet; accedebat autem frequentissime. neque vero ipsi soli honorem habuit, sed domui quoque eius ac generi universo, uxori, filiae, fratri et aliis. ceterum Comnenus anno exacto post inaugurationem Constantini excessit e vivis.

6. Ducas autem annis septem totis ex iuris ac legum praescripto Romana re administrata e vita et ipse migravit; succedente ipsi eius coniuge Eudocia, cum Michaële Andronico et Constantino filiis. nec multo post Ducae obitum tempore Ioannes quoque Comnenus curopalates naturae debi-

καταλιπὼν, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, πέντε μὲν ἄρρενας τρεῖς
δὲ θηλείας, οὓς ἡ μήτηρ ἅπαντας καλῶς ἀναθρεψαμένη ἀξίους
τοῦ γένους ἀπέδειξεν. ἀλλ' αἱ μὲν δύο τῶν θυγατέρων ἔτι τοῦ
πατρὸς περιόντος ἀνδράσιν ἡρμόσθησαν τῶν εὖ γεγονότων καὶ
πλούτῳ κομώντων, ἡ μὲν πρεσβυτέρα Μαρία τῷ Ταρωνίτῃ Μι-
C χαήλ, ἡ δὲ μετ' ἐκείνην Εὐδοκία τῷ Μελισσηνῷ Νικηφόρῳ, ἀνδρὶ
νουνεχεῖ τε καὶ θαυμασίῳ, ὃς πατρόθεν ἐς Μορτίους τὸ γένος
ἀνέφερε. τὴν δέ γε ὑστάτην πασῶν Θεοδώραν μετὰ τὸν τοῦ πα-
τρὸς μόρον τῷ τοῦ Διογένους υἱῷ Κωνσταντίνῳ, τοῦ πατρὸς ἤδη
τὰ Ῥωμαίων σκῆπτρα διέπειν λαχόντος, ἡ μήτηρ συνήρμοσεν
ὕστερον, ἀνδρὶ εὐγενεῖ μὲν καὶ κατὰ χεῖρα γενναίῳ τὸν δέ γε τρό-
πον οὐ πάνυ τι ὄντι ἐπαινετέῳ, ὡς τὰ ὕστερον ἔδειξεν. ἀλλ' οὕτω
μὲν τὰ κατὰ τὰς κόρας συνέβη. **** ἔτι τούτου περιόντος
στρατεύειν τε ἤρξατο, καὶ πρὸς μίμησιν τῶν πραχθέων ἑαυτὸν
ἀποξέων ἔσπευδεν ἀποβῆναι τούτων ἐπάξιος. ὁ δὲ μετ' ἐκεῖνον
Ἰσαάκιος τοῖς τἀδελφοῦ κατὰ πόδας εἵπετο ἴχνεσιν. ὁ δ' αὖ
D τρίτος Ἀλέξιος παντοίων ἦν χαρίτων ἀνάπλεως· χάρις γὰρ ἐπήν-
θει τῷ προσώπῳ ὁποίαν οὔ τις ἐν ἄλλῳ ἐθεάσατο πώποτε, καὶ
φαιδρὸς ἦν ἀεὶ καὶ ἀγαθοσύνης ἀνάπλεως. καὶ τί ἄν τις εἴποι
περὶ τούτου ὡς δυνηθῆναι τοὺς λόγους ἐξισῶσαι ταῖς τῶν ἠθῶν
ἀγλαΐαις καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς; παντοδαπὸν ἦν χρῆμα
φυσικῆς τε καὶ προαιρετικῆς κοσμιότητος, καὶ οἷόν τι κάλλιστον

12. ἀλλ' οὕτω — περιόντος] P. ἀλλ' οὕτω μὲν τὰ κατὰ τὰς κόρας. ἀρρένων δὲ παίδων ὁ μὲν Μανουὴλ πατρὸς ἔτι περιόντος. satius duxi lacunam indicare. 14. πραχθέων] πατέρων? P. προγόνων.

tum solvit, filiis ut dixi relictis octo, quinque maribus et tribus feminis, quos omnes mater educatione accurata dignos avita nobilitate reddidit. puellarum duae, patre adhuc vivente, collocatae viris nobilibus et locupletibus fuerant. maior quidem natu Maria Taronitae Michaëli, Eudocia vero secunde post hanc genita Melisseno Nicephoro viro prudenti et praeclaro, qui paternum e Mortiis ducebat genus. postrema Theodora post patris mortem matris voluntate nupsit Constantino Diogenis iam imperantis filio, nobili quidem illi manuque prompto, sed moribus non usque adeo laudatis, ut deinde apparuit. hactenus de Ioannis filiabus. filiorum vero Manuël quidem primogenitus, patre adhuc superstite, tolerare militiam iam coeperat, factisque fortibus dignum se maiorum loco ac gloria probare. proxime ab illo natus Isaacius fratris maioris vestigia premebat. tertius autem Alexius lepore ac gratia redundans puer, ore protinus ipso ac vultu efflorescentem ingenuae venustatis suavitatem nunquam in ullo visam praeferebat, fronte semper hilari, renitenti facie, arrisu obtutuque spirantibus nescio quid blandum: exemplar iam tum laudis omnis, cui frustra quivis quantavis fretus facultate parem se commendando speraret fere, adeo variarum in unum dotium et or-

τῷ βίῳ ἀνάθημα ἐκ δυοῖν τοῖν ἐναντίοιν συγκείμενον· ὀξύτατος γὰρ ὢν ξυμπάντων ὧν αὐτοὶ τεθεάμεθα καὶ δραστηριώτατος οὕτω πρᾳοτάτην ἐδείκνυτο τὴν ψυχὴν ὡς μικροῦ δεῖν καὶ ἀκίνητον πρὸς ὀργὴν ἑαυτὸν ἀποφαίνειν. οὔπω δὲ τὴν ἥβην ὑπερβὰς ἐβιάζετο τὴν μητέρα συνεκπέμπειν καὶ αὐτὸν τῷ ἀδελφῷ· ἀμέλει καὶ ξυνεί- P 21 πετο τούτῳ στρατηγοῦντι καὶ τὰ τῆς ἀρετῆς πρὸ τῆς τελειότητος ἐδείκνυτο καὶ σάκος φέρων καὶ δόρυ κραδαίνων ὡς ἄριστα, καὶ διὰ γλώττης ἦν ἁπάντων εὐθύς. τὰ μὲν οὖν κατὰ τοῦτον ἀναμεινάτω μικρόν, ὁ λόγος δ' ἐχέσθω τῆς ἀρχῆθεν ἀκολουθίας· οὕτω γὰρ ἂν καθ' εἱρμὸν προβαίνων εἰς τὰς ἑαυτοῦ καταντήσειε πράξεις πρῶτον ἐπιμνησθεὶς καὶ τῶν λοιπῶν ἀδελφῶν. ἤστην δὲ τούτω Ἀδριανός τε καὶ Νικηφόρος, οἷν ἡ μήτηρ κομιδῇ νέοιν ὄντοιν διδασκάλους ἐπιστήσασα τὴν ἐγκύκλιον ἐπέταττεν ἐκπαιδεύεσθαι παίδευσιν.

7. Ἄρτι δὲ καὶ τοῦ Διογένους Ῥωμανοῦ τῶν τῆς βασιλείας B οἰάκων ἐπειλημμένου πρῶτος τῶν ἀδελφῶν Μανουὴλ ᾠκείωτο τῷ βασιλεῖ καὶ πρωτοστράτωρ πρὸς αὐτοῦ ἀποδέδεικτο. οὔπω συχνὸς παρερρύη καιρός, καὶ στρατηγὸς αὐτοκράτωρ τῶν ἑῴων ταγμάτων προυβέβλητο. περαιωθεὶς οὖν τὴν Προποντίδα περὶ Γαλάτας ηὐλίζετο, ἤδη τῶν Τούρκων ἀρξαμένων τὰ τῆς ἑῴας λητζεσθαι. τίνες δὲ οἱ Τοῦρκοι καὶ ὅθεν γῆς ὡρμημένοι πρότερον

12. οἷν] Cod. ὧν. correxit P.

namentorum confluxus rarissimus praedicatione superiorem omni iuvenem fecerat; primum a natura velut ad unguem factum, deinde virtute numeris exactum omnibus, et velut ad specimen officii admirationi propositum aetatis suae, quod res contrarias vulgo creditas, in se conciliaret conflaretque, fervidam actuosamque naturam, et mansuetudinem irasci nesciam. impubis adhuc, extorto vi quadam consensu matris, secutus fratrem exercitum ductantem militare coepit eius auspiciis et specimina fortitudinis praecocis ante legitimam aetatem edere scuto scite gestando hastaque valide ac perite quatienda. quare iam tum in ore atque in praedicatione omnium fuit. sed quae hunc spectant reliqua sustinenda sunt paululum: quoad explicatis iis, quae priora sunt ordine, secundo demum fluxu in consequentia sermo delabatur. atque illud primum de duobus postremis fratribus libandum, Adriano nimirum et Nicephoro, commendatos serio ambos adhuc parvulos a matre fuisse magistris lectissimis, qui ad omnem eos eruditarum artium elegantiam non perfunctorie formarent.

7. Romano Diogeni ad principatum evecto, Manuël Comnenorum natu maximus gratus statim in paucis coepit esse; istiusque pignus gratiae protostratoris dignitatem primum, tum non longo post tempore Orientalium exercituum supremam praefecturam habuit. traiecta igitur Propontide circa Galatiam morabatur, Turcis iam incipientibus Orientales depraedari regiones. quinam autem et unde profecti Turci Romanis se primum finibus admoverint,

V 12 ὁμορεῖν Ῥωμαίοις ἔληγον ὕστερον, ἀναγκαῖον ἄνωθεν διηγήσα- C σθαι. οὗτοι οἰκεῖν μὲν ἔλαχον τὰ προσάρκτια τὰ πέραν Ταναΐδός τε καὶ Βοσπόρου, οὐ πάνυ τε τῶν Καυκασίων ἀπέχοντες ὀρῶν. αὐτόνομον ἔθνος ὂν καὶ γαλακτοφάγον ἀρχῆθεν πολυάνθρωπόν τε καὶ πολεμικώτατον ὑπ' οὐδενὸς δεδούλωται ἔθνους πώποτε. τῆς γοῦν Περσῶν ἀρχῆς εἰς τοὺς τῆς Ἄγαρ διαλυθείσης, καὶ τῆς μὲν Σαρακηνῶν ἐπικρατείας μὴ μόνον Περσίδος καὶ Μηδίας καὶ Βαβυλῶνος καὶ Ἀσσυρίων κυριευούσης, ἀλλ' ἤδη καὶ Αἰγύπτου καὶ Λιβύης καὶ μέρους οὐκ ἐλαχίστου τῆς Εὐρώπης, ἐπείπερ ἀλλήλων καταστασιάσαντες οἱ ἐξ Ἄγαρ τὴν μεγίστην ἀρχὴν εἰς πολλὰς ἐμερίσαντο ἄλλος ἄλλης κατάρχων, καὶ εἰς ἐμφυλίους πολέμους τὸ D ἔθνος ἐχώρησεν, ἀρχηγὸς Περσίδος καὶ Μήδων καὶ Ἀβριτανῶν καὶ Μηδίας ὑπάρχων τότε Μουχούμετ ὁ τοῦ Ἰαμβραὴλ κατὰ τοὺς χρόνους Βασιλείου τοῦ αὐτοκράτορος, καὶ πολεμῶν Ἰνδοῖς καὶ Βαβυλωνίοις, ἐπειδὴ πρὸς τὸ κατόπιν ἑώρα χωροῦντα ἑαυτῷ τὰ πράγματα, ἔγνω δεῖν πρὸς τὸν Οὔννων διαπρεσβεύσασθαι ἄρχοντα καὶ ξυμμαχίαν ἐκεῖθεν αἰτήσασθαι. τῆς γοῦν πρεσβείας κατευθυνθείσης αὐτῷ συνέπεμπε τοῖς πρέσβεσι καὶ δῶρα πολυτελῆ. ἐπανῄεσαν γοῦν οἱ πρέσβεις ξυμμάχους φέροντες τρισχιλίους ἀρχηγὸν ἔχοντας Στραγγολίπιν καὶ Μουκάλετ τὸν υἱὸν Μακεήλ, οἳ διαπεραιωσάμενοι τὸν Ἄραξιν κατὰ τὴν ἐν αὐτῷ γέφυ-

1. ἔληγον] P. ἤρξαντο καὶ πολεμεῖν. 3. πάνυ τε] πάνυ τι? 4. αὐτόνομον] Addendum videtur δέ. 13. καὶ Μηδίας] P. delevit. 20. Στραγγολίπιν] V. Ταγγρολίπην.

deinde bellum in nos moverint necesse arbitror, repetita paulo altius narratione, tradere. patria illorum prima fuit septentrionalis tractus ultra Tanaïn et Bosporum, non longe a montibus Caucasiis. gens fuit propriis ab initio institutis utens, lacte vesci solita, populosissima bellicosissimaque eadem, nec ullius unquam iugum externae potestatis passa. porro imperio Persarum in Agaris posteros translato, auctaque in tantum Saracenorum potentia, ut non modo Persidi, Mediae, Babyloniae, Assyriisque dominarentur, verum iam Aegypto etiam et Africae partique Europae non exiguae imperarent, tantum regnum discordia pessum dedit et in multos minutos discidit principatus, invadentibus pro se potentioribus quibusque inter seditionum tumultus, bellorumque furores civilium, quas urbes quasve provincias quisque concupisset. in iis Muchumet Iambraelis filius, imperatoris Basilii temporibus, Persis, Medis et Abritanis unus imperitans, bellum cum Indis et Babyloniis gerebat, in quo cum fortuna eum deficeret, resque retro illi ferri suae viderentur, optimum factu duxit, legatione ad principem Hunnorum missa, socias illinc in auxilium copias petere: delecti oratores cum donis pretiosissimis brevi rediere votorum compotes, auxiliariorum tria millia ducentes secum sub ducibus duobus, Tangrolipe et Mucaleto filio Maceelis, qui traie-

ραν πεπυργωμένην ἑκατέρωθεν οὖσαν ἐς τὴν Περσίδα φοιτῶσι. συμμίξας οὖν ὁ Μουχούμετ τῷ ἑαυτοῦ στρατεύματι τοὺς μισθο- P 22
φόρους Τούρκους προσβάλλει τῷ τῶν Ἀρράβων ἄρχοντι Πισσαρίῳ, καὶ ῥᾷον αὐτὸν κατατροποῦται. ἐπανελθὼν δὲ εἰς τὴν ἑαυτοῦ ἔσπευσε καὶ πρὸς τοὺς πολεμοῦντας Ἰνδοὺς μετὰ τῶν ξυμμάχων διαγωνίσασθαι. παραιτουμένων δ' ἐκείνων καὶ πρὸς τὴν ἑαυτῶν ἐκλιπαρούντων ἐξαποστέλλειν, ἀνεθείσης σφίσι τῆς ἐν τῇ γεφύρᾳ φυλακῆς τοῦ Ἀρράξιδος, ἐπείπερ ἐκεῖνος ἐνέκειτο καὶ βίαν ἐπενεγκεῖν ἐβουλεύετο, δείσαντες οἱ Τοῦρκοι μὴ πάθοιέν τι δεινὸν πρὸς ἀποστασίαν χωροῦσι. καὶ τὴν Καρβωνῖτιν ἔρημον ὑποδύν- B
τες διὰ τὸ μὴ θαρρεῖν ὀλίγοι πρὸς τοσαύτας ἀντιπαρατάξασθαι μυριάδας, ἐκεῖθεν ἐκδρομὰς ποιούμενοι τὰ τῶν Σαρακηνῶν ἐδῄουν καὶ ἔφθειρον.

8. Δυσανασχετῶν δ' ἐπὶ τοῖς γενομένοις ὁ Μουχούμετ, στρατὸν ἀθροίσας ἀμφὶ τὰς εἴκοσι χιλιάδας ἐκπέμπει κατὰ τῶν Τούρκων δέκα στρατηγοὺς αὐτῷ ἐπιστήσας τῶν ἐπ' ἀνδρίᾳ καὶ συνέσει μαρτυρουμένων Σαρακηνῶν. ἄραντες οὖν οὗτοι πρὸς τὴν Καρβωνῖτιν ἠπείγοντο. ἀλλ' εἰσιέναι μὲν τὴν ἔρημον διά τε τὴν τοῦ ὕδατος σπάνιν καὶ τὴν τροφῶν ἔνδειαν ἀλυσιτελὲς εἶναι ᾤοντο, C
ἔγγιστα δὲ τοῦ στόματος τῆς ἐρήμου στρατοπεδεύσαντες διεσκο-

1. πεπυργωμένην] Cod. πεπυρωμένην. correxit P. 3. Ἀρράβων] P. Βαβυλωνίων. ibid. Πισσαρίῳ] Pag. 30, 16 Πισσύριος scribitur.

cto Araxe per pontem utrimque turribus munitum in Persidem pervenerunt. nec moram fecit Muchumet his recentibus mercede militantium Turcorum auxiliis ad suas veteres copias adiunctis confligendi cum Pissario Babyloniorum principe, quem facile fudit fugavitque. unde victor ad sua reversus parabat expeditionem adversus Indos, hos quoque hostes experta iam virtute Turcorum subacturum se confidens. verum his longiorem militiam detrectantibus remittique in patriam ac pontis super Araxem custodiam ipsis committi flagitantibus, ubi contra incumbens Muchumet non longe abesse videbatur inferenda vi, Turci veriti ne quid acerbum paterentur, palam rebellant: solitudineque insessa Carbonitide, cuius latebris et inaccessa natura locorum paucitatem suam a tanto numerosioribus Muchumetis exercitibus tuerentur, excursionibus illinc crebris in circumpositas Saracenorum erumpebant regiones, rapinis ruinisque cuncta passim foede vastantes.

8. His indignatus Muchumet exercitum viginti ferme millium contra Turcos mittit sub decem ducibus fortitudinis ac prudentiae inter Saracenos notae testataeque. hi profecti Carbonitidem versus cum se admovissent proxime, penetrare in ipsam solitudinem, aquae annonaeque omnis inopia squallentem periculosum rati, ad eius fauces, qua necessarius erat transitus munitis castris securam, ut ipsis videbantur, et sapientem inibant belli ad-

ποῦντο τὰ πρὸς τὸν πόλεμον. ὁ δὲ Στραγγολίπις τὸ βάθος αὐλιζόμενος τῆς ἐρήμου, ἐπείπερ ἔγνω τὴν κατ' αὐτοῦ ἐκστρατείαν, τοῖς μετ' αὐτοῦ κοινολογησάμενος καὶ ξυμφέρον εἶναι κρίνας νυκτὸς τοῖς Ἀγαρηνοῖς ἐπιθέσθαι καὶ Πέρσαις, ταχυπορίᾳ χρησάμενος ἐπὶ δυσὶν ἡμέραις ἐπιτίθεται τῇ τρίτῃ νυκτὸς αὐτοῖς ἀφυλάκτως σκηνοῦσι καὶ μηδὲν προσδεχομένοις κακόν, καὶ κατατροποῦται τούτους ῥᾳδίως. ἐντεῦθεν λείας ὅτι πλείστης γενόμενος ἐγκρατὴς καὶ ἁρμάτων καὶ ἵππων κυριεύσας πολλῶν οὐκέτι λοι-
V 13 πὸν περὶ τὴν Καρβωνῖτιν ηὐλίζετο, οὐδὲ λαθραίας ἐποιεῖτο τὰς
D ἐπιθέσεις ὡς φυγὰς καὶ λῃστής, ἀλλὰ φανερῶς τῶν ὑπαίθρων ἀντεποιεῖτο, προσρυϊσκομένων αὐτῷ καὶ τῶν ὅσοι διὰ κακουργίας τότε θάνατον ἐδεδίεσαν, δούλων τε οὐκ ὀλίγων καὶ τῶν χαιρόντων ταῖς ἁρπαγαῖς, ὡς ἐν βραχεῖ τῷ χρόνῳ δύναμιν ἀθροισθῆναι μεγίστην περὶ αὐτόν, οὐκ ἐλάττω τῶν πέντε μυριάδων. τὰ μὲν κατ' ἐκεῖνον ἐφέρετο τῇδε· ὁ δὲ Μουχούμετ μὴ ἐνεγκὼν τὰ ξυμβάντα μετρίως τοὺς μὲν δέκα στρατηγοὺς ὑποστρέψαντας ἀπετύφλωσε, τοὺς δὲ τὸν κίνδυνον ἀποδράσαντας στρατιώτας θριαμβεύσειν ἠπείλησε γυναικείας περιβεβλημένους στολάς, αὐτὸς δὲ πρὸς ἀντιπαράταξιν καθωπλίζετο.

P 23 9. Ἀλλ' οἱ μὲν στρατιῶται τὰς ἐκείνου ἐνωτισάμενοι ἀπειλὰς προσχωροῦσι τῷ Στραγγολίπιδι. τοσαύτης οὖν προσγενομένης ἐκείνῳ καὶ τηλικαύτης δυνάμεως, ἀγείρας ἅπαντα τὸν στρα-

1. Στραγγολίπις] V. Σταγγρολίπης. ibid. τὸ βάθος] κατὰ τὸ βάθος? 21. προσγενομένης] V. προσγινομένης.

ministrandi rationem imminentes ex tuto in occasionem rei gerendae. at Strangolipes interiora solitudinis obtinens cognita expeditione contra se suscepta, communicato probatoque suis consilio, nocturnae irruptionis post continuatum biduo iter, tertia demum nocte improvisus Agarenis Persisque metu procul, curaque omni desidentibus intra sua tabernacula superveniens, facile illos vertit in fugam, praedaque inde potitus plurima, curruumque et equorum adeptus copiam, non iam sibi delitescendum in Carbonitide putavit, aut furtivis fugacium latronum more incursionibus grassandum. sed prodire palam obtinereque campum iusto exercitu ausus est, confluentibus ad ipsum undique, qui maleficiorum conscii mortem in suppliciis timebant, aut quos alioqui delectabat rapto vivere, tanto numero ut brevi tempore milites sub signis non pauciores quinquaginta millibus haberet. interim Muchumet moderate non ferens quae contigerant decem ducibus ab infelici expeditione reversis oculos eruit, militesque, qui male pugnaverant, minabatur ignominiose traducturum se muliebribus ad ludibrium stolis indutos. ipse interim armabat instruebatque se ad rem per se cum Strangolipide gerendam.

9. Ceterum qui fuga ex priore proelio servati erant milites, metu ignominiae ac minarum Muchumetis passim ad Strangolipidem transfugiebant, qui fiducia tanti supplementi contractis in unum copiis iam omnibus occupavit

τὸν πρὸς τὸν Μουχούμετ ἠπείγετο, καθολικῇ μάχῃ σπεύδων κρῖναι τὰ πράγματα. ἀλλὰ κἀκεῖνος Σαρακηνοὺς καθοπλίσας καὶ Πέρσας καὶ Καβείρους, καὶ Ἄραβας, καὶ στρατὸν συστησάμενος περί που τὰς πεντήκοντα μυριάδας, φέρων δὲ καὶ πυργοφόρους ἐλέφαντας ἑκατόν, ἔσπευδεν ἀντιμετώπως στῆναι τῷ Στραγγολίπιδι. ὑπαντιάζει γοῦν αὐτῷ κατὰ τὸν λεγόμενον Ἀσπαχᾶν, καὶ B γενομένης μάχης καρτερωτάτης ἔπεσον μὲν ἐξ ἑκατέρων πολλοί, πίπτει δὲ καὶ αὐτὸς ὁ Μουχούμετ, οὔτε τόξῳ βληθεὶς οὔτε δόρατι, ἀλλ' ἐφιππαζόμενος καὶ τὸν οἰκεῖον παραθαρρύνων λαόν, τοῦ ἵππου αὐτῷ ὀλισθήσαντος, σὺν ἐκείνῳ κατενεχθεὶς εἰς γῆν καὶ ἐκτραχηλισθεὶς ἐτεθνήκει. τούτου δὲ καὶ συμπεσόντος τὸ σὺν αὐτῷ τῶν Περσῶν πλῆθος τῷ Στραγγολίπιδι προσεχώρησε, καὶ ὁ Στραγγολίπις ὑπὸ πάντων εὐθὺς βασιλεὺς ἀνηγόρευτο τῆς Περσίδος. ἀναρρηθεὶς δ' ἐκπέμπει καὶ καθαιρεῖ τὴν ἐν τῇ γεφύρᾳ τοῦ Ἀρράξιδος φυλακὴν καὶ τὸ ἔθνος τῶν Τούρκων πρὸς τὴν Περσίδα καλεῖ. ἀνέτου δὲ τῆς ἐς Περσίδα πορείας ἀποδειχθεί- C σης αὐτοῖς καὶ τῆς τοῦ Ἀρράξιδος διαβάσεως, ξυνέθεον παμπληθεί, πλὴν τῶν ὅσοι πόθῳ τῆς ἑαυτῶν πατρίδος ἀντεποιοῦντο. οἳ καὶ καθελόντες Πέρσας τε καὶ Σαρακηνοὺς αὐτοὶ κύριοι τῆς Περσίδος γεγόνασι, σουλτάνον τὸν Στραγγολίπιδα ὀνομάσαντες, ὅπερ σημαίνει παρ' αὐτοῖς βασιλεὺς βασιλέων καὶ παντοκράτωρ. πάσας οὖν τὰς ἀρχὰς τῶν Περσῶν καὶ Σαρακηνῶν ἀφελόμενος

18. πλὴν] Ita P. pro τήν.

ad Muchumetem ultro ipsum invadere, pugnare cum illo iusta acie, totisque viribus et proelio decretorio iacere aleam summae rei certus. sed et ille instructissimo fretus exercitu, quem e Saracenis, Persis, Cabiris, Arabibus conflaverat quingentis capitum millibus constantem, adducens una simul turritos elephantos centum, occurrit contra Strangolipidi magna spe, offenditque illum in loco Aspacha vocato. ubi magnis animis ac viribus proelio conserto cum utrimque multi cecidere, tum inter eos ipse Muchumet, non arcu eminus, non hasta comminus confossus. sed cum alte equo exstans suos hortaretur ad agendum fortiter, eoque prolabente devolutus in terram, cervix ipsi confracta, ereptaque vita est. comperta ducis morte Persarum multitudo reliqua Strangolipidi se dedidit. itaque is unanimi iam consensu omnium rex Persidis acclamatus, statim praesidiariis, qui pontem Araxis custodiebant, ea statione motis gentem Turcorum in Persidem vocavit, libero illis patefacto per Araxis pontem aditu. qua illi facultate cupide usi, gregatim emigrarunt, paucis relictis, quos dulcedo natalis coeli et patriae caritas tenuit. nec vero Persae ac Saraceni adversus passim affluentes Araxe aperto colonias terram aut dignitatem suas obtinere potuerunt, victi spoliatique ab hospitibus, ut plane iam domini Persidis Turci essent, quibus communi gentis decreto placuit Strangolipidem Sultanum appellare, quae vox apud ipsos regem regum et imperatorem sonat. is magistratus praefecturas-

εἰς Τούρκους μετήνεγκε, καὶ τὴν Περσίδα πᾶσαν αὐτοῖς καθυπέταξεν.

10. Ἀλλ' οὕτω μὲν Ῥωμαίων οἱ Τοῦρκοι γεγόνασιν ὅμοροι τὴν Περσῶν ἀρχὴν κατασχόντες. ἀναγκαῖον δ' ἴσως εἰπεῖν
D κἀκ ποίας ὁρμηθέντες αἰτίας Ῥωμαίοὺς πολεμεῖν ἤρξαντο, καίτοι δεδιότες πρότερον τὸν πρὸς αὐτοὺς πόλεμον καὶ φρίττοντες ἐκ μόνης τῆς φήμης τὰ τῶν προηγησαμένων τριῶν βασιλέων ἀνδραγαθήματα, τοῦ Φωκᾶ Νικηφόρου φημὶ καὶ Ἰωάννου καὶ τοῦ Πορφυρογεννήτου Βασιλείου· ὑπώπτευον γὰρ ἔτι παρὰ Ῥωμαίοις σώζεσθαι τὴν ἐκείνων ἀρετήν τε καὶ δύναμιν. τοῦ Στραγγολίπιδος, ὡς ὁ λόγος ἐδήλωσε, τὴν Περσῶν ἀναδυσαμένου βασιλείαν καὶ πλούτου πολλοῦ καὶ στρατευμάτων ἐγκρατοῦς γενομένου καὶ τὰ Σαρακηνῶν ταπεινώσαντος, οἱ πρὶν ὁμοροῦντες Πέρσαις καὶ πο-
P 24 λεμοῦντες πρὸς τὸν Μουχούμετ, σπονδὰς πρὸς ἀλλήλους ποιού-
V 14 μενοι πόλεμον ἐμελέτων κατὰ Περσῶν. ἀλλὰ τοῦτο προγνοὺς ἐκεῖνος πρὸς μὲν Πισσύριον τὸν Βαβυλῶνος ἄρχοντα αὐτὸς δι' ἑαυτοῦ παρετάξατο, διαφόροις μάχαις τοῦτον ἡττήσας καὶ ἀνελὼν κύριος καὶ τῆς Βαβυλωνίων ἐξουσίας ἐγένετο. πρὸς δὲ Καρμεσῆν τὸν τῶν Ἀρράβων ἀρχηγὸν καὶ Κουτλουμοῦν ἐκπέμπει τὸν τοῦ οἰκείου πατραδέλφου υἱόν, χεῖρα βαρεῖαν αὐτῷ δούς· ὃς ἀπελθὼν καὶ τοῖς Ἀρράψι συμβαλὼν ἡττήθη τε καὶ αἴσχιστα ἔφυγεν. ἐπανιὼν δ' ἐκεῖθεν καὶ μέλλων διιέναι διὰ τῆς Μήδων

11. ἀναδυσαμένου] ἀναδησαμένου? 17. διαφόροις] καὶ διαφόροις?

que omnes Persis ereptas Saracenisque Turcos in suos transtulit, Persidemque plane ipsis subiecit universam.

10. Dixi hactenus quo casu in Romani limitis viciniam Turci processerint, Persarum regione sibi subiecta; non minus autem forte fuerit necessarium exponere, qua primum occasione quave causa bellum inferre Romanis coeperint: soliti antea formidare Romanam vim, immo cohorrescere ad famam memoriamque solam trium imperatorum, de quorum facinoribus audierant, Nicephori nimirum Phocae, Ioannis et Porphyrogeniti Basilii. autumabant enim perseverare adhuc et vigere apud Romanos virtutem et potentiam istorum. postquam Strangolipes imperium, uti diximus, adeptus Persicam opumque multarum et exercituum potens res Saracenorum depressit finitimae Persarum gentes, quibus fuerant antea cum Muchumete controversiae, concordia inter se inita bellum in Persas meditabantur. id ille mature sentiens Pissyrium quidem Babyloniorum principem sibi sumpsit ipsi debellandum. quem et congressus variis proeliis vicit et ad extremum interfecit, potentia Babyloniorum universa suum in dominium translata. adversus Carmesen vero ducem Arabum Cutlumum misit patrui sui filium cum manu valida, qui profectus, commisso cum Arabibus proelio victus turpissime fugit. inde revertens transiturus per Medorum terram, proxime Baasum munire

ἔγγιστα τοῦ Βαὰς στρατοπεδεῦσαι ἤθελε. δεδιὼς δὲ Ῥωμαίους ἐγκρατοῦντας τότε Μηδίας πρεσβεύεται πρὸς τὸν τῆς χώρας ἄρ- B χοντα (ἦν δὲ τότε Μηδίας ἄρχων Στέφανος ὁ Κωνσταντίνου τοῦ παραδυναστεύοντος τῷ τότε βασιλεῖ, ὃν καὶ Λειχουδίαν ἐκάλουν, θεῖος), ἀξιῶν συγχωρηθῆναί οἱ τὴν δίοδον καὶ ὑπισχνούμενος ἄψαυστον καὶ ἀσινῆ τὴν χώραν διατηρῆσαι. ὁ δὲ τοῖς πρέσβεσιν ἐντυχὼν καὶ τὴν παράκλησιν δειλίαν εἶναι ὑποτοπάσας, τὸν ἐγχώριον ἀθροίσας στρατὸν συμβάλλει τοῖς Τούρκοις ἀπειροπόλεμος ὢν ἐμπειροπολέμοις. καὶ μηδέν τι ἄξιον λόγου διαπραξάμενος ἡττᾶται ἅμα τῇ συμβολῇ, καὶ πίπτουσι μὲν συχνοὶ τῶν Ῥωμαίων, ἑάλω δὲ καὶ αὐτός. ἀλλὰ τοῦτον μὲν ὁ Κουτλουμοῦς γενόμενος C κατὰ τὸν Βρίζιον ἀπεμπολεῖ, αὐτὸς δὲ πρὸς τὸν σουλτάνον ἐπανελθὼν ἀπολογεῖται μὲν περὶ τῆς στρατείας, ὡς ἐν παρόδῳ δὲ ἀφηγεῖται καὶ τὰ περὶ τῆς Μηδίας, ὡς εἴη μὲν χώρα πάμφορος κατέχεται δὲ ὑπὸ γυναικῶν, τοὺς πολεμήσαντας πρὸς αὐτὸν στρατιώτας ὑπαινιττόμενος. τούτοις τοῖς λόγοις ὁ σουλτάνος ἐπιρρωσθεὶς δύναμιν κατὰ Ῥωμαίων ἐκπέμπει ἀμφὶ τὰς εἴκοσι χιλιάδας, στρατηγὸν ἐπιστήσας αὐτῇ τὸν ἀδελφόπαιδα Ἀσὰν τὸν λεγόμενον Κωφόν, ἐπισκήψας αὐτῷ τὴν ταχίστην ἐφικέσθαι καὶ τὴν Μηδικήν, εἰ μὴ προσχωροίη αὐτῷ, προσκτήσασθαι. ἐκεῖθεν τοῦ πρὸς Ῥωμαίους πολέμου οἱ Τοῦρκοι ἀρξάμενοι διετέλεσαν μέχρι τῆς

2. ἐγκρατοῦντας] Ita scripsi pro ἐκκρατοῦντα. P. κρατοῦντας.
3. ἄρχων Στέφανος ὁ Κωνσταντίνου] P. ἄρχων ὁ πατρίκιος Στέφανος Κωνσταντίνου. Cod. ἄρχων Στέφανος καὶ ὁ Κωνσταντῖνος.
5. θεῖος] P. υἱός.

castra voluit. veritus autem Romanos obtinentes tum Mediam, legatos mittit ad praetorem provinciae. erat is patricius Stephanus Constantini Lichudiae cognominati, qui plurimum apud tunc imperantem poterat, filius. petebat legatio Cutlumi liberum transitum, pollicens innoxium fore. praetor audita supplicatione legatorum ex conscientia debilitatis modestiam esse istam interpretans, copiis provinciae contractis, temere homo imperitissimus rei bellicae, proelium praecipitat cum experientissimis armorum Turcis, et quod erat consentaneum, re pessime gesta victus est, occisis Romanorum plurimis captoque ipso duce, quem Cutlumus, cum Brisium pervenisset, ibi vendidit, reversusque ad Sultanum infelicitatem expeditionis excusavit, ut potuit, obiterque sermoni mentionem intexuit Mediae, quam esse aiebat feracem omnium frugum bonorumque regionem, a mulieribus possessam; militum Romanorum ibi degentium expertam ignaviam oblique perstringens eo verbo. his confirmatus Sultanus, exercitum circiter viginti millium contra Romanos mittit, duce illi praeposito fratris filio Azane, Surdo cognominato, datis illi mandatis adeundae quam primum Mediae, et nisi sponte se dederet, vi subigendae. sic Turci coeperunt pugnare cum Romanis, successuque initiorum illecti deinceps perrexere bello nos petere in hunc usque

D νῦν πολεμοῦντες Ῥωμαίοις. ἀλλ' ἐπανίτω μοι ὁ λόγος πρὸς τὴν ἀρχῆθεν ἀκολουθίαν.

11. Μανουήλ, ὡς εἴρηται, ὁ κουροπαλάτης στρατηγὸς αὐτοκράτωρ τῶν ἑῴων ταγμάτων πρὸς τοῦ Διογένους ἀποδειχθείς, περὶ τὴν Χαλτικὴν διατρίβων ἐφυλάττετο τὰς τῶν Τούρκων ἐπιδρομάς. ἐπεὶ δ' ἀπηγγέλη αὐτῷ παρὰ τῶν σκοπῶν ὡς πλῆθος Τούρκων στρατηγὸν ἔχοντες τὸν Χρυσόσκουλον, ὃς ἐκ σουλτάνων σειρᾶς ὥρμητο, τῆς δ' ἐξουσίας ἀντεποιεῖτο Περσῶν αὐτῷ προσηκούσης, ἐπίασι τὰς τοῦ Ἀρμενιακοῦ κωμοπόλεις πορθήσοντες, τὰς δυνάμεις ἀναλαβὼν ἐχώρει κατὰ τῶν Τούρκων καὶ P 25 διεσκεδασμένοις αὐτοῖς ἐντυχὼν ὡς εἰς προνομὴν ἐξιοῦσι ῥᾳδίως τούτους ἐτρέψατο. ἔγγιστα δὲ τοῦ στρατοπέδου τῶν Τούρκων ἐν τῷ διώκειν γενόμενος καὶ λόχοις αὐτομάτοις περιπεσὼν καὶ ἐπιπολὺ ἀντισχὼν καὶ γενναίως ἀγωνισάμενος, ἐπεὶ μὴ οἷός τε ἦν καρτερεῖν ἔτι τῆς Ῥωμαίων φάλαγγος εἰς φυγὴν τραπείσης καὶ διασκεδασθείσης, ὥρμησε καὶ αὐτὸς εἰς φυγήν, κυκλωθεὶς δ' ὑπὸ τῶν Τούρκων ἁλίσκεται ἅμα τοῖς δυσὶν αὐτοῦ γαμβροῖς, τῷ τε Μελισσηνῷ καὶ Ταρωνίτῃ· ἔπεσον δὲ καὶ τῶν λοιπῶν Ῥωμαίων B ὀλίγοι. ἀπαχθεὶς οὖν πρὸς τὸν Χρυσόσκουλον δεινὸν ᾤετο μὴ V 13 δρᾶσαί τι τοῦ γένους ἐπάξιον, καὶ μέντοι καὶ δέδρακεν ἔργον ἀξιαφήγητον. διαγνοὺς γὰρ ὡς ἀποστάτης ἐστὶ τοῦ σουλτάνου ὁ τοῦτον νικήσας καὶ τῆς Περσῶν ἐφίεται δυναστείας, δεῖν ᾠήθη ἀποπει-

7. *Χρυσόσκουλον*] Vide notas P.

diem. sed in gyrum susceptae narrationis ordinisque rerum reducenda nunc mihi oratio est.

11. Manuël, ut dictum est, curopalates, dux summus Orientalium copiarum a Diogene declaratus, circa Chalticam commorans Turcorum excursiones observabat. cum vero ei a speculatoribus indicatum esset, multitudinem Turcorum duce Chrysosculo e genere Sultanorum, principatum Persidis sibi, ut putabat, debitum ambiente, irruere in vicos limitis Armeniaci, animo eos vastandi, assumptis copiis contra Turcos vadit, quos et dispersos, utpote praedabundos offendens facile in fugam vertit. hinc cum fugaces usque ad proximam viciniam castrorum Turcicorum cupidius insequeretur, coorientibus in eum Turcis e locis antea occupatis, quae tunc usum insidiarum arte positarum ipsis praebuerunt, diu fortiter pugnans restitit. sed cum versa in fugam dissipataque phalange Romana, obsistere ipse unus amplius non posset, necessario et sero fugiens conclusus captusque a Turcis est cum duobus sororum suarum viris, Melisseno et Taronita. ceciderunt et reliquorum Romanorum pauci. abductus igitur ad Chrysosculum grave putabat, si non aliquid genere dignum efficeret suo, effecitque plane dignum in primis narratu facinus. cognito enim victorem suum defecisse a Sultano, et spe ambitiosa principatum Persarum versare animo, experiri hominem de-

ραν ποιήσασθαι τούτου. καὶ προσελθὼν αὐτῷ καταμόνας καὶ τὰ κατ' αὐτὸν ἐξετάζων, ἐπείπερ ἔγνω τὸν ἄνδρα ἐν φόβῳ πολλῷ καθεστῶτα (ἠπόρει γὰρ ὡς πρὸς τὸν σουλτάνον ἀξιομάχου δυνάμεως) ἠπίων ἥπτετο λόγων πρὸς αὐτόν, καὶ δὴ μαλάξας τὸ τούτου σκληρόγνωμον δραστικωτέρων ἐχρῆτο λόγων φαρμάκοις πρὸς τὴν δευτέραν ἀπόπειραν. τὰ δὲ ἦν ὡς ἐπείπερ τῆς βασιλείας ἐρᾷ Περσῶν καὶ πρὸς τὸν κρατοῦντα ταύτην ἀδυνατεῖ παρατάξασθαι C ἅτε σπανίζων ἀξιολόγου δυνάμεως, οὐκ ἄν ποτ' αὐτῷ τὰ κατὰ σκοπὸν ἀποβαίη, εἰ μὴ πρὸς τὸν βασιλέα Ῥωμαίων αὐτομολήσειε κἀκεῖνον ξύμμαχον σχοίη καὶ πρὸς τὸ προκείμενον συνεργόν. ὁ δὲ ξυμβούλῳ τε ἅμα τούτῳ καὶ ὁδηγῷ χρησάμενος ἅμ' αὐτῷ ταχέως τὴν βασιλίδα κατέλαβε, καὶ ὁ τοῖς ὅπλοις κρατήσας ἑάλω λόγων δεινότητι. τοῦτο τὸ ἔργον εἰς μέγα κλέος τὸν κουροπαλάτην ἀνήγαγεν· καὶ γὰρ ἦν ὄντως ἀξιεπαίνετον. φιλοφρόνως οὖν καὶ ἄμφω ὁ βασιλεὺς ὑπεδέξατο καὶ δωρεαῖς μεγάλαις τετίμηκεν.

12. Ἦρος δὲ ἀρχομένου κατὰ τῶν Τούρκων ἐστράτευσεν D ἐπαγόμενος ξὺν αὐτῷ τὸν Χρυσόσκουλον. γενομένου δὲ τούτου κατὰ τὴν Βιθυνίαν ὁ κουροπαλάτης ὠταλγίᾳ συσχεθεὶς τετελεύτηκε, μέγα πένθος τῷ βασιλεῖ καταλιπών· μάλα γὰρ ἐφίλει τὸν ἄνδρα. ὁ δὲ Χρυσόσκουλος μικροῦ δεῖν καὶ συναπῆλθεν αὐτῷ. οὕτως ὑπὸ τοῦ πάθους νενίκητο, ὡς προέσθαι βούλεσθαι καὶ αὐτὴν

22. οὕτως] Fort. add. γοῦν. ibid. αὐτὴν] αὐτός?

crevit; secretique opportunitate colloquii, introspecta eius mente, ubi timore illum urgeri magno deprehendit, quod se copiis Sultani mox contra se moturi sentiret imparem, blandis eum demulcere verbis aggressus est: sicque mollita primo illo delinimento duritie barbari, efficacioris velut medicaminis profuturam sic parato secundam hanc quamdam compositionem admovet, ait illi, quandoquidem imperium Persarum affectans, idoneas ad eius insessorem debellandum non haberet copias, nunquam voti compotem futurum, nisi ad Romanum imperatorem transfugiens, eum sibi adiungeret socium ad bellum Persicum. his ille auditis, utilis consilii auctorem, viae quoque ducem sibi esse voluit, statim cum illo Constantinopolim profectus. sic qui armis vicerat, arte verborum victus vicissim et captus est. magnam eo facto gloriam suo peperit nomini curopalates: et erat sane laude dignum insigni facinus. utrumque porro imperator benevolentissime exceptum muneribus magnis honoravit.

12. Inde sub veris initium expeditionem in Turcos suscepit, ducens cum ipse Chrysosculum. cum vero pervenisset in Bithyniam curopalates, dolore aurium correptus interiit, magnum luctum imperatori relinquens; multum enim amabat virum. Chrysosculus vero parum abfuit quin cum eo moreretur, tanta casum impatientia perturbationis ferens, ut superesse

τὴν ζωήν. ἀλλ' οὕτω μὲν οὗτος. ἡ δὲ τοῦ κουροπαλάτου μήτηρ τῇ βασιλίδι τῶν πόλεων ἐνδιατρίβουσα, ἐπεὶ περὶ τῆς νόσου τοῦ υἱοῦ ἐπέπυστο, ὡς δεινή τις καὶ δυσαπάλλακτος αὐτῷ ἐπισκήψασα, διαπεραιωθεῖσα ταχέως τὴν Βιθυνῶν καταλαμβάνει μητρόπολιν.
P 26 μαθοῦσα δ' ὅτι πρὸς τὸ χεῖρον προχωροίη τῷ παιδὶ τὰ τῆς νόσου, τὸ ὄρος ὑπερβᾶσα ὅπερ ἐγχωρίως Ἀζαλᾶς ὀνόμασται, εὗρε τοῦτον περὶ τὰς ὑπωρείας τούτου ἔν τινι φροντιστηρίῳ ἐπ' ὀνόματι τῆς Θεομήτορος (Ἄλυπος ὄνομα τῇ μονῇ) πρὸς τὴν ἔξοδον ἐπειγόμενον. βοῆς δ' ἐπὶ τῇ ταύτης εἰσελεύσει γενομένης τοῖς περὶ τὸν κουροπαλάτην, ἐπείπερ ἑωράκει οὗτος τὴν μητέρα φοιτήσασαν, ἐξήλατό τε σπουδαίως τῆς κλίνης, καὶ ταύτην περιπλακεὶς κατησπάζετο, μηδέν τι φθέγξασθαι δυνηθεὶς ἕτερον, μόνον δὲ αἰτησάμενος ταύτην κοινῆς ἄμφω ἀξιωθῆναι ταφῆς. ὁ μὲν οὖν αὖ-
B θις ἀνακλιθεὶς τετελευτήκει μετὰ βραχύ. ἡ δὲ γενναία μήτηρ καὶ μεγαλόψυχος τὴν ὀφειλομένην ὁσίαν ἀποπληρώσασα τῷ υἱῷ καὶ τοσοῦτον πενθήσασα ὅσον εἰκὸς τὴν τοιοῦτον παῖδα ἀποβαλοῦσαν στρατιώτην τε ἅμα καὶ στρατηγόν, βραχύ τι τοῦ πάθους ἑαυτὴν ἀνενεγκοῦσα τὸν κλεινὸν ἐκπέμπει Ἀλέξιον συστρατευσόμενον τῷ βασιλεῖ. ὁ δὲ τῇ μητρὶ συνταξάμενος καὶ δακρύων κρουνοὺς ἀφεὶς ἐπὶ δυσὶν ἐμερίζετο πάθεσι, σπλάγχνῳ τε μητρικῷ καὶ στρατείας ἐπιθυμίᾳ. καὶ γὰρ ἦν εἴπερ τις ἄλλος φιλοπόλεμός τε

2. τῇ βασιλίδι] P. ἐν τῇ βασιλίδι. 5. προχωροίη] V. προσχωροίη. 11. ἐξήλατο] V. ἐνήλλατο. fort. tamen scripsit ἀνήλατο quod est p. 46 D. 12. αἰτησάμενος] Ita P. pro αἰτιασάμενος.

amico se negaret velle: at curopalatae mater in urbe diversans regia, ubi trepido perculsa nuntio est de filii morbo, quem gravem et non facile curabilem suspicata est, traiecto statim freto Bithyniorum in urbem primariam se confert. ubi cum didicisset intendi morbum, peiusque habere filium, monte superato, quem indigenae Azalam nominant, eum offendit in quodam monasterio dei matri consecrato, cui Alypus nomen est, in declivitate montis sito, ibi inquam offendit filium mater extremum iam spiritum trahentem. clamore autem ad adventum matronae a circumstantibus sublato, excitatus aeger, ubi venientem ad se matrem vidit, vincente morbum affectu exsiluit e strato, amplexusque et osculatus parentem est, pauca tamen verba eniti valens, quibus a matre postulabat curare ut illa dignaretur sese una cum illa communi ambos sepultura condi. sub haec iterum reclinatus paulo post obiit. generosa vero ac magnanima mater iustis rite persolutis filio, luctuque ac lamentatione perfuncta, tantis quantis prosequi eam fas et par fuit talem filium tali tempore amissum militem simul et ducem, a moerore paulisper se revocans, inclytum Alexium ab se dimittit comitem expeditionis imperatori futurum. at ille matri valedicto, non sine uberibus lacrimis duobus hinc inde affectibus distrahebatur, materna videlicet caritate et iuvenili ardore militandi: neque enim erat ullus, cui vel pietate in matrem vel generoso

καὶ φιλομήτωρ. ἀπάρας οὖν ἐκεῖθεν τῆς πρὸς τὸν βασιλέα φερούσης ἥπτετο, καὶ δὴ φθάνει τοῦτον περὶ τὸ Δορύλαιον σκηνοῦντα C καὶ τὸν στρατὸν συναγείραντα. ὁ δὲ τοῦτον ἰδὼν καὶ ἐν ἀναμνήσει τοῦ πάθους γενόμενος δακρύειν τε ἤρξατο καὶ περὶ τῆς V 16 ἐκείνου μητρὸς ἐπυνθάνετο. καὶ τέλος βιάζεται τοῦτον πρὸς τὴν μητέρα παλινοστῆσαι, τοῦτο φράσας ὡς οὐ καλόν ἐστι ταύτην ἐπὶ τοσούτῳ μεγέθει πάθους καταλιπεῖν ἀπαράκλητον, τῷ πάθει πάθος προσθέντας τῷ ἐκείνου θανάτῳ τὴν σὴν ἐπὶ μακρὸν ἀποδημίαν. ταῦτα μὲν οὖν ὁ βασιλεύς. ὁ δ' ἐπειρᾶτο προσμένειν καὶ ξυνέπεσθαί οἱ κατὰ βαρβάρων στρατεύοντι. ἀλλὰ ταῦτα λέγων τὸν βασιλέα οὐκ ἔπειθε· καὶ ἄκοντα γὰρ τοῦτον ἐπαναζεῦξαι D πρὸς τὴν μητέρα παρεσκεύασεν. ὁ μὲν οὖν ἀπῄει, ὁ δὲ βασιλεὺς πρόσω χωρῶν τὰς Ῥωμαϊκὰς δυνάμεις συνήθροιζε καὶ πρὸς τὸν πόλεμον αὐτῷ ἐξηρτύετο.

13. Γενόμενος δὲ περὶ τὴν Καππαδοκῶν τοὺς ἀρίστους ἅμα τῶν στρατηγῶν ἐπ' ἐκκλησίαν ἐκάλει καὶ βουλὴν περὶ τοῦ πολέμου προὐτίθει, πυνθανόμενος δὲ εἰ χρὴ τὴν ἐπὶ Περσίδος ἐλαύνειν κἀκεῖσε τοῖς Τούρκοις συμπλέκεσθαι, ἢ μένοντα ἐπὶ τῆς ἰδίας τὴν ἐκείνων ἔλευσιν ἀναμένειν· ἠγγέλλετο γὰρ ἤδη καὶ ὁ σουλτάνος ἐξελθεῖν τῆς Περσίδος καὶ σχολῇ καὶ βάδην κατὰ Ῥωμαίων P 27 χωρεῖν. τοῖς μὲν οὖν ἐδόκει ὅσοι θρασύτερόν πως διέκειντο καὶ κολακικώτερον, μὴ μένειν, ἀλλ' ἀπιέναι καὶ συμπλέκεσθαι τῷ

2. Δορύλαιον] V. Δορύλεον. 3. συναγείραντα] V. συνέγειραντα. 14. αὐτῷ] P. αὐτάς. 17. δὲ] Fort. delendum.

bellicarum rerum studio cederet. inde igitur profectus ad imperatorem reperit eum congregato iam exercitu stativa circa Dorylaeum habentem, qui Alexio viso admonitus illo conspectu de casu Manuëlis, non tenuit lacrimas, et uti mater haberet percontatus est. ac tandem omnino imperat ad matrem ipsum reverti, praefatus aequum non esse illam in tali moerore consolationis expertem omnis relinquere: immo novo dolore a me ipso cumulatam, inquit, si morti maioris filii tuam ego in longinquam abductionem adiunxero. talia dicente Augusto excepit, instititque contra Comnenus multis orans, manere ut per eum in exercitu sibi et sequi ducentem ipsum adversus barbaros liceret. sed nihil dimovere imperatorem de sententia potuit. itaque quamlibet invitus reluctansque regredi ad matrem, praeciso principis iussu compulsus itineri se dedit domum versus: Augusto ulterius movente, et tum cogere Romanas undique copias, tum eas ad bellum instruere pergente.

13. Quo itinere cum in Cappadociam promovisset, praecipuis ducum convocatis de summa belli consultat, rogans ecquid praestaret irrumpere intra fines Persidis, ibique pugnare cum Turcis; an manentem intra limitem ditionis propriae ipsorum adventum exspectare. nuntiabatur enim Sultanum egredi iam e Perside, ac lento gressu in Romanos movere. ibi ferociores quique, quibusque assentari principi solemne erat, negare desidendum illic esse, sed vadendum occurrendumque Sultano, et cum eo proeliandum in

σουλτάνῳ εἰσιόντι ἐν Βατάνοις τῆς Μηδίας. τῷ μαγίστρῳ δὲ Ἰωσὴφ τῷ Τραχανειώτῃ κατάρχοντι τότε ταγμάτων πολλῶν, καὶ τῷ δουκὶ πάσης δύσεως Νικηφόρῳ τῷ Βρυεννίῳ παντάπασιν ἐδόκει τὰ τοιαῦτα βουλεύματα σφάλλεσθαι, καὶ ἐξελιπάρουν τὸν βασιλέα, εἰ οἷόν τε εἴη, προσμένειν καὶ τοὺς πολεμίους ἕλκειν πρὸς ἑαυτὸν τὰς πέριξ πόλεις κατοχυρώσαντα καὶ τὰς πεδιάδας B ἐμπρήσαντα, ὥστε σπανίζειν τοῖς πολεμίοις τὰ ἐπιτήδεια· εἰ δὲ μὴ τοῦτο, κἂν γοῦν καταλαβεῖν τὴν Θεοδοσίου πόλιν κἀκεῖσε στρατοπεδεύσαντα προσμένειν τοὺς πολεμίους, ὥστ' ἀπορίᾳ τῶν ἀναγκαίων τὸν σουλτάνον ἀναγκασθῆναι τοῖς Ῥωμαίοις συμπλέκεσθαι ἔνθα Ῥωμαίους ξυμβαλεῖν πρὸς πόλεμον συμφέρον ἐστίν. ἀλλ' ἐδόκουν παρὰ κωφῷ ᾄδειν, καὶ τὰ τῶν κολάκων ἐνίκα. καὶ δέον ἀνδράσι τὴν οἰκείαν ἀρετὴν παραστήσασιν ὑπακούειν, ὁ δὲ τοῖς κόλαξι μᾶλλον προσεῖχεν ἢ τοῖς ὀρθὰ συμβουλεύουσιν, ἐπηρμένος τοῖς προλαβοῦσι τροπαίοις καὶ μέγα ἐπὶ τούτοις φρονῶν. καὶ γὰρ τό τε Μέμπετ φρούριον εἷλε καὶ Τούρκων ἀποσπάσι προνομευόντων ἐντυχὼν ἐτρέψατό τε τούτους καὶ πολλοὺς μὲν ἀνεῖλεν, οὐκ ὀλίγους δὲ καὶ ἐζώγρησε. τούτοις οὖν ἐπαιρόμενος καὶ C θαρρήσας πέρα τοῦ δέοντος ἅτε καὶ πλείονα τῶν προτέρων ἐπαγόμενος ξυμμαχίαν καὶ δύναμιν, ἄρας ξὺν παντὶ τῷ στρατεύματι τὴν εὐθὺ Περσίδος ἤλαυνε καὶ πρὸς τοὺς ἐναντίους ἐχώρει.

14. Γενομένῳ δὲ τούτῳ περὶ τὸ Μαζίκερτον ὁ Βασιλάκιος ὑπηντίαζε στρατὸν ἐπαγόμενος οὐκ ὀλίγον ἐκ Συρίας καὶ Ἀρ-

15. προλαβοῦσι] Cod. συμβαλλοῦσι. correxit P.

Batana Mediae parante ingredi. contra magistro Ioseph Trachaniotae magnae tunc parti copiarum praefecto, et duci totius Occidentis Nicephoro Bryennio, plane videbatur praeceps id errorique innixum consilium esse: rogabantque imperatorem ut, si posset, haereret in loco hostesque ad se eliceret, munitis interim civitatibus Romanae ditionis per circuitum, agrisque incensis ac vastatis, ne suppetere inde hostibus necessaria possent. sin movere inde certus esset, occuparet Theodosiopolin ibique castris positis hostes exspectaret. hinc enim fore ut inopia commeatuum Sultanus cogeretur pugnare cum Romanis loco ipsis ad victoriae spem commodiore: sed haec surdo canebantur. vicit adulatio, et turgens inani gaudio princeps, quod arcem Mempet dictam modo ceperat, et manus Turcorum praedantium caesis multis, paucis captis, fugaverat, sibi persuasit neminem unquam antea Romanum principem tanto in Persas tamque instructo civium sociorumve exercitu movisse. spebus inde magis magnis quam veris aut utilibus inflatus recta in Persidem universas copias perrexit ducere.

14. Hinc progresso usque Mazicertum Basilacius occurrit copias non paucas e Syria ducens atque Armenia. erat is ferox manuque fortis, prae-

μενίας, ὃς ῥωμαλέος μὲν ὢν καὶ τὴν χεῖρα γενναῖος θρασὺς δὲ ἄλλως καὶ δυσκάθεκτος ταῖς ὁρμαῖς, καὶ τὸν βασιλέα κολακεύειν βουλόμενος οὐδὲν ὑγιὲς ἐρωτώμενος ἀπεφθέγξατο. τοῦ γὰρ βεστάρχου Λέοντος τοῦ Διαβατηνοῦ γράμματα τῷ βασιλεῖ πεπομφότος, ὡς ὁ σουλτάνος φησὶ τὴν ἐκστρατείαν πυθόμενος καὶ δείσας τὴν δύναμιν, τὴν Περσίδα καταλιπὼν ἄπεισι φεύγων εἰς Βα- D βυλῶνα. τούτοις ὁ βασιλεὺς τοῖς λόγοις ἀναπεισθείς, διχῇ τὸ στράτευμα διελὼν τὴν μὲν τῶν δυνάμεων αὐτόθι κατεῖχε, τὴν δὲ πρὸς τὸ Χλέατ ἐξαποστέλλει, στρατηγὸν ἐπιστήσας αὐτοῖς τὸν μέγιστον Ἰωσὴφ τὸν Τραχανειώτην, ἄνδρα δεινὸν ἐν στρατιωτικοῖς V 17 βουλεύμασί τε καὶ στρατηγήμασιν, ἀπρόθυμον δὲ τότε παντάπασιν ὄντα καὶ τῷ βασιλεῖ παραινοῦντα εἴσω τὰς δυνάμεις ἁπάσας κατέχειν καὶ μὴ μερίζειν τὸ στράτευμα, ἀγχοῦ τῶν ἐναντίων στρατοπεδευόντων. ὃς ὡς ταῦτα λέγων οὐκ ἔπειθε, τὰς δυνάμεις ἀναλαβὼν πρὸς τὸ Χλέατ ἠπείγετο. πόλις δὲ τὸ Χλέατ ὑπὸ τοὺς Τούρκους τελοῦσα, καὶ φρουρὰν ἔχον ἀποχρῶσαν ἔνδοθεν Τούρ- P 28 κων. ἀλλ' οὔπω τρίτης διελθούσης ἡμέρας τοῖς ἐπὶ χόρτου συλλογὴν ἐξιοῦσιν ἐπιτίθενται Τοῦρκοι καί τινας μὲν ἀναιροῦσιν ἐνίους δὲ καὶ ζωγροῦσι. τοῦ ξυμβάντος γοῦν ἀπαγγελθέντος τῷ βασιλεῖ εὐθὺς ὁ Βασιλάκης μετεκέκλητο καὶ περὶ τῶν Τούρκων ἐπολυπραγμονεῖτο, τίνες τε εἶεν οἱ τὰς ἐπιθέσεις ποιούμενοι καὶ ὅθεν γῆς ἥκοντες. ὁ δὲ τῇ συνήθει θρασύτητι καὶ πάλιν χρη-

1. ῥωμαλέος] Ita P. pro Ῥωμαῖος. 2. καὶ τὸν βασιλέα] καὶ fort. delendum. 10. δεινὸν ἐν] δεινὸν μέν?

cipitique irrevocabiliter impetu ruere solitus, quamcumque in partem incubuerat. qui quod tunc assentari Augusto libebat interrogatus, nihil sani respondit. interrogabatur autem de eo, quod vestarches Leo Diabatenus modo imperatori scripserat: Sultanum audito eius adventu desperantem rebus suis Perside relicta fugere Babylonem. quae imperator a Leone scripta a Basilacio voce firmata pro indubitatis habens bifariam divisit copias; partem ibi detinuit secum, aliam versus Chleat misit, duce ipsi praeposito maximo Iosepho Trachaniota, viro acri tum in consultationibus, tum in exsecutionibus bellicis, sed tunc quod iubebatur invitissime agenti. suadebat siquidem omnibus modis imperatori contineret simul intra limitem universas secum copias. quae enim sineret ratio in tanta castrorum hostilium vicinia exercitum longe mittere? sed haec saepe frustra causatum necesse ad extremum fuit obsequi, et cum sibi commissa exercitus parte in Chleat tendere. Chleat civitas est subiecta Turcis praesidio eorum idoneo insessa, nondum tertia hinc dies effluxerat, cum in nostros pabulatores irruentes Turci quosdam caedunt, alios capiunt. nuntiata re imperatori, vocatur extemplo Basilacius, qui curiose inquisitus de Turcis, qui essent undeque erumperent in istas incursiones, solita confidentia respondit, proximum eo-

σάμενος τοὺς ἐκ τοῦ Χλίατ ἥκειν ἐφ' ἁρπαγῇ διενίστατο. ἔλαθεν οὖν οὕτω τὸν βασιλέα ἡ τοῦ σουλτάνου ἔφοδος οὐ μακρὰν τοῦ στρατοπέδου ὄντος καὶ τὰ τοῦ πολέμου εὖ διατιθεμένου. B βουλόμενος γὰρ τὸν βασιλέα ἐπαγαγεῖν εἰς τὰ ἔμπροσθεν καὶ ἐντὸς ἀρκύων ποιήσασθαι, προδρόμους ἐξέπεμπεν, οἳ προέτρεχόν τε τοῖς ἵπποις περὶ τὸν τῶν Ῥωμαίων χάρακα, καὶ αὖθις ἀνθυπενόστουν ὥσπερ δρασμὸν ποιούμενοι. καὶ τοῦτο πολλάκις ποιοῦντες ἐνίους τῶν στρατηγῶν συνηρπάκασιν, ὧν ὁ πρῶτος ὁ Βασιλάκης ἦν. σπεύδων γὰρ οὗτος τὸν βασιλέα πληροφορῆσαι ὡς οὐκ ἐκ τοῦ Περσικοῦ στρατεύματος εἶεν οἱ τὰς ἐκδρομὰς ποιούμενοι, ἀλλ' ἐκ τῶν ἐνοικούντων τῷ Χλίατ, ᾔτει συγχωρηθῆναί οἱ τοῦ χάρακος ἐξελθεῖν, καὶ τὸν ἀκινάκην σπασάμενος καὶ μυωπίσας C τὸν ἵππον ἀσυντάκτως ἐχώρει κατὰ τῶν πολεμίων. καὶ οἱ περὶ αὐτὸν εἵποντο οὐ κατὰ τάξιν ἀλλ' ὥσπερ ἔτυχεν ἕκαστος. ἀμέλει καὶ τὴν ἄτακτον τούτων φορὰν οἱ πολέμιοι θεασάμενοι προσεποιήσαντο φεύγειν. ἐπεὶ δὲ πόρρω τοῦ χάρακος εἶδον αὐτοὺς ἐξελάσαντας, τοὺς χαλινοὺς ὑποστρέψαντες καὶ διεσκεδασμένοις αὐτοῖς προσβαλόντες νικῶσιν αὐτοὺς κατὰ κράτος. καὶ πίπτουσι μὲν πολλοὶ τῶν στρατιωτῶν, ὡς μικροῦ δεῖν μηδ' ἄγγελον ὃ δὴ λέγεται διασωθῆναι τῆς συμφορᾶς, ἑάλω δὲ καὶ ὁ Βασιλάκης.

15. Ἐπεὶ δ' ἀπηγγέλη τῷ βασιλεῖ ὡς ὁ Βασιλάκης ἀσυντάκτως τοῦ χάρακος ἐξελθὼν κατὰ τῶν πολεμίων ἐλαύνει, τὸν

12. μυωπίσας] V. μυωπήσας.

rum praesidium esse urbem Chleat, inde hos sine dubio venisse, qui nostris occurrissent. adeo in profunda et supina ignoratione desidebat imperator viciniae Sultani, cuius castra copiis ipsius omnibus plena, optimeque ad rem gerendam parata in proximo erant. cum autem is cuperet paulo adhuc ulterius imperatorem intra suas insidias elicere, parvas missitabat cursorum manus, qui apparentes circa Romana castra statim fugerent, quod saepe facientibus instantes in fuga Romani quidam duces capti sunt, quorum primus fuit Basilaces. facere enim plenam fidem is imperatori studens dicti sui, quo affirmaverat excursiones istas Turcorum non a Sultani castris, sed ab urbe Chleat esse, petiit permitti sibi egressum e castris, strictoque acinace, et calcaribus equo adactis, sine ullo ordine in hostes currit, suis pari confusione sequentibus. Turci hac observata diligentia, quamquam sperandi causam offerri videbant, non timendi, tamen pavore simulato fugae se dederunt. ubi autem longe iam a castris suis distare palantes Romanos intellexere, versis impigre habenis in eos equitant, facileque dispersos vincunt. caeduntur multi militum, adeo, ut quod aiunt, ne nuntius quidem superesset cladis. Basilaces vero captus est.

15. Cuius incompositus egressus simul nuntiatus imperatori fuerat, vocato is duce Occidentis Bryennio laevo tum cornu praefecto, prodire sta-

δοῦκα πάσης δύσεως μετακαλεσάμενος τὸν Βρυέννιον τοῦ ἀριστεροῦ τηνικαῦτα κατάρχοντα κέρατος, ἐκπέμπει τοῦτον μετὰ τῆς D οἰκείας δυνάμεως ἀπιέναι τὴν ταχίστην κελεύσας, ὡς εἴ τι δεινὸν ἐπισυμβαίη τῷ Βασιλάκῃ ἐπαμύνηται τούτῳ καὶ τῆς ἐκτροπῆς ἐπαμύνηται· ἤδη γὰρ ἐν αἰσθήσει γενέσθαι ἤρξατο τοῦ κακοῦ. ὁ μὲν οὖν ἀπῄει καὶ τὰς δυνάμεις ἐξῆγε τοῦ χάρακος ἐξιών. οὐδένα οὖν ἑώρα φίλων ἢ πολεμίων σπεύδων ἐπὶ τὰ πρόσω παραχωροῦντα ἤρξατο δὲ ὁρᾶν περὶ γηλόφους πολεμίους συνεστηκότας. βραχὺ δὲ προϊὼν καὶ νεκροῖς ἐνέτυχε σώμασι καὶ ἠπόρει τί ποτ' ἂν ὁ Βασιλάκης γέγονεν. ἐντυχὼν δὲ στρατιώτῃ ἔτι ἐμπνέοντι ἐπυνθάνετο ποῦ ποτ' ἂν εἴη ὁ Βασιλάκης, καὶ τί τὸ περὶ αὐτοὺς ὁρώμενον. ὁ μὲν ἀπήγγελε σύμπαντα, οἱ Τοῦρκοι δὲ πανταχόθεν P 29 συνέθεον καὶ κυκλοῦν ἐπειρῶντο τὴν φάλαγγα. αἰσθόμενος τοῦτο ὁ δοὺξ παρεκάλει τοὺς στρατιώτας ἄνδρας ἀγαθοὺς ὀφθῆναι, καὶ μηδέν τι δρᾶσαι τῶν ἀγενῶν καὶ τῆς Ῥωμαϊκῆς ἀνάξιον γενναιότητος. στρέψας οὖν τὴν φάλαγγα ὡς ἐπὶ τὸ στρατόπεδον συντεταγμένως ἐχώρει, τῶν ἐπιόντων μηδένα λόγον ποιούμενος. ὡς δ' ἔγγιστα τοῦ χάρακος γέγονε, μέρος ἀναλαβὼν τῆς φάλαγγος V 18 καὶ τοὺς ἄλλους προσμένειν κελεύσας ἐξαίφνης κατὰ τῶν ἐπιόντων ἐπήλασε καὶ ῥᾳδίως τούτους ἐτρέψατο. ἐπεὶ δὲ τοὺς λοιποὺς ἑώρα B συνθέοντας παμπληθεί, πάντας ἀναλαβὼν ὑπέστρεψε πρὸς τὴν

2. κατάρχοντα] V. κατάρχοντος. 5. ἐπαμύνηται]? 6. χάρακος — ὁρᾶν] Fortasse: χάρακος. ἐξιὼν δ' οὐδένα μὲν ἑώρα φίλων ἢ πολεμίων, σπεύδων δ' ἐπὶ τὰ πρόσω ἤρξατο ἤδη ὁρᾶν — restat corruptum παραχωροῦντα, quod in παρὰ χῶρον mutavit P. 12. ὁρώμενον] δρώμενον? 15. ἀνάξιον] ἀναξίων?

tim eum iubet cum copiis, quae ipsi suberant, vel Basilacio, si opus foret, succursurum, vel alioqui excursiones importunas ulturum repressurumve, iam enim sensum aliquem mali ac periculi sui concipere imperator coeperat. fecit Bryennius quod iubebatur, cohortesque vallo educens aliquantumque progrediens, neminem aut amicorum aut hostium per campum vidit: extantes procul tantum e quibusdam tumulis Turcos procul conspicit. paulo vero ulterius progressus cadavera caesorum reperit. cumque esset anxius quid Basilacio contigisset, forte in adhuc spirantem incidens militem, ubi esset Basilacius, et quae esset haec strages quam cerneret ab eo doctus, rediit Augusto nuntiatum cuncta. at Turci circum accurrebant undique, circuireque phalangem conabantur, id quod sentiens dux adhortatus milites fortiter agere, neque committere, ut a Romana virtute degenerare viderentur, versa phalangis fronte in castra instructo agmine ferri coepit certo gradu, nulla circum tumultuantium habita Turcorum ratione. ut autem ad viciniam proximam castrorum provectus est, subsistere in loco iussa phalangis parte, ipse subito cum ceteris in sequentes irruens facile illos vertit. ut vero coire Turcos reliquos festinareque in suorum auxilium maximo numero vidit, resumptis suis omnibus, phalangem repetebat; quando ab instantibus

φάλαγγα. ἐπιθεμένων δ' αὐτῷ τῶν Τούρκων καὶ κυκλωσάντων, δόρατι μὲν ἐτρώθη κατὰ τῶν στέρνων, βέλεσι δὲ δυσὶ κατὰ τῶν μεταφρένων. ἡρωϊκῶς δ' ἀγωνισάμενος πρὸς τὴν φάλαγγα διασέσωστο καὶ ξὺν αὐτῇ κατέλαβε τὸ στρατόπεδον. ἀπελθὼν δὲ πρὸς βασιλέα καὶ τὰ ξυμβάντα διηγησάμενος ἐκελεύσθη πρὸς τῇ σκηνῇ γενέσθαι καὶ θεραπεύειν τὰ τραύματα.

C 16. Καὶ τότε μὲν ἔμεινε παρὰ τῇ σκηνῇ· ἡμέρας δ' ἤδη διαγελώσης καὶ τοῦ ἡλίου ὁρίζοντα ὑπερβαίνοντος αὖθις μετεκαλεῖτο παρὰ τοῦ αὐτοκράτορος. ὁ δ' ἀπῄει τῶν τραυμάτων καταφρονήσας. ὡς δὲ βουλὴ προετέθη ἢ πολεμεῖν ἢ εἴσω τὰς δυνάμεις κατέχειν, τοῖς μὲν ἐδόκει συνετῶς ἄγαν εἴσω μένειν τοῦ χάρακος καὶ τὰς δυνάμεις ἐκ τοῦ Χλέατ μεταπέμπεσθαι, τοῖς δὲ κόλαξι τἀναντία, εἰ μὲν καὶ οὕτω φρονοῦσιν, οὐκ ἔχω λέγειν. τέως δ' ἔδοξε, καὶ αὖθις ἐνίκα τὰ χερείονα. ἐξάγειν οὖν τὰς δυνάμεις ἐγένετο. οἱ δέ γε Τοῦρκοι κραταιότεροι αὖθις καὶ μετὰ πλείονος ἐπήρχοντο τῆς χειρός. καὶ δὴ προσβάλλουσι τούτῳ, D καὶ μάχης συστάσης πίπτουσι μὲν τῶν Τούρκων συχνοί, πίπτουσι δὲ καὶ τῶν Ῥωμαίων πλεῖστοι. ἐτρώθη δὲ καὶ αὐτὸς ὁ Βρυέννιος πολλαχοῦ τοῦ σώματος, ἀλλὰ δεινὸς ὢν περὶ τὰ στρατηγικὰ τὸ πλεῖστον τῆς φάλαγγος ἀσινὲς διεσώσατο. ὁρῶν δ' ἐπιόντας τοὺς Τούρκους ὁ βασιλεὺς ἐξῆγε καὶ αὐτὸς τὰς δυνάμεις ὡς ἐπὶ πόλεμον καὶ παρετάττετο πρὸ τοῦ χάρακος. ἡγεῖτο δὲ τοῦ μὲν δε-

9. τραυμάτων] Ita P. pro στρατευμάτων.

Turcis circumventus, vulnus in pectore accepit hastae cuspide, in aversa quoque parte corporis telis intus duobus. sic heroico certamine defunctus phalangi se suosque salvos adiunxit, cumque illa in castra reversus nihil prius habuit, quam adire imperatorem, cui narratis quae contigerant, ab eo iussus est in tabernaculo suo quiescere ac vulnera curare.

16. Quod tunc quidem ille fecit. posterae vero diei erto iam sole vocatus ab imperatore non excusavit, quod merito poterat, dolorem vulnerum: sed in consilio praesto adfuit, ubi deliberatione proposita, prodeundumne in aciem et pugnandum foret, an continendae intra vallum copiae? sapientibus quidem optimum factu videbatur manere in castris et temere dimissas versus Chleat copias curriculo inde accersi. adulatorum autem, an sic re vera sapientium, an contra mentem propriam compertae voluntati principis servientium, incertum, contraria praevaluit sententia: pessimumque consilium captum est educendi ad praelium exercitus. nec defuere Turci instructiori pleniorique ex adverso irruentes acie, confligitur. Turcorum multi, Romanorum plerique cadunt. Bryennius multis corporis locis alia nova vulnera accepit, dum partes agit boni ducis in illo periculo et praesenti, quo valebat plurimum in praeliis, consilio phalangis magnam partem illaesam servat. porro imperator venientes contra videns Turcos, educit et ipse copias velut ad praelium, aciemque pro vallo instruit. praeerat dextro cornu

ξιοῦ κέρατος ὁ Ἀλυάττης, ἀνὴρ Καππαδόκης καὶ συνήθης τῷ βασιλεῖ, τοῦ δ' εὐωνύμου αὐτὸς ὁ Βρυέννιος, τὸ δὲ μέσον τῆς φάλαγγος εἶχεν ὁ βασιλεύς. οὐραγεῖν δὲ ἐτέτακτο ὁ τοῦ καίσαρος υἱὸς ὁ πρόεδρος Ἀνδρόνικος τάς τε τῶν ἑταίρων τάξεις ἔχων καὶ τὰς τῶν ἀρχόντων, ἀνὴρ καὶ γένους λαμπροῦ καὶ πᾶσι κομῶν P 30 τοῖς καλοῖς· φρονήσει γὰρ τῶν ἡλίκων ἁπάντων ὑπέρτερος, καὶ ἀνδρικώτατος εἴπερ τις ἄλλος, καὶ ταῖς στρατηγικαῖς ἐντραφεὶς μελέταις, οὐ πάνυ δὲ φιλίως ἔχων πρὸς βασιλέα.

17. Οἱ δὲ Τοῦρκοι τὸν βασιλέα βλέποντες παρατάττοντα τὸν στρατὸν οὐ κατὰ φάλαγγας οὐδὲ κατὰ λόχους (οὐδὲ γὰρ ἐβούλοντο Ῥωμαίοις εἰς χεῖρας ἐλθεῖν) ἡσύχασαν. ἀλλ' ὁ μὲν σουλτάνος πόρρω που ἱστάμενος τὰ πρὸς πόλεμον διετάττετο, ἀνδρὶ δέ τινι ἐκτομίᾳ τὰ μέγιστα παρ' αὐτῷ δυναμένῳ, Ταράγγης τούτῳ B τὸ ὄνομα, τὰς πλείστας δυνάμεις παραδοὺς κύριον τοῦ πολέμου τοῦτον ἀπέδειξεν. ὁ δὲ εἰς πολλὰ μέρη τὸ στράτευμα διελὼν προλοχισμούς τε ἐποίει καὶ ἐνέδρας συνίστα, καὶ περιιέναι τὰς τάξεις Ῥωμαίων ἐπέταττε καὶ τοῖς τοξεύμασι χρῆσθαι πάντοθεν. οἱ δὲ V 19 Ῥωμαῖοι τῶν ἵππων αὐτῶν βαλλομένων ἠναγκάζοντο ἕπεσθαι. καὶ δὴ εἵποντο φεύγειν δοκούντων ἐκείνων. εἰς δὲ τοὺς λόχους καὶ τὰς ἐνέδρας περιπίπτοντες μεγάλως ἐβλάπτοντο. τοῦ βασιλέως δὲ τὸν ὑπὲρ τῶν ὅλων βουλομένου κίνδυνον ἀναδέξασθαι βάδην C

Alyattes, vir Cappadox, familiaris imperatoris; sinistro ipse Bryennius; mediam aciem ipse regebat imperator; postremi agminis cura commendata est Caesaris filio praesidi Andronico, sociorum ordines et principum habenti, iuveni utique, cui ad splendorem generis cumulus accedebat laudum omnium. nam et prudentia aequales facile omnes anteibat, et fortitudinis gloria cedebat nemini, experientia quoque rei bellicae insignis: quippe militarium artium functionumque meditationibus innutritus. sed parum idem benevole affectus erga imperatorem erat.

17. Ceterum Turci cum imperatorem cernerent in unum aciei corpus totum exercitum digerere, nec in partes manusque varias alias in hostem excursuras, alias in insidiis subsessuras tribuere, quieverunt ipsi, quoniam non constituerant id quod imperatorem parare videbant, decretorii praelii aleam iacere. at Sultanus longiuscule hinc distans cetera rei gerendae opportuna dispensabat eunucho cuidam valde apud ipsum gratioso, Tarangae nomine, plerisque attributis copiis et summa eius belli commendata. hic autem multas in partes exercitu diviso, manus alias in viciniora hosti loca promovet, alias retro idoneis stationibus sublocat, omnibusque imperat ambire circumque venire Romanos conentur, nec pugnam admoveri ad manus sinant, verum longe sagittas undique iaculentur. ad ea Romani cum vulnerari sagittis equos suos cernerent, hostem procul statim sequi cogebantur. tunc vero simulata fuga Turci nostros in paratas insidias trahebant, a quibus male mulctabantur, mactabanturque. porro imperatore obfirmante tamen animum in proposito acie certandi: ac propterea lento secum gradu Roma-

D νῦν πολεμαῦντες Ῥωμαίοις. ἀλλ' ἐπανίτω μοι ὁ λόγος πρὸς τὴν
ἀρχῆθεν ἀκολουθίαν.

11. Μανουήλ, ὡς εἴρηται, ὁ κουροπαλάτης στρατηγὸς
αὐτοκράτωρ τῶν ἑῴων ταγμάτων πρὸς τοῦ Διογένους ἀποδειχθείς,
περὶ τὴν Χαλτικὴν διατρίβων ἐφυλάττετο τὰς τῶν Τούρκων ἐπι-
δρομάς. ἐπεὶ δ' ἀπηγγέλη αὐτῷ παρὰ τῶν σκοπῶν ὡς πλῆθος
Τούρκων στρατηγὸν ἔχοντες τὸν Χρυσόσκουλον, ὃς ἐκ σουλτάνων
σειρᾶς ὥρμητο, τῆς δ' ἐξουσίας ἀντεποιεῖτο Περσῶν αὐτῷ προση-
κούσης, ἐπίασι τὰς τοῦ Ἀρμενιακοῦ κωμοπόλεις πορθήσοντες,
τὰς δυνάμεις ἀναλαβὼν ἐχώρει κατὰ τῶν Τούρκων καὶ διεσκεδα-
P 25 σμένοις αὐτοῖς ἐντυχὼν ὡς εἰς προνομὴν ἐξιοῦσι ῥᾳδίως τούτους
ἐτρέψατο. ἔγγιστα δὲ τοῦ στρατοπέδου τῶν Τούρκων ἐν τῷ διώ-
κειν γενόμενος καὶ λόχοις αὐτομάτοις περιπεσὼν καὶ ἐπιπολὺ ἀν-
τισχὼν καὶ γενναίως ἀγωνισάμενος, ἐπεὶ μὴ οἷός τε ἦν καρτερεῖν
ἔτι τῆς Ῥωμαίων φάλαγγος εἰς φυγὴν τραπείσης καὶ διασκεδα-
σθείσης, ὥρμησε καὶ αὐτὸς εἰς φυγήν, κυκλωθεὶς δ' ὑπὸ τῶν
Τούρκων ἁλίσκεται ἅμα τοῖς δυσὶν αὐτοῦ γαμβροῖς, τῷ τε Με-
λισσηνῷ καὶ Ταρωνίτῃ· ἔπεσον δὲ καὶ τῶν λοιπῶν Ῥωμαίων ὀλί-
B γοι. ἀπαχθεὶς οὖν πρὸς τὸν Χρυσόσκουλον δεινὸν ᾤετο μὴ δρᾶ-
V 13 σαί τι τοῦ γένους ἐπάξιον, καὶ μέντοι καὶ δέδρακεν ἔργον ἀξιαφή-
γητον. διαγνοὺς γὰρ ὡς ἀποστάτης ἐστὶ τοῦ σουλτάνου ὁ τοῦτον
νικήσας καὶ τῆς Περσῶν ἐφίεται δυναστείας, δεῖν ᾠήθη ἀποπει-

7. Χρυσόσκουλον] Vide notas P.

diem. sed in gyrum susceptae narrationis ordinisque rerum reducenda nunc mihi oratio est.

11. Manuël, ut dictum est, curopalates, dux summus Orientalium copiarum a Diogene declaratus, circa Chalticam commorans Turcorum excursiones observabat. cum vero ei a speculatoribus indicatum esset, multitudinem Turcorum duce Chrysosculo e genere Sultanorum, principatum Persidis sibi, ut putabat, debitum ambiente, irruere in vicos limitis Armeniaci, animo eos vastandi, assumptis copiis contra Turcos vadit, quos et dispersos, utpote praedabundos offendens facile in fugam vertit. hinc cum fugaces usque ad proximam viciniam castrorum Turcicorum cupidius insequeretur, coorientibus in eum Turcis e locis antea occupatis, quae tunc usum insidiarum arte positarum ipsis praebuerunt, diu fortiter pugnans restitit. sed cum versa in fugam dissipataque phalange Romana, obsistere ipse unus amplius non posset, necessario et sero fugiens conclusus captusque a Turcis est cum duobus sororum suarum viris, Melisseno et Taronita. ceciderunt et reliquorum Romanorum pauci. abductus igitur ad Chrysosculum grave putabat, si non aliquid genere dignum efficeret suo, effecitque plane dignum in primis narratu facinus. cognito enim victorem suum defecisse a Sultano, et spe ambitiosa principatum Persarum versare animo, experiri hominem de-

ραν ποιήσασθαι τούτου. καὶ προσελθὼν αὐτῷ καταμόνας καὶ τὰ
κατ' αὐτὸν ἐξετάζων, ἐπείπερ ἔγνω τὸν ἄνδρα ἐν φόβῳ πολλῷ
καθεστῶτα (ἠπόρει γὰρ ὡς πρὸς τὸν σουλτάνον ἀξιομάχου δυ-
νάμεως) ἠπίων ἥπτετο λόγων πρὸς αὐτόν, καὶ δὴ μαλάξας τὸ
τούτου σκληρόγνωμον δραστικωτέρων ἐχρῆτο λόγων φαρμάκοις
πρὸς τὴν δευτέραν ἀπόπειραν. τὰ δὲ ἦν ὡς ἐπείπερ τῆς βασιλείας
ἐρᾷ Περσῶν καὶ πρὸς τὸν κρατοῦντα ταύτην ἀδυνατεῖ παρατάξα- C
σθαι ἅτε σπανίζων ἀξιολόγου δυνάμεως, οὐκ ἄν ποτ' αὐτῷ τὰ
κατὰ σκοπὸν ἀποβαίη, εἰ μὴ πρὸς τὸν βασιλέα Ῥωμαίων αὐτο-
μολήσειε κἀκεῖνον ξύμμαχον σχοίη καὶ πρὸς τὸ προκείμενον συνερ-
γόν. ὁ δὲ ξυμβούλῳ τε ἅμα τούτῳ καὶ ὁδηγῷ χρησάμενος ἅμ'
αὐτῷ ταχέως τὴν βασιλίδα κατέλαβε, καὶ ὁ τοῖς ὅπλοις κρατήσας
ἑάλω λόγων δεινότητι. τοῦτο τὸ ἔργον εἰς μέγα κλέος τὸν κουρο-
παλάτην ἀνήγαγεν· καὶ γὰρ ἦν ὄντως ἀξιεπαίνετον. φιλοφρόνως
οὖν καὶ ἄμφω ὁ βασιλεὺς ὑπεδέξατο καὶ δωρεαῖς μεγάλαις τετί-
μηκεν.

12. Ἦρος δὲ ἀρχομένου κατὰ τῶν Τούρκων ἐστράτευσεν D
ἐπαγόμενος ξὺν αὐτῷ τὸν Χρυσόσκουλον. γενομένου δὲ τούτου
κατὰ τὴν Βιθυνίαν ὁ κουροπαλάτης ὠταλγίᾳ συσχεθεὶς τετελεύ-
τηκε, μέγα πένθος τῷ βασιλεῖ καταλιπών· μάλα γὰρ ἐφίλει τὸν
ἄνδρα. ὁ δὲ Χρυσόσκουλος μικροῦ δεῖν καὶ συναπῆλθεν αὐτῷ.
οὕτως ὑπὸ τοῦ πάθους νενίκητο, ὡς προέσθαι βούλεσθαι καὶ αὐτὴν

22. οὕτως] Fort. add. γοῦν. *ibid.* αὐτὴν] αὐτός?

crevit; secretique opportunitate colloquii, introspecta eius mente, ubi timore illum urgeri magno deprehendit, quod se copiis Sultani mox contra se moturi sentiret imparem, blandis eum demulcere verbis aggressus est: sicque mollita primo illo delinimento duritie barbari, efficacioris velut medicaminis profuturam sic parato secundam hanc quamdam compositionem admovet, ait illi, quandoquidem imperium Persarum affectans, idoneas ad eius insessorem debellandum non haberet copias, nunquam voti compotem futurum, nisi ad Romanum imperatorem transfugiens, eum sibi adiungeret socium ad bellum Persicum. his ille auditis, utilis consilii auctorem, viae quoque ducem sibi esse voluit, statim cum illo Constantinopolim profectus. sic qui armis vicerat, arte verborum victus vicissim et captus est. magnam eo facto gloriam suo peperit nomini curopalates: et erat sane laude dignum insigni facinus. utrumque porro imperator benevolentissime exceptum muneribus magnis honoravit.

12. Inde sub veris initium expeditionem in Turcos suscepit, ducens cum ipse Chrysoscalum. cum vero pervenisset in Bithyniam curopalates, dolore aurium correptus interiit, magnum luctum imperatori relinquens; multum enim amabat virum. Chrysosculus vero parum abfuit quin cum eo moreretur, tanta casum impatientia perturbationis ferens, ut superesse

τὴν ζωήν. ἀλλ' οὕτω μὲν οὗτοι, ἡ δὲ τοῦ κουροπαλάτου μήτηρ τῇ βασιλίδι τῶν πόλεων διατρίβουσα, ἐπεὶ περὶ τῆς νόσου τοῦ υἱοῦ ἐπέπυστο, ὡς δεινή τις καὶ δυσαπάλλακτος αὕτη ὑποτοπάσασα, διαπεραιωθεῖσα ταχέως τὴν Βιθυνῶν καταλαμβάνει μητρόπολιν. P 26 μαθοῦσα δ' ὅτι πρὸς τὸ κάκιον προχωροίη τῷ παιδὶ τὰ τῆς νόσου, τὸ ὄρος ὑπερβᾶσα ὅπερ ἐγχωρίως Ἀζαλὰς ὠνόμασται, εὗρε τοῦτον περὶ τὰς ὑπωρείας τούτου ἔν τινι φροντιστηρίῳ ἐπ' ὀνόματι τῆς θεομήτορος (Ἄλυπος ὄνομα τῇ μονῇ) πρὸς τὴν ἔξοδον ἐπειγόμενον. βοῆς δ' ἐπὶ τῇ ταύτης εἰσελεύσει γενομένης τοῖς περὶ τὸν κουροπαλάτην, ἐπείπερ ἑώρακεν οὗτος τὴν μητέρα φοιτήσασαν, ἐξήλατό τε σπουδαίως τῆς κλίνης, καὶ ταύτην περιπλακεὶς κατησπάζετο, μηδέν τι φθέγξασθαι δυνηθεὶς ἕτερον, μόνον δὲ αἰτησάμενος ταύτην κοινῆς ἄμφω ἀξιωθῆναι ταφῆς. ὁ μὲν οὖν αὖ- B θις ἀνακλιθεὶς τετελευτήκει μετὰ βραχύ. ἡ δὲ γενναία μήτηρ καὶ μεγαλόψυχος τὴν ὀφειλομένην ὁσίαν ἀποπληρώσασα τῷ υἱῷ καὶ τοσοῦτον πενθήσασα ὅσον εἰκὸς τὴν τοιοῦτον παῖδα ἀποβαλοῦσαν στρατιώτην τε ἅμα καὶ στρατηγόν, βραχύ τι τοῦ πάθους ἑαυτὴν ἀνενεγκοῦσα τὸν κλεινὸν ἐκπέμπει Ἀλέξιον συστρατευσόμενον τῷ βασιλεῖ. ὁ δὲ τῇ μητρὶ συνταξάμενος καὶ δακρύων κρουνοὺς ἀφιεὶς ἐπὶ δυσὶν ἐμερίζετο πάθεσι, σπλάγχνῳ τε μητρικῷ καὶ στρατείας ἐπιθυμίᾳ. καὶ γὰρ ἦν εἴπερ τις ἄλλος φιλοπόλεμός τε

2. τῇ βασιλίδι] P. ἐν τῇ βασιλίδι. 5. προχωροίη] V. προσχωροίη. 11. ἐξήλατο] V. ἐνήλλατο. fort. tamen scripsit ἀνήλατο quod est p. 46 D. 12. αἰτησάμενος] Ita P. pro αἰτιασάμενος.

amico se negaret velle: at curopalatae mater in urbe diversans regia, ubi trepido perculsa nuntio est de filii morbo, quem gravem et non facile curabilem suspicata est, traiecto statim freto Bithyniorum in urbem primariam se confert. ubi cum didicisset intendi morbum, peiusque habere filium, monte superato, quem indigenae Azalam nominant, eum offendit in quodam monasterio dei matri consecrato, cui Alypus nomen est, in declivitate montis sito, ibi inquam offendit filium mater extremum iam spiritum trahentem. clamore autem ad adventum matronae a circumstantibus sublato, excitatus aeger, ubi venientem ad se matrem vidit, vincente morbum affectu exsiluit e strato, amplexusque et osculatus parentem est, pauca tamen verba eniti valens, quibus a matre postulabat curare ut illa dignaretur sese una cum illa communi ambos sepultura condi. sub haec iterum reclinatus paulo post obiit. generosa vero ac magnanima mater iustis rite persolutis filio, luctuque ac lamentatione perfuncta, tantis quantis prosequi eam fas et par fuit talem filium tali tempore amissum militem simul et ducem, a moerore paulisper se revocans, inclytum Alexium ab se dimittit comitem expeditionis imperatori futurum. at ille matri valedicto, non sine uberibus lacrimis duobus hinc inde affectibus distrahebatur, materna videlicet caritate et iuvenili ardore militandi: neque enim erat ullus, cui vel pietate in matrem vel generoso

καὶ φιλομήτωρ. ἀπάρας οὖν ἐκεῖθεν τῆς πρὸς τὸν βασιλέα φερούσης ἥπτετο, καὶ δὴ φθάνει τοῦτον περὶ τὸ Δορύλαιον σκη- C νοῦντα καὶ τὸν στρατὸν συναγείραντα. ὁ δὲ τοῦτον ἰδὼν καὶ ἐν ἀναμνήσει τοῦ πάθους γενόμενος δακρύειν τε ἤρξατο καὶ περὶ τῆς V 16 ἐκείνου μητρὸς ἐπυνθάνετο. καὶ τέλος βιάζεται τοῦτον πρὸς τὴν μητέρα παλινοστῆσαι, τοῦτο φράσας ὡς οὐ καλόν ἐστι ταύτην ἐπὶ τοσούτῳ μεγέθει πάθους καταλιπεῖν ἀπαράκλητον, τῷ πάθει πάθος προσθέντας τῷ ἐκείνου θανάτῳ τὴν σὴν ἐπὶ μακρὸν ἀποδημίαν. ταῦτα μὲν οὖν ὁ βασιλεύς. ὁ δ' ἐπειρᾶτο προσμένειν καὶ ξυνέπεσθαί οἱ κατὰ βαρβάρων στρατεύοντι. ἀλλὰ ταῦτα λέγων τὸν βασιλέα οὐκ ἔπειθε· καὶ ἄκοντα γὰρ τοῦτον ἐπαναζεῦξαι D πρὸς τὴν μητέρα παρεσκεύασεν. ὁ μὲν οὖν ἀπῄει, ὁ δὲ βασιλεὺς πρόσω χωρῶν τὰς Ῥωμαϊκὰς δυνάμεις συνήθροιζε καὶ πρὸς τὸν πόλεμον αὐτῷ ἐξηρτύετο.

13. Γενόμενος δὲ περὶ τὴν Καππαδοκῶν τοὺς ἀρίστους ἅμα τῶν στρατηγῶν ἐπ' ἐκκλησίαν ἐκάλει καὶ βουλὴν περὶ τοῦ πολέμου προὐτίθει, πυνθανόμενος δὲ εἰ χρὴ τὴν ἐπὶ Περσίδος ἐλαύνειν κἀκεῖσε τοῖς Τούρκοις συμπλέκεσθαι, ἢ μένοντα ἐπὶ τῆς ἰδίας τὴν ἐκείνων ἔλευσιν ἀναμένειν· ἠγγέλλετο γὰρ ἤδη καὶ ὁ σουλτάνος ἐξελθεῖν τῆς Περσίδος καὶ σχολῇ καὶ βάδην κατὰ Ῥωμαίων P 27 χωρεῖν. τοῖς μὲν οὖν ἐδόκει ὅσοι θρασύτερόν πως διέκειντο καὶ κολακικώτερον, μὴ μένειν, ἀλλ' ἀπιέναι καὶ συμπλέκεσθαι τῷ

2. Δορύλαιον] V. Δορύλεον. 3. συναγείραντα] V. συνέγειραντα. 14. αὐτῷ] P. αὐτάς. 17. δὲ] Fort. delendum.

bellicarum rerum studio cederet. inde igitur profectus ad imperatorem reperit eum congregato iam exercitu stativa circa Dorylaeum habentem, qui Alexio viso admonitus illo conspectu de casu Manuēlis, non tenuit lacrimas, et uti mater haberet percontatus est. ac tandem omnino imperat ad matrem ipsum reverti, praefatus aequum non esse illam in tali moerore consolationis expertem omnis relinquere: immo novo dolore a me ipso cumulatam, inquit, si morti maioris filii tuam ego in longinquam abductionem adiunxero. talia dicente Augusto excepit, instititque contra Comnenus multis orans, manere ut per eum in exercitu sibi et sequi ducentem ipsum adversus barbaros liceret. sed nihil dimovere imperatorem de sententia potuit. itaque quamlibet invitus reluctansque regredi ad matrem, praeciso principis iussu compulsus itineri se dedit domum versus: Augusto ulterius movente, et tum cogere Romanas undique copias, tum eas ad bellum instruere pergente.

13. Quo itinere cum in Cappadociam promovisset, praecipuis ducum convocatis de summa belli consultat, rogans ecquid praestaret irrumpere intra fines Persidis, ibique pugnare cum Turcis; an manentem intra limitem ditionis propriae ipsorum adventum exspectare. nuntiabatur enim Sultanum egredi iam e Perside, ac lento gressu in Romanos movere. ibi ferociores quique, quibusque assentari principi solemne erat, negare desidendum illic esse, sed vadendum occursandumque Sultano, et cum eo proeliandum in

σουλτάνῳ εἰσιόντι ἐν Βατάνοις τῆς Μηδίας. τῷ μαγίστρῳ δὲ Ἰωσὴφ τῷ Τραχανειώτῃ κατάρχοντι τότε ταγμάτων πολλῶν, καὶ τῷ δουκὶ πάσης δύσεως Νικηφόρῳ τῷ Βρυεννίῳ παντάπασιν ἐδόκει τὰ τοιαῦτα βουλεύματα σφάλλεσθαι, καὶ ἐξελιπάρουν τὸν βασιλέα, εἰ οἷόν τε εἴη, προσμένειν καὶ τοὺς πολεμίους ἕλκειν πρὸς ἑαυτὸν τὰς πέριξ πόλεις κατοχυρώσαντα καὶ τὰς πεδιάδας B ἐμπρήσαντα, ὥστε σπανίζειν τοῖς πολεμίοις τὰ ἐπιτήδεια· εἰ δὲ μὴ τοῦτο, κἂν γοῦν καταλαβεῖν τὴν Θεοδοσίου πόλιν κἀκεῖσε στρατοπεδεύσαντα προσμένειν τοὺς πολεμίους, ὥστ' ἀπορίᾳ τῶν ἀναγκαίων τὸν σουλτάνον ἀναγκασθῆναι τοῖς Ῥωμαίοις συμπλέκεσθαι ἔνθα Ῥωμαίους ξυμβαλεῖν πρὸς πόλεμον συμφέρον ἐστίν. ἀλλ' ἐδόκουν παρὰ κωφῷ ᾄδειν, καὶ τὰ τῶν κολάκων ἐνίκα. καὶ δέον ἀνδράσι τὴν οἰκείαν ἀρετὴν παραστήσασιν ὑπακούειν, ὁ δὲ τοῖς κόλαξι μᾶλλον προσεῖχεν ἢ τοῖς ὀρθὰ συμβουλεύουσιν, ἐπηρμένος τοῖς προλαβοῦσι τροπαίοις καὶ μέγα ἐπὶ τούτοις φρονῶν. καὶ γὰρ τό τε Μέμπετ φρούριον εἷλε καὶ Τούρκων ἀποσπᾶσι προνομευόντων ἐντυχὼν ἐτρέψατό τε τούτους καὶ πολλοὺς μὲν ἀνεῖλεν, οὐκ ὀλίγους δὲ καὶ ἐζώγρησε. τούτοις οὖν ἐπαιρόμενος καὶ C θαρῥήσας πέρα τοῦ δέοντος ἅτε καὶ πλείονα τῶν προτέρων ἐπαγόμενος ξυμμαχίαν καὶ δύναμιν, ἄρας ξὺν παντὶ τῷ στρατεύματι τὴν εὐθὺ Περσίδος ἤλαυνε καὶ πρὸς τοὺς ἐναντίους ἐχώρει.

14. Γενομένῳ δὲ τούτῳ περὶ τὸ Μαζίκερτον ὁ Βασιλάκιος ὑπηντίαζε στρατὸν ἐπαγόμενος οὐκ ὀλίγον ἐκ Συρίας καὶ Ἀρ-

15. προλαβοῦσι] Cod. συμβαλλοῦσι. correxit P.

Batana Mediae parante ingredi. contra magistro Ioseph Trachaniotae magnae tunc parti copiarum praefecto, et duci totius Occidentis Nicephoro Bryennio, plane videbatur praeceps id errorique innixum consilium esse: rogabantque imperatorem ut, si posset, haereret in loco hostesque ad se eliceret, munitis interim civitatibus Romanae ditionis per circuitum, agrisque incensis ac vastatis, ne suppetere inde hostibus necessaria possent. sin movere inde certus esset, occuparet Theodosiopolin ibique castris positis hostes exspectaret. hinc enim fore ut inopia commeatuum Sultanus cogeretur pugnare cum Romanis loco ipsis ad victoriae spem commodiore: sed haec surdo canebantur. vicit adulatio, et turgens inani gaudio princeps, quod arcem Mempet dictam modo ceperat, et manus Turcorum praedantium caesis multis, paucis captis, fugaverat, sibi persuasit neminem unquam antea Romanum principem tanto in Persas tamque instructo civium sociorumve exercitu movisse. spebus inde magis magnis quam veris aut utilibus inflatus recta in Persidem universas copias perrexit ducere.

14. Hinc progresso usque Mazicertum Basilacius occurrit copias non paucas e Syria ducens atque Armenia. erat is ferox manuque fortis, prae-

μενίας, ὃς ῥωμαλέος μὲν ὢν καὶ τὴν χεῖρα γενναῖος θρασὺς δὲ ἄλλως καὶ δυσκάθεκτος ταῖς ὁρμαῖς, καὶ τὸν βασιλέα κολακεύειν βουλόμενος οὐδὲν ὑγιὲς ἐρωτώμενος ἀπεφθέγξατο. τοῦ γὰρ βεστάρχου Λέοντος τοῦ Διαβατηνοῦ γράμματα τῷ βασιλεῖ πεπομφότος, ὡς ὁ σουλτάνος φησὶ τὴν ἐκστρατείαν πυθόμενος καὶ δείσας τὴν δύναμιν, τὴν Περσίδα καταλιπὼν ἄπεισι φεύγων εἰς Βα- D βυλῶνα. τούτοις ὁ βασιλεὺς τοῖς λόγοις ἀναπεισθείς, διχῇ τὸ στράτευμα διελὼν τὴν μὲν τῶν δυνάμεων αὐτόθι κατεῖχε, τὴν δὲ πρὸς τὸ Χλέατ ἐξαποστέλλει, στρατηγὸν ἐπιστήσας αὐτοῖς τὸν μέγιστον Ἰωσὴφ τὸν Τραχανειώτην, ἄνδρα δεινὸν ἐν στρατιωτικοῖς V 17 βουλεύμασί τε καὶ στρατηγήμασιν, ἀπρόθυμον δὲ τότε παντάπασιν ὄντα καὶ τῷ βασιλεῖ παραινοῦντα εἴσω τὰς δυνάμεις ἁπάσας κατέχειν καὶ μὴ μερίζειν τὸ στράτευμα, ἀγχοῦ τῶν ἐναντίων στρατοπεδευόντων. ὃς ὡς ταῦτα λέγων οὐκ ἔπειθε, τὰς δυνάμεις ἀναλαβὼν πρὸς τὸ Χλέατ ἠπείγετο. πόλις δὲ τὸ Χλέατ ὑπὸ τοὺς Τούρκους τελοῦσα, καὶ φρουρὰν ἔχον ἀποχρῶσαν ἔνδοθεν Τούρ- P 28 κων. ἀλλ' οὔπω τρίτης διελθούσης ἡμέρας τοῖς ἐπὶ χόρτου συλλογὴν ἐξιοῦσιν ἐπιτίθενται Τοῦρκοι καί τινας μὲν ἀναιροῦσιν ἐνίους δὲ καὶ ζωγροῦσι. τοῦ ξυμβάντος γοῦν ἀπαγγελθέντος τῷ βασιλεῖ εὐθὺς ὁ Βασιλάκης μετεκέκλητο καὶ περὶ τῶν Τούρκων ἐπολυπραγμονεῖτο, τίνες τε εἶεν οἱ τὰς ἐπιθέσεις ποιούμενοι καὶ ὅθεν γῆς ἥκοντες. ὁ δὲ τῇ συνήθει θρασύτητι καὶ πάλιν χρη-

1. ῥωμαλέος] Ita P. pro Ῥωμαῖος. 2. καὶ τὸν βασιλέα] καὶ fort. delendum. 10. δεινὸν ἐν] δεινὸν μέν?

cipitique irrevocabiliter impetu ruere solitus, quamcumque in partem incubuerat. qui quod tunc assentari Augusto libebat interrogatus, nihil sani respondit. interrogabatur autem de eo, quod vestarches Leo Diabatenus modo imperatori scripserat: Sultanum audito eius adventu desperantem rebus suis Perside relicta fugere Babylonem. quae imperator a Leone scripta a Basilacio voce firmata pro indubitatis habens bifariam divisit copias; partem ibi detinuit secum, aliam versus Chleat misit, duce ipsi praeposito maximo Iosepho Trachaniota, viro acri tum in consultationibus, tum in exsecutionibus bellicis, sed tunc quod iubebatur invitissime agenti. suadebat siquidem omnibus modis imperatori contineret simul intra limitem universas secum copias. quae enim sineret ratio in tanta castrorum hostilium vicinia exercitum longe mittere? sed haec saepe frustra causatum necesse ad extremum fuit obsequi, et cum sibi commissa exercitus parte in Chleat tendere. Chleat civitas est subiecta Turcis praesidio eorum idoneo insessa, nondum tertia hinc dies effluxerat, cum in nostros pabulatores irruentes Turci quosdam caedunt, alios capiunt. nuntiata re imperatori, vocatur extemplo Basilacius, qui curiose inquisitus de Turcis, qui essent undeque erumperent in istas incursiones, solita confidentia respondit, proximum eo-

σάμενος τοὺς ἐκ τοῦ Χλέατ ἥκειν ἐφ' ἁρπαγῇ διενίστατο. ἔλαθεν οὖν οὕτω τὸν βασιλέα ἡ τοῦ σουλτάνου ἔφοδος οὐ μακρὰν τοῦ στρατοπέδου ὄντος καὶ τὰ τοῦ πολέμου εὖ διατιθεμένου. B βουλόμενος γὰρ τὸν βασιλέα ἐπαγαγεῖν εἰς τὰ ἔμπροσθεν καὶ ἐντὸς ἀρκύων ποιήσασθαι, προδρόμους ἐξέπεμπεν, οἳ προέτρεχόν τε τοῖς ἵπποις περὶ τὸν τῶν Ῥωμαίων χάρακα, καὶ αὖθις ἀνθυπενόστουν ὥσπερ δρασμὸν ποιούμενοι. καὶ τοῦτο πολλάκις ποιοῦντες ἐνίους τῶν στρατηγῶν συνηρπάκασιν, ὧν ὁ πρῶτος ὁ Βασιλάκης ἦν. σπεύδων γὰρ οὗτος τὸν βασιλέα πληροφορῆσαι ὡς οὐκ ἐκ τοῦ Περσικοῦ στρατεύματος εἶεν οἱ τὰς ἐκδρομὰς ποιούμενοι, ἀλλ' ἐκ τῶν ἐνοικούντων τῷ Χλέατ, ᾔτει συγχωρηθῆναί οἱ τοῦ χάρακος ἐξελθεῖν, καὶ τὸν ἀκινάκην σπασάμενος καὶ μυω- C πίσας τὸν ἵππον ἀσυντάκτως ἐχώρει κατὰ τῶν πολεμίων. καὶ οἱ περὶ αὐτὸν εἵποντο οὐ κατὰ τάξιν ἀλλ' ὥσπερ ἔτυχεν ἕκαστος. ἀμέλει καὶ τὴν ἄτακτον τούτων φορὰν οἱ πολέμιοι θεασάμενοι προσεποιήσαντο φεύγειν. ἐπεὶ δὲ πόρρω τοῦ χάρακος εἶδον αὐτοὺς ἐξελάσαντας, τοὺς χαλινοὺς ὑποστρέψαντες καὶ διεσκεδασμένοις αὐτοῖς προσβαλόντες νικῶσιν αὐτοὺς κατὰ κράτος. καὶ πίπτουσι μὲν πολλοὶ τῶν στρατιωτῶν, ὡς μικροῦ δεῖν μηδ' ἄγγελον ὃ δὴ λέγεται διασωθῆναι τῆς συμφορᾶς, ἑάλω δὲ καὶ ὁ Βασιλάκης.

15. Ἐπεὶ δ' ἀπηγγέλη τῷ βασιλεῖ ὡς ὁ Βασιλάκης ἀσυντάκτως τοῦ χάρακος ἐξελθὼν κατὰ τῶν πολεμίων ἐλαύνει, τὸν

12. μυωπίσας] V. μυωπήσας.

rum praesidium esse urbem Chleat, inde hos sine dubio venisse, qui nostris occurrissent. adeo in profunda et supina ignoratione desidebat imperator viciniae Sultani, cuius castra copiis ipsius omnibus plena, optimeque ad rem gerendam parata in proximo erant. cum autem is cuperet paulo adhuc ulterius imperatorem intra suas insidias elicere, parvas missitabat cursorum manus, qui apparentes circa Romana castra statim fugerent, quod saepe facientibus instantes in fuga Romani quidam duces capti sunt, quorum primus fuit Basilaces. facere enim plenam fidem is imperatori studens dicti sui, quo affirmaverat excursiones istas Turcorum non a Sultani castris, sed ab urbe Chleat esse, petiit permitti sibi egressum e castris, strictoque acinace, et calcaribus equo adactis, sine ullo ordine in hostes currit, suis pari confusione sequentibus. Turci hac observata diligentia, quamquam sperandi causam offerri videbant, non timendi, tamen pavore simulato fugae se dederunt. ubi autem longe iam a castris suis distare palantes Romanos intellexere, versis impigre habenis in eos equitant, facileque dispersos vincunt. caeduntur multi militum, adeo, ut quod aiunt, ne nuntius quidem superesset cladis. Basilaces vero captus est.

15. Cuius incompositus egressus simul nuntiatus imperatori fuerat, vocato is duce Occidentis Bryennio laevo tum cornu praefecto, prodire sta-

δοῦκα πάσης δύσεως μετακαλεσάμενος τὸν Βρυέννιον τοῦ ἀριστεροῦ τηνικαῦτα κατάρχοντα κέρατος, ἐκπέμπει τοῦτον μετὰ τῆς D οἰκείας δυνάμεως ἀπιέναι τὴν ταχίστην κελεύσας, ὡς εἴ τι δεινὸν ἐπισυμβαίη τῷ Βασιλάκῃ ἐπαμύνηται τούτῳ καὶ τῆς ἐκτροπῆς ἐπαμύνηται· ἤδη γὰρ ἐν αἰσθήσει γενέσθαι ἤρξατο τοῦ κακοῦ. ὁ μὲν οὖν ἀπῄει καὶ τὰς δυνάμεις ἐξῆγε τοῦ χάρακος ἐξιών. οὐδένα οὖν ἑώρα φίλων ἢ πολεμίων σπεύδων ἐπὶ τὰ πρόσω παραχωροῦντα ἤρξατο δὲ ὁρᾶν περὶ γηλόφους πολεμίους συνεστηκότας. βραχὺ δὲ προϊὼν καὶ νεκροῖς ἐνέτυχε σώμασι καὶ ἠπόρει τί ποτ' ἂν ὁ Βασιλάκης γέγονεν. ἐντυχὼν δὲ στρατιώτῃ ἔτι ἐμπνέοντι ἐπυνθάνετο ποῦ ποτ' ἂν εἴη ὁ Βασιλάκης, καὶ τί τὸ περὶ αὐτοὺς ὁρώμενον. ὁ μὲν ἀπήγγελε σύμπαντα, οἱ Τοῦρκοι δὲ πανταχόθεν P 29 συνέθεον καὶ κυκλοῦν ἐπειρῶντο τὴν φάλαγγα. αἰσθόμενος τοῦτο ὁ δοὺξ παρεκάλει τοὺς στρατιώτας ἄνδρας ἀγαθοὺς ὀφθῆναι, καὶ μηδέν τι δρᾶσαι τῶν ἀγενῶν καὶ τῆς Ῥωμαϊκῆς ἀνάξιον γενναιότητος. στρέψας οὖν τὴν φάλαγγα ὡς ἐπὶ τὸ στρατόπεδον συντεταγμένως ἐχώρει, τῶν ἐπιόντων μηδένα λόγον ποιούμενος. ὡς δ' ἔγγιστα τοῦ χάρακος γέγονε, μέρος ἀναλαβὼν τῆς φάλαγγος V 18 καὶ τοὺς ἄλλους προσμένειν κελεύσας ἐξαίφνης κατὰ τῶν ἐπιόντων ἐπήλασε καὶ ῥᾳδίως τούτους ἐτρέψατο. ἐπεὶ δὲ τοὺς λοιποὺς ἑώρα B συνθέοντας παμπληθεί, πάντας ἀναλαβὼν ὑπέστρεψε πρὸς τὴν

2. κατάρχοντα] V. κατάρχοντος. 5. ἐπαμύνηται]? 6. χάρακος — ὁρᾶν] Fortasse: χάρακος. ἐξιὼν δ' οὐδένα μὲν ἑώρα φίλων ἢ πολεμίων, σπεύδων δ' ἐπὶ τὰ πρόσω ἤρξατο ἤδη ὁρᾶν — restat corruptum παραχωροῦντα, quod in παρὰ χῶρον mutavit P. 12. ὁρώμενον] δρώμενον? 15. ἀνάξιον] ἀναξίων?

tim eum iubet cum copiis, quae ipsi suberant, vel Basilacio, si opus foret, succursurum, vel alioqui excursiones importunas ulturum repressurumve. iam enim sensum aliquem mali ac periculi sui concipere imperator coeperat. fecit Bryennius quod iubebatur, cohortesque vallo educens aliquantumque progrediens, neminem aut amicorum aut hostium per campum vidit: extantes procul tantum e quibusdam tumulis Turcos procul conspicit. paulo vero ulterius progressus cadavera caesorum reperit. cumque esset anxius quid Basilacio contigisset, forte in adhuc spirantem incidens militem, ubi esset Basilacius, et quae esset haec strages quam cerneret ab eo doctus, rediit Augusto nuntiatum cuncta. at Turci circum accurrebant undique, circuireque phalangem conabantur, id quod sentiens dux adhortatus milites fortiter agere, neque committere, ut a Romana virtute degenerare viderentur, versa phalangis fronte in castra instructo agmine ferri coepit certo gradu, nulla circum tumultuantium habita Turcorum ratione. ut autem ad viciniam proximam castrorum provectus est, subsistere in loco iussa phalangis parte, ipse subito cum ceteris in sequentes irruens facile illos vertit. ut vero coire Turcos reliquos festinareque in suorum auxilium maximo numero vidit, resumptis suis omnibus, phalangem repetebat; quando ab instantibus

φάλαγγα. ἐπιθεμένων δ' αὐτῷ τῶν Τούρκων καὶ κυκλωσάντων, δόρατι μὲν ἐτρώθη κατὰ τῶν στέρνων, βέλεσι δὲ δυσὶ κατὰ τῶν μεταφρένων. ἡρωϊκῶς δ' ἀγωνισάμενος πρὸς τὴν φάλαγγα διασέσωστο καὶ ξὺν αὐτῇ κατέλαβε τὸ στρατόπεδον. ἀπελθὼν δὲ πρὸς βασιλέα καὶ τὰ ξυμβάντα διηγησάμενος ἐκελεύσθη πρὸς τῇ σκηνῇ γενέσθαι καὶ θεραπεύειν τὰ τραύματα.

C 16. Καὶ τότε μὲν ἔμεινε παρὰ τῇ σκηνῇ· ἡμέρας δ' ἤδη διαγελώσης καὶ τοῦ ἡλίου ὁρίζοντα ὑπερβαίνοντος αὖθις μετεκαλεῖτο παρὰ τοῦ αὐτοκράτορος. ὁ δ' ἀπῄει τῶν τραυμάτων καταφρονήσας. ὡς δὲ βουλὴ προετέθη ἢ πολεμεῖν ἢ εἴσω τὰς δυνάμεις κατέχειν, τοῖς μὲν ἐδόκει συνετῶς ἄγαν εἴσω μένειν τοῦ χάρακος καὶ τὰς δυνάμεις ἐκ τοῦ Χλέατ μεταπέμπεσθαι, τοῖς δὲ κόλαξι τἀναντία, εἰ μὲν καὶ οὕτω φρονοῦσιν, οὐκ ἔχω λέγειν. τέως δ' ἔδοξε, καὶ αὖθις ἐνίκα τὰ χερείονα. ἐξάγειν οὖν τὰς δυνάμεις ἐγένετο. οἱ δέ γε Τοῦρκοι κραταιότεροι αὖθις καὶ μετὰ πλείονος ἐπήρχοντο τῆς χειρός. καὶ δὴ προσβάλλουσι τούτῳ,
D καὶ μάχης συστάσης πίπτουσι μὲν τῶν Τούρκων συχνοί, πίπτουσι δὲ καὶ τῶν Ῥωμαίων πλεῖστοι. ἐτρώθη δὲ καὶ αὐτὸς ὁ Βρυέννιος πολλαχοῦ τοῦ σώματος, ἀλλὰ δεινὸς ὢν περὶ τὰ στρατηγικὰ τὸ πλεῖστον τῆς φάλαγγος ἀσινὲς διεσώσατο. ὁρῶν δ' ἐπιόντας τοὺς Τούρκους ὁ βασιλεὺς ἐξῆγε καὶ αὐτὸς τὰς δυνάμεις ὡς ἐπὶ πόλεμον καὶ παρετάττετο πρὸ τοῦ χάρακος. ἡγεῖτο δὲ τοῦ μὲν δε-

9. τραυμάτων] Ita P. pro στρατευμάτων.

Turcis circumventus, vulnus in pectore accepit hastae cuspide, in aversa quoque parte corporis telis intus duobus. sic heroico certamine defunctus phalangi se suosque salvos adiunxit, cumque illa in castra reversus nihil prius habuit, quam adire imperatorem, cui narratis quae contigerant, ab eo iussus est in tabernaculo suo quiescere ac vulnera curare.

16. Quod tunc quidem ille fecit. posterae vero diei orto iam sole vocatus ab imperatore non excusavit, quod merito poterat, dolorem vulnerum: sed in consilio praesto adfuit, ubi deliberatione proposita, prodeundumne in aciem et pugnandum foret, an continendae intra vallum copiae? sapientibus quidem optimum factu videbatur manere in castris et temere dimissas versus Chleat copias curriculo inde accersi. adulatorum autem, an sic re vera sapientium, an contra mentem propriam compertae voluntati principis servientium, incertum, contraria praevaluit sententia: pessimumque consilium captum est educendi ad praelium exercitus. nec defuere Turci instructiori pleniorique ex adverso irruentes acie, confligitur. Turcorum multi, Romanorum plerique cadunt. Bryennius multis corporis locis alia nova vulnera accepit, dum partes agit boni ducis in illo periculo et praesenti, quo valebat plurimum in praeliis, consilio phalangis magnam partem illaesam servat. porro imperator venientes contra videns Turcos, educit et ipse copias velut ad praelium, aciemque pro vallo instruit. praeerat dextro cornu

ξιοῦ κέρατος ὁ Ἀλυάττης, ἀνὴρ Καππαδόκης καὶ συνήθης τῷ βασιλεῖ, τοῦ δ᾽ εὐωνύμου αὐτὸς ὁ Βρυέννιος, τὸ δὲ μέσον τῆς φάλαγγος εἶχεν ὁ βασιλεύς. οὐραγεῖν δὲ ἐτέτακτο ὁ τοῦ καίσαρος υἱὸς ὁ πρόεδρος Ἀνδρόνικος τάς τε τῶν ἑταίρων τάξεις ἔχων καὶ τὰς τῶν ἀρχόντων, ἀνὴρ καὶ γένους λαμπροῦ καὶ πᾶσι κομῶν P 30 τοῖς καλοῖς· φρονήσει γὰρ τῶν ἡλίκων ἁπάντων ὑπέρτερος, καὶ ἀνδρικώτατος εἴπερ τις ἄλλος, καὶ ταῖς στρατηγικαῖς ἐντραφεὶς μελέταις, οὐ πάνυ δὲ φιλίως ἔχων πρὸς βασιλέα.

17. Οἱ δὲ Τοῦρκοι τὸν βασιλέα βλέποντες παρατάττοντα τὸν στρατὸν οὐ κατὰ φάλαγγας οὐδὲ κατὰ λόχους (οὐδὲ γὰρ ἐβούλοντο Ῥωμαίοις εἰς χεῖρας ἐλθεῖν) ἡσύχασαν. ἀλλ᾽ ὁ μὲν σουλτάνος πόρρω που ἱστάμενος τὰ πρὸς πόλεμον διετάττετο, ἀνδρὶ δέ τινι ἐκτομίᾳ τὰ μέγιστα παρ᾽ αὐτῷ δυναμένῳ, Ταράγγης τούτῳ B τὸ ὄνομα, τὰς πλείστας δυνάμεις παραδοὺς κύριον τοῦ πολέμου τοῦτον ἀπέδειξεν. ὁ δὲ εἰς πολλὰ μέρη τὸ στράτευμα διελὼν προλοχισμούς τε ἐποίει καὶ ἐνέδρας συνίστα, καὶ περιιέναι τὰς τάξεις Ῥωμαίων ἐπέταττε καὶ τοῖς τοξεύμασι χρῆσθαι πάντοθεν. οἱ δὲ V 19 Ῥωμαῖοι τῶν ἵππων αὐτῶν βαλλομένων ἠναγκάζοντο ἕπεσθαι. καὶ δὴ εἵποντο φεύγειν δοκούντων ἐκείνων. εἰς δὲ τοὺς λόχους καὶ τὰς ἐνέδρας περιπίπτοντες μεγάλως ἐβλάπτοντο. τοῦ βασιλέως δὲ τὸν ὑπὲρ τῶν ὅλων βουλομένου κίνδυνον ἀναδέξασθαι βάδην C

Alyattes, vir Cappadox, familiaris imperatoris; sinistro ipse Bryennius; mediam aciem ipse regebat imperator; postremi agminis cura commendata est Caesaris filio praesidi Andronico, sociorum ordines et principum habenti, iuveni utique, cui ad splendorem generis cumulus accedebat laudum omnium. nam et prudentia aequales facile omnes anteibat, et fortitudinis gloria cedebat nemini, experientia quoque rei bellicae insignis: quippe militarium artium functionumque meditationibus innutritus. sed parum idem benevole affectus erga imperatorem erat.

17. Ceterum Turci cum imperatorem cernerent in unum aciei corpus totum exercitum digerere, nec in partes manusque varias alias in hostem excursuras, alias in insidiis subsessuras tribuere, quieverunt ipsi, quoniam non constituerant id quod imperatorem parare videbant, decretorii praelii aleam iacere. at Sultanus longiuscule hinc distans cetera rei gerendae opportuna dispensabat eunucho cuidam valde apud ipsum gratioso, Tarangae nomine, plerisque attributis copiis et summa eius belli commendata. hic autem multas in partes exercitu diviso, manus alias in viciniora hosti loca promovet, alias retro idoneis stationibus sublocat, omnibusque imperat ambire circumque venire Romanos conentur, nec pugnam admoveri ad manus sinant, verum longe sagittas undique iaculentur. ad ea Romani cum vulnerari sagittis equos suos cernerent, hostem procul statim sequi cogebantur. tunc vero simulata fuga Turci nostros in paratas insidias trahebant, a quibus male mulctabantur, mactabanturque. porro imperatore obfirmante tamen animum in proposito acie certandi: ac propterea lento secum gradu Roma-

ἑπομένου καὶ προσδοκῶντος φάλαγγα Τούρκων εὑρεῖν καὶ αὐτῇ συρραγῆναι καὶ οὕτω κριθῆναι τὰ τοῦ πολέμου, οἱ Τοῦρκοι πανταχόθεν διεσκεδάννυντο. ὑποστρέψαντες δὲ μετὰ ῥύμης σφοδρᾶς καὶ κραυγῆς ἐπελθόντες Ῥωμαίοις τρέπουσι τὸ δεξιὸν κέρας. εὐθὺς δ' ἀνεχώρουν καὶ οἱ περὶ τὴν οὐραγίαν, καὶ τὸν βασιλέα οἱ Τοῦρκοι κυκλώσαντες ἔβαλλον πάντοθεν. ὁρμήσαντος δὲ τοῦ εὐωνύμου κέρατος ἐπαρήγειν οἱ Τοῦρκοι ἐκώλυον· κατὰ νώτου γὰρ
D οὗτοι γενόμενοι καὶ τοῦτον κυκλώσαντες φυγεῖν κατηνάγκασαν. ὁ δὲ βασιλεὺς παντάπασιν ἔρημος ἀποληφθεὶς βοηθείας τὸ ξίφος ἐγύμνωσεν ἐπὶ τοὺς ἐχθροὺς καὶ πολλοὺς μὲν ἀνεῖλε τοὺς δὲ καὶ φυγεῖν κατηνάγκασε. κυκλωθεὶς δ' ὑπὸ τῶν πολεμίων τοῦ πλήθους τὴν χεῖρα τιτρώσκεται καὶ γνωσθεὶς ὑπ' αὐτῶν ὅστις ἐστὶ κύκλῳ περιστοιχίζεται πάντοθεν. καὶ τοξεύεται μὲν ὁ ἵππος αὐτοῦ καὶ ὀλισθήσας πίπτει, συγκαταβάλλει δὲ καὶ τὸν ἐπιβάτην.
P 31 καὶ τοῦτον τὸν τρόπον δορυάλωτος ὁ βασιλεὺς Ῥωμαίων γίνεται καὶ πρὸς τὸν σουλτάνον ἀποκομίζεται δέσμιος, οὐκ οἶδ' οἷστισι λόγοις τοῦτο τῆς θείας προνοίας οἰκονομησάσης. ἑάλω δὲ καὶ λοιπῶν μοῖρα τῶν ἀρχόντων οὐκ ὀλίγη. τῶν δὲ λοιπῶν οἱ μὲν μαχαίρας ἔργον γεγόνασιν, οἱ δὲ διεσώθησαν. ἑάλω δὲ καὶ τό τε στρατόπεδον ἅπαν καὶ ἡ σκηνὴ ἡ βασίλειος καὶ τὰ χρήματα καὶ τῶν βασιλικῶν παρασήμων τὰ κάλλιστα, ἐν οἷς καὶ ὁ πολυθρύλλητος μάργαρος ἦν, ὃν ὀρφανὸν κατωνόμαζον. οἱ δ' ἐκ τῆς μά-

18. λοιπῶν μοῖρα] λοιπῶν delendum videtur.

num ordinibus instructis exercitum versus hostes promovente, si forte structam pariter aciem illorum offendere alicubi posset, primum quidem agmina illa varia Turcorum artificiosa fuga dissipabantur. mox subito collecti magno tumultu vocibusque inconditis irruentes in Romanos, dextrum cornu in fugam vertunt. eo periculi articulo postremum agmen recessit. sicque nudata a tergo Romana acie circumventus omni iam ex parte imperator sagittarum undique nimbis obruebatur. nec laboranti aciei mediae laevum cornu ferre auxilium potuit: revocarunt enim id conantes circumfusi, ac pone lacessentes hostes tanta vi, ut circumventum quoque ipsum cornu laevum fuga passim effusa dilabi compulerint. hic deprehensus imperator, omnique destitutus auxilii spe, stricto ense in hostes ruit, multosque occidit, multos in fugam vertit; donec conclusus undique addensante sese multitudine hostium in manu vulneraretur. tum agnitus quis esset, maiorique ideo circum obsessus, atque omni simul ex parte appetitus impetu, primum deiicitur in terram, equo ipsius sagitta percusso, ac sessorem in communem secum ruinam trahente, deinde facile iam captus imperator vinctusque ad Sultanum ductus est, divina providentia occultis de causis tam inopinatum tamque acerbum permittente casum. capta quoque pars magna est ducum aliorum, ceteris aut caesis aut fuga servatis. castra etiam universa et ipsum Augustale pecuniaeque et insignium imperatoriorum speciosissima quaeque; in quibus et margaritam

γῆς διασωθέντες ἄλλος ἀλλαχοῦ διεσπάρησαν, τὴν ἰδίαν ἕκαστος καταλαβεῖν σπεύδοντες.

18. Οὐ πολλαὶ δ' ἡμέραι διεληλύθεσαν, καὶ τῶν δια- B
δράντων τὸν πόλεμον ἄγγελός τις προλαβὼν τὸ δεινὸν ἐν τῇ πόλει
ἀπήγγελε, καὶ αὖθις ἄλλος καὶ ἐπὶ τούτοις τρίτος καὶ τέταρτος,
σαφὲς μὲν οὐδὲν ἀπαγγέλλειν ἔχοντες, αὐτὸ δὲ μόνον τὸ δεινὸν
ἐξηγούμενοι καὶ ἄλλος ἄλλως διερμηνεύοντες· οἱ μὲν γὰρ αὐτὸν
τὸν βασιλέα τεθνηκέναι κατήγγελον, οἱ δὲ ἑαλωκέναι, οἱ δὲ τετρωμένον τοῦτον ἰδεῖν καὶ κατὰ γῆς ἐρριμμένον, οἱ δὲ δέσμιον
ἀπαγόμενον εἰς τὸ τῶν ἐναντίων στρατόπεδον. ἐπὶ συμβούλοις
οὖν τῇ βασιλίδι τὰ πράγματα, καὶ ὁ καῖσαρ εὐθὺς μετεκέκλητο C
περὶ Βιθυνίαν διάγων καὶ σχολάζων κυνηγεσίοις διὰ τὸ ὕποπτον
εἶναι τῷ βασιλεῖ. μήπω δὲ τούτου καταλαβόντος ἡ βασιλὶς διηρώτα τί ποτε ἄρα χρὴ πράττειν. ἔδοξεν οὖν πᾶσιν ἐκεῖνον μὲν
τέως ἐᾶσαι εἴτε ἑάλω εἴτε τέθνηκεν, ἑαυτῇ δὲ καὶ τοῖς παισὶ κρατύνεσθαι τὴν ἀρχήν. ἔτι δὲ μετεώρου ὄντος τοῦ πράγματος γίνεται κοινωνὸς ὁ καῖσαρ. ὁ δὲ τήν τε κοινοπραγίαν ἀσπάζεται, καὶ
συμπράττειν ἀμφότερα ὅσα τῇ βασιλείᾳ προσήκει πράγματα τήν τε V
μητέρα καὶ τὸν πρεσβύτερον τῶν υἱῶν ἀποφαίνεται, καὶ τὸν μὲν D

6. αὐτὸ] V. αὐτοί. 7. ἄλλως] P. ἄλλον. 18. ἀμφότερα] ἀμφοτέρους?

illud decantatum fuit, quod orphanum nominabant. qui vero cladi superfuere, alio alii dispersi sunt domum pro se quisque festinantes.

18. Non multi dies inde fluxerant, cum eorum, qui ex praelio fugerant, unus aliquis Constantinopolim perlatus, acerbi nuntii primus auctor fidem vix fecit, quam subinde alter tertiusque et quartus adstruere perrexerunt. horum varia quidem, nec explicata erat oratio, quae quisque diversa viderat, senseratque videlicet referentium, et in uno convenientium indicio magnae acceptae cladis, sed singulorum dicta conferentibus allucebat infortunii series, seque relatores diversi mutuo interpretari, nec aegre in unam concordem conspirare narrationem videbantur: dum alius exempli causa occisum imperatorem aiebat, alius captum, alter sese illum vidisse vulneratum humoque abiectum. postremo alii oculato testimonio affirmabant coram spectasse praesentes sese cum imperator in castra hostium ab ipsis victoribus abduceretur. gravem haec imperatrici obtulere consultandi causam. arcessitur extemplo e Bithynia Caesar, quod imperatori suspectus esset, venationibus illic indulgens, qui dum est adhuc in itinere, ad urbem Augusta convocato coetu procerum quaerebat quid opus facto esset. omnium concors fuit sententia, minus in praesentia videri de imperatore satagendum, nec anxie investigandum mortuusne is esset an tantum captivus: illud curandum unice ac sollicite agendum Augustae, ut sibi filiisque quam optime imperium firmaret. hac adhuc pendente deliberatione adest Caesar, et quid sentiat rogatus, consilium asserendi communiter matri filioque principatus incunctanter laudat, magnopereque auctor est, ut Eudocia cum Michaële primogenito princeps acclamaretur, ita ut Michaël quidem parentem suam Augu-

ὡς τεκοῦσαν σεβάζεσθαι, τὴν δὲ κοινὴν μετὰ τοῦ παιδὸς τὴν τῶν ὅλων ποιεῖσθαι οἰκονομίαν. οὕτω μὲν καὶ τῷ βασιλεῖ Μιχαὴλ ἐδόκει, καὶ ξυνετίθετο τῷ τοῦ θείου σκοπῷ. ἀλλ' οἱ τῶν κοινῶν κατατρυφᾶν πραγμάτων βουλόμενοι καὶ κέρδους ἕνεκα τοῦ σφετέρου τὰ περὶ τὴν ἀρχὴν πραγματεύεσθαι, τὴν μὲν εἰς μοναρχίαν ἠρέθιζον, τὸν δ' ὁπλίζειν ἔσπευδον κατὰ τῆς μητρός.

P 32 19. Ἀλλ' οὔπω τούτου κατευνασθέντος τοῦ κύματος ἕτερον ἠγείρετο καὶ ἐπωρύετο. ὁ γὰρ Περσῶν ἀρχηγὸς ἐπειδὴ τὸν βασιλέα Ῥωμαίων δορυάλωτον ἐθεάσατο οὐκ ἐπήρθη τῷ κατορθώματι, συνεστάλη δὲ μᾶλλον τῷ εὐτυχήματι καὶ μετριάζει τῇ νίκῃ τοσοῦτον ὅσον οὐδεὶς ἐνενόησε. παραμυθεῖται τὸν ἑαλωκότα, κοινωνεῖ τραπέζης, λύει αὐτῷ τῶν δεσμωτῶν οὓς ἐβούλετο, τελευταῖον καὶ αὐτὸν τῆς αἰχμαλωσίας ἐλευθεροῖ. καὶ σύμβολα κήδους πεποιηκὼς καὶ ὑποσχέσεις παρ' ἐκείνου λαβὼν ἐνωμότους
B οὐκ ἀναξίας Ῥωμαίων (ἐβούλετο γὰρ ὁ βασιλεὺς μᾶλλον τεθνάναι ἢ ἀναξίας συμβιβάσεις ποιεῖσθαι τῆς ἑαυτοῦ γενναιότητος), αὖθις ἐπὶ τὴν ἰδίαν ἐκπέμπει ἀρχὴν μεθ' ὅσης ἂν εἴποι τις προπομπῆς καὶ δορυφορίας. ὅπερ δὴ ἀρχέκακον ἐγεγόνει καὶ πολλῶν συμφορῶν αἰτιώτατον. τυχὼν γὰρ ὁ βασιλεὺς παραδόξως ὧνπερ οὐκ ἤλπιζεν, ἀπραγματεύτως ᾠήθη τὴν βασιλείαν Ῥωμαίων λή-

4. κέρδους] Ita P. pro κέρδη. 15. Ῥωμαίων] P. addit ἀρχῆς.

stam appellet. ipsa vero communi opera consilioque cum filio rem publicam administret. acquievit patrui consilio Michaël, resque in eam rationem composita est, quamtumvis obturbarent quaestus causa proprii, qui fortunam publicam ad privatorum emolumentorum lucrosos usus derivare se sperabant posse, si potestas suprema tota in uno resideret capite. horum enim quidam Eudociam incitabant ad imperium sibi uni vindicandum: aliis e contrario Michaëlem adversus matrem armantibus.

19. Nondum hic fluctus resederat, cum alius exaestuavit vehementior. etenim Persarum princeps ubi Romanorum imperatorem captivum suum vidit, non est elatus in insolentiam successu tanto, sed quasi tempus se nactum ratus virtutis ostendendae propriae, quando tantum a fortuna extolleretur, moderatius quam omnino quisquam sperare potuisset, victoria usus est. consolatus enim humanissime captivum communi secum adhibuit mensae, aliosque Romanorum, quos et quam multos imperator voluit, ad eius arbitrium dimisit liberos. denique ipsum quoque libertati reddidit, solemni prius amicitiae foedere conscriptis sibi rite tabulis devinctum, exactisque ab eo iuris interpositione iurandi promissionibus nequaquam indignis Romana maiestate. nam si alias postulasset, paratus erat imperator mori potius, quam inhonestum consciscere quidquam, aut ad conditiones descendere, vel nomine Romano, vel propria generositate minus dignas. tum eum ad imperium suum remisit comitatu satellitioque instructum quam ornatissimo ac magnificentissimo. quae res initium occasioque magnorum malorum fuit. nactus enim imperator facilius omnino quam sperare potuisset unquam libertatem pristinam, existimavit nullo se negotio recuperaturum imperii Romani potestatem, quam

ψεσθαι αὖθις, καὶ ὥσπερ αὐτάγγελος τοῦ μετὰ τοῦτο μέγιστον ἐκείνου ἀτύχημα εὐτυχήματος τῇ βασιλίδι καθίστατο, γράμμασι τῆς ἰδίας χειρὸς ἃ συμβεβήκει τούτῳ σημειωσάμενος. θόρυβος C οὖν καὶ συνδρομὴ εὐθὺς περὶ τὰ βασίλεια, τῶν μὲν θαυμαζόντων τὸ γεγονός, τῶν δὲ ἀπιστούντων τῷ πράγματι. μετέωρος δὲ ἦν καὶ ἡ βασιλὶς σκεπτομένη τί ποτ' ἂν δράσειε, καὶ τὸ περὶ αὐτὴν εὔνουν συγκαλουμένη παρεσκεύαζε σκέμματα.

20. **** δείσας γὰρ περὶ ἑαυτοῦ καὶ τοῖν ἀδελφοπαίδοιν μὴ καὶ πάθοιεν δεινὸν τοῦ Διογένους αὖθις κατασχόντος τὴν βασιλείαν, τοὺς περὶ τὴν αὐλὴν φύλακας εὐθὺς οἰκειοῦται. τοῦτο D δὲ τὸ γένος ὥρμητο ἐκ τῆς βαρβάρου χώρας τῆς πλησίον ὠκεανοῦ, πιστὸν δὲ βασιλεῦσι Ῥωμαίων ἀρχῆθεν, ἀσπιδηφόρον ξύμπαν καὶ πέλεκύν τινα ἐπὶ ὤμων φέρον. δίχα οὖν αὐτοὺς διελὼν τοῖς μὲν ἐκέλευσε τοῖς υἱέσιν ἕπεσθαι καὶ τὰ κελευσθέντα πληροῦν, τοῖς δὲ ξυνέπεσθαί οἱ καὶ ὁδηγῷ τούτῳ χρῆσθαι πρὸς τὴν μελετωμένην ἐγχείρησιν. ἀλλ' οἱ μὲν περὶ τὸν κλεινὸν Ἀνδρόνικόν τε καὶ Κωνσταντῖνον (οὕτω γὰρ ὠνομάζοντο ἄμφω τὼ παῖδε τοῦ καίσαρος) περιστάντες τὸν βασιλέα καὶ χορὸν περὶ αὐτὸν ἑλίξαντες, ἀθρόον ἐπὶ τὰ ὑψηλότερα τῶν ἀνακτόρων ἀνάγουσιν, ἡγουμένων τῶν παί- P 33 δων τοῦ καίσαρος καὶ αὐτοκράτορα τὸν Μιχαὴλ ἀναγορευόντων. οἱ δὲ περὶ τὸν καίσαρα κτυπήσαντες τὰς ἀσπίδας ἀθρόοι καὶ βαρ- V 21

1. τοῦτο μέγιστον ἐκείνου] Malim τὸ μέγιστον ἐκεῖνο. 8. δείσας] Lacunam indicavit P. 9. μὴ καὶ] μή καί τι?

habuerat prius. ergo ipse nuntius prosperitatis suae litteras ad imperatricem dat manu scriptas propria, quibus quanta repente felicitas nupero infortunio successisset indicavit. tumultus hinc statim et concursus in palatium fieri, aliorum quidem mirantium quod evenerat, aliorum quod narrabatur non credentium. ipsa imperatrix anceps animi consiliique inops, convocatis quos sibi studere compererat, anxie deliberabat quid sibi esset agendum, nec perplexae rationis expediebat exitum.

20. At Caesar non deliberationibus ducendis, sed actionibus repraesentandis rem obtineri certius ratus, veritusque ne Diogene resumente imperium, tum suorum, tum fratris filiorum status periclitaretur, custodes aulae regiae more iam inolito adhiberi solitos fidei olim erga imperatores probatae milites sibi adiungit. est hoc genus e barbara longe insula profectum Oceano vicina. clipeus illis solemne gestamen cum securi de humeris pendente. horum agmen totum bifariam partitus, alios quidem iussit filiis suis obsequi, quoque ducerent ire, ac quae iuberent facere; alios ipse sibi ducendos sumpsit, quo expedire iudicaret ad cogitatam vim. et Andronicus quidem Constantinusque (sic filii Caesaris ambo vocabantur) circumdatum imperatorem choro velut quodam festine provehunt in superiorem palatii partem, ibique praeeuntibus acclamationi filiis Caesaris, Michaël imperator salutatur. qui vero cum ipso erant Caesare, pulsantes scuta magno motu

βαρικὸν ἀλαλάξαντες τάς τε ῥομφαίας πρὸς ἀλλήλων συντρίψαν-
τές τε καὶ συγκροτήσαντες περὶ τὴν βασιλίδος ἐχώρουν σκηνήν.
ἡ δὲ τοῦ θορύβου καὶ τῆς κραυγῆς αἰσθομένη οὐδὲ καθεκτὴ ἔτι
ἦν, ἀλλὰ τῆς κεφαλῆς περιελομένη τὸ κάλυμμα ἐπί τι οἴκημα
ἄδυτον ἐμφερὲς σπηλαίῳ ἐξώρμα. καὶ ἡ μὲν ἐδεδύκει τῷ φωλεῷ,
οἱ δὲ περιειστήκεισαν τὸ στόμιον ἀλαλάζοντες καὶ φόβον μέγιστον
αὐτῇ ἐπισείοντες. καὶ μικροῦ ἂν ἐτεθνήκει, εἰ μὴ ὁ καῖσαρ εἰσ-
δὺς τὸ πολὺ τοῦ φόβου αὐτῇ διελύσατο. ξυνεβούλευε γοῦν ἀπιέ-
B ναι τῶν ἀνακτόρων αὐτήν, μὴ καὶ πάθῃ τι τῶν ἀνηκέστων πρὸς
τῶν φυλάκων. ἡ δὲ ἐπείθετό τε καὶ κατῄει ὡς ἐπὶ θάλασσαν,
καὶ εἰς τὸν δρόμωνα τὸν βασιλικὸν εἰσελθοῦσα ἀπῄει ἔνθα οἰκεῖν
κατακέκριτο, εἰς ὅπερ αὕτη δηλαδὴ τοῦ Στενοῦ πρὸς τῇ θαλάσσῃ
τέμενος τῇ θεοτόκῳ ἱδρύσατο. οὔπω συχνὸς παρερρύη καιρός,
καὶ δεύτερον κατ᾽ αὐτῆς δόγμα γίνεται εἰς τὴν μοναδικὴν αὐτὴν
μετατεθῆναι ζωήν. καὶ αὐτίκα δὴ καὶ τοῦτο τετέλεστο. ἀλλὰ
τὰ μὲν κατὰ τὴν βασιλίδα εἰς τοῦτο συντέτακται.

21. Διογένης δ᾽ ὁ βασιλεὺς τῆς αἰχμαλωσίας ἀπολυθεὶς
C δεινὸν ἡγεῖτο εἰ μὴ αὖθις τῆς ἀρχῆς ἐπιλάβοιτο. καὶ δὴ πέμπων
εἰς τὰς ἁπανταχοῦ πόλεις καὶ χώρας στρατεύματά τε συνήθροιζε
καὶ χρήματα εἰσεπράττετο. ἤδη δὲ πλήθους αὐτῷ συνερρυηκότος
στρατηγικῆς φάλαγγος τὸ διὰ πάσης γλώττης βοώμενον πόλισμα,
φημὶ δὲ τὴν Ἀμάσειαν, μετὰ παντὸς τοῦ στρατοπέδου καταλαμ-

7. μικροῦ] V. μικρόν.

vocemque barbaricam cum flictu romphaearum aliorumque armorum invicem de industria collisorum terrifice miscentes ad Augustae tabernaculum se conferunt. illa tumultu strepituque audito incredibiliter consternata est, nec teneri potuit quin tegmine capitis detracto in obscurum gurgustium speluncae non absimile sese trepide abderet, ubi delitescenti milites obsidentes aditum loci ululatu incondito tantum terroris incussere, parum ut a morte ex metu nimio abfutura videretur, nisi Caesar ingressus magnam ei formidinis partem demeret: qui ei auctor fuit exeundi palatio, ne quid acerbum indignumve a militibus eius custodibus pateretur. acquiescens eius consilio Augusta descendit mare versus et regium dromonem ingressa eo se contulit, ubi definita ipsi habitatio erat. nempe in templum, quod ipsa deiparae condiderat, Steni sive angustiarum dictum, quod ad freti fauces prope mare situm esset. neque illic tamen diu esse ipsi quietae licuit; brevi enim alterum decretum exstitit, quo iubebatur transire in professionem vitae monasticae, quod et continuo exsecutioni mandatum est. in hunc modum de imperatrice statuere placuit novi regiminis moderatoribus.

21. Imperator autem Diogenes captivitate liberatus, iniquum, nec tolerandum arbitrabatur excludi se possessione principatus. quare missis quoquo versum in civitates et provincias, qui copias et pecunias undecumque cogerent, ubi confluente multitudine iustum exercitum brevi collegit, cum eo celebrem in primis urbem Amaseam tenuit. hoc audito imperator et

βάνει. ἀλλὰ τοῦτο μαθόντες οἱ περὶ τὸν βασιλέα τε καὶ τὸν καίσαρα ἐσκόπουν τίνα τούτῳ ἀντίπαλον καταστήσειαν. ἔδοξεν οὖν τῶν τοῦ καίσαρος υἱέων τῷ νεωτέρῳ τὸ Ῥωμαϊκὸν πιστεύειν στρατόπεδον, ἀνδρὶ καὶ τὴν χεῖρα γενναίῳ καὶ τὴν σύνεσιν ὀξεῖ τε καὶ θαυμασίῳ. ὁ δὲ τὰς δυνάμεις λαβὼν ἐχώρει κατὰ τοῦ Διογένους, καὶ ἀγχοῦ κατὰ τῆς Ἀμασείας γενόμενος πρῶτα μὲν D συνῆγε τὸ στράτευμα καὶ ἀκροβολισμοῖς ἐχρῆτο, καὶ πάντα τρόπον ἐμηχανᾶτο ἢ αἱρήσειν τὸν Διογένην ἢ ἐξελάσειν τῆς πόλεως. ὁ δὲ στενοχωρούντων τῶν πραγμάτων αὐτῷ ἠναγκάσθη τὰς δυνάμεις ἐξαγαγεῖν καὶ παρατάττεσθαι πρὸς τὸν δοῦκα. μίγνυνται οὖν ἀμφότερα τὰ στρατόπεδα, καὶ πίπτουσιν ἑκατέρωθεν πλεῖστοι τῶν στρατηγῶν ἑκατέρων γενναίως ἀγωνιζομένων. φεύγουσι δ' ὅμως οἱ περὶ τὸν Διογένην, τοῦ Δούκα Κωνσταντίνου γενναιότερον προσβαλόντος τοῖς κατὰ μέτωπον ἱσταμένοις καὶ τὴν ἐκείνων ὠθήσαντος φάλαγγα. πίπτουσιν οὖν πολλοὶ τῶν περὶ τὸν Διογένην, αὐτὸς δὲ διαφεύγει καὶ σὺν ὀλίγοις τοῖς περὶ αὐτὸν εἴς τι P 34 κλείεται φρούριον. τοῦτο πρῶτον θάρσους αἴτιον τοῖς περὶ τὸν βασιλέα Μιχαὴλ γίνεται, καὶ Διογένης ἐντεῦθεν ἀρχὴν λαμβάνει τῆς καταλύσεως. καὶ ἑάλω ἂν αὐτίκα, εἰ μή τι ἄλλο συνεπεπτώκει. ἀνὴρ γάρ τις ἐξ Ἀρμενίας τὸ γένος ἀνέλκων, τὴν γνώμην βαθύς, τὴν χεῖρα γενναῖος ὁ Κουτατάριος ἦν. ἀρχήν τινα παρὰ τοῦ Διογένους τῶν μεγίστων λαβών, ὁπηνίκα ἐκεῖνος βασιλεὺς Ῥωμαίων ἐχρημάτιζε, χάριτας αὐτῷ ἐπὶ τοῦ δυστυχήματος ἀνθομολογούμενος, στρατιώτας συχνοὺς ἐπαγόμενος πρόσεισι τούτῳ B

Caesar cogitabant quem adversus eum mitterent. tandem placuit Andronico iuniori Caesaris filio, viro manu forti expeditique ac prompti nec minus sani consilii, Romanum exercitum ductandum tradere. sumptis igitur hic secum copiis contra Diogenem movit, provectusque in viciniam Amasenae civitatis, coacto in unum corpus exercitu, velitationibus lacessebat hostem, omnique ratione conabatur aut capere aut urbe pellere Diogenem: qui in arcto deprehensus, coactus est educere suas copias et praelii copiam Ducae facere. miscentur ergo ambo exercitus, caduntque utrimque plurimi, ducibus utrisque generose pugnantibus. fugiunt tamen ad extremum Diogeniani, ad id potissimum impulsi vehementiori impressione, qua Constantinus Ducas in frontem ipsorum aciei ferociter invectus, phalangem loco movit. caesis igitur multis ex parte Diogenis, fugit ipse ac cum paucis in arcem se quamdam inclusit. ea prima bene sperandi de summa belli causa oblata est tuentibus Michaëlis partes exitiique initium indidem haud dubie Diogenes sumpsit. atque adeo captus statim esset, nisi quiddam accidisset quod mox referam. vir erat oriundus ex Armenia, profundi consilii, manu promptus, Chutatarius nomine: is magistratu quodam uno ex maximis a Diogene tum imperium administrante ornatus, eam benefactori suo gratiam se debere credidit, quam dubio eius tempore repraesentare oporteret. itaque collectis militibus non

καὶ θαρρεῖν παρακελευσάμενος καὶ τὰ μέγιστα ὑποσχόμενος ἀντι-
καθίστασθαι μὲν τοῖς περὶ τὸν δοῦκα Κωνσταντῖνον στρατεύμα-
V 22 σιν οὐκ ἔτι ἐᾷ, εἰς δὲ τὴν τῶν Κιλίκων χώραν ἀπαγαγὼν καὶ τὰ
τέμπη τῆς Κιλικίας αὐτῷ προσβαλόμενος στρατόν τε αὐτῷ ἐξαρ-
τύει καὶ χρήματα δίδωσι, καὶ ὁπλίζει μὲν πρότερον, εἶτ' ἐν και-
ρῷ μάχεσθαι πρὸς τὸν ἀντίπαλον στράτευμα ταμιεύεται.

22. Ἐν βουλεύμασι τοίνυν καὶ αὖθις τὰ κατὰ τὸν βασι-
C λέα Μιχαὴλ καὶ τὸν καίσαρα, καὶ οἱ τῆς συγκλήτου λογάδες
ἠθροίζοντο. καὶ τοῖς μὲν σπείσασθαι πρὸς τὸν Διογένην ἐδόκει
καὶ μέρους αὐτῷ τῆς ἀρχῆς παρακεχωρηκέναι, τοῖς δὲ πολεμεῖν
καὶ ἔτι δέδοκτο καὶ μηδεμίαν ἀφορμὴν αὐτῷ τῆς εἰς τὴν βασι-
λείαν εἰσαγωγῆς παρασχεῖν. ἐπράττετο μὲν οὖν πρῶτον τὰ τῆς
εἰρήνης, καὶ γράμματα παρὰ τοῦ βασιλέως Μιχαὴλ πρὸς ἐκεῖνον
μετὰ πρέσβεων κακῶν ἀμνηστίαν τούτῳ ἐπαγγελλόμενα. ὁ δὲ εἰκό-
τως ὥσπερ ὑβριοπάθειά τις αὐτῷ ἀπηγγέλλετο μηδὲν ὅλως τῶν
D κακῶν πλημμελήσαντι, εἰς ἀποκρίσεις δὲ καθιστάμενος οὔτε τῆς
βασιλείας ἀπείχετο καὶ τὰ μέγιστα διετείνετο ἀδικεῖσθαι. ἀλλὰ
τὰ κατὰ τὸν Διογένην ἐπράττετο τῇδε. ὁ δὲ τοῖς καλοῖς βασκαί-

4. προσβαλόμενος] V. προσβαλλόμενος. 10. τῆς ἀρχῆς] Cod. παρὰ praefigit, deletum a P. 14. πρέσβεων] Fort. add. ἐπέμπετο. ibid. ὁ δὲ εἰκότως] Requiro hanc fere sententiam: ὁ δὲ εἰκότως, ἐπεὶ ὥσπερ ὑβριοπάθειά τις αὐτῷ ἀπηγγέλλετο μηδὲν ὅλως τῶν κακῶν πλημμελήσαντι, βαρέως ἔφερεν, εἰς ἀποκρίσεις δὲ etc.

paucis ad eum venit, bonoque esse animo iussum et promissis confirmatum maximis, dissuasit a tentanda iterum praelii forma cum copiis quibus praeerat Constantinus Ducas. sed ei deducto in Ciliciam claustra illa provinciae tradidit, exercitum confecit, pecunias dedit, arma et apparatum suppeditavit fortunamque Diogenis ita restituit, ut pro spe victoriae pacisci periculum praelii merito posset.

22. Ea rerum conversio novam curam Michaëli et Caesari attulit. praecipui senatorum convocati discordibus alternabant sententiis: quibusdam videbatur componendam rem cum Diogene, partemque ipsi principatus concedendam. alii obfirmabant animum in consilio belli, nec committendum arbitrabantur, ut ullus aditus ad amissum imperium exauctorato semel principi aperiretur. vicit tamen pars mitior, et pacis conventio per litteras a Michaële ad Diogenem scriptas missosque legatos est tentata irrito eventu. nam mutuam veniam et oblivionem perperam gestorum proponenti Michaëli negabat Diogenes, enimvero ferri posse ut tot in se immerentem tam scelerate attentata impune abirent. quod autem imperio ut cederet exigebatur, contentusque esse iubebatur exigua participatione potestatis summae, quae tota sibi iure optimo deberetur, ne mentionem quidem acerbissimae iniuriae sustinere se, nedum iniquitatem tantam comprobare assensu queat suo. at interim dum obstinante his animum Diogene pacis negotium haerebat, qui

νων ἀεὶ διωγμόν τινα ἐξήγειρε κατὰ τῶν Κομνηνῶν, καὶ ὅστις λεκτέον. ἄνδρα τινὰ θρασύστομον εὑρηκὼς καὶ ἠκονηκὼς τὴν γλῶτταν αὐτοῦ ὡσεὶ ὄφεως κατὰ τῆς γενναίας τούτων μητρὸς καθοπλίζει, συκοφαντίαν συρράψας τινὰ ψεύδους ἔκγονον, καὶ γράμματα συμπλασάμενος ἐξ ἐκείνης πρὸς τὸν Διογένην κομίζει ταῦτα τῷ βασιλεῖ. τῷ δὲ μήθ' ὅστις εἴη ὁ κατήγορος σκοποῦντι μήτε δὴ μένων τοῦ κατηγορουμένου τὸ πρόσωπον, εὐθὺς ξυμβέ- P 35 βηκε μηνιᾶν. ἐντεῦθεν δικαστήριά τε συνεκροτεῖτο καὶ μετάπεμπτος ἡ εὐγενὴς καὶ γενναία καὶ σώφρων ἦν ἐπὶ τὰ ἀνάκτορα. ἡ δὲ ἐφοίτα. ἀλλ' ὁ μὲν βασιλεὺς ᾐδέσθη κοινωνὸς γενέσθαι τοῦ σκέμματος, συνήγοντο δὲ οἱ περὶ τὰ δικαστήρια τῆς κυρίας παρούσης καὶ τοῦ κήρυκος πρὸς τὴν δίκην καλοῦντος. εἴσεισι γοῦν ἡ γενναία καὶ μεγαλόψυχος φαιδρῷ τῷ προσώπῳ, καὶ τὴν εἰκόνα δὲ κρύπτουσα ὑπὸ τὴν χλαμύδα τοῦ πάντων δικαστοῦ ἐξάγει ταύτην ἀθρόον, καὶ σεμνῷ τῷ σχήματι καὶ τῷ βλέμματι πρὸς τοὺς B δικαστὰς ἀτενίσασα "οὗτος" ἔφη "δικαστὴς ἐμοῦ τε καὶ ὑμῶν καθίσταται σήμερον, πρὸς ὃν ἀτενίζοντες ψήφους ἐκφέρετε μὴ ἀναξίας τοῦ δικαστοῦ τοῦ εἰδότος τὰ κρύφια." τὸ γοῦν στερρὸν τοῦ λόγου ἐκεῖνοι ἐνωτισάμενοι θάμβους γεγόνασι μεστοί, καὶ παραιτεῖσθαι τὴν δίκην ἔνιοι ἤρχοντο βδελυττόμενοι τὴν συκοφαντίαν· ἤδη γὰρ διέλαμψεν ἡ ἀλήθεια ὡς πυρσὸς ὑπ' αἰθάλῃ κρυπτόμενος. ἀλλ' οἱ μὲν τὸν θεῖον φόβον ταῖς καρδίαις ἐντρέφον-

bonis invidere semper est solitus gravem procellam in Comnenos concitavit. id quomodo et per quem contigerit deinceps exsequar. vir erat oris audacis, quem idoneum calumniae ministrum malus daemon nactus, linguam eius sicut serpentis exacutam armavit adversus Comnenorum matrem mulierem praestantissimam. falsam videlicet accusationem in eam composuit confictis litteris, quasi ab ipsa scriptis ad Diogenem, quas et ad imperatorem detulit. qui nec quam levis tantae rei auctor esset reputans, nec tantillum sustinens, quoad accusata compareret, statim irae et ultioni se permisit. hinc iudicia comparabantur, et nobilissima atque honestissima matrona in palatium citatur. venit illa intrepide gravitatemque eius imperator reveritus iudicio non interfuit. ceterum hi, quos ad id delegaverat, omnia ex consueta formula gerentes, praesente domina, vocari eam in ius per praeconem iubent. ingreditur fortis et magnanima mulier laeto serenoque vultu, et quam sub veste occultam clam habebat iconem supremi omnium iudicis Christi, subito proferens compositissimo habitu, oculis in iudices intentis, "en," inquit, "hunc mihi hodie ac vobis constitutum putatote iudicem, in eum igitur intuentes proferte de me sententias non indignas iudice occulta cernente." hic incredibili gravitate ac constantia pronuntiatis a matrona perculsi haud leviter iudices sunt: adeo quidem ut fuerint qui cognoscere de tali causa nolle se indicarent, abominatione accusationis falsae ac calumniosae. iam enim elucere veritas coeperat et velut ignis resplendere favilla prius obrutus. is sensus erat divinum timorem nutrientium in suis cordibus et spiritum salutis partu-

τες καὶ πνεῦμα σωτηρίας ὠδίνοντες οὕτως, οἱ δὲ πάντα χαρίζεσθαι
C τοῖς κρατοῦσι βουλόμενοι δεινοί τινες δικασταὶ καθιστήκεσαν.
ἐπεὶ δὲ οὐχ οἷόν τε ἦν ἀποδείκνυσθαι τὴν συκοφαντίαν καὶ τὸν
κρατοῦντα ᾐδοῦντο, μᾶλλον δὲ πρὸ ἐκείνου τὸν τὸν δόλον συρρά-
V 23 ψαντα, οὐκ ἀποφαίνονται μέν, εἰς πρόληψιν δὲ τὸ πρᾶγμα
ἐνάγουσι. βαβαὶ τῆς ἀσυνεσίας! ποία πρόληψις ὦ ἐμβρόντητοι!
εἴπεν ἄν τις πρὸς αὐτοὺς θαρραλέως, ὁπηνίκα ὁ μὲν κατηγορῶν
ἀναίδην φθέγγεται, ὁ δὲ φεύγων γενναίως τὰς κατηγορίας ἀπο-
σκευάζεται, καὶ ὁ μὲν ἀγύρτης ἐστὶ καὶ ὀβολοῦ πιπράσκων τὴν
δίκην εἰ δέοι, ὁ δὲ πάσης ὑποψίας ἀνώτερος καὶ πρὸς αὐτὴν μι-
D κροῦ δεῖν ἐρυθριῶν τὴν ἀλήθειαν. τουτὶ μὲν τὸ συνέδριον οὕτω
πως διελέλυτο, μικροῦ δεῖν ἐοικὸς τῷ τοῦ Καϊάφα· ἡ δὲ σὺν τοῖς
παισὶν εἰς τὴν τοῦ πρίγγιπος ἐξορίζεται νῆσον.

23. Καὶ τὰ μὲν κατ' αὐτοὺς ὧδε ἐπράττετο. ὁ δὲ βασι-
λεὺς Μιχαὴλ καὶ οἱ περὶ τὸν καίσαρα ἀπεγνόντες τὰ πρὸς εἰρή-
νην ἐπεὶ ἔφθη ὁ δοὺξ Κωνσταντῖνος ὁ τῷ Διογένει συμπλακεὶς
καὶ τοῦτον ἡττήσας, ὃν υἱὸν εἶναι τοῦ καίσαρος δεύτερον ὁ λόγος
ἡρμήνευσεν ἄνωθεν, παλινοστῆσαι πρὸς τὸ Βυζάντιον, ἐσκέπτοντο
ὅπως ἂν τὰ κατὰ τὸν Διογένην διάθωνται. ἐδεδίεσαν γὰρ μή πως
ἀδείας πάλιν ἐκεῖνος δραξάμενος στρατεύματά τε συναγείρῃ τῶν
P 36 πρώην πλείονα, καὶ χρήματα τῶν ἐκ τῆς Ἀντιοχείας χώρων εἰσ-
πράξηται καὶ δυσμαχώτερος καταστείη. εὐθὺς οὖν ὁ καῖσαρ

8. ἀναίδην] ἀνέδην?

rientium. at qui omnia gratificari praevalentibus decreverant, acerbe iudicium exercere perrexerunt: quoniam autem probari crimen nequibat, et imperatorem aut potius eum, qui calumniam struxerat, verebantur, non quidem deciderunt litem aut ream Annam pronuntiarunt: praesumptioni tamen locum videri esse dixerunt, imprudentissimo praeiudicio. agite enim fanatici, dicat aliquis iniquis iudicibus audacter, quis hoc unquam censuit recte praesumi affinem aliquem eius criminis, quod accusator impudenter infert, reus graviter constanterque reiicit? cum praesertim ita comparati noscantur actor et reus, ut ille quidem homo agyrta iudicii religionem obolo vendere paratus sit; hic autem integerrima existimatione innocentiae facile omni suspicione superior tanto insuper pudore sit, ut ad ipsam paene dixerim veritatem erubescat. sic istud concilium solutum eius non absimile, in quo ille Caiphas Christum damnavit. Anna vero cum filiis in insulam principis dictam exulatum ire iussa est.

23. Dum hoc loco res Comnenorum sunt, reverso iam Byzantium duce Constantino altero Caesaris, ut superius diximus, filio, qui cum Diogene conflixerat, eumque vicerat, Michaël imperator et Caesar desperata pace, quem Diogeni opponerent consultabant. verebantur enim, ne si ei securum spatium confirmandi sui darent, exercitum numerosiorem, quam prius, sibi compararet, pecuniaque ex vicinis Antiochiae regionibus et urbibus idonea collecta sic partes firmaret suas, ut non facile debellari posset. vocato ergo

μεταχαλεῖται τὸν υἱὸν Κωνσταντῖνον, καὶ αὖθις τὰς δυνάμεις ἀναλαμβάνειν καὶ κατὰ τοῦ Διογένους χωρεῖν παρεκελεύετο. τοῦ δὲ παραιτουμένου, ὁ πρεσβύτερος τῶν τοῦ καίσαρος υἱῶν μετεκαλεῖτο Ἀνδρόνικος καὶ ἐκελεύετο ἀπιέναι. ὁ δὲ εἴπερ τις ἄλλος ὑπήκοος ὢν πατρὶ εὐθὺς ἕτοιμος ἦν πρὸς τὸ ἔργον. συνταξάμενος οὖν αὐθημερὸν τῷ βασιλεῖ καὶ τῷ καίσαρι τὸν πορθμὸν διεπεραιοῦτο τὸν Χαλκηδόνιον. καὶ ἓξ ἡμέρας διατρίψας περὶ τὴν Χαλκηδόνα ὅσον τὰ ἐπιτήδειά οἱ τὰ πρὸς τὴν ἐκστρατείαν γενέσθαι, ἐκεῖθεν ἀπάρας περιῄει τὴν ἕω καὶ τὰς δυνάμεις συνέλεγε. καὶ B θᾶττον ἁπάσας συλλέξας ξὺν αὐταῖς ἐχώρει πρὸς τὴν Κιλίκων. σκοπὸν δ' ἔθετο πρῶτον εἰς μίαν καὶ τὴν αὐτὴν γνώμην μεθαρμόσασθαι τὸ στρατόπεδον· ἐπεὶ δὲ τοῦτο αὐτῷ ἐξεγένετο ἑκάστῳ προσφερομένῳ ἐπιεικῶς καὶ πρὸς πάντα μεθαρμοζομένῳ οἰκείως, δεύτερον σκοπὸν τίθεται τοὺς πολεμίους λαθεῖν καὶ τὰ στενὰ τῆς Κιλικίας διελθεῖν πρὸ τοῦ τὸν Διογένην αἰσθέσθαι τῆς τούτου ἐφόδου. γίνεται οὖν καὶ τοῦτο κατὰ τὰ βεβουλευμένα, καὶ τὴν στενὴν καὶ ἀπόκρημνον διελθόντες οἱ περὶ τὸν Ἀνδρόνικον ἀθρόοι τοῖς περὶ βασιλέα τὸν Διόγένην ἐπιφαίνονται.

24. Αἰσθόμενος δὲ καὶ ὁ βασιλεὺς τῆς τούτων ἐφόδου ἐξῆγε καὶ αὐτὸς τὰς δυνάμεις, τῷ Χουτατουρίῳ Ἀρμενίῳ, ὃν C φθάσας ἐδήλωσεν ἄνωθεν ὁ λόγος, τὴν τοῦ πολέμου δεδωκὼς ἐξουσίαν καὶ πάντα τὸν στρατὸν μικροῦ δεῖν αὐτῷ ὑποτάξας.

18. τοῖς περὶ βασιλέα] Cod. τρεῖς περὶ βασιλεῖον. corr. P.

Caesar Constantino filio, egit cum eo ut rursus vellet assumptis copiis adversus Diogenem proficisci. sed illo recusante, maior natu frater eius accersitur Andronicus, et istam expeditionem suscipere iubetur. egregia tum in iuvene pietas et parenti obsequendi enituit studium. paratum se statim ad quidvis obtulit, nec verbis liberalior, quam rebus, eodem die imperatore ac patre salutato, Chalcedonense transmisit fretum. sexque omnino dies circa Chalcedonem moratus apparandis rebus ad profectionem necessariis, hinc movens circuivit Orientalem tractum collegitque copias, quibus universis unum in exercitus corpus secum iunctis iter capessivit Ciliciam versus. prima in his Andronico cura fuit concordiam et conspirationem in unum sensum in exercitu constituere. quod assecutus summa comitate, qua quemque humanissime familiarissimeque tractabat; alterum deinde istud sibi proposuit agere, ut adventus eius lateret hostes, priusque ipse cum suis per angustos aditus in Ciliciam penetraret, quam id Diogenes sensisset. huius quoque secundi voti compos factus est. arcto enim et praecipiti calle superato Andronici milites repente nihil minus opinantibus Diogenianis apparuerunt.

24. Quando primum accepto sensu expeditionis contra se ductae, imperator Diogenes copias et ipse suas eduxit, belli summa et exercitus paene totius plena potestate ei, cuius superius meminimus, Chutatario Armenio

τοὺς πεζοὺς οὖν οὗτος καὶ ἱππεῖς ἐπαγόμενος τοὺς ἐπικαίρους τῶν τόπων καταλαβεῖν ἔσπευδεν. ἀλλὰ τῶν ἐλπίδων ἐσφάλη, τοῦ δομεστίκου τῶν σχολῶν Ἀνδρονίκου προκατασχόντος αὐτούς. ἀπογνοὺς οὖν τούτου ἀντιμέτωπον τὴν ἰδίαν φάλαγγα τῇ τῶν ἐναντίων ἵστησιν· ἀντικαθίσταται δὲ πρὸς τοῦτον καὶ ὁ Ἀνδρόνικος. καὶ τοῦ μὲν μέσου τῆς φάλαγγος αὐτὸς ἦν ἐξηγούμενος, τοῦ εὐωνύμου δὲ κέρατος ὁ Φράγγος Κρισπῖνος, τοῦ δεξιοῦ δ' ἕτερός τις
D τῶν ὑπὸ τὸν Ἀνδρόνικον τεταγμένων. ἀλλὰ πρὶν ἢ τὸν συνασπισμὸν γενέσθαι καὶ εἰς χεῖρας ἀλλήλων ἰέναι, ὁ Φράγγος δύσνους ὢν πάλαι τῷ βασιλεῖ Ῥωμανῷ καὶ μῆνιν κατ' αὐτοῦ τρέφων, τὸ τῶν ἐναντίων ἱππικὸν θεασάμενος καὶ τῷ Ἀνδρονίκῳ προειπὼν
V 24 τὴν κατ' ἐκείνων ἐξέλασιν, ἀπὸ ῥυτῆρος σὺν τοῖς ἀμφ' αὐτὸν ἐξελαύνει τὸν ἵππον. ἰσχυρᾶς οὖν τῆς προσβολῆς γενομένης φεύγουσιν οἱ περὶ τὸν Χουτατούριον· οἱ δὲ κατόπιν διώκοντες πολλοὺς μὲν ἀνῄρουν πολλοὺς δὲ καὶ ἐζώγρουν. τοῦ γοῦν ἱππικοῦ οὕτω διασκεδασθέντος καὶ ἡ φάλαγξ ἡ πεζική, δείσασα μὴ κυκλωθεῖσα διακοπείη, τὰ νῶτα δοῦσα καὶ αὕτη πρὸς φυγὴν ἔκλι-
P 37 νεν. ὅσοι μὲν οὖν ταῖς φάραγξι καὶ ταῖς λόχμαις εἰσέδυσαν, διεσώθησαν, τῶν δὲ λοιπῶν οἱ μὲν ἔπεσον οἱ δὲ ἐζωγρήθησαν. καὶ ἡ μὲν τοῦ Διογένους φάλαγξ οὕτως διελέλυτο καὶ διεσκέδαστο, τροπαιοφόρῳ δ' ἐπανελθόντι τῷ Ἀνδρονίκῳ πρὸς τὴν σκηνὴν καὶ μετ' εὐφροσύνης τὰ χαριστήρια θύοντι καὶ ἕτερον ἐπῆλθεν εὐτύχημα. ἱππεὺς γάρ τις ἧκεν ὡς τάχιστα πρὸς αὐτὸν τῶν πολεμίων ἄγων τινὰ καὶ τὸν στρατηγὸν ἐζήτει θεάσασθαι. ὁ δὲ

permissa. ille immisso equitum peditumque idoneo numero, occupare studuit opportuna loca, sed spe sua falsus est, ea praeoccupata reperiens a domestico scholarum Andronico. exclusus inde igitur fronte adversa suam aciem hostili opponit: nec distulit ex adverso suas quoque ordinare copias Andronicus, medium in iis sibi locum sumens, laevo cornu praeerat Francus Crispinus; dextro autem alius ex ducibus Andronico subiectis. hic antequam plene structa phalanx esset, Francus pridem male affectus erga imperatorem Romanum, et iram in eum corde conceptam fovens, viso equitatu hostili, sese illum expulsurum Andronico praefatus, magno impetu cum suis in eum irruit. confligitur acriter, Chutatarii equitibus ad extremum fusis fugatisque, instante a tergo victore, ac multos eorum qua caedente qua captivos abducente. disperso porro in hunc modum equitatu, verita pedestris acies ne circumventa concideretur, et ipsa verso tergo in fugam incubuit. servati sunt quotquot aviarum vallium, praecipitiumque ac densorum saltuum sese latebris texere: alii partim occisi, partim capti sunt. sic Diogenis acies fracta disiectaque est. victori autem cum plausu et gratulatione maxima in suum tabernaculum revertenti Andronico et gratias deo rite pro victoria reddenti alius quoque successus gaudium cumulavit. eques curriculo adfuit captivum quemdam trahens et ad ducem exercitus magnopere postulans admitti.

τῆς σκηνῆς προκύψας ἑώρα πρᾶγμα πολλὴν αὐτῷ θυμηδίαν παρέχον, τὸν Χουτατούριον πρὸς αὐτὸν ἀγόμενον δέσμιον. οὗτος γὰρ ἐν τῷ φεύγειν τοῦ ἵππου διωλισθηκότος, ὡς ἔλεγε, λόχμην τε εἰσέδυ τινὰ καὶ λανθάνειν ἔσπευδεν. ὡς δ' ὑπὸ τῶν διωκόντων B καταφανὴς γέγονε καὶ συλληφθεὶς ἔμελλεν ἀναιρεῖσθαι, ἐλιπάρει τὸν ζωγρήσαντα. ὡς δὲ δακρύοντα οὗτος τὸν ἄνδρα τεθέαται, τὴν ἐσθῆτα ἀποδυσάμενος καὶ γυμνὸν ἐπὶ τὴν λόχμην ἀφεὶς ἀπῄει. εἶτα δὴ ἄλλος αὐτὸν γυμνὸν κατιδὼν ὑπὸ τὴν λόχμην κρυπτόμενον ὥρμησεν ἀναιρεῖν, ὁ δὲ ὅστις εἴη ἐφθέγγετο καὶ πρὸς τὸν στρατηγὸν ἀπαχθῆναι παρεκάλει. κἀκεῖνος ταχέως τοῦτον ἐπὶ τοῦ ἵππου θεὶς πρὸς τὸν Ἀνδρόνικον ἀπεκόμιζεν. ὃν ἐκεῖνος ἐκ τῆς σκηνῆς ἰδὼν γυμνὸν ἐπαγόμενον ἐξῄει τε τῆς σκηνῆς καὶ ἵλεῳ τῷ ὄμματι τοῦτον καθυπεβλέπετο. παριστείλας οὖν τὴν αὐτοῦ γύμνωσιν περιβολῇ στρατηγῷ πρεπούσῃ γενναίῳ ἐν ἀδέσμῳ C ἐτήρει φυλακῇ. ἀγασθεὶς δὲ ὁ Χουτατούριος τῆς περὶ αὐτὸν φιλοφροσύνης τοῦ Ἀνδρονίκου, λίθον τινὰ τῶν πολυτίμων ὑπ' αὐτοῦ κρυβέντα περὶ τὴν λόχμην ἐν ᾗ ἑάλω αὐτῷ φανεροῖ, καὶ πέμψαι ξὺν αὐτῷ ἀξιοῖ τοὺς ἀποκομίζοντας. καὶ δὴ πέμπονται, καὶ κομίζουσι θέαμα τοῖς ὁρῶσιν ἰδεῖν. μεγέθει γὰρ ἦν σχεδὸν ὑπὲρ ἅπαντας λίθους, λαμπρότητι δὲ τοὺς διαυγεῖς ἅπαντας ὑπερέλαμπεν. ὃν ὁ Ἀνδρόνικος τῇ βασιλίδι Μαρίᾳ δῶρον προσήνεγκεν ὕστερον.

9. κρυπτόμενον] V. κρυπτόμενος. 12. ἐπαγόμενον] V. ἀπαγόμενον. 18. ἀποκομίζοντας] Fort. ἀποκομίσοντας. 19. θέαμα] P. θαῦμα.

proferens ille e tabernaculo caput spectaculo pascitur iucundissimo, Chutatarium ad se vinctum duci cernens. hic enim, ut ipse referebat, equo inter fugiendum prolapso silvam ingressus densam delitescere in ea voluit, sed detectus a persequentibus et comprehensus vitam ab occidere parato lacrimis impetravit, erepta dumtaxat veste. hinc nudum se iterum abdit in saltum: verum ab alio visus et ferro petitus necem professione nominis antevertens duci ad exercitus imperatorem petiit impositusque confestim in equum sic Andronico sistebatur, quem ille duci ad se nudum e tabernaculo cum vidisset, foras ei obviam prodiit benignoque intuitu consolatus moerentem nuditati eius honorique consuluit, datis ei vestibus ducis primarii personam decentibus, atque inde vinculis solutum in libera custodia secum habuit; quam ille humanitatem admiratus remunerari egregia gemma statuit. itaque Andronico cum dixisset fuisse sibi, quando erat captus, lapillum eximii pretii, quem ipsi offerre cuperet, abscondisse autem illum certo loco in ea silva, in qua erat comprehensus, eo remitti cum custodibus petiit relaturum gemmam, annuente Andronico brevi mirabilem visu reportavit lapidem superantem gemmas omnes magnitudine, splendoris autem maioris, quam sit ullus pellucidus lapis, quem postea dono dedit Andronicus imperatrici Mariae.

25. Ὁ δὲ Διογένης καὶ τῶν πραγμάτων αὐτῷ κατόπιν
ἀρμένων οὐ κατεγίνωσκεν, ἀλλὰ τοὺς περὶ αὐτὸν ὑπερώννυε καὶ
D ἐλπίδας ὑπέτεινεν ὡς ἀφιξομένης αὐτίκα δὴ μάλα Περσικῆς συμ-
μαχίας. διεπρεσβεύετο δὲ καὶ πρὸς τὸν Κρισπῖνον πειρώμενος
αὐτοῦ τὸ βάρβαρον φρόνημα διεγεῖραι κατὰ τοῦ Ἀνδρονίκου.
ἀλλὰ τοῦτο γνοὺς Ἀνδρόνικος καὶ θωπευτικώτερον ἐντετυχηκὼς
τῷ Κρισπίνῳ τὴν ἐκείνου πρεσβείαν ἀπέδειξεν ἄπρακτον. ἀπρά-
κτου δὲ τῆς πρεσβείας ἀποδειχθείσης καὶ τοῦ ἐκ Περσίδος συμ-
μαχικοῦ ἔτι μέλλοντος, οἱ περὶ τὸν Διογένην ἀπογνόντες τῷ Ἀν-
δρονίκῳ συνθέμενοι καὶ πίστεις τοῦ μὴ παθεῖν εἰληφότες αὐτόν
τε τὸν βασιλέα παραδιδόασι καὶ τὸ φρούριον. οἱ δὲ περὶ τὸν
P 38 Δοῦκα Ἀνδρόνικον αὐτὸν συλλαβόντες τὴν ἁλουργίδα αὐτὸν ἀπο-
δύσαντες, τὸ μοναδικὸν ἐπενδύουσι σχῆμα, καὶ οὕτω τοῦ φρου-
ρίου ἐξαγαγόντες πρὸς τὸν Ἀνδρόνικον μετὰ πλείστης ὅτι τῆς
περιχαρείας ἀπάγουσιν. ὁ δὲ τῆς τύχης αὐτὸν οἰκτείρας ἐδά-
κρυσε καὶ δεξιὰν ἐμβαλὼν εἰς τὴν ἑαυτοῦ ἀπάγει σκηνὴν καὶ
V 25 τραπέζης αὐτῷ κοινωνεῖ. ἦν οὖν ἄμεινον μέχρι τούτου στῆναι
τῷ ἀνδρὶ τὰ τῆς δυστυχίας· ἀλλ' οὐκ ἦν αὐτῷ διαδρᾶναι τοῦ
φθόνου τὰ βέλεμνα. οἱ γὰρ περὶ τὸν βασιλέα Μιχαὴλ πρόφασιν
B ὥσπερ τῆς ἰδίας ἐπιθυμίας τὴν πρὸς ἐκεῖνον πλασάμενοι εὔνοιαν,
δείσαντες ὡς ἔφησαν μή τι καὶ διαμηχανήσαιτο ὁ Διογένης καὶ

2. ἀρμένων] P. ῥεομένων. Bekker φερομένων. ibid. ὑπερώννυε] ἐπερρώννυε? 10. παθεῖν] τι παθεῖν?

25. At Diogenes tam infelici successu non fractus obstinabat adhuc in spe animum, sociosque ultimae fortunae consolari studebat fiducia mox adfuturi e Perside auxilii. misit etiam ad Crispinum certos homines ingenium irritabile iracundi barbari concitare in Andronicum conaturos; cuius indicio coepti, accepto in tempore Andronicus longe blandioribus quam unquam alias verbis officiisque Crispinum ita delinivit, ut Diogenianos remiserit irritos. cuius rei per comitatum Diogenis fama vulgata, cunctantibusque nimium exspectatis a Perside copiis, proditur a suis Diogenes, incolumitatem propriam eius, atque arcis in qua erant deditione ab Andronico paciscentibus. missis igitur ab Andronico ad exigendam pactorum fidem admissis in arcem, deditus Diogenes ab iis purpura exutus monastica veste contegitur, sicque eductus arce Andronico sistitur, gaudium tantae victoriae, quo passim exsultabant milites, modesta commiseratione prementi; qui laudabili affectui tantum indulsit ut etiam infortunio exauctorati captivique principis lacrimas dederit: congruente humanitate cetera, qua illustrem captivum amplexu dignatus tabernaculo excepit eodem secum mensaeque adhibuit. hunc oportuerat finem esse misero malorum: sed invidiae longe iaculantis effugere ictus non potuit. fuerunt enim in aula qui odio aut timori proprio affectum in principem praetexentes Michaëli suggesserunt, nunquam illi possessionem imperii fore certam, quoad valeret Diogenes. siquidem et ipsum cogitaturum aliquid et alios novarum cupidos rerum hinc turbandi causam petituros, sic expresso

πάλιν ἀφορμὴ πραγμάτων τῷ βασιλεῖ γένοιτο, ἐντέλλονταί τινι διὰ γραμμάτων ἐπὶ τοῦ καιροῦ δυναστεύοντι ἐκκόψαι τούτῳ τοὺς ὀφθαλμούς. ὃ δὴ καὶ γενόμενον μεγάλως ἠνίασε τὸν Ἀνδρόνικον, καὶ μᾶλλον ὅτι καὶ πειρασθεὶς διασώσασθαι τοῦτον οὐ δεδύνητο, τῶν περὶ τὸν βασιλέα σφοδρότερον ἐγκειμένων. ἐπέστειλε δὲ καὶ πρὸς τὸν πατέρα τὸν καίσαρα, παρακαλῶν αὐτὸν μὴ συγχωρῆσαι C τελεσθῆναι τοιοῦτον ἀνοσιούργημα, ἢ μὴν τῆς θείας ἐκδέχεσθαι δίκης τὴν ψῆφον οὐκ εἰς μακρὰν ἀπαντήσουσαν. ὁ μὲν οὖν ταῦτα, οἱ δὲ τὰ γράμματα δεξάμενοι ἐκτυφλοῦσί τε τοῦτον, καὶ εἰς ὃ ἱδρύσατο φροντιστήριον ἐν τῇ νήσῳ Πρώτῃ ἐκπέμπουσι. βραχὺ δέ τι ἐπιβιοὺς μετὰ τὴν τῶν ὀφθαλμῶν στέρησιν ἐτελεύτησεν, ἐπὶ τρισὶν ἔτεσι τὴν βασιλείαν Ῥωμαίων ἰθύνας. τοιοῦτον ἔσχε τέλος τὰ κατὰ τὸν Διογένην.

assensu cupide scribunt ad quemdam tum in exercitu plurimum potentem, erueret oculos Diogeni, quod factum iniquissime Andronicus tulit: praesertim quod impedire conatus nihil profecerat, iis qui facilitatem Michaëlis eo inclinare coeperant magis ac magis coeptum urgentibus. scripserat autem ea de re Andronicus ad patrem quoque suum Caesarem, maiorem in modum rogans ne istud perpetrari piaculum sineret: alioqui divinae vim ultionis exspectaret, poenamque non longum moraturam. ea illo nequicquam moliente, qui litteras acceperant Diogenem excaecant et in monasterium, quod ipse construxerat in Prota insula, relegant, ubi excaecationi suae non diu superstes ille interiit, imperio Romano tribus annis administrato. hunc res Diogenis finem habuerunt.

ΒΙΒΛΙΟΝ Β.

1. Ὁ μὲν δὴ βασιλεὺς Ῥωμανὸς ὁ Διογένης προθυμηθεὶς τὰ P 40 V 26 Ῥωμαίων ὑψῶσαι ἀρξάμενα ἤδη κλίνειν, οὐκ εὐφυῶς οὐδ' ἐπιστημόνως τὰ τῆς ὑψώσεως μεταχειρισάμενος αὐτός τε κατεβέ- V 27 βλητο καὶ τὰ Ῥωμαίων ἑαυτῷ συγκατέβαλε πράγματα, ὅπως δὲ,

14. προθυμηθεὶς] Ita P. pro προτιμηθεὶς.

LIBER II.

1. In hunc modum imperator Romanus Diogenes generoso ille quidem animo aggressus restituere in decus pristinum collabescere incipientem Romanam rem, quod proposito optimo haud parem agendi dexteritatem administrandique adiunxit prudentiam, et se ipsum perdidit, et rem Romanam communi

τὸ μὲν δεδήλωται πρότερον, τὸ δὲ προϊὼν ὁ λόγος δηλώσει νῦν. ὁ δὲ βασιλεὺς Μιχαὴλ τοῦ Διογένους ἀπαλλαγεὶς τὴν κουροπαλάτισσαν Ἄνναν, ἣν ὁ λόγος φθάσας ἐδήλωσε μητέρα τῶν Κομνηνῶν, σὺν τοῖς υἱέσι τῆς ὑπερορίας ἀνακαλεῖται καὶ διὰ κήδους αὐτοὺς ἑαυτῷ οἰκειοῦται· γήμας γὰρ αὐτὸς πρότερον τὴν παγκρά-
B τειαν τοῦ Ἰβήρων κατάρχοντος θυγατέρα Μαρίαν τὴν ἐκείνης ἐξαδέλφην Εἰρήνην τὴν θυγατέρα τοῦ Ἀλανίας ἐξουσιάζοντος τῷ πρεσβυτέρῳ τῶν παίδων τῆς κουροπαλατίσσης Ἰσαακίῳ πρὸς γάμου κοινωνίαν ἐκδίδωσιν. ὁ δὲ καῖσαρ ἐπεὶ τὸν ἀνεψιὸν εἶδεν οὐκ ἐπιτηδείως πρὸς τὴν τῶν κοινῶν ἀντίληψιν ἔχοντα, αὐτός τε γενναιότερον τῶν πραγμάτων ἀντελαμβάνετο καὶ τὸν ἐκτομίαν Νικηφόρον, ὃν ὑποκορίζοντες ἐκάλουν Νικηφορίτζην, τῷ βασιλεῖ οἰκειώσας λογοθέτην τοῦ δρόμου κατέστησεν, ἄνδρα ἐντρεχῆ μὲν καὶ δραστήριον καὶ λόγῳ κοσμούμενον καὶ πείρᾳ πραγμάτων πολ-
P 41 λῶν, βαθύγνωμον δὲ ἄλλως καὶ συγκυκῆσαι δυνάμενον πράγματα μᾶλλον ἢ τὸν Περικλέα φασὶ τὴν Ἑλλάδα κυκᾶν. λέληθεν οὖν ὁ καῖσαρ καθ' ἑαυτοῦ τὸν ἑαυτοῦ ἐξοπλίσας πολέμιον.

2. Ὑπελθὼν οὖν οὗτος τὴν τοῦ βασιλέως κουφότητα ὅλον τοῦτον πρὸς ἑαυτὸν ἐφειλκύσατο ἥκιστα πείθων φροντίζειν τοῦ θείου καίσαρος. ὁ δὲ καῖσαρ τέως μὲν προσεποιεῖτο τὰ δρώμενα ἀγνοεῖν καὶ τῶν πραγμάτων ἀντείχετο· ἐπεὶ δὲ ἑώρα καθ' ἑκάστην

secum ruina involvit: prout partim iam narratum a nobis est, partim ex deinceps dicendis plenius intelligetur. at imperator Michaël defunctus iam metu Diogenis europalatissam Annam, de qua diximus superius, Comnenorum matrem ab exilio revocavit una cum filiis, quos etiam admovere sibi affinitate voluit. etenim cum ipse paulo ante praenobilem praepotentemque Iberorum principis filiam Mariam coniugem duxisset, huius patruelem Alaniae rectoris filiam Irenen curopalatissae filio maiori nuptiarum necessitudine coniunxit. Caesar autem cum Augustum fratris filium cerneret gubernationi publicae rei non admodum aptum, et ipse attentius in negotiorum expeditionem incubuit et eunuchum quemdam Nicephorum, quem diminutivo verbo Nicephoritzem vocabant, imperatori commendatum logothetam cursus constituit, virum impigrum efficacisque ingenii doctrina, eloquentia multarumque experientia rerum ornatum; sed profundi eumdem animi dissimulatoremque consiliorum, quae plurima excogitabat versabatque plerumque turbulenta, nihilò minus quam ille olim Pericles homo factus natusque ad totam commovendam Graeciam. itaque hunc Caesar promovens acrem in se gravemque hostem, quod minime tum rebatur, postea sensit, armabat.

2. Hic conciliationi Caesaris artem subiungens propriam, ubi se penitus in levis ac facilis Michaëlis animi possessionem insinuavit, primum omnium illi persuasit, ut patruo suo Caesari tribueret fideretve minimum. id quamquam cito Caesar sensit, dissimulandum tamen ratus consueta aliquamdiu ratione gerendis rebus vacare pergebat. cum autem magis ac magis sese

αὐξομένην τὴν βασιλέως παρόρασιν καὶ ὅλον τοῦτον διεγίνωσκε τοῦ λογοθέτου ἐξεχόμενον, δεῖν ᾠήθη ἀπόπειράν τινα ποιήσασθαι. καὶ δὴ σκηψάμενος ὡς βούλοιτο θήρας χάριν πρὸς τὴν B μικρὰν Ἀσίαν περαιωθῆναι, ἐπεὶ τὸν βασιλέα εἶδε πρὸς τοῦτο συγκαταβαίνοντα, τὸν πρὸ τοῦ Πόντου πορθμὸν περαιωθεὶς ἅμα τῷ υἱῷ Ἀνδρονίκῳ ἀπῄει πρὸς τὴν Ἀσίαν τοῦ ἡλίου τὰς μετοπωρινὰς τροπὰς μεταλλάττοντος. θάτερος δὲ τῶν τούτου υἱέων ὁ Κωνσταντῖνος ἔμεινε παρὰ τῷ βασιλεῖ· προεβέβλητο γὰρ πρὸς αὐτοῦ πρωτοστράτωρ, τουτὶ δὲ τὸ ὀφφίκιον μέγα ἦν ἀεὶ παρὰ βασιλεῦσι καὶ μεγίστοις ἐδίδοτο. μείνας δὲ θεραπεύειν ἔσπευδε τὸ βασιλέως ἀμφίγνωμον· καὶ γὰρ ἦν ἐκ δυοῖν τοῖν ἐναντίοιν τοῦτο C συγκείμενον, κουφότητός τε καὶ πανουργίας.

3. Ὁ μὲν οὖν καῖσαρ τὴν Ἀσιᾶτιν καταλαβὼν περὶ θήραν ἐπτοῆσθαι προσεποιεῖτο. ὁ δὲ βασιλεὺς Μιχαὴλ συγκλειομένων αὐτῷ τῶν πραγμάτων ἤδη κατά τε τὴν ἕω καὶ τὴν ἑσπέραν (οἵ τε γὰρ Τοῦρκοι τὰ κατὰ τὸν Διογένην πυθόμενοι καὶ τὰς πρὸς Ῥωμαίους δι᾽ ἐκεῖνον γενομένας ξυμβάσεις τε καὶ σπονδὰς διαλύσαντες τὴν ἑῴαν πᾶσαν ἐδῄουν καὶ ἐλῄζοντο, οἵ τε μὴν Σκύθαι πρὸς τούτοις στασιάσαντες Θρᾴκην τε καὶ Μακεδονίαν κατέτρε- D χον, ὡς πορθεῖσθαι μικροῦ δεῖν ἅπασαν τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην ὑπ᾽ ἀμφοῖν τοῖν ἐχθροῖν), οὕτω γοῦν αὐτῷ τῶν πραγμά- V 28 των συγκλεισθέντων τὸν Κομνηνὸν Ἰσαάκιον, ὃν διὰ κήδους ἑαυ-

quotidie prodentem in imperatore cerneret despectum sui sicque ipsum e logotheta pendere totum, nullam ut sibi factam reliquam vel auctoritatis vel gratiae partem esse constaret, experiundum in hunc modum Michaëlis erga se animum putavit. ficto venationis desiderio veniam ab Augusto petiit transfretandi in minorem Asiam, quo haud aegre impetrato fretum transvectus in Asiam circiter aequinoctium autumnale traiecit, Andronicum filium secum ducens, altero filio Constantino in aula relicto. protostratorem enim eum Augustus creaverat, quod officium apud imperatores semper fuit dignationis magnae nec nisi maximis quibusque tribui solitum. cuius occasione morae non destitit ille quidem experiri, si quid posset in curanda instabilitate consiliorum imperatoris. sed malum erat vehemens ac remedio fortius, duabus ex contrariis conflatum pestibus, hinc levitate, illinc astuta malitia.

3. At Caesar in Asiam delatus egregie simulabat venatione sese maiorem in modum delectari. imperator vero Michaël circumventus ancipiti malo irruptionis geminae barbaricae; hinc Turcorum, audita Diogenis cum quo transegerant exauctoratione, pacem solutam arbitrantium ac propterea Orientem universum hostiliter incursantium, illinc Scytharum Thraciam, et Macedoniam per tumultum manu facta vastantium, utrorumque tanta rabie furentium ac tam late stragem ruinasque spargentium, ut Asia paene pariter Europaque universa saevissimis hostibus praedae forent; quo alicunde inciperet tanto mederi malo ac se ex angustiis explicare conaretur, Comnenum Isaa-

τῷ ᾠκειώσατο, δομέστικον τῶν σχολῶν τῆς ἀνατολῆς καταστήσας, αὐτοκράτορα στρατηγὸν τοῦ κατὰ Τούρκων πολέμου τοῦτον ἐκπέπομφεν. ὁ δὲ παραλαβὼν τὰς δυνάμεις ἀπῄει ὡς ἐπὶ τὴν τῶν Καππαδοκῶν. ξυνείπετο δέ οἱ καὶ ὁ ἀδελφὸς Ἀλέξιος, ὁ τότε μὲν μεγάλη Ῥωμαίων ἐλπὶς καὶ ὢν καὶ φαινόμενος, ὕστερον δὲ μέ-
P 42 γιστον Ῥωμαίοις γενόμενος ὄφελος, μήπω τὸν ἴουλον ἐπανθοῦντα φέρων, ἀλλὰ τὰ τῆς στρατηγικῆς ἀρετῆς ὑπεδείκνυ καὶ πρὸ τῆς τελειότητος μᾶλλον ἤπερ φασὶν οἱ τὰ Ῥωμαϊκὰ συγγραψάμενοι τὸν Σκηπίωνα, ὁπηνίκα ξυνείπετο τῷ Αἰμυλίῳ κατὰ τοῦ Μακεδόνος στρατηγοῦντι Περσέως. ξυνέπραττε γὰρ τἀδελφῷ, καὶ τὰς τάξεις καθίστα, καὶ τοὺς λόχους ἐνίστα, καὶ φαλαγγαρχῶν ἐφαντάζετο, καὶ πρὸ τῆς πείρας περὶ τὰ στρατιωτικὰ δεξιώτατος ὤν. ἐπεὶ δ᾽ ἀφικέσθην εἰς τὴν Καππαδοκῶν μητρόπολιν, φημὶ
B δὴ τὴν περιβόητον Καισάρειαν, ἐστρατοπεδευσάτην περὶ τὴν παλαιὰν πόλιν, ἀντὶ τάφρου καὶ χάρακος τὰ διερρωγότα ταύτης προβαλλόμενοι τείχη· καὶ γὰρ ἔφθη πάλαι σεισμοῦ γενέσθαι πάρεργον μικροῦ δεῖν ἅπασα, πύργων ἐνίων περιλειφθέντων εἰς ἀπόδειξιν οἶμαι τῆς παλαιᾶς εὐδαιμονίας τῆς πόλεως. ἐν ταύτῃ γοῦν στρατοπεδευσάμενοι διεσκοποῦντο ὅπως ἂν ἐπιόντας τοὺς Τούρκους καὶ τὰς κωμοπόλεις πορθοῦντας ἀποσοβήσαιεν.

4. Ἀλλ᾽ οὕτω μὲν οὗτοι. ἐπεὶ δὲ συνετρίβετο τούτοις καὶ
C ὁ Φράγγος Οὐρσέλιος, τῆς ἑταιρίας ὢν τοῦ Κρισπίνου καὶ τῆς

cium recenti sibi affinitate iunctum et domesticum scholarum per Orientem constitutum summum belli ducem contra Turcos mittit, qui assumptis copiis Cappadociam versus iter intendit. secutus ipsum est frater eius Alexius, magna iam tum Romanorum spes palam nec falso creditus, postmodum enim auguriis in eventa proficientibus exspectatum sui fructum, felicitatem videlicet maximam rei publicae repraesentavit, tunc autem adhuc adolescentulus vix prima lanugine signabat malas. quamquam abundantia militaris strenuitatis maioris facile aetatis officium expleret, qualem qui Romae veteris res memoriae mandarunt Scipionem ferunt, cum Aemilio adversus Macedonem Perseum consularem exercitum ducenti comes expeditionis esset. nec enim hic segnius Alexius fortem fratri operam navabat constituendis ordinibus, insidiis locandis acie dirigenda movendaque, simulacris praeliorum, quibus in omnibus exercitationibus militaribus mira in iuvene dexteritas eminebat. Ceterum ubi perventum ad metropolim Cappadocum, celebrem illam inquam Caesaream, castra posuerunt in vestigiis urbis veteris muris eius dirutis pro castrensi vallo fossaque usi. olim enim haec civitas terrae motu paene tota concidit, turribus dumtaxat relictis paucis quasi ad specimen antiquae magnificentiae. hic igitur castris positis consultabant, quam inirent rationem cohibendi Turcos vicos passim regionis foede desolantes.

4. Talia illis meditantibus, Urselius Francus, quem habebant in exercitu e societate Crispini, cuius loco nuper mortui copias eius gubernabat,

ἐκείνου κατάρχων φάλαγγος, ἅτε ἐκείνου τὸ χρεὼν ἀποτίσαντος, ἐζήτει δὲ πρόφασιν εὑρεῖν εὐλογοφανῆ ὥστε ἣν πάλαι ὤδινεν ἀποστασίαν εἰς τοὐμφανὲς ἀγαγεῖν, ἐπειδὴ ξυνέβη τῶν τινα τῆς φάλαγγος ἀδικῆσαι μεγάλως τῶν ἐγχωρίων τινά, ὁ δὲ τῷ στρατηγῷ προσελθὼν τὰ τῆς ἀδικίας κατεβοᾶτο, καὶ ὁ στρατηγὸς ἐζήτει τὸν ἀδικήσαντα ἐν μέσῳ ἀχθῆναι. τοῦτο πρόφασις τῷ Οὐρσελίῳ τῆς ἀποστάσεως γίνεται. καὶ στρατοπεδεύει μὲν ἔξω τῆς παρεμβολῆς ἐπαγγελλόμενος εἰς νέωτα φοιτῆσαι πρὸς τὸ στρατόπεδον, περὶ δὲ μέσας νύκτας ἄρας τὴν φάλαγγα τῶν Κελτῶν ἀπεδίδρασκε καὶ εὐθὺ Σεβαστείας ἐχώρει. γνωσθέντος δὲ τοῦ δρασμοῦ περὶ τὴν ἕω τῷ Κομνηνῷ Ἰσαακίῳ, δεῖν ἔκρινε τῷ ἀδελφῷ Ἀλεξίῳ μέρος D τῆς στρατιᾶς πιστεύειν καὶ πρὸς τὴν τοῦ Οὐρσελίου ἐκπέμψαι δίωξιν. ἐν μετεώρῳ δὲ ἔτι τοῦ σκέμματος ὄντος καὶ τοῦ στρατοῦ συναθροιζομένου (ἠγγέλλετο δὲ παρὰ τῶν σκοπῶν Τούρκων πλῆθος πολὺ κατὰ Ῥωμαίων χωρεῖν καὶ ἀγχοῦ που τούτου στρατοπεδεύειν), ἐπισχὼν οὖν τὴν τοῦ Οὐρσελίου δίωξιν ὁ Κομνηνὸς Ἰσαάκιος παρεσκευάζετο πρὸς τὸν πόλεμον, παρεκάλει δὲ τὸν ἀδελφὸν ἐντὸς τοῦ χάρακος μένειν καὶ συνέχειν τὸ στρατόπεδον. ὁ δὲ βαρέως τὸ κελευόμενον ἔφερε. κἀκεῖνος ὑπισχνεῖτο ἐγκαρτερήσειν P 43 εἰ μόνον ἐξαποστείλειεν ὕστερον κατὰ τῶν Τούρκων πολλὰς τῶν Ῥωμαίων ἐπαγόμενος φάλαγγας.

5. Ὁ μὲν οὖν πεισθεὶς ἐπὶ τοῦ στρατοπέδου κατέμεινεν, ὁ

12. στρατιᾶς] V. στρατείας. 21. ἐπαγόμενος] ἐπαγόμενον?

nihil nisi praetextum et occasionem plausibilem quaerebat defectionis quam dudum parturiebat in rem conferendae. contigit autem quemdam e phalange Gallica vehementi laedere iniuria indigenarum aliquem, cuius ille dolore graviter apud exercitus totius imperatorem questus expressit ab eo, quod negari non poterat, ut iuberet militem iniuriae auctorem in medium adduci. opportuna et speciosa ea causa rebellionis visa. ergo is primo extra vallum suos locat postridie se rediturum in castra pollicitus. media porro nocte adducta secum phalange Gallorum fugit Sebastiam versus iter intendens. certior sub auroram de ista fuga factus Isaacius Comnenus consilium ex re cepit Alexii fratris attributa ei parte copiarum ad persequendum Urselium mittendi. dum ea expediuntur segregandisque copiis ituris mansurisque exspectatio cunctorum pendet, tumultuosus ecce ab exploratoribus affertur nuntius Turcorum magno numero in Romanos moventium iamque vicino in loco habentium castra. omissa igitur in praesens cura sequendi Urselii Isaacius ad praelium se comparat. rogat autem fratrem ut praeesse interim castris velit: graviter eam tulit iussionem Alexius, quae occasionem illi eriperet in acie pugnandi. consolatus eum tamen Isaacius est pollicendo, sese ipsum cum relictis intra vallum copiis brevi accersiturum, quando maturum foret robur ipsum Romani exercitus in Turcos immittere.

5. His ille persuasus in castris mansit. Isaacius autem cum delectis

V 29 δὲ τὰς δυνάμεις ἄρας ἐχώρει κατὰ τῶν Τούρκων. ὑπαντιάζει
γοῦν τούτους κατὰ τὰ Καππαδοκῶν ὅρια· καὶ συμβολῆς γενομέ-
νης τρέπονται μὲν Ῥωμαῖοι, ὁ δὲ γενναίως τε ἀγωνίζεται καὶ κυ-
κλωθεὶς ὑπὸ τῶν ἐναντίων, τοῦ ἵππου αὐτοῦ τρωθέντος καὶ τὸν
ἐπιβάτην αὐτῷ συγκαταβαλόντος, ἁλίσκεται. τοῦ δὲ τῶν Ῥω-
μαίων στρατεύματος διασκεδασθέντος ἐχώρουν οἱ Τοῦρκοι πρὸς
τὸ στρατόπεδον. τῶν Τούρκων δὲ ἐπικειμένων βοηθεῖν ἐπειρᾶτο
B μετ᾽ ὀλίγων τῶν ξυνόντων αὐτῷ. καὶ μέντοι καὶ βεβοήθηκε καὶ
σέσωκε μικροῦ δεῖν ἅπαντας. αὐτὸς δὲ τὸν ὑπὲρ πάντων ἀνα-
δεξάμενος κίνδυνον παρὰ μικρὸν ἑάλω· ἐς μέσους γὰρ ἑαυτὸν
ὠθήσας τοὺς πολεμίους καὶ τῷ δόρατι πλήξας τὸν ἐπιόντα πρώ-
τως καὶ νεκρὸν εὐθὺς ἀποδείξας, ἐπειδὴ ὑπὸ τούτων κεκύκλωτο
καὶ τὰ βέλη πανταχόθεν ἐπέμπετο κατ᾽ αὐτοῦ, αὐτὸς ἀσινὴς ὑπὸ
τῆς ἄνωθεν τετήρητο δεξιᾶς, ὁ δὲ ἵππος ᾧ ἐπωχεῖτο τὰ πλεῖστα
τῶν βελῶν ὑπεδέχετο καὶ εἰς γῆν σὺν τῷ ἐπιβάτῃ κατέπεσεν. ἀλλ᾽
οἱ περὶ αὐτόν, φιλοῦντες αὐτὸν οἷα φιλήσεως ἄξιον, τῶν ἵππων κα-
C ταπηδήσαντες καὶ γενναίως ξὺν ἐκείνῳ ἀγωνισάμενοι τοῦ κινδύνου
τοῦτον ἐρρύσαντο πεντεκαίδεκα δ᾽ ὄντων ξυμπάντων πέντε μόνοι
εἰς τὸ στρατόπεδον ξὺν αὐτῷ διεσώθησαν, τῶν δὲ λοιπῶν οἱ μὲν
ἀνῃρέθησαν οἱ δὲ ἑάλωσαν. διασωθεὶς δὲ εἰς τὸ στρατόπεδον
οὐκ ἠρέμησεν, ἀλλὰ κύκλῳ περιθέων τοῦ χάρακος τὰ φρονήματα
τῶν στρατιωτῶν ἐπερρώννυεν, ὡς μηδέν τι τῆς Ῥωμαϊκῆς γεν-
ναιότητος ἄξιον πεπραχέναι. ἕως μὲν οὖν ἡμέρα ἦν, ἐκαρτέρουν

7. βοηθεῖν] Excidit nomen Alexii. 13. αὐτὸς] Fort. add. μέν. 20. εἰς] Hoc addidit P.

copiis in Turcos vadens obvios habuit eos in finibus Cappadociae, ubi commisso statim praelio fugantur Romani, duce interim intrepide pugnante, quoad circumventus ab hostibus equo ex vulnere sublabente simul cum eo afflictus humi captus est et ductus a Turcis in ipsorum castra. cum vero fractae disiectaeque aciei Romanae instarent victores Turci, erumpens vallo cum paucis Alexius memorabilem pugnam fecit, qua paene omnibus saluti fuit discrimen ipse in caput suum totum excipiens et ultro vocans. quando et parum abfuit quin caperetur, cum sese in medios immisisset hostes et eum qui se primus accedere ausus erat magno hastae ictu interfecisset stravissetque. circumfusis deinde undique Turcis tuta illum eminus iaculatione infestantibus illaesus divina utique manu servatus est ipse quidem, et equus quo vehebatur multis transfixus sagittis se vectoremque suum effudit in terram. quo tempore comites eius, quibus erat carissimus utpote amore dignissimus omnium, exsilientes ex equis ad eum cucurrerunt ambientesque ipsum et cum eo fortissime pugnantes periculo tandem exemerunt eum. quindecim erant omnes, e quibus quinque tantum in castra salvi cum Alexio redierunt, ceteris partim occisis partim captis. redux porro e labore tanto non se otio dedit, sed castra circumiens corroborabat animos militum magnopere adhortans, ne quid Romana generositate indignum consciscerent. illi quoad dies fuit in

καὶ τὸ γενναῖον τοῦ νέου θαυμάζοντες ἐπῄνουν καὶ χεῖρας ἱκέτιδας
ἀνατείνοντες σωτῆρα καὶ εὐεργέτην ἐκάλουν, "εὖγε" λέγοντες "ὦ D
νεανία, ὁ σωτήρ, ὁ κυβερνήτης, ὁ τῆς περισωθείσης τῆσδε Ῥω-
μαϊκῆς στρατιᾶς ῥύστης. εὖγε ὁ ἀσώματος μικροῦ δεῖν ἐν σώ-
ματι. ὀναίμεθά σου τῶν ἀνδραγαθημάτων, καὶ τηρηθείης ἡμῖν
εἰς χρόνους μακροὺς κοινὸν ὄφελος." τούτοις ἐπιρρωννύντες τοῦ
νέου στρατηγοῦ τὸ γενναῖον ἔμενον ἐν τῷ στρατοπέδῳ, ἐκείνου
τοῦ χάρακος προεκθέοντος καὶ πολλοὺς τῶν ἐπιόντων πολεμίων
ἀναιροῦντος, τοὺς δὲ καὶ ἀποσοβοῦντος. τῆς νυκτὸς δὲ καταλα-
βούσης, ἐπεὶ ἑώρα ξύμπαντας εὐτρεπιζομένους, ἔχαιρέ τε ὡς
εἰκός, οἰόμενος ὡς πρὸς μάχην αὐτοὺς εὐτρεπίζεσθαι, καὶ τοῖς
θεράπουσιν ἐκοινοῦτο τὰ δρώμενα. P 44

6. Οἱ μὲν οὖν ἄλλοι ἐσίγων, εἷς δέ τις τούτων γενναῖος
ὢν κατὰ χεῖρα καὶ πείρᾳ τῶν ἄλλων διαφέρων, Θεόδοτος τοὔνομα,
οὐκ ἀγαθὸν οἰωνὸν ἔφη τὰ πραττόμενα εἶναι· "ἐπειδὰν γὰρ ἡ νὺξ
προέλθῃ, αὐτίκα δὴ μάλα φεύξονται." τούτου λεχθέντος λύπης
ὁ νεανίας πεπλήρωτο· ᾤετο γὰρ ξύμπαντας εἶναι τῆς αὐτοῦ γεν-
ναιότητος. ἀπῄει δ' ὅμως ἐπὶ τὴν σκηνὴν δειπνήσων· ἄσιτος γὰρ
τὸ παράπαν διέμεινε. καὶ ὁ μὲν ἔτι τεθωρακισμένος ὢν ἐδείπνει,
οἱ δὲ λάθρα τοῦ χάρακος ἐξιόντες ἔφευγον. ὡς δ' ἀπηγγέλη τού- B
τῳ φεύγειν ἅπαν τὸ στράτευμα καὶ μόνον αὐτὸν ξὺν ὀλίγοις περι-
λελεῖφθαι, ἵππον αἰτήσας ἔσπευδε βοηθεῖν καὶ ξυνέχειν. μόλις

loco perstabant admirantes, quin etiam laudabant iuvenis animum, supplicesque tendentes manus salvatorem eum et benefactorem acclamabant. euge, dicentes, o adolescens, o salvator, o gubernator, o huius mire servati Romani exercitus liberator. euge o corporis impedimentum in corpore vix sentiens. fruamur longum heroicis facinoribus istis serverisque utinam nobis in longissima tempora commune decus praesidiumque publicae rei. his applausibus novi ducis generositatem augentes, dum celebrabant milites, sese vallo continebant, illo subinde foras procurrente ac multos irruentium hostium occidente, alios fugante. ubi autem nox venit, cum animadverteret Alexius omnes milites parare passim se atque expedire pro se quemque, pergratum id ipsi fuit, quod se ipsos ad pugnam comparare crederet, famulisque ac familiaribus suis quae fierent indicavit.

11. *Ταῦτ᾽ εἶπε καὶ πάντες ἐπείθοντο. καὶ οἱ μὲν ἐπὶ τοὺς ὀρόφους ἀνῄεσαν καὶ τὰ βέλη προέπεμπον, οἱ δὲ τὰς πύλας ἀνεπετάννυον καὶ σφοδρᾷ τῇ ῥύμῃ κατὰ τῶν πολεμίων ἐπῄεσαν. οἱ οὖν πολέμιοι τῷ αἰφνιδίῳ καταπλαγέντες ἀλκῆς ἐπελάθοντο καὶ* D *πρὸς φυγὴν ἐτράποντο. ἀδείας οὖν δραξάμενοι οἱ ἐντὸς ἅπαντες ἐξῄεσάν τε καὶ τῆς ὁδοῦ ἥπτοντο, εἰς τάξιν μὲν δὴ φάλαγγος καθιστάμενοι, ταχυτέραν δὲ ἢ ἐχρῆν τὴν πορείαν ποιούμενοι. ἀλλ᾽ οἱ βάρβαροι πόρρω τοῦ κινδύνου γενόμενοι ἀλκῆς τε αὖθις ἐμέμνηντο καὶ προὔπεμπον ἀλλήλους ὑποστρέφειν τε καὶ κατὰ τῶν διωκτῶν χωρεῖν, καὶ μάλισθ᾽ ὅτι ἑώρων οὐ πλείους ἢ εἴκοσι ὄντας. ὑποστρέφοντες οὖν κυκλοῦν αὐτοὺς ἔσπευδον. οἱ δὲ προτροπάδην φεύγοντές τε καὶ ἀπιόντες, ἐπεὶ ἐγγὺς τῶν ἰδίων ἐγένοντο, ἐπῄεσαν αὖθις σφοδρᾷ τῇ ῥύμῃ, καὶ οἱ βάρβαροι ἔφευγον. αὖθις οὗτοι ὑπέστρεφον. καὶ οὕτω μέχρι πολλοῦ ἀλλή-* P 49 *λων ἀπεπειρῶντο. ἀλλ᾽ οἱ Τοῦρκοι πάντας ὀλίγους ὁρῶντες, σφᾶς δὲ πολλαπλασίους (ἦν γὰρ καὶ τὸ εἰς φάλαγγος τάξιν καθιστάμενον ἐνδέον ἱππέων πεντήκοντα), τούτους ἀφέντες κατ᾽ ἐκείνων ἐχώρουν, καὶ βαρβαρικὸν ἀλαλάξαντες ἐξήλαυνόν τε καὶ τοξεύμασιν ἔβαλλον. δείσαντες οὖν τὴν τάξιν διαλύειν εἶξάν τε καὶ πρὸς φυγὴν ἐξώρμων ἤδη, καὶ πάντως ἀπώλοντο ἂν εἰ μὴ ταχέως ἄμφω τὼ ἀδελφὼ ξὺν ὀλίγοις καταδραμόντες ἐβοήθουν*

5. *ἐντὸς*] Ita P. pro *ἐκτός*. 12. *ἀπιόντες*] V. *ἐπιόντες*. 15. *πάντας*] *πάνυ?* 16. *τὸ εἰς*] V. *εἰς τό*. 19. *διαλύειν*] P, *διέλυον*.

11. Haec dixit et probavit. omnibus singulisque pro se quoque ad partes sibi descriptas euntibus, alii tecto conscenso inde iaculabantur, alii portis patefactis ingenti vi contra hostes ferebantur, qui eo gemino subito admoto perculsi metu ferocia omissa in fugam versi sunt. unde audacia sumpta qui erant intus exierunt universi viamque inierunt in formam phalangis militariter instructi, nisi quod festinantius incedebant paulo, quam disciplinae ac periculi usus poscebat. ceterum in tutum subducti barbari fugam incusabant suam mutuoque se adhortati ut insecutores suos vicissim insequerentur feruntur in nostros rursus, et quod eos non plures viginti esse videbant, circumvenire atque omni ex parte claudere conabantur. illi concitato cursu fuga versus suorum phalangem inita simul eo pervenerant collecta rursus manu versisque animose frontibus in Turcos ibant, fugiebantque mox barbari, quoad suis et ipsi mixti rursum cedentes urgerent nostros. per has sequendi fugiendique vices cum multum esset spatii confectum Turci aestimato diligentius totius nostrorum agminis numero, cum se longe plures esse animadvertissent (nam turba illa quae phalangis exhibebat speciem quinquaginta equitum summam non explebat), omissis iis contra quos ne quidquam hactenus velitati erant, in phalangem ipsam magno impetu magnisque clamoribus ac densa sagittarum immissione feruntur. hic nostri servandi ordinis cura metu omissa, cedebant iam haud dubie in fugamque cum certa omnium pernicie vergebant, nisi celeriter ambo fratres cum paucis accurrentes oppor-

ὅλῃ χειρὶ καὶ τοὺς πρὸς φυγὴν τραπέντας ἀνεκαλοῦντο, στῆναι
B κελεύοντες εἰ μὴ βούλοιντο καταλειφθῆναι ὑπ' αὐτῶν ἀβοήθητοι.
12. Τότε τοίνυν ξυνέβη καὶ γενέσθαι τι θαυμάσιον. ἀνὴρ
γάρ τις μέγας καὶ ἰσχυρὸς τοῖς ἐν τοῖς βασιλείοις ἐκτομίαις ὁρώ-
μενος ἐθαυμάζετο. ἐπειδὰν γὰρ ὁρῷεν αὐτόν, ἐφώνει ἕτερος πρὸς
τὸν ἕτερον ὡς ἄρα τις ὑποσταίη πολεμίων ἀλκὴν τοιοῦδε ἀνδρός·
θέᾳ γὰρ μόνῃ καὶ βρυχήματι φεύξονται ἅπαντες. τοῦτον συνέβη
τότε παρεῖναι μετὰ τῶν εἰς τὴν φάλαγγος τάξιν καθισταμένων,
ὁπηνίκα κατ' ἐκείνων οἱ Τοῦρκοι ἐξώρμησαν. εἰς φυγὴν οὖν
C ἁπάντων ὁρμησάντων, ἐπεὶ οὗτος μέγας τε ἦν καὶ θώρακα περι-
βέβλητο, ἀγανακτεῖν ἐπενόει τὸν ἵππον καὶ μόνος τῶν ἄλλων ὄπι-
σθεν περιλέλειπτο. ὡς γοῦν αὖθις οἱ Τοῦρκοι ἐπῄεσαν καὶ οἱ
περὶ τὸν Ἰσαάκιον καὶ τὸν κλεινὸν Ἀλέξιον βοηθεῖν ἐπεχείρουν,
αὐτὸς ἐξ ὀνόματος τὸν κλεινὸν ἐκάλει Ἀλέξιον καὶ βοηθεῖν παρε-
κάλει. ὁ δ' εὐθέως ὑποστρέψας καὶ τοὺς ἐπιτυχόντας διώξας
V 34 τοῦ κινδύνου τοῦτον ἐρρύσατο, διδάξας αὐτόν τε καὶ τοὺς τοῦτον
θαυμάζοντας ὡς ἄρα οὐ μέγεθος σώματος οὐδὲ ῥώμη δυνάμεως
D οὐδὲ φωνῆς τραχύτης καὶ βάρος τὸν ἄριστον στρατιώτην δεικνύου-
σιν, ἀλλὰ ψυχῆς γενναιότης καὶ ἡ πρὸς τὰ δεινὰ καρτερία. ἀλλ'
ὁ μὲν τοῦτον διέσωσεν, Ἀλανὸς δέ τις τῶν ἐπὶ μισθῷ συνόντων

4. τοῖς] Fort. delendum. 6. ἄρα τις] ἆρ' οὔτις? an ἀρά τις — ἀνδρός. 11. ἐπενόει] Bekker ἐποίει.

tunissimo praesto auxilio fuissent iamque inclinatos in fugam revocassent ac stare in loco nisi condonari furori hostium indefensi vellent iussissent.

12. Porro tunc contigit mirabile quippiam. vir enim erat staturae proceritate congruente crassitie membrorum, robore insuper artuum ac lacertorum inter exsectos palatinos spectari ac suspici solitus adeo quidem, ut visu primo intuentes percelleret subigeretque admiratione victos dicere ad proximum quemque: quis enim vero tam animo constans tam viribus invictus hostis huius contra ruentis sustinere vim unquam poterit! solo enim, ut videtur conterriti eius aspectu, vocis etiamsi forte accedente tonitru plane attoniti consternabuntur in fugam omnes. hunc contigit adesse tunc in illo numero phalangis quamdam speciem referentium, cum in eos irruerunt Turci. versis ergo cunctis in fugam, hic praeter molem corporis lorica gravis equum adeo fatigaverat, ut is aliquo intervallo post omnes alios pone relictus sequeretur. id Turci conspicati circumvenire seiunctum a sociis contendebant, Isaacio Alexioque auxiliari contra conantibus. nec ipse periclitans sibi defuit, quin inclytum Alexium confesso palam metu invocans sui ut misereretur oraret. qui statim conversus hostibus qui se primi dederunt obvios fugere illico compulsis, hominem periculo exemit documento ad eum eiusque admiratores memorabili, nec magnitudine corporis, nec asperitate, ac gravitate vocis contineri virtutem militis strenui sed generositate animi et forti tolerantia rerum acerbarum. hic quidem sic ab Alexio servatus est. Alanus

τῷ γενναίῳ Ἰσαακίῳ, Ἀραβάτης τὸ ὄνομα, τὴν ὁρμὴν ὅτι πλείστην θεασάμενος τῶν βαρβάρων καὶ ὡς μετὰ σφοδρᾶς τῆς ῥύμης ἐπῄεσαν καὶ τοὺς ἀδελφοὺς ὅτι μόνοι διακινδυνεύουσι σὺν ὀλίγοις, δείσας μή τι τῶν ἀνηκέστων τούτων συμβαίη τινί, τὸν ἑταῖρον ᾧ Χασκάρης ὄνομα ὑπὸ τῷ Κομνηνῷ Ἀλεξίῳ ταττόμενον παρεκάλει ξὺν αὐτῷ γενέσθαι, καὶ ἄμφω τῶν ἵππων ἀποβῆναι καὶ τοξεύειν P 50 ἐπὶ τοὺς πολεμίους. αἰσχρὸν γὰρ ἔφησεν εἰ Ἀλανῶν ἐνταῦθα παρόντων παρακινδυνεύουσιν ἄνδρες εὐγενεῖς τε καὶ ἄριστοι· ὄνειδος γὰρ ἂν οὕτω ἅπαν ἕξει τὸ γένος τῶν Ἀλανῶν. οὕτω μὲν οὖν ἐκεῖνος ἔφη, ὁ δὲ τὴν βουλὴν ἀπεπέμπετο ὡς οὐ συνετὴν μᾶλλον ἢ τολμηράν· αὐτούς τε γὰρ κινδυνεῦσαι οὕτω δράσαντας κἀκείνους μηδέν τι ἐκ τούτου προσεφευρεῖν τοῦ ὀνήσασθαι, ἅτε ὁμαλοῦ ὄντος τοῦ τόπου καὶ πεδινοῦ. "ἀλλ' εἴ τί μοι πείθῃ," φησίν, "ἐπεὶ ἐγγύς που τῶν στενωπῶν ἤδη γεγόναμεν, ἐπειδὰν ἐκεῖσε φθάσωμεν, ἀπο- B βησώμεθα τῶν ἵππων καὶ γενναίως ἀγωνίσασθαι σπεύσωμεν, καὶ οὕτω τό τε γένος τιμήσομεν καὶ τοὺς δεσπότας ὀνήσομεν."

13. Ταῦτα ὁ Χασκάρης ἔλεγεν. ὁ δὲ Ἀραβάτης βαρβαρικῶς εἰς αὐτὸν ἐξυβρίσας εὐθὺς τοῦ ἵππου ἀπέβη, καὶ τῇ μάστιγι τοῦτον πλήξας ὥστε ἕπεσθαι τοῖς ἀπιοῦσιν, αὐτὸς ἤμυνεν ἐν τῇ πεδιάδι. οἱ δὲ Τοῦρκοι τῷ παραδόξῳ τῆς θέας καταπλαγέντες ἠπόρουν ὅ τι καὶ εἴη τὸ δρώμενον. βραχὺ γοῦν βέλος εἶχεν ἐν τῇ χειρί. τὸν γοῦν πρώτως ἐπιόντα βάλλει κατὰ τῶν στέρνων

autem quidam ex familiaribus Isaacii, Arabates dictus, vehementem et pertinacem impetum barbarorum cernens, cui vix maiori numero tolerabili duo soli cum oppido paucis Comneni fratres obsisterent, veritus ne quis casus acerbior alterutri eorum incideret, socium, cui Chascares nomen fuit, sub Comneno Alexio merentem rogavit, adesse ut sibi vellet, omissisque ambo equis in hostes iacularentur. turpe siquidem, aiebat, fuerit eius nobilitatis et fortitudinis viros Alanis hic praesentibus periclitari. neque in nos solum verum et in universam Alanorum gentem ac famam id dedecus redundabit. sic Arabate locuto, refutavit consilium Chascares ut et audax nimium et parum prudens. nam et se ipsos praesentissimum adituros discrimen si hoc facerent, et tamen iis quos servatum irent nihil profuturos. quippe cum in aequa patentique planitie, ut tum erant, positis peditibus adversus equites iaculari haud esset consultum. sed si quid mihi credis, ait, quando non longe ab illis quas cernis viae angustiis distamus, eo simul pervenerimus, exscendemus ex equis fortiterque pugnabimus, ac sic, et honori gentis et saluti dominorum simul consulemus.

13. Talia Chascares. at Arabates barbarico cum convicio reiiciens raptim equo desiliit, et ubi flagelli verbere contemptim admonuisset Chascarem, iret si vellet cum fugientibus, ipse pugnare ex plano iaculando coepit. perculit inopinata species Turcos, ut aliquando haererent ignari quid res esset. stante Arabate ac breve telum manu tenente, quo audacter usus in

C τῷ ὀϊστῷ καὶ εὐθὺς τοῦτον καταβάλλει τοῦ ἵππου. ἀφεὶς δέ τις βέλος βάλλει τούτου τὴν δεξιάν· ὁ δ' ἐκεῖθεν τὸ βέλος ἑλκύσας αὐτῷ τούτῳ τὸν βάρβαρον, καθάπερ ὁ Βρασίδας πάλαι, ἠμύνατο. οἱ γοῦν βάρβαροι δείσαντες αὐτοῦ τὸ γενναῖον βραχύ τι τούτου διέστησαν. ὁ δ' ἀδείας λαβόμενος ἐπί τι δωμάτιον ἀνέβαινε κἀκεῖθεν αὐτοὺς τοῖς τοξεύμασιν ἔβαλλε, καὶ τοὺς λοιποὺς εἶχον ἤδη τὰ στενωπὰ τῶν χωρίων. καταλιπόντες οὖν ἐκεῖνον οἱ βάρβαροι μετὰ σφοδροτάτης ῥύμης ἐκείνοις ἐπῄεσαν. ὁ δὲ Κομνηνὸς Ἀλέξιος ὑποστρέψας ξὺν ὀλίγοις τῶν ἀμφ' αὐτὸν πρῶτος ἕνα τούτων κατέβαλε. καὶ ὁ Χασχάρης, οὗ πρῶτον ὁ λόγος ἐμνή-
D σθη, κατὰ τῶν μεταφρένων ἔτρωσεν ἕτερον. φόβῳ οὖν μεγάλῳ συσχεθέντες, ἀφέντες αὐτοὺς ἀνεχώρουν. οἱ δὲ ὀλίγον βαδίσαντες, ἀποβάντες τῶν ἵππων ἐν ὀχυρῷ χωρίῳ ἐσκήνουν. νυκτὸς δ' ἐπιγενομένης καὶ ὁ πρὶν ἀποβὰς τοῦ ἵππου Ἀλανὸς πρὸς αὐτοὺς κατελάμβανε. καὶ πάντες ὁμοῦ διεσώθησαν, μήθ' ἁλόντος μήτε θανόντος τινός. οἱ δὲ σωθέντες ἅπαντες σωτῆρα καὶ κηδεμόνα τὸν καλὸν ἐπευφήμουν Ἀλέξιον. ἐκ τῆσδε οὖν τεταρταῖοι τὴν βα-
P 51 σιλίδα καταλαβόντες τὰ συμβάντα πάντα τοῖς ἐν τῇ πόλει ἀπήγγειλαν καὶ ὡς πάντων σωτὴρ γένοιτο ὁ χρυσοῦς νεανίας Ἀλέξιος. καὶ
V 35 ἐπειδὰν περιῄει, συνέθεον ἅπαντες σκιρτῶντες ὥσπερ ἐπὶ τοῖς τούτου πλεονεκτήμασι.

20. περιῄει] περιίοι?

primum equitem irruentem contra eum pectore transfixum ex equo deiicit. hic aliquis Alani dexteram iaculo traiicit. at ille extractum e vulnere telum in auctorem reiicit et barbarum iaculatorem sua ipsius cuspide, ut Brasidas olim, generose ultus est. his experimentis perspecta viri fortitudine paulum ab eo recesserunt. at is opportunitate oblata secure usus in domunculam forte proximam conscendit et inde loco superior certiori iaculatione Turcos infestabat. alii iam interim in angustias evaserant, quare Turci hoc omisso, impetu vehementi in eos irruerunt. sed Comnenus Alexius obverso in eos vultu cum familiarium paucis primus ex iis unum deiecit, et Chascares, cuius modo meminimus, fugientis alterius terga confixit. hinc magno concepto metu dimissis ipsis Turci recedebant. nostri vero aliquantum progressi desilientes ex equis in loco natura munito tabernaculum figunt. eoque iam nocte ingruente qui exscenderat equo Alanus sese salvus recepit. sicque omnes pariter servati sunt, nullo neque capto neque occiso, salutis universi ac singuli propriae auctorem ac provisorem conclamantes generosum Alexium. inde quarta die in urbem regiam pervenientes quae contigerant per civitatem vulgarunt gratulationem insperatae liberationis suae cum summis aurei iuvenis Alexii laudibus miscentes, cui eam in solidum tribuebant. unde factum ut, cum ipse mox se videndum praebuit, concurrerent passim omnes exsultatione mira, nec expleri tuendo et applaudendo possent tanta erant admiratione capti heroïcae indolis eximiarumque adolescentis optimi dotum.

14. Ταῦτα μὲν τοῦτον ἐπράχθη τὸν τρόπον· ὁ δὲ Οὐρσέλιος ἀδείας λαβόμενος περιῄει τὰς μεταξὺ Γαλατίας καὶ Λυκαονίας κώμας καὶ πόλεις, καὶ τὰς μὲν ἐπόρθει, τὰς δὲ πειθοῖ ἑαυτῷ παρίστα, ἐκ δὲ τῶν χρήματα εἰσεπράττετο. καὶ πολὺς ἦν ἤδη καὶ τὴν ὁρμὴν ἀκατάσχετος. ἄρτι δὲ τοῦ χειμῶνος λήξαντος καὶ ὁ καῖσαρ ἐκ τῆς Ἀσίας εἰσῄει πρὸς τὰ βασίλεια, καὶ τῷ βασιλεῖ συνεδρεύων ὡμίλει τε πρεπόντως καὶ τὰ κοινὰ συνδιῴκει. καὶ B ἐπειδὰν δικάσειε, τὰς ψήφους ἐκεῖνος ἀπέφηνε τῆς βασιλέως ἀπειρίας τὸ ἐνδέον ἀναπληρῶν. ἀλλ᾽ οὐκ ἤρεσκε τοῦτο τῷ λογοθέτῃ. ταύτῃ τοι καὶ πάντα τρόπον ἐπενοεῖτο καὶ πάντα κάλων ἐκίνει ὅπως τοῦτον θᾶττον ἀποσκευάσηται. ἐπεὶ δὲ οὐκ ἦν εὐχερὲς αὐτῷ τὸ βούλημα, μετὰ τῶν φίλων συνδιεσκέπτετο, τὸν καιρὸν δ᾽ ὁρῶν ἔτι τριβόμενον διεπρίετο· ἐβούλετο γὰρ τοῦ ἐξ ἐκείνου δέους ἀπαλλαγῆναι καὶ οὕτω τῆς βασιλέως ἀβελτηρίας κατατρυφᾶν ἀδεῶς. ἀπορήσας δὲ πάντοθεν βουλὴν βουλεύεται οὐ συνετὴν μᾶλλον ἢ βαθεῖαν καὶ πονηράν. ὑπεισέρχεται αὖθις τὴν βασιλέως ἁπλότητα, καὶ πείθει τοῦτον τὸν θεῖον ἀποσκευάσασθαι καίσαρα, καὶ τὸν τρόπον αὐτὸν ὑποτίθησι πεῖσαι τοῦτον στρατεῦσαι κατὰ τοῦ Οὐρσελίου. τί τὸ ἐντεῦθεν; πείθεται τοῖς τούτου λόγοις ὁ βασιλεύς, μετακαλεῖται τὸν θεῖον, τὸ ἀπόρρητον καταγγέλλει βραχείᾳ καὶ διακεκομμένῃ φωνῇ· οὕτω γὰρ ὁμιλεῖν εἰώθει βραδύγλωσσος ὤν. ὁ δὲ τὸν τρόπον μὴ ἀγνοήσας, εἰδὼς

14. **Haec quidem in hunc modum acta sunt. at Urselius fiducia sumpta infestabat, quae inter Galatiam et Lycaoniam sitae urbes ac pagos, has quidem vi vastans, alias suasionibus in deditionem trahens, nonnullas certa pecunia pacisci secum metu cladis ac rapinarum cogens. crescebatque successibus, ut iam tolerari ac teneri vis eius amplius nequiret. porro sub finem hiemis Caesar ex Asia in aulam imperatoriam rediit et imperatori assidens utiliter aderat optima quaeque suadens ad rectam rei publicae gubernationem: ac ubi causas cognosceret, sententiam ipse suggerebat defectum principis iuris ignari supplens. verum hoc logothetae non placebat. quare omnem funem omnem lapidem movebat ad eum quacumque ratione quam primum inde amovendum. quoniam autem solus ipse per se modum conficiendae rei non expediebat, cum amicis consultabat quid esset opus facto? quas inter moras effluere tempus et elabi occasionem videns ringebatur. nihil enim vehementius optabat, quam solutus metu molesti arbitri simplicitate imperatoris ad suum quaestum secure abuti. ad extremum cum alia frustra omnia tentasset, mentem appellit ad consilium non astutum magis quam profundum et improbum. insinuat se ad incautum et ductu facilem principem eique persuadet, ut patruum Caesarem ab suo latere amoliatur modumque id plausibiliter faciendi subiicit, si ei persuadeat, ut expeditionem adversus Urselium, rem videlicet ipsi gloriosam, suscipiat. quid postea? persuasus logothetae verbis imperator patruum vocat eique arcanum aperit brevi et incisa voce, sic enim loqui consueverat homo lingua tardus. ille autem machinationem**

δὲ μᾶλλον τοῦ τε ὑποθεμένου τὸ δύστροπον καὶ τοῦ πεισθέντος τὸ εὔκολον, πρῶτα μὲν υἱὸν ἐκπέμπειν Ἀνδρόνικον κατὰ τοῦ ἀποστάτου συνεβούλευεν. ὡς δ' ἐνιστάμενον εἶδε τὸν βασιλέα, καὶ D τοῦτο τέλος εἰπόντα ὡς ἤτοι ἐμὲ χρὴ κατ' ἐκείνου στρατεύειν ἢ σέ, ἐπείθετό τε καὶ τὰ πρὸς τὴν ἐκστρατείαν αὐτοῦ ηὐτρεπίζετο. ἐπεὶ δ' ἀποχρώντως εἶχε τούτῳ τὰ τῆς παρασκευῆς, διεπεραιοῦτο πρὸς τὴν Ἀσίαν καὶ τὰς δυνάμεις συνάγων ἐξώρμα πρὸς πολέμιον. διαβὰς δὲ τὰ Βιθυνῶν ὄρη, ἐπειδὴ ἐμάνθανε τοῦτον περὶ τὰς πηγὰς τοῦ Σαγγαρίου στρατοπεδεύειν, τὸ Δορύλαιον διελθὼν ἠπείγετο πρὸς τὰ πρόσω. μαθὼν δὲ καὶ ὁ βάρβαρος τὴν τούτου ἔφοδον, ἐκίνει καὶ αὐτὸς τὰς δυνάμεις αὐτοῦ. ὑπαντιάζουσιν οὖν ἄμφω P 52 περὶ τὴν Ζόμπου καλουμένην γέφυραν, καὶ στρατοπεδευσάμενοι τὰ πρὸς τὸν πόλεμον ἐξηρτύοντο. ἅμα δὲ τῇ ἕῳ τὰς δυνάμεις ἐξῆγον καὶ παρετάττοντο τόνδε τὸν τρόπον. ὁ μὲν καῖσαρ τὸ μέσον εἶχε τῆς Ῥωμαϊκῆς τάξεως ἔχων μεθ' ἑαυτοῦ τοὺς ἀσπιδηφόρους καὶ πελεκηφόρους βαρβάρους, οἷς ἡ τῶν βασιλείων ἄνωθεν πεπίστευτο φυλακή· τὸ δεξιὸν δὲ κέρας οἱ μισθοφόροι κατεῖχον Κελτοί, ὧν προΐστατό τις Κελτὸς ᾧ ὄνομα Πάπας· τοῦ εὐωνύμου δὲ κέρατος ὁ δομέστικος τῶν σχολῶν κατεῖχεν Ἀνδρόνικος· οὐραγεῖν δ' ὁ Βοτανειάτης τέτακτο Νικηφόρος, ὁ βασιλεὺς B Ῥωμαίων ἐς ὕστερον, ἔχων μεθ' ἑαυτοῦ τὴν τῶν Φρυγῶν καὶ τῶν Λυκαόνων φάλαγγα, ἔτι δὲ καὶ τὴν τῶν Ἀσιανῶν. ὁ δὲ Οὐρσέλιος κατιδὼν οὕτω ταξαμένην τὴν Ῥωμαϊκὴν φάλαγγα,

7. συνάγων] συναγαγών? 19. κατεῖχεν] κατῆρχεν?

intelligens et aemuli machinatoris malas artes eiusque qui persuasus ab illo erat incautam facilitatem, instituit primo, ut Andronicum potius filium in rebellem mitteret, ut autem fixum in proposito imperatorem vidit audivitque ad extremum dicentem: aut me isti bello praeesse oportet aut te, assentiri est coactus et in apparatum demandatae expeditionis incumbere. ad quam ut satis instructus visus est, traiicit in Asiam et copias contractas in hostem ducit. superatis autem Bithynis montibus, ubi cognovit eum ad Sangarii fontes castra metatum, Dorylaeum transgressus ulterius properabat. cuius infesto in se adventu barbarus cognito, movit et ipse contra copias. occurrunt igitur sibi ambo ad pontem Zompi dictum. ubi munitis pro se quisque castris ad praelium accingebantur. postridie primo mane copias educunt ordinantque aciem hunc maxime in modum. Caesar quidem mediam obtinuit aciem Romanam habens secum cetratos et securigeros barbaros, quibus palatii iam olim credita custodia est. dextrum cornu stipendiariis Gallis commissum erat, quibus praeerat Gallus quidam nomine Papa. sinistro cornui domesticus scholarum praesidebat Andronicus. postremi agminis praefectura Nicephoro Botaniatae ei qui postea imperavit demandata est habenti secum Phrygum et Lycaonum phalangem et praeterea Asianorum. at Urselius videns sic instructam aciem Romanam bifariam et ipse divisit exercitum, et phalan-

διχῇ καὶ αὐτὸς τὰς δυνάμεις διεῖλε, καὶ τὸ μὲν τῆς φάλαγγος V 36
αὐτὸς ἀναλαβὼν εἵπετο βάδην, τὸ δ' εὐθὺ ἀπιέναι τῆς πρὸς
τοὺς Κελτοὺς μισθοφόρους παρήγγειλεν. ἐπεὶ δ' οὐ πόρρω ἀλ-
λήλων ἦσαν, ἤδη οἵ τε μισθοφόροι καὶ οἱ πολέμιοι ὁμιλεῖν πρὸς
ἀλλήλους ἤρχοντο· καὶ εὐθὺς προσκεχώρηκεν ἅπαν τὸ περὶ τὸν
Πάπαν μισθοφόρον τοῖς πολεμίοις, καὶ ξυνασπίσαντες ἄμφω ἐπει-
ρῶντο κυκλοῦν τοὺς περὶ τὸν καίσαρα. καὶ ὁ Οὐρσέλιος δὲ ἐπί- C
λεκτον ἔχων τῆς φάλαγγος * * * * ἐπιστάντων τῶν βαρβάρων τὴν
ἔφοδον γέγονε μάχη καρτερά, καὶ πίπτουσι συχνοὶ ἑκατέρωθεν.
τῶν δὲ δοράτων ἀμφοτέρων θραυσθέντων, τὰ ξίφη γυμνώσαντες
ἀγχεμάχως ἀλλήλους ἐτίτρωσκον.

15. Ἀλλ' ἐν ὅσῳ ταῦτα ἐπράττετο, ὁ τὴν οὐραγίαν πε-
πιστευμένος τοὺς μισθοφόρους θεώμενος τοῖς πολεμίοις προσχω-
ρήσαντας καὶ σπεύδοντας τὴν φάλαγγα κυκλοῦν ἧς κατῆρχεν ὁ
καῖσαρ, δέον βοηθεῖν, ὁ δὲ τὰς δυνάμεις ἀναλαβὼν ὑπεχώρει,
καίτοι ἀνὴρ ὢν ἀνδρεῖος, ὡς ἐν πολλοῖς δέδειχεν. οἱ βάρβαροι D
δὲ ἀδείας δραξάμενοι ἐκύκλουν ἀδεῶς τοὺς περὶ τὸν καίσαρα. τὸ
δὲ περὶ αὐτὸν βάρβαρον μέχρι μέν τινος ἔμεινε βάλλον τε καὶ
βαλλόμενον· ἐπεὶ δ' εἶδε τῶν πολεμίων τοὺς μὲν κατὰ στόμα
ἀπαντῶντας τοὺς δὲ κατὰ νώτου γενομένους, ἀπορίᾳ ἤδη συνεί-
χετο. ἀλλ' ὁ καῖσαρ ἀτρέμας ἑστὼς ἐπερρώννυε τὰ φρονήματα

8. φάλαγγος] Indicavi lacunam. *ibid.* ἐπιστάντων] ὑποστάντων? 10. ἀμφοτέρων] P. ἀμφοτέρωθεν. 17. ἀδείας] Ita P. pro ἄνδρας. 18. τε] V. δέ.

gem quidem ipse sibi assumens sequebatur moderato passu. reliquas copias statim admoveri Gallis stipendiariis iussit, ad quos ut est propius ventum, conferre sermones inter se coeperunt pactaque facile proditione quidquid stipendiarii militis sub duce Papa fuit statim ad Urselii partes transiit. mixtique communi iam consilio conabantur circumvenire et undique claudere reliquas omnes Caesaris copias. Urselius vero ipse secum ducens quod floris et roboris in phalange ipsius erat toto impetu in mediam Caesaris aciem coepit invehi. barbaris porro Caesarianis hostilem impetum fortiter excipientibus committitur atrox pugna, multis utrimque cadentibus. iamque hastis utrimque fractis strictos undique versabant enses seque invicem comminus mutuis vulneribus caedebant.

15. Dum haec maxime fierent, is cui postremum agmen ducendum obvenerat, stipendiarios videns ad hostes transgressos communi cum illis studio id agere, ut Caesarianam aciem undique ambirent, cum toto impetu succurrere deberet, e contrario subductis secum copiis recessit. quod mirum sane fuit in viro alioqui forti, qualem se multis alias experimentis probaverat. eo iam securius barbari aciei Caesaris circumfundebantur. stetit illa nihilo minus aliquamdiu inferendis excipiendisque mutuo plagis. ubi autem vidit hostes partim a fronte instantes, partim a tergo caedentes, fluctuabat iam haud dubie despondebatque animum. ceterum Caesar invicto pectore stans

τούτων. ἕως μὲν οὖν ἰσχὺς αὐτοῖς ὅλως ἔμενον· ἐπεὶ δὲ τὸ μὲν καταπεπόνητο καὶ οὐκέθ' οἷοί τε ἦσαν τοὺς βάλλοντας ἀμύνασθαι, αὐτῶν δὲ τὸ πλεῖστον διεφθάρη καὶ ὁ καῖσαρ μηδ' ὅλως πρὸς φυγὴν ἐξορμήσας ἑάλω. ἤδη δὲ καὶ οἱ περὶ τὸν Ἀνδρόνι- P 53 κον ὑπὸ τῶν πολεμίων πλεονεκτούμενοι ἐτράπησαν πρὸς τὸ φεύγειν. ὁ δὲ καίτοι κατάστικτος τοῖς τραύμασιν ὢν (ἐβέβλητο γὰρ καιρίαις πληγαῖς) περιῄει ζητῶν τὸν πατέρα. μαθὼν δὲ τοῦτον ἁλῶναι, ἐξὸν σώζεσθαι ὡς ἔξω τῶν βελῶν καὶ τοῦ πολέμου γενόμενον ἤδη, ὁ δὲ τῆς ἰδίας σωτηρίας τοῦ πατρὸς ὑπερκινδυνεῦσαι προελόμενος ὑπέστρεψε καὶ εἰς μέσον ἑαυτὸν τῶν πολεμίων ὠθεῖ, καὶ πολλοὺς τούτων τῷ ξίφει καταβαλών, ἐπειδὴ πλησίον τοῦ καίσαρος γέγονεν, οὐκέτι καθεκτὸς ἦν, οὐδὲ ἐῴκει ἀνδρί γε θνητῷ, ἀλλ' ἀθανάτῳ τε καὶ ἀσάρκῳ· βαλλόμενος γὰρ τοῖς δόρασιν B ἄτρεστος ἦν, καὶ τὰ μὲν τούτων συγκόπτων τὰ δὲ διωθούμενος ἐπειρᾶτο γενέσθαι ἔνθα οἱ ὁ πατὴρ ἁλώσιμος ἦν. οἱ δὲ πολέμιοι τὴν ἀνυπόστατον ὁρῶντες ὁρμὴν συνέθεον ἅπαντες, καὶ οἱ μὲν τοῖς ξυστοῖς οἱ δὲ τοῖς δόρασιν ἵππον τε καὶ αὐτὸν ἔβαλλον, ἕως ὁ ἵππος βαρυνθεὶς ὑπὸ τῶν τραυμάτων εἰς γῆν σὺν τῷ ἐπιβάτῃ κατέπιπτε. τότε οὖν οἱ βάρβαροι περιστάντες αὐτὸν τὴν περικεφαλαίαν περιελεῖν ἐπειρῶντο καὶ ξίφει τὴν τοῦ γενναίου ἀνδρὸς κεφαλὴν ἐκτεμεῖν. ἀλλ' ὁ καῖσαρ διασχὼν τοὺς κατέχοντας ἔπεισί τε δρομαῖος, καὶ προσπίπτει τῷ γενναίῳ παιδί, ὀλιγοδρανέων τε

1. ὅλως] ὅμως? 3. αὐτῶν δὲ] αὐτῶν τε?

confirmabat labantes et robur perculsis addebat. quamdiu igitur vires suffecerunt, strenue res gesta est. ubi autem consumpto iam robore resistendo acriter instantibus pares non erant, fracti prostratique plerique cesserunt. ne tum quidem Caesar inducere animum ad fugam potuit. pugnans igitur est captus. pari modo qui cum Andronico erant circumventi ab hostibus versi sunt in fugam. ipse plenus cruoris et vulnerum, quibus erat gravibus confossus, circuibat quaerens patrem: quem ubi captum cognovit, cum facile posset evadere, quippe qui extra teli iactum et in securo tunc esset, patris liberationem periculo proprio conari maluit quam vitae propriae consulere. incitavit igitur equum qua densissimum videbat hostium globum factaque sibi ferro multis deiectis via, ut ad Caesarem propius accessit, sustineri amplius non poterat, nec hominis erat mortalis similis sed immortalis et incorporei cuiusdam: petitus enim hastis undique intrepidus perstabat, has frangens illas repellens semper eo sese trudens ubi captivus erat pater. mirati iuvenis impetus humana vi maiores undique omnes in unum barbari concurrunt: et hi quidem iaculis, hi hastis, qua ipsum qua eius equum assidue contundunt, donec debilitatus plagis equus humi cum sessore prostratus est. tunc barbari iacentem circumstantes galeam ei deripere certabant, quo caput nudatum strenui viri gladio truncarent. sed ad hanc speciem Caesar alacri conatu divulsus a detinentibus cursu incitato ruit et supra generosum filium cadit deficiens non dolore solum paterno, sed vi ac multitudine gravium vulnerum.

ἤδη ὑπὸ τοῦ τραυμάτων πλήθους καὶ γνωρίζει τούτοις ὅστις ἐστὶ καὶ οὕτω τὸν παῖδα τοῦ παρὰ πόδας κινδύνου ῥύεται.

16. Τοιοῦτον ἔσχε τὸ τέλος ἡ μεταξὺ Ῥωμαίων τε καὶ C Κελτῶν τῶν ἀποστατῶν συναφθεῖσα περὶ τὴν τοῦ Σαγγαρίου γέφυραν μάχη. ὁ δὲ βάρβαρος ἐπαρθεὶς τῇ νίκῃ περιῄει τὰς παρασαγγαρίους πόλεις καὶ πάσας ὑφ' ἑαυτὸν ἐποιεῖτο. γενόμενος δὲ περὶ Βιθυνίαν, ἵναπερ τὰ βασίλεια τοῦ καίσαρος ἦν καὶ φρούριον V 37 ἱκανὸν ἐρυμνὸν ᾠκοδόμητο ἄνωθεν περὶ τοῦ Σόφωνος πρόποδας, ἐν τοῖς ἐκεῖσε πεδίοις ηὐλίζετο, σκεπτόμενος ὅπως ἂν ἑαυτῷ τὰ τῆς βασιλείας Ῥωμαίων μνηστεύσηται πράγματα· τόν τε γὰρ καίσαρα διὰ τιμῆς εἶχε, καὶ τὸν τούτου υἱὸν τὸν γενναῖον Ἀνδρόνικον ὁρῶν κακῶς ἔχοντα ὑπὸ τῶν τραυμάτων πάσης ἐπιμελείας ἠξίου. ὁ γοῦν καῖσαρ οὕτω πάσχοντα θεώμενος τὸν υἱὸν ἠνιᾶτο D καὶ ἤσχαλλε καὶ τὸν Οὐρσέλιον ᾔτησε τοῦτον πρὸς τὴν βασιλίδα ἐξαποστεῖλαι τῶν πόλεων. ὁ δὲ ἐπείθετό τε καὶ ὁμήρους αἰτήσας τοὺς πρεσβυτέρους τῶν τούτου υἱέων καὶ δὴ λαβὼν ἐξέπεμψε τοῦτον οἴκαδε. ἀλλ' ὁ μὲν θεραπείας ἠξιοῦτο τῆς προσηκούσης, ὁ δὲ τοὺς παῖδας τούτου καθείρξας ἐτήρει παρὰ τὸ φρούριον. ἐνταῦθα δέδραστό τι παρὰ τῶν παιδαγωγῶν τῶν νέων ἄξιον μνήμης. ἐφοίτα πολλάκις πρὸς αὐτοὺς τῶν ἐγχωρίων τις ἀγροτῶν. οἱ δ' ἐκεῖνον οἰκειωσάμενοι ἠρώτων εἰ τὰς πρὸς Νικομήδειαν φερούσας ὁδοὺς αὐτὸς ἐπίσταται, καὶ μαθόντες ὡς εἰδοίη ταύτας

8. ἱκανὸν] ἱκανῶς? ibid. τοῦ] τούς? an τοὺς τοῦ?
14. ἤσχαλλε] V. ἤσχαλε.

quare spem in vi nullam habens indicat barbaris quisnam is esset et sic eum a praesenti morte liberat.

16. Hunc habuit exitum pugna ad Sangarii pontem pugnata. at barbarus elatus victoria circumivit vicinas Sangario amni civitates sibique subiecit universas. cum pervenisset autem circa Bithyniam ubi praetoria Caesaris erant et arx satis munita exstructa in declivi supra radices Sophonis montis, in subiectis campis stativa habebat, deliberans qua ratione Romanum sibi subiiceret imperium. porro Caesarem in honore habuit et filium eius generosum Andronicum videns graviter laborantem ex vulneribus curari quam diligentissime iussit. verum Caesar sic patientem intuens filium pungebatur acri dolore et molestissime ferebat. itaque Urselium rogavit, ut eum Constantinopolim portari curandum sineret. assensus ille ea lege est, si maiores natu filiorum eius pro eo obsides darentur: quibus datis remissus Andronicus domum ibi convenienti curatione recreatus est, interim dum pueri captivi vice eius in arce custodiebantur, ubi ab eorum paedagogis tentatum aliquid est non indignum relatu. ventitabat saepius ad ipsos indigenarum agrestium quidam, quem illi delinitum interrogabant calleretne viam, qua inde Nicomediam perveniretur. cum vero cognovissent ita istum eius itineris peritum, ut vel noctu et per devia permeare montes interiectos nosset, multo

P 54 ἀκριβῶς ὡς καὶ νύκτωρ καὶ ἔξω τρίβου μεταξὺ διελθεῖν ὄρη δύνασθαι καὶ φοιτῆσαι πρὸς Νικομήδειαν, βουλὴν βουλεύονται συνετὴν ἅμα καὶ τολμηρὰν ἄμφω τοὺς παῖδας λαθραίως τῆς πύλης ἐξαγαγεῖν τοῦ ἐρύματος, ὁπηνίκα οἱ φύλακες νυκτὸς καθυπνώττουσι, καὶ δρασμῷ τὴν τῶν παίδων πραγματεύσασθαι σωτηρίαν. ὁδηγὸν οὖν ἀξιοῦσι λαβεῖν τὸν ἀγρότην τῆς ὁδοῦ καὶ πείθουσι χρημάτων ὑποσχέσεσι. νύκτα οὖν παρατηρήσαντες ἀφεγγῆ καὶ ἀσέληνον καὶ τὴν κλεῖδα τῆς πύλης ὑποκλέψαντες τὸν μὲν ἀγρότην ἔξω εἴασαν τοῦ ἐρύματος, παραγγείλαντες μὴ πόρρω τῆς πύ-
B λης καταίρειν, αὐτοὶ δὲ ἔνδον ὄντες παρετήρουν τοὺς φύλακας. ἐπεὶ δὲ ἤδη ἀφύπνωττον ἅπαντες, ὁ τοῦ πρεσβυτέρου τῶν παίδων παιδαγωγὸς τοῦ χαριεστάτου Μιχαὴλ (ὄνομα τῷ παιδαγωγῷ Λεοντάκιος ἦν), ἀνὴρ ἐκτομίας καὶ νουνεχέστατος, ἀφυπνίζει τε τὸν παῖδα καὶ τὸ δρᾶμα ἀπήγγελλε, τὴν πύλην πρότερον ἀνοίξας. ἐξῆγεν οὖν εὐθὺς ἐκεῖνον καὶ παρηγγύα θατέρῳ τῶν παιδαγωγῶν ἐπισπεύδειν τὴν τοῦ ἑτέρου ἀφύπνισίν τε καὶ ἔξοδον. ὁ δὲ ἔσπευσε μέν, ἐδυστύχει δὲ ὅμως· ἐν ὅσῳ γὰρ κατῄει ψόφος τις περὶ τὴν κλίμακα γέγονε, καὶ οἱ φύλακες τοῦ ψόφου αἰσθόμενοι ἀνεπήδων
C καὶ ὅστις ἥει ἀνηρεύνων. ὁ δὲ προλαβὼν ἵστησι τὸν παῖδα ὡς οὖρον ἐκχέοντα. ἀλλ' ὅμως ἐκεῖνοι περιεργότερον ἐζήτουν καὶ τὰ περὶ τοῦ Μιχαὴλ ἐπυνθάνοντο. ἀπογνοὺς οὖν ὁ ἐντὸς διάγων παιδαγωγὸς καὶ δείσας μὴ ἁλώῃ ὁ διαπεφευγὼς ἤδη γεγωνοτέρᾳ ἐκέχρητο ἐν ταῖς ἀποκρίσεσι τῇ φωνῇ. αἰσθόμενοι δὲ τῆς ταρα-

usu frequentis ultro citroque commeationis omnes anfractus, omnia compendia edoctus, consilium ineunt solers et audax puerorum e castro educendorum, per noctem sopitis custodibus, et fuga tali salutis principum ac libertatis expediendae. agunt igitur cum rustico et facile promissa pecunia persuadent, ut dux esse ipsis vellet. nocte igitur observata obscura et illuni et portae clavim suffurati rustico quidem condixerunt ad certum extra munitionem locum, praecipientes ne multum a porta abscederet. ipsi vero intus custodes observabant. qui ubi per noctem concubiam obdormisse visi sunt cuncti, paedagogus maioris natu puerorum festivissimi Michaëlis, eunuchus homo prudentissimus, nomine Leontacius, excitavit puerum et rem compositam indicavit. mox porta reserata eduxit ex arce prius admonito paedagogo altero, ut et ipse suum alumnum expergefactum educeret. festinavit is quidem agere sed infelici successu. cum enim descenderet, nescio quid strepitus acutioris e scala sonuit, quo custodes audito exsiliunt et accurrentes quid sit explorant. his ille deprehensus praesenti animo puerum offert mittendae, ut aiebat, urinae dumtaxat causa cubiculo egressum. sed illi semel in suspicionem moti curiosius de cunctis inquirebant et de Michaële percontabantur. perturbabatur ea mentione paedagogus qui intus remanserat et metuens ne retraheretur, qui iam evaserat paulo altiori in responsionibus voce utebatur, quo scilicet admoniti sono qui foris erant se in tutum subducerent. id quod

χῆς οἱ ἔξω ὄντες, ὅ τε παιδαγωγὸς καὶ ὁ πρὸς τὴν ὁδὸν ὁδηγός,
ἔθεον ὡς οἷοί τε ἦσαν τὸν παῖδα ἐπωμάδιον φέροντες ἐναλλάξ·
καὶ γὰρ ἦν κομιδῇ νέος. οἱ μὲν οὖν ἔφευγον, οἱ δὲ φύλακες
φῶτα ᾔτουν καὶ πρὸς τὴν οἰκίαν ἀνῄεσαν, ἔνθα οἱ τῶν παίδων D
κατέκειντο σκίμποδες. ἐπεὶ δὲ κενὸν ἐθεώρουν τοῦ διαδράντος
τὸν σκίμποδα, εὐθὺς ὡς εἶχεν ἕκαστος ἔτυπτε τὸν παιδαγωγόν,
καὶ ἐπηρώτων μανθάνειν ὅ τι καὶ γένοιτο τὸ παιδίον ξὺν τῷ παιδαγωγῷ.
ὁ δὲ ἔφερέ τε τὰς πληγὰς γενναίως καὶ οὐδὲν τῶν βουλευμάτων
ἀπήγγειλεν. ἐς τοσοῦτον δ' ἀπηνείας προῆλθον οἱ βάρβαροι
ὡς καὶ τὰ σκέλη τούτου καταθλᾶσθαι ῥοπάλοις. καὶ ἦν
ἰδεῖν ὑπομονὴν ἀνδρὸς ἐκτομίου, ἀσθενοῦς μὲν τῷ σώματι γεν- V 38
ναίου δέ, ὡς ἔδειξε, τὴν ψυχὴν ἐπαίνων ἀξίαν καὶ λόγου κρείτ-
τονα. ἀπογνόντες οὖν οἱ βάρβαροι τούς τε ἵππους ηὐτρέπιζον καὶ
τοὺς διώξοντας ἔπεμπον. ἀλλ' οἱ μὲν οὕτω, ὁ δὲ καλὸς ὁδηγός,
ὁδηγὸν φέρων ὡς ἔοικε τὸν ὡσεὶ πρόβατον ὁδηγοῦντα τὸν Ἰωσήφ, P 55
τὸν νέον λαβὼν Ἰωσὴφ ἅμα τῷ νουνεχεστάτῳ παιδαγωγῷ πόρρω
ἀπένευσε τῆς ὁδοῦ, καὶ πρός τι ὄρος συνηρεφὲς ἀνιόντες τοὺς
διώκοντας κατεσκόπουν, ὁρῶντες μὲν οὐχ ὁρώμενοι δέ. ἐπεὶ δ'
ἐκεῖνοι τὸν Σόφωνα ὑπερβάντες καὶ μέχρι τῶν τῆς Νικομήδους
τεμπῶν γενόμενοι ἐπανέστρεφον, ἰδόντες τούτους παλινοστοῦντας
οἱ φεύγοντες ἐξῆλθον νυκτὸς ἐκ τῶν ὀρῶν, καὶ ἤδη μειδιώσης
ἡμέρας τὴν Νικομήδους κατέλαβον, καὶ οὕτω συνέβη σωθῆναι

ita evenit. nam cum paedagogus et rusticus viae dux intellexissent deprehensam rem, puerum alternis in humeros sublatum (erat enim tenerrima adhuc aetate) quam longissime procurrentes asportarunt. interim custodes quaesito lumine conclave adeunt, in quo lectuli puerorum erant, ac ubi eius qui abierat cubile vacuum viderunt, in miserum paedagogum pro se quisque insiliunt ac pugnis eum fustibusque pro se quisque contundentes dicere iubebant, quid de altero puero eiusque paedagogo factum esset. ille vero fortiter plagas tolerabat nec ullum tamen initi consilii fecit indicium. in tantum autem immanitatis provecti sunt barbari, ut etiam crura stipitibus misero confringerent. in quo mira exstitit patientia evirati masculi, corpore quidem infirmi at fortis animo, ut praeclare probavit, cuius fidem virtutemque nulla satis oratio laudaverit. desperata igitur ex confessione pertinacissime silentis rei cognitione barbari equos expediunt et qui retrahant fugitivos mittunt. dum haec geruntur fidus viae ductor, eum imitatus, qui deducit velut ovem Ioseph, Michaëlem puerum novum Ioseph humeris impositum, prudentissimo sequente paedagogo, longe a via militari in montem quemdam frondibus fruticibusque latebrosum subducit, unde tecti ipsi tutique explorare mox, ut augurabantur, exituros fugae reprehensores possent. vident illos ipsi non visi, atque ubi eosdem, frustra Sophone monte superato, usque ad valles Nicomediae vicinas progressos conspexerunt irritos spei revertentes, ipsi tum per noctem nemoroso digressi vertice sub diluculum Nico-

τὸν ἕνα τῶν ὁμηρευόντων ἐκγόνων τοῦ καίσαρος. ἀλλὰ ταῦτα μὲν ὕστερον.

B 17. Ὁ δὲ βασιλεὺς Μιχαὴλ ἐπειδὴ μεμαθήκει τὴν τοῦ Ῥωμαϊκοῦ στρατεύματος ἧτταν καὶ ὡς ἑάλωσαν ἄμφω ὅ τε θεῖος καῖσαρ καὶ ὁ τούτου υἱός, ὁ τῶν στρατευμάτων κατάρχων Ἀνδρόνικος, φροντίσι μεγίσταις ἐβάλλετο, καὶ τὸν δοῦκα μετεπέμπετο Κωνσταντῖνον τὸν ὕστατον τῶν υἱέων τοῦ καίσαρος, οὗ πρόσθεν ὁ λόγος ἐμνήσθη, ἄνδρα τολμηρὸν καὶ γενναῖον, καὶ διαπερᾶν τὴν Προποντίδα ἐκέλευε καὶ τὸ περισωθὲν ἐκ τῆς μάχης τοῦ στρατεύματος ἀναλαμβάνειν. ὁ δὲ μὴ φέρων τὰ ξύμβαντα τῷ πατρί τε καὶ τἀδελφῷ ἔβρυχέ τε καθάπερ λέων καὶ δῆλος ἦν C προθύμως τοῦ ἔργου ἁπτόμενος. συνταξάμενος δὲ περὶ ἑσπέραν τῷ βασιλεῖ οἴκαδε ἐχώρει παρασκευασθησόμενος. ἀλλ' ἀλγήματος αὐτῷ γεγονότος κατὰ τὴν περὶ μέσην νύκτα καὶ ἀρρήτου τινὸς δυσφορίας, οἱ τῶν ἀκεστόρων μετεκαλοῦντο ἄριστοι. κατ' οὐδὲν δὲ τῆς τέχνης ἰσχυσάσης βοηθῆσαι τὸν κάμνοντα, ἕωθεν ἐτελεύτα. τοῦτο προσθήκη τῶν συμφορῶν ἐγεγόνει καίσαρι. ὁ δὲ βάρβαρος ἀδείας δραξάμενος βουλὴν ἐβουλεύσατο βαθεῖαν εἰ καὶ μὴ παρὰ κυρίου. ἡ δὲ ἦν βασιλέα τὸν καίσαρα ἀνειπεῖν Ῥωμαίων καὶ οὕτω περιέρχεσθαι τὰς πόλεις καὶ ὑποχειρίους ποιεῖν ἑαυτῷ· ἑλκύσαι γὰρ καὶ τῶν ἐν βασιλίδι τῶν πόλεων δυναμένων τὴν εὔνοιαν D οὕτως ᾤετο. ὁ δὲ κλεινὸς καῖσαρ πρῶτον μὲν ἐδυσφόρει

14. κατὰ τὴν] Fort. addendum κεφαλήν.

mediam tenuerunt. sic elabi contigit unum ex obsidibus nepotibus Caesaris. sed haec postea.

17. Ceterum imperator Michaël postquam didicit Romani exercitus cladem, captum patruum suum Caesarem et eius filium exercitus ductorem Andronicum, curis maximis conflictabatur. accersitumque ducem Constantinum ultimum filiorum Caesaris, cuius antea meminimus, virum audentis et fortis animi, traiicere confestim Propontidem iussit et reliquias, si quas posset deleti exercitus colligere. ille impatientissime ferens quae patri fratrique contigerant fremebat ut leo significabatque perlibenter se ad tale negotium accingi. salutato igitur vespere imperatore domum recessit comparaturus se ad iter. sed eum invadente circa noctem mediam dolore subito ignoti cuiusdam languoris, vocati continuo medicorum optimi nihil omnibus artis remediis iuvare laborantem potuerunt nec prohibere quo minus mane moreretur. hoc auctarium calamitatum Caesari fuit. verum Urselius fiducia ex fortunae favore concepta consilium machinabatur versutum ac profundum licet non a domino. id autem erat imperatorem Romanorum eum quem captivum detinebat Caesarem facere ac sic obire civitates easque sibi subiicere. sic enim et Constantinopolitanorum procerum benevolentiam conciliaturum se suis partibus rebatur. inclytus vero Caesar primum quidem moleste ferebat et

καὶ ἤσχαλλε καὶ πάντα κάλων ὅ φασιν ἐκίνει ὥστε διαδρᾶναι τὸ
δρᾶμα· ἐπεὶ δ' εἰς μέσον τοῦ ἔργου αὐτὸν ὁ βάρβαρος καὶ ἄκοντα
ὤθησε, γενναιότερον ἤρξατο τῶν πραγμάτων ἀντιλαμβάνεσθαι
καὶ πρὸς τοὺς ἐν τῇ πόλει διεπέμπετο λάθρα, καὶ πάντων μικροῦ
δεῖν τὰς γνώμας πρὸς ἑαυτὸν ἐφειλκύσατο· πᾶσι γὰρ ἦν ἐπέραστος ὁ ἀνὴρ ὡς πᾶσι κομῶν τοῖς καλοῖς καὶ καλοκαγαθίᾳ πάντων
ὑπερέχων τῶν τότε. εἰ μὴ γοῦν τὸ θεῖον ἀντιπρᾶττον ἐφάνη,
ῥᾳδίως ἂν τῶν βασιλείων σκήπτρων γέγονεν ἐγκρατής. ἀλλὰ κι- P 56
νῆσαν τοῦτο τὸν ἐκτομίαν Νικηφόρον σπουδαιότερον τῶν πραγμάτων ἀντιλαβέσθαι, τὰς ἐκείνων βουλὰς ἀπράκτους ἀποδέδειχεν·
ἀπογνοὺς γὰρ τῆς ἐκ τῶν Ῥωμαϊκῶν στρατευμάτων βοηθείας πρὸς
τοὺς Τούρκους διεπρεσβεύσατο, καὶ τοῦ Ἀρτοὺχ τοῖς τῆς ἑῴας
τηνικαῦτα μέρεσιν ἐπιχωριάζοντα τὸν κατ' ἐκείνων πόλεμον ἀναδέξασθαι πέπεικε, δώροις τε χρημάτων καὶ ὑποσχέσεσι τοῦτον πα- V 39
ραθαρρύνας. ὁ δὲ (καὶ γὰρ ἦν δεινὸς στρατηγὸς) μετὰ πλείστης
ὅτι δυνάμεως κατ' ἐκείνων ἐξώρμα.

18. Οἱ δὲ περὶ τὸν καίσαρά τε καὶ τὸν Οὐρσέλιον πυθό- B
μενοι τῶν Τούρκων τὴν ἔφοδον καὶ ὡς ὁ Ἀρτοὺχ πλῆθος ἀμύθητον ἐπιφερόμενος Τούρκων κατ' αὐτῶν ἔπεισιν, ὑπερβάντες τὸν
λόφον ἵναπερ τὸ φρούριον ἵδρυται τὸ ἀγχοῦ που τῶν βασιλείων
τοῦ καίσαρος ὂν (Μεταβολὴ τῷ φρουρίῳ τὸ ὄνομα), πρὸς τοὺς

18. Ἀρτοὺχ] V. Ἀρταχούχ.

propositionem indignans aspernabatur omnemque, quod aiunt, movebat funem, quo necessitatem vitaret personae in ista fabula sustinendae. quando vero ipsum vi trusum ineluctabili barbarus suis rationibus serviens in mediam istam quasi scenam invitissimum coniecit, strenue agendum quod cogebatur ratus, misit clam in urbem qui suffragia prensaret fermeque omnium sententiam in suam traxit. cunctis enim hic vir erat longe carissimus, quippe omnibus unus excellens bonis et probitate aequitateque, nulli non antistans qui tunc forent. successisset igitur facile negotium, et ex Caesare Augustus plenam imperii potestatem libentissima re publica ipse capessivisset, nisi divina providentia tali negotio se adversariam monstrasset. haec enim Nicephorum eunuchum impulit, ut eam succurrendi Romanis rebus iniret rationem, quae Urselii Caesarisque spebus securim inflixit capitalem. nimirum ille nullam partem fiduciae reliquam in Romanis exercitibus videns adiecit animum ad imploranda auxilia Turcorum. erat Artuch dux Turcorum in Orientali tunc limite. hunc legatione missa denique et pactione pecuniae perpellit, ut bellum contra Urselium suscipiat. ille acer alioqui bellator cum maximo exercitu expeditionem istam suscipit.

18. Caesar et Urselius cum intellexissent Artuchum infinitas Turcorum copias in ipsos infestas movere, conscenso iugo, in quo arx exstructa erat, quam diximus vicinam fuisse praetoriis Caesaris (dicebatur autem illa Metabole), castra muniunt in campo longius, quam latius iacente ad radi-

τοῦ Σόφωνος πρόποδας πεδίον ἐφηπλωμένον ἐπίμηκες εὑρόντες ἐν τούτῳ στρατοπεδεύουσι. δείσαντες γὰρ μὴ κυκλωθῶσιν ὑπὸ τῶν πολεμίων ὀλίγοι ὄντες ὑπὸ πολλῶν καὶ διαφθαρεῖεν, πεδίον στενὸν ἐξελέξαντο, τὸν ἐκ τοῦ Σόφωνος κατιόντα ποταμὸν ἀντὶ χάρακος προβαλλόμενοι. ὁ δὲ Ἀρτοὺχ περαιωθεὶς τὸν Σαγγάριον
C καὶ ἐπὶ τὴν Μεταβολὴν φθάσας, ἐπεὶ μὴ εὗρε τὸν καίσαρά τε καὶ τὸν Οὐρσέλιον, διέβαινε καὶ αὐτὸς τὰ ἐκεῖσε στενὰ καὶ πρὸς τῇ κεφαλῇ τοῦ ὄρους γενόμενος, ὃ Μαροξὸς καλεῖται, ἐστρατοπέδευσε, κἀκεῖθεν τοὺς πολεμίους περιεσκόπει ἐγγύς που τοῦ χωρίου ὃ Τρισέα καλεῖται στρατοπεδεύοντας. αὐτίκα γοῦν προσέβαλλε τούτοις, καὶ πρῶτον μὲν ἀκροβολισμοῖς διὰ τῶν ὑψηλῶν ἐχρῆτο, ἔπειτα εἰς λόχους τρεῖς τὸ στράτευμα διελὼν κυκλοῦν ἐπειρᾶτο τοὺς περὶ τὸν Οὐρσέλιον καὶ τὸν καίσαρα. ἀλλὰ κατὰ νώτου μὲν γενέσθαι οὐκ ἠδύναντο οἱ πολέμιοι, ἅτε τοῦ ὄρους τούτους ἀπείργοντος, τοῖς δὲ τρισὶ μέρεσιν ἐπετίθεντο ἰσχυρῶς, καὶ οὕτω διασπᾶν τὸ συνεχὲς τῆς τῶν Λατίνων φάλαγγος ἐπεχείρουν. οἱ δὲ
D ὀλίγοι ὑπὸ τῶν πολλῶν πιεζόμενοι, καὶ τῶν ἵππων αὐτῶν τοῖς βέλεσι βαλλομένων πάντοθεν, δεῖν ᾠήθησαν ὁμόσε χωρῆσαι τοῖς πολεμίοις, ὥστε καταπλῆξαι τούτους τῷ σφοδρῷ τῶν ἵππων. παρακαλέσαντες οὖν ἀλλήλους καὶ συνασπίσαντες ἀκρατῶς ἐξήλαυνον. ἐκ τούτου ξυνέβη πολλοὺς μὲν τῶν πολεμίων περιπεσεῖν, αὐτοὺς δὲ κυκλωθέντας ὑπὸ τοῦ πλήθους πολλοὺς μὲν ἀναιρεθῆναι, τοὺς πλείονας δὲ ληφθῆναι. ἑάλω δὲ σὺν τούτοις καὶ ὁ καῖ-

ces Sophonis montis. id ita instituebant metu ne circumvenirentur multitudine hostium ipsi multo pauciores, quod prohibitura videbatur angustia oblongae planitiei quam castris insedissent, quae castra ut munitiora facerent, flumen ex Sophone defluens fossae instar Turcis obiecerunt. at Artuch Sangare traiecto ad iuga montis arci Metabolae imminentia progressus, postquam Caesarem illic et Urselium non reperit, traiecit et ipse quae ibi sunt angustias, et cum processisset ad verticem montis, qui Maroxus dicitur, castra metatus est indeque hostes observabat prope oppidum, quod Trisea vocatur, castris positis stantes. nec moram eos aggrediendi fecit. ac primum iaculationibus in eos ex alto utebatur. deinde trifariam diviso exercitu circumcludere Caesarianos, et Urselianos conabatur, quibus locis ambiri poterant, nam a tergo eos protegebat mons. verum a tribus partibus acriter instabant Turci ac consertum textum phalangis Latinorum abrumpere summa vi nitebantur. hi vero pauci a pluribus circumventi, et equis ipsorum imbre undique ingruente sagittarum continue percussis, faciendum sibi putarunt, ut impetu erumpentes ad manus cum hostibus venirent. sic enim iis terrorem incuti posse sperabant equestri subita procella. exhortati ergo se invicem consertis mutuo scutis ferociter irruerunt. ex hoc contigit multos quidem hostium cadere, ipsos vero circumventos multitudine plurimos occidi plerosque capi. capti sunt autem cum his et Caesar et Urselius. at Urse-

σαρ καὶ ὁ Οὐρσέλιος. ὁ γοῦν Ἀρτοὺχ ἡσθεὶς τῇ νίκῃ τὸν μὲν Οὐρσέλιον λύτρον λαβὼν ἀπέδοτο τοῖς αὐτοῦ, τὸν δὲ καίσαρα ἔχων ἀπῄει ὡς ἐπὶ τὴν ἄνω Φρυγίαν. οἱ δὲ περὶ τὸν βασιλέα Μιχαὴλ πυθόμενοι τὰ ξυμβάντα πέμπουσι τοὺς ἐξωνησομένους P 57 τὸν καίσαρα. καὶ ἀποδίδωσι τοῦτον ὁ βάρβαρος συχνὰ χρήματα λαβών. ὁ δὲ πλησίον τῆς βασιλίδος τῶν πόλεων γενόμενος καὶ δείσας μή τι καὶ πάθῃ δεινότερον, διαπεράσας πρὸς τὸ Τραχονήσιον τὸ μοναδικὸν ἀμφιέννυται σχῆμα τὴν κόμην ἀποκειράμενος, καὶ οὕτως εἴσεισι πρὸς τὸν βασιλέα Μιχαήλ. ὁ δὲ τοῦτον ἰδὼν ὑπεκρίθη δεινοπαθεῖν.

19. Καὶ τὰ μὲν κατὰ τὸν θαυμασιώτατον καίσαρα τοιοῦτον ἔσχε τὸ τέλος, ὁ δὲ Οὐρσέλιος τῆς αἰχμαλωσίας ῥυσθεὶς ἀπῄει αὖθις ὡς ἐπὶ τὸν Πόντον καί τινα τῶν φρουρίων κατελάμβανε, κἀκεῖθεν ἐλύπει τὰς τοῦ Πόντου πόλεις Ἀμάσειάν τε καὶ τὴν νέαν B Καισάρειαν· ἐδῄου γὰρ τὰς χώρας καὶ δασμοφορεῖν κατηνάγκαζεν. ὃ δὴ μαθὼν ὁ βασιλεὺς Μιχαὴλ τὸν Παλαιολόγον Νικηφόρον πρὸς τὸν ἄρχοντα Ἀλανίας ἐκπέπομφεν ἄξοντα στράτευμα μισθοφόρον. ὁ δὲ ἀπελθὼν καὶ στρατὸν ἐκεῖθεν ἀναλαβὼν περί που τὰς ἓξ χιλιάδας τὸν Πόντον κατείληφε καὶ τὰς ὁρμὰς τοῦ Οὐρσελίου ἀναστέλλειν ἀπεπειρᾶτο. τῶν δ' Ἀλανῶν ἀπαιτούντων τὸν συμφωνηθέντα μισθόν, ἐπεὶ μὴ εἶχεν ἐκεῖνος ἠναγκάσθη τῷ Οὐρσελίῳ προσβαλεῖν πρὸ τοῦ παλινοστῆσαι τοὺς Ἀλανούς. V 40 ἀλλ' οὗτοι ἐνέκειντο τοὺς μισθοὺς ἀπαιτοῦντες, ὃν δὴ παρασχεῖν

lium quidem victoria laetus Artuch accepto pretio suis reddidit, Caesarem vero secum habens in superiorem Phrygiam abiit. Michaël porro Augustus auditis quae acciderant mittit qui Caesarem redimerent. dimisit autem et eum barbarus, multis pecuniis acceptis. ceterum Caesar appropinquans Constantinopoli et veritus, ne quid ibi atrocius pateretur, cum ad Trachonesium transfretasset, monasticam ibi vestem induit coma detonsa, et sic imperatori Michaëli se sistit, qui eum videns simulavit aegre ferre.

19. Et res quidem admirandi Caesaris talem finem habuerunt. Urselius vero captivitate liberatus rursus abiit quasi versus Pontum et arces quasdam occupavit, unde infestabat Ponti civitates, Amaseam et Neocaesaream. vastabat enim circumsitas iis regiones et suburbanos agros vectigaliaque sibi pendere cogebat. quod cum cognovisset imperator Michaël, Palaeologum Nicephorum ad imperantem Alaniae misit ducturum stipendiarium exercitum, qui eo profectus conscriptisque ibi copiis circiter sex millium in Pontum se contulit et impetus Urselii reprimere conabatur. verum Alanis petentibus promissum stipendium cum non haberet unde solveret, necessarium consilium suscepit pugnandi cum Urselio, priusquam Alani quod minabantur recederent. at illi vehementius instabant, ut sibi repraesentaretur

C ἐκείνου μὴ ἔχοντος ὑπέστρεφον ἅπαντες, ὀλίγων δηλαδὴ καταλειφθέντων. οἷς δὴ καὶ συμβαλὼν ὁ Οὐρσέλιος ἐτρέψατό τε τούτους καὶ οὐκ ὀλίγους ἀνεῖλεν αὐτῶν, οἱ δὲ λοιποὶ εἰς τὰς τοῦ Πόντου διεσώθησαν πόλεις. ἀπαγγελθέντων δὲ τούτων τῷ βασιλεῖ Μιχαήλ, ὁ καλὸς νεανίας μετεκαλεῖτο Ἀλέξιος, τῆς θείας προνοίας ἤδη βουλομένης ἐμφανῆ γενέσθαι τὴν αὐτοῦ ἀρετήν. μετακληθεὶς δὲ στρατοπεδάρχης προχειρίζεται καὶ στρατηγὸς αὐτοκράτωρ τοῦ κατὰ Οὐρσελίου πολέμου.

20. Ὁ μὲν οὖν ἀσμένως ἐδέχετο τὰ τῷ βασιλεῖ δόξαντα, ἡ δὲ μήτηρ τούτου πυθομένη ταῦτα παραιτεῖσθαι ἠνάγκαζε τὴν ἀρχήν, λέγουσα μὴ νεανικῆς δεῖσθαι φρενὸς καὶ χειρὸς τὰ κατὰ
D τὸν Οὐρσέλιον, ἀλλ' ἀνδρὸς γενναίου καὶ πολλὰ μὲν εἰδότος πολλὰ δὲ δράσαντος. ἀλλ' ἡ μὲν οὕτως, ὁ δὲ παρακλήσεσι χρησάμενος καὶ πείσας αὐτὴν ἐξῄει ταῖς εὐχαῖς αὐτῆς ἐφοδιασθείς, μήτε χρήματα πρὸς τοῦ βασιλέως λαβὼν εἰς τὴν τοῦ πολέμου δαπάνην μήτε στράτευμα ἀξιόμαχον. διελθὼν δὲ τὸν ἐν Παφλαγονίᾳ Πόντον περὶ τὴν Ἀμάσειαν γέγονε, καὶ τοὺς περισωθέντας τῶν Ἀλανῶν εὑρὼν οὐ πλείους ἑκατὸν πρὸς τοῖς πεντήκοντα ὄντας, τοὺς πολεμίους ἀνέστελλε πολλάκις μὲν αὐτοῖς προσβαλών, τοσαυτάκις δ' ἡττήσας. ἐπεὶ δὲ τὰς τούτων ὁρμὰς συνέστελλεν, οὐκέτι τὰς
P 58 ἐπελεύσεις ἐκείνων ἐτήρει, ἀλλ' ἐπιὼν πρὸς τὰ φρούρια τὰ παρ' αὐτοῦ κατεχόμενα ἐνέδρας ἐνίστα, καί τινας πρὸς διαρπαγὴν πλη-

1. καταλειφθέντων] V. καταληφθέντων.

constituta merces, quod cum Palaeologus pecunia carens facere nequisset, Alani paucis exceptis omnes abierunt. cum reliquis autem congressus Urselius eos non paucis occisis fudit et varie in Ponti civitates fugere coegit. quibus Michaëli Augusto nuntiatis accersitus ab eo est praestans animi iuvenis Alexius, divina providentia iam volente illustrem eius virtutem reddere. declaratus est enim dux summus exercitus et praefectus bello in Urselium gerendo.

20. Atque id munus ab imperatore delatum ipse quidem libenter admittebat: verum eius mater hoc comperto omnibus modis ab eo contendebat, ut illam provinciam recusaret, aiens non utique iuvenilis mentis et manus negotium esse Urselium vincere, sed viri eiusque fortis et cum multa scientia tum plurima operati. haec ad Alexium mater, qui blandis ad eam persuasionibus usus impetravit commeatum abeundi. profectus itaque est non alia re magis quam maternis apud deum pro se precibus viaticatus. nam ab imperatore neque pecuniam accepit in belli sumptus neque iustum exercitum. transgressus autem Pontum Paphlagoniae Amaseae se admovit, ubi reperit Alanos, qui ultimae cladi superfuerant, non plures centum quinquaginta. his ad suas tenues copias adiunctis hostes coercebat saepe manus cohaerens toties vincens. postquam autem crebris offensionibus castigati iam non temere prodibant, remissa cura observandarum eruptionum territi hostis, admovebat se clam praesidiis Urselianorum, insidias idoneis locis celans: tum

σίον τῶν φρουρίων ἐξέπεμπε. τῶν γοῦν πολεμίων ἐξιόντων καὶ διωκόντων τοὺς προνομεύοντας, αὐτὸς ἐξιὼν τῆς ἐνέδρας τὰς εἰς τὸ φρούριον φερούσας ὁδοὺς κατελάμβανε καὶ τοὺς διώκοντας ἀπεῖργε τῆς πρὸς ταῦτα εἰσόδου. ξυνέβαινε γοῦν μικροῦ δεῖν πάντας ζωγρεῖσθαι, ἅτε τῶν πρὸς τὰ φρούρια φερουσῶν ὁδῶν προκατειλημμένων. τούτων γοῦν συχνάκις γινομένων εἰς ἀμηχανίαν εἰσῆγε τὸν βάρβαρον. ὁ μὲν γὰρ ἀξιόμαχον ἔχων δύναμιν B ἐβούλετο μάχῃ μιᾷ κριθῆναι τὰ κατ' αὐτόν, ὁ δὲ στρατοπεδάρχης δυνάμεως ἀπορῶν καταστρατηγεῖν τὸν βάρβαρον ἔσπευδε. καὶ ὁπηνίκα ἐκεῖνος τὸ ἑαυτοῦ συνήθροιζε στράτευμα, οὗτος ἠρεμεῖν προσεποιεῖτο, καὶ διασχὼν ἡμέρας τινὰς ἐξῄει λάθρα καὶ οὐ πόρρω τούτου γενόμενος λόχους ἐνίστα καὶ τὰ πλεῖστα ἐνήδρευε καὶ τοὺς ἐπὶ τὸ στράτευμα διακομίζοντας ἐζώγρει. ἀγγελλομένων δὲ τούτων τῷ βαρβάρῳ στρατιῶται ἐκεῖθεν ἐπέμποντο βοηθήσοντες, ἀλλὰ τοῖς λόχοις καὶ ταῖς ἐνέδραις ἐμπίπτοντες μικροῦ C δεῖν ἄρδην ἡλίσκοντο ἅπαντες· ἀναιρεῖσθαι γὰρ τούτους οὐχ ὅσιον ἐνομίζετο τῷ στρατοπεδάρχῃ Χριστιανοὺς ὄντας.

21. Ταῦτα πολλάκις γινόμενα μεγάλως ἐλύπουν τὸν βάρβαρον· τῶν γὰρ πόλεων ὅσαι προσεῖχον αὐτῷ πρότερον φόβῳ ἢ εὐνοίᾳ τούτῳ δασμοφοροῦσαι, ἐπειδὴ ἀπογινώσκειν τῶν κατ' αὐτὸν ἤρξαντο, οὐδὲν οὐδεμία παρεῖχεν αὐτῷ. καὶ διὰ τοῦτο χρημάτων σπανίζων βουλὴν ἐβουλεύσατο βαθεῖαν μὲν οὐ συνετὴν δὲ

13. καὶ τοὺς] Addendum τὰ ἐπιτήδεια. 19. φόβῳ] Fort. addendum μᾶλλον.

quosdam ostentare se iubebat praedis palam abigendis in conspectu praesidii, ad quam speciem cum hostes exirent et praedatores sequerentur, ipse consurgens ex insidiis iter egressis ad reditum praeoccupabat interclusosque circumveniens fere omnes capiebat vivos. his saepius factis in maximam difficultatem rerum barbarum coniecit, qui iustum habens exercitum praelio decernere quam primum cupiebat. sed contrario consilio Alexius, qui parum suis copiis fideret, furtis belli non congressibus apertis vincere barbarum decreverat. itaque quoties ille tamquam ad acie certandum copias coegerat, hic quiescere se velle simulabat. et ubi aliquot dierum patientia impetum paratorum ad praelium refrigeraverat, prodibat clanculum et non longe ab hostilibus castris insidias locabat, vias praeoccupans quibus commeatus inferebantur et plerosque annonam ac cetera necessaria portantium capiens. haec ut barbarus senserat, mittebat extemplo pabulatoribus auxilia. sed missi incurrentes in insidias paucissimis elabentibus capiebantur omnes. nam eos occidere nefas Alexio videbatur, cum Christiani essent.

21. Haec saepius ita gesta vehementer conturbabant barbarum. nam civitates, quae metu aut amore ipsi favebant et vectigalia pendebant, postquam desperare eius auxilium aut non timere ipsius impetum coeperunt, lucrifacere sumptum pensitationis vel inutilis vel non necessariae coeperunt. quarum collationibus cessantibus inopia Urselius ingenti rei nummariae labo-

ὅμως, ὡς τὸ τέλος ἀπέδειξεν. ἄρτι γὰρ τοῦ Τουτὰχ ἐκ Περσί-
D δος κατελθόντος ἐπὶ τῷ τὰ Ῥωμαίων ληΐζεσθαι ξὺν πλήθει Τούρ-
V 41 κων πολλῶν, δεῖν ἔγνω προσχωρῆσαι τούτῳ κἀκεῖνον ξύμμαχον
λαβεῖν κατὰ τοῦ στρατοπεδάρχου. πέμψας τοίνυν πρότερον πρέ-
σβεις ὕστερον καὶ αὐτὸς παρεγένετο εἰς τὸ τῶν Τούρκων στρατό-
πεδον, καὶ τῷ Τουτὰχ συγγενόμενος καὶ πίστεις λαβὼν ἀπῄει ἐπὶ
τὸ φρούριον ὑποσχόμενος ἥξειν εἰς νέωτα. ὁ δὲ στρατοπεδάρχης
πυθόμενος τὴν τοῦ Οὐρσελίου πρὸς τὸν Τουτὰχ ἄφιξιν ἐξέπεμψε
καὶ αὐτὸς πρέσβεις καὶ δῶρα πολυτελῆ τῷ Τουτάχ, καὶ φιλίας
αὐτῷ ἀνεμίμνησκε τῆς βασιλείας Ῥωμαίων πρὸς τὸν κρατοῦντα
Περσῶν, καὶ δὴ καὶ πρέσβεις ἀντιπεμφθῆναι ἠξίου τοὺς μάλα
πιστοτάτους αὐτῷ, ὡς ἔχων τι μηνύειν μυστικῶς οὐ μικρὰν αὐτῷ
τὴν ὄνησιν φέρον. ὁ δὲ τοῖς δώροις ἡσθεὶς καὶ ὅστις εἴη μαθὼν
εὐθὺς αὐτῷ τὸν πιστότατον πέπομφε. ἐπεὶ δ' εἰς Ἀμάσειαν ἧκε,
P 59 φιλοφρόνως αὐτὸν ὁ στρατοπεδάρχης ὑπεδέξατο καὶ οὕτως αὐτὸν
ᾠκειώσατο δῶρα διδοὺς καὶ θαμὰ ὁμιλῶν (ἦν γὰρ εἴπερ τις ἄλλος
ἐν λόγοις ἡδὺς) ὡς μεγίστην εὔνοιαν πρὸς αὐτὸν τὸν βάρβαρον
κτήσασθαι. τούτου οὖν γενομένου τοιῶνδε πρὸς αὐτὸν ἤρξατο
λόγων "φίλοι μὲν" λέγων "ὦ τάν, ὅ τε βασιλεὺς Ῥωμαίων καὶ
ὁ σουλτάνος, ὁ δὲ Οὐρσέλιος ἀμφοῖν ὑπάρχει ἐχθρός. σίνεται
μὲν γὰρ τὰ Ῥωμαίων, ἐπιτίθεται δὲ καὶ τοῖς Τούρκοις. καὶ νῦν
ἰδὼν τὸν σὸν ἀμυρὰν προσελθόντα, ὥσπερ δείσας μὴ ὑπ' ἀμφο-

2. τῷ] V. τοῦ. 13. φέρον] V. φέρων.

26. Triduo ibi hospitaliter habitus ulterius perrexit versus mare Ponticum descendens. cum autem circa Castamonem pervenisset, cupivit visere avi domum. iussis igitur porro pergere cunctis ipse cum paucis declinavit e via. ingressus vero domum, cum illam habitatoribus vacuam vidisset, plenus lacrimis et suspiriis erat memoriam progenitorum suorum recolens: nec nisi vi quadam inde a comitibus avulsus recessit, quando et parum abfuit quin incideret in insidias Turcorum. sed qui circa ipsum erant ita properare coegerunt, ut satis mature suorum agmini se misceret. transgresso porro angustias et circa mare descendenti versus Heracleam Maurex occurrit, vir non ille quidem nobilis, gnavus tamen et strenuus usumque habens maximum

κατὰ θάλατταν ἔχων ὅτι πλείστην. διὸ δὴ καὶ βασιλεῦσι Ῥω-
μαίων ἀναγκαῖος ἐδόκει καὶ πολλῶν ἀπήλαυε τῶν ἐξ αὐτῶν δωρη-
μάτων, ὡς καὶ πλοῦτον κτήσασθαι πλεῖστον καὶ δούλων πλῆθος
C καὶ τῶν ἄλλων ὑπηρετούντων περὶ τὰ στρατιωτικὰ καὶ οἰκίαν ἀνε-
γεῖραι λαμπράν. ἀπαντήσας δ' οὗτος ἠξίου ἐπιξενωθῆναί οἱ, ὁ
δ' ἐπείθετο. ἐπεὶ δὲ περὶ τὴν Ἡράκλειαν ἐγένοντο, ἐπῄει πρό-
τερον στρατοπεδάρχης ἐπὶ τὸν ἀχειροποίητον τῆς θεομήτορος ναόν,
ἐν ᾧ τὰ χαριστήρια ἐτεθύκει τῷ πάντων σωτῆρι καὶ τούτου μη-
τέρι. εἶτ' ἐπεξενίσθη τῷ Μαύρηκι.

27. Ἐν ὅσῳ δὲ αὐτῷ τὰ πρὸς τὴν ἔξοδον ἡτοιμάζετο,
ἀπήγγελτο Τούρκους κατιέναι εἰς προνομήν. τὸν δ' εὐθὺς ὁ λό-
γος πρὸς τὰ ὅπλα ἐκίνησε μᾶλλον ἢ τὸν Ἀλέξανδρον ὥς φασι πά-
D λαι ἡ Τιμοθέου αὔλησις. ὁπλισάμενος οὖν καὶ τοῦ ἵππου ἐπιβὰς
ἐξῄει σὺν τοῖς περὶ αὐτόν. ξυνείποντο δέ οἱ καὶ οἱ τοῦ Μαύρη-
κος ἄνδρες ἐμπειροπόλεμοι καὶ γενναῖοι, ὧν κατάρχων ἦν ὁ Βου-
τουμίτης Μιχαήλ, ἀνὴρ μικρὸς μέν, ὥς φησιν Ὅμηρος, δέμας
V 45 ἀλλὰ μαχήτης. ἀλλ' οἱ Τοῦρκοι πόρρωθεν τούτους ἰδόντες καὶ
τὴν ἀστραπὴν τῶν ὅπλων καὶ τὸ τῆς τάξεως εὔρυθμον καὶ τὸ τῆς
ὁρμῆς ἀνυπόστατον μὴ ὑπενεγκόντες ἔφευγον ἀκρατῶς. οἱ δὲ
πόρρω τούτους τῶν ὁρίων ἐκείνων ἀπελάσαντες καὶ καταβαλόντες
ἐνίους ἐπανῄεσαν. ἥσθη τῷ παρέργῳ τῆς κατὰ πάροδον νίκης ὁ
στρατοπεδάρχης καὶ ἐβούλετο καρτερεῖν ἐν τοῖς τῆς Ἡρακλείας

4. περὶ τὰ] περί τε? 13. αὔλησις] V. αὔλισις. 19. ὑπενεγκόντες] V. ἐπενεγκόντες. 20. καταβαλόντες] Ita P. pro καταλαβόντες.

maritimae rei; quare imperatoribus Romanis necessarius videbatur multis eorum ideo donis auctus, unde divitias compararat plurimas et multitudinem servorum aliorumque ei in rebus bellicis obsequentium et domum splendidam exstruxerat. hic obviam progressus rogabat Alexium ut apud se diversari dignaretur, quod ille admisit. ubi vero Heracleam ventum est, ante omnia Alexius ad templum deiparae non manu factum se contulit ibique gratias egit salvatori cunctorum et eius matri; tum exceptus est hospitio Maurecis.

27. Illi deinde inde abire paranti nuntiatum Turcos ad praedas agendas descendisse. qua voce sic ad arma motus est, ut olim aiunt Alexandrum Timothei tibia. armatus igitur equo inscenso prodiit cum suis. sequebantur et Maurecis milites viri periti rei bellicae et fortes. his praeerat Butumites Michaël vir corpore ille quidem parvus (ut ait Homerus) sed pugnax. at Turci procul hos cernentes fulgore armorum perstricti tum ordinis disciplina et illo vigore impetus, quem nihil sistere posse videretur territi effuse fugerunt. nostri vero eos insecuti longe ultra fines, deiectis etiam aliquibus eorum, domum redierunt. delectatus est Alexius huius obiter decerptae victoriae gustu ita ut cupiditatem inde conciperet ibi haerendi, ubi similium

ὁρίοις, εἴ που ἐντυχεῖν δυνηθείη Τούρκοις εἰς προνομὴν κατελθοῦσιν· ἐβούλετο γὰρ αὐξῆσαι τὰ τρόπαια καὶ οὕτως εἰς τὴν μεγαλόπολιν πένταθλος εἰσελθεῖν στεφανίτης. ἀλλ' ἐκ βασιλέως P 64 πεμφθέντα γράμματα καὶ ναῦς σὺν ἐρέταις μονήρης ἐκώλυσαν αὐτὸν τῆς ὁρμῆς· ἐκέλευον γὰρ τὰ γράμματα εἰσελθεῖν εἰς τὴν ναῦν σὺν τῷ Οὐρσελλίῳ καὶ ταχέως τὴν βασιλίδα καταλαβεῖν, ὡς ἐνεδρευόντων περὶ τὰς διόδους τῶν Τούρκων. ὁ μὲν οὖν ἐποίει τὸ κελευσθὲν καὶ διὰ τῆς νηὸς ἠπείγετο πρὸς τὴν Προποντίδα. θρασκίου δὲ πνεύσαντος ἐξαίφνης σφοδροῦ μικροῦ ἂν ἐκινδύνευε ναυαγίῳ περιπεσεῖν, εἰ μὴ προφανῶς τοῦτον ἡ θεομήτωρ ἐρρύσατο· ἅμα τε γὰρ ἐπεκαλέσατο τὴν ταύτης βοήθειαν καὶ εὐθὺς ἡ θάλασσα κατηυνάζετο, καὶ οὕτω γέγονε διαδρᾶναι τοῦτον τὸν κλύδωνα.

28. Καταλαβόντα δὲ τοῦτον τὴν βασιλίδα φιλοφρόνως ὁ B βασιλεὺς ὑπεδέχετο ἠσπάζετό τε ἡδέως, καὶ ἵνα τοῖς ἐκείνου χρήσωμαι ῥήμασι "καλῶς" ἔφησεν "ἧκεν ἡ μετὰ θεὸν δεξιὰ ἡμῶν χείρ." ἀλλὰ ταύτην μὲν πρώτην ἔσχεν ἐκ βασιλέως ἀμοιβὴν τῶν πόνων, τὴν βασιλέως εὐχαριστίαν, πρώτως αὐτὸς ἐντυχών· μετὰ δὲ τοῦτο ἐτίμα καὶ σύμβολα. εἶχε δὲ καὶ τὸν Οὐρσέλιον εἱρκτῇ φρουρούμενον ἀσφαλῶς, ὃν ὁ καλὸς τὰ πάντα Ἀλέξιος παντοίας ἐπιμελείας ἠξίου πολλὰ τῶν ἀναγκαίων οἴκοθεν αὐτῷ χορηγῶν καὶ τὴν βασιλέως αὐτῷ κατευνάζων ὀργήν. τὰ μὲν οὖν κατὰ τὸν

19. ἐτίμα καὶ σύμβολα] ἐτιμᾶτο καὶ συμβόλοις? nisi quid excidit.

occasionum confligendi cum Turcis sperari facultas posset, quoniam eo usque ad praedas excurrere illi consueverant. urebat enim eum generosus ardor erigendorum multiplicium tropaeorum pigebatque fortem iuvenem in urbem regiam redire nisi victorem omnium certaminum et quinquies coronatum. sed ab imperatore literae missae cum nave unius scalmi remigibus instructa ab iis eum cogitationibus abstraxerunt. iubebant enim literae conscendere ipsum statim navem cum Urselio et quam primum Constantinopolim venire ad vitandas insidias transitus terrestris viae obtinentium Turcorum. fecit igitur ille quod iubebatur et nave festinabat in Propontidem. vento vero Thrascia vehementi subito reflante parum abfuit quin naufragium faceret, perieratque nisi palam ipsum dei mater ei periculo eximeret. simul enim ille imploravit eius opem statim mare conquievit, sicque tempestatem evasit.

28. Iam eum Constantinopolim appulsum peramanter imperator excepit amplexusque suaviter est et, ut eius ipsa verba referam: "bene," inquit, "venit is qui post deum dextera nostra manus est." sed haec prima illi fuit ab imperatore remuneratio laborum gratiarum actio primum occurrenti facta. post ab illo rebus ipsis et collationibus honoratus est. Urselius porro arctae ac securae custodiae datus est, quem omni humanitatis officio praestans nullo non genere benignitatis prosequi perrexit Alexius pleraque ipsi necessaria domo suppeditans et iram in eum imperatoris mitigans. Alexii quidem res sic

C κλεινὸν Ἀλέξιον οὕτω. ὁ δὲ βασιλεὺς Μιχαὴλ τὸν Ἰσαάκιον, ἄρτι τοῦ δουκὸς Ἀντιοχείας τοῦ πρωτοπροέδρου Ἰωσὴφ τοῦ Τραχανειώτου τὸ κοινὸν ἀποτίσαντος χρέος, καὶ τῶν ἐκεῖσε στασιασθέντων πραγμάτων ὡς μόλις δυνηθῆναι κατευνασθῆναι τὰς ἀναφυείσας στάσεις παρὰ τοῦ ἐκείνου υἱέος τοῦ μαγίστρου Καταχαλών, ἅτε καὶ τῆς τοῦ Φιλαρέτου τυραννίδος ἀρξαμένης ἤδη αὐξάνειν, δοῦκα Ἀντιοχείας προεχειρίσατο. ἐπεὶ δὲ τῶν στάσεων αἴτιον ᾤετο εἶναι τὸν πατριάρχην Αἰμυλιανόν, ἐκέλευε τοῦτον εἰς τὴν Κωνσταντινούπολιν ἐξαποστεῖλαι μετὰ σπουδῆς ὅτι πλείστης. ὁ
D λογοθέτης δὲ πρὸς τὸν πατριάρχην πάλαι δυσμενῶς ἔχων καὶ ἀμοιβὰς σχεῖν αὐτὸν ἐκ βασιλέως ὑπισχνεῖτο, μόνον εἰ τὸν πατριάρχην τῆς πόλεως ἐξελάσει. ὁ γοῦν Κομνηνὸς τὴν Ἀντιόχειαν καταλαβὼν μετὰ τιμῆς ὅτι πλείστης ὑπό τε τῶν ἐν τέλει καὶ αὐτοῦ δὴ τοῦ τὸν πατριαρχικὸν θρόνον ἰθύνοντος ὑπεδέχθη. εἰσελθὼν δ' ἐν τῇ πόλει τὸν πατριάρχην θεραπεύειν προσεποιεῖτο καὶ φιλίως αὐτῷ προσενήνεκτο δεδιὼς τοῦ πλήθους τὴν πρὸς ἐκεῖνον εὔνοιαν· διχῇ γὰρ ἡ πόλις μεμέριστο, καὶ τὸ μὲν τῷ πατριάρχῃ προσεποιεῖτο καὶ φιλίως αὐτῷ προσενήνεκτο, τὸ δὲ τοὺς ἄρχοντας ἐθεράπευεν. ὑφορώμενος οὖν τὴν στάσιν ὁ δοὺξ οὔτε τὰ τοῦ βασιλέως γράμματα τὰ κελεύοντα τὴν ἐξέλευσιν τοῦ πατριάρχου παρέσχεν, οὔτε τι τῶν προσταχθέντων αὐτῷ παρὰ βασιλέως ἀπεκά-
P 65 λυψεν. ἀλλὰ τί μηχανᾶται; σκήπτεται νόσον, καὶ ἄμφω τὰς χεῖρας δεσμεῖ κατὰ τοὺς βραχίονας, καὶ νοσεῖν ὑποκρίνεται, καὶ
V 46 τοὺς ἰατροὺς συγκαλεῖται. φοιτᾷ τοίνυν πρὸς αὐτὸν καὶ ὁ πα-

se habuerunt. imperator vero Michaël protoprohedro Iosepho Trachaneota duce Antiochiae mortuo, cum res illic in turbas et seditiones ferrentur impetu tali ut vix speraretur restitui tranquillitatem posse: utique quamdiu concitator turbarum eius filius magister Catacalo ibi aliquid posset, maxime cum simul Philareti tyrannis augesceret, Isaacium Comnenum Alexii fratrem ducem Antiochiae declaravit. quoniam autem tumultuum causam putabat esse patriarcham Aemilianum, iussit eum quam citissime ac diligentissime Constantinopolim ad se mittere. logotheta vero, cui exosus olim patriarcha erat, promittebat Isaacio magna ab imperatore praemia, si vel solum urbe Antiochia dimoveret patriarcham. Comnenus cum his mandatis Antiochiam profectus honore maximo cum a primoribus civitatis tum a patriarcha exceptus est. ingressus autem civitatem omni genere obsequii demereri patriarcham sategit benevolentiam in eum populi veritus. bifariam enim divisa civitas erat: cuius altera factio patriarchae, altera imperantibus studebat. metuens igitur seditionem novus dux neque imperatoris literas iter Constantinopolitanum imperantes patriarchae reddidit, neque ullum indicium fecit arcano acceptorum ab imperatore mandatorum. sed quid est machinatus? finxit morbum, et alligatis ad brachia manibus ambabus, medicos quasi ut eas expedirent ad officia vitae consueta convocat. re cognita perofficiose adest patriarcha stu-

τριάρχης καὶ περὶ τῆς νόσου φιλοσοφεῖ, καὶ τὰ περὶ ταύτης κοινοῦται μετ᾽ αὐτοῦ. ἐδόκει οὖν τῆς νόσου αἴτιον εἶναι ἔμφραξις περὶ τὰς λείας ἀρτηρίας συνισταμένη. ὡς δ᾽ ἐξιέναι τῆς πόλεως τοῦτον ἤρεσε τοῖς ἰατροῖς καὶ χωρίον ἐσκοπεῖτο τῇ νόσῳ κατάλληλον εὖ τε κράσεως ἔχον καὶ θυμηδίαν τινὰ παρέχον τῷ κάμνοντι, ὁ πατριάρχης τοιοῦτό τι ἔχειν ἐπήγγελται, καὶ εὐθὺς ἐξιέναι τὸν δοῦκα ἐπέτρεπε κἂν τούτῳ ἐνδιαιτᾶσθαι. ὁ δὲ ἐξῄει, καὶ ὁ πα- B τριάρχης ἧκε τοῦτον προπέμψας καὶ ὑπέστρεφεν. ἀλλὰ τί τὸ ἐντεῦθεν; δύο παρῆλθον ἡμέραι, καὶ ὁ πατριάρχης ἧκε τοῦτον ἐπισκεψόμενος. ὁ δὲ τὸν πατριάρχην ἰδὼν πυθομένου ἐκείνου τὰ κατ᾽ αὐτόν, ῥᾷον ἔλεγεν ἔχειν ταῖς σαῖς εὐχαῖς· ὀνήσασθαι γὰρ ὑπὸ τῆς εὐκρασίας τοῦ κατὰ τὸ χωρίον ἀέρος. καὶ ὃς ἀκούων ταῦτ᾽ ἔχαιρεν. ἔτι δ᾽ αὐτῶν ὁμιλούντων ἧκέ τις μηνύων ἔγγιστα τοῦ χωρίου κοιτάζεσθαι λαγωόν. ἐκέλευον οὖν ἀπιέναι οἱ ἰατροί. ὁ δὲ προσεποιεῖτο μὴ βούλεσθαι. ὁ δὲ πατριάρχης παντάπασιν ἀγνοήσας τὸ δρᾶμα παρεκάλει τοῦτον ἐξιππασάμενον ἀπελθεῖν C πρὸς τὴν θήραν τοῦ λαγωοῦ. ὁ δ᾽ ὑποκρίνεται τοῦ ἀκούειν. βίᾳ οὖν ἐπιβὰς τοῦ ἵππου τῆς πρὸς Ἀντιόχειαν εἴχετο, καὶ εἰσελθὼν ἐντὸς τῆς πόλεως καὶ τὰς πύλας κλείσας τὰ βασιλικὰ πρὸς τὸν πατριάρχην ἐξέπεμπε γράμματα τὰ πρὸς τὴν βασιλίδα τῶν πόλεων τοῦτον μεταπεμπόμενα, καὶ ἠξίου πρὸς τὴν θάλασσαν κα-

17. τοῦ] τούτου? 19. πύλας] Ita P. pro πόλεις.

diumque verum exhibet. ac de morbi quoque causa familiariter cum aegro disserens philosophabatur, conveniebatque inter eos ortum id incommodum videri ex obstructione in laevem arteriam impacta. consentibus porro medicis ei discutiendae opportunum fore, si dux tantisper e civitate transferretur in suburbanam domum coeli purioris et eius amoenitatis quae recreare animum languentis posset, patriarcha quam habebat eius generis villam prolixe obtulit ac confestim ipse ultro instituit apud ducem ut ea uteretur. passus ille sibi persuaderi exiit urbe deducente patriarcha, qui eo ibi relicto in urbem rediit. quid postea? duo dies abierant, cum ecce iterum adest patriarcha aegrum hospitem visurus ut haberet. quo interrogante satin' salvae, et quo loco res essent: tuis, inquit dux, precibus coepi sentire fructum salubritatis huius aëris, patriarcha vicissim gratulante. quos inter officiosos sermones adfuit qui nuntiaret, notatum sibi non longe a villa cubile leporis. atqui aiunt praesentes medici, magnopere interest ad reliquias morbi resolvendas exercitatione uti modica, qualis erit facilis in propinquo venationis. fingebat autem aegre se adduci ad id consilium dux. quando patriarcha ignarus quid strueretur etiam atque etiam suadere institit, medicis obsequeretur equoque conscenso iret ad venandum leporem. assensus tandem est quasi victus auctoritate viri dux, et in equum quasi parum valens ministerio suorum impositus patriarcha ibi relicto, recta fertur Antiochiam iussisque repente claudi portis civitatis regias ad patriarcham mittit literas quibus evo-

τιέναι ὡς τάχιστα. ὁ δὲ ἐδυσχέραινε μὲν καὶ ἠπείλει δράσειν ἀνήκεστα, οὐ μέντοι γε καὶ δεδύνητο. ἀλλὰ τὴν Λαοδικέων καὶ ἄκων καταλαβὼν καὶ ὀλίγας ἐνδιατρίψας ἡμέρας ὥστε αὐτῷ τὰ
D ἐφόδια κομισθῆναι ἐκ τῆς Ἀντιοχέων, ἀπῆρε πρὸς τὸ Βυζάντιον.

29. Ὁ δὲ δοὺξ Ἰσαάκιος τοῦ ἐκ τοῦ πατριάρχου δέους ἀπαλλαγεὶς διῴκει τὰ κοινὰ καὶ τὰς ἀναφυομένας ταῖς πόλεσι στάσεις ἐπειρᾶτο διαλύειν. ἀλλ' οὐκ ἦν ἠρεμῆσαι τὸν τῶν Χριστιανῶν ἀρχαῖον πολέμιον· ταύτῃ τοι καὶ ἐξ αἰτίας βραχείας τοὺς στασιαστὰς αὖθις κεκίνηκε. τῶν γὰρ ἄρτι προκόπτειν ἀρξαμένων τινὲς ἐκκαυθέντες ὑπὸ τοῦ φθόνου κατὰ τῶν ἐν τέλει καὶ τοῦ δουκὸς τὸ πλῆθος ἐξώπλισαν. καὶ τὸν μὲν εἴσω τῆς ἀκροπόλεως
P 66 συγκλείσαντες τὰς εἰσόδους ἐφρούρουν, κατὰ δὲ τῶν ἐξορμήσαντές τινας μὲν ἀνεῖλον, οἱ δὲ λοιποὶ πρὸς τὴν ἀκρόπολιν τὰς οἰκίας τῶν ἀρχόντων πορθοῦντες καὶ τὰ χρήματα διαρπάζοντες. ὁ δοὺξ τοίνυν εἰς προὖπτον καταστὰς κίνδυνον πρὸς τὰς κύκλῳ πόλεις ἐξέπεμψε τοὺς στρατιώτας μετακαλούμενος. ἐν ὀλίγῳ δὲ ἀποχρώσης συνελθούσης δυνάμεως κατεστρατήγει τοὺς στασιαστάς. εἰς πολλὰ γὰρ μέρη τὸ στράτευμα διελὼν ἐκέλευσε ἀπιέναι πρὸς τὰ στενωπὰ καὶ τοὺς ἀπαντῶντας ξυλλαμβάνειν, ὡς μὴ ὁμοῦ γενόμενοι βοηθοῖεν ἀλλήλοις. οὗ γενομένου συνέβη τῶν
B Ἀντιοχέων στασιαστῶν φόνον γενέσθαι πολὺν καὶ οὕτω μόλις τὴν στάσιν κατευνασθῆναι. ἄρτι δὲ ταύτης κατευνασθείσης τοὺς Ἀν-

12. κατὰ δὲ τῶν] Apertum est in his et proxime sequentibus plura turbata esse et corrupta.

cabatur Constantinopolim. indignatus ille est iis visis et gravia minatus est. non potuit autem recusare quin obtemperaret, sed statim vel invitus ductus Laodiceam, paucos ibi moratus dies, dum quae ad iter opus erant ei Antiochia deferrentur, Byzantium proficiscitur.

29. Dux vero Isaacius solutus cura et metu patriarchae recte administrandae quam curandam acceperat civitati libero animo vacabat resque illas, quae seditionum causae urbibus solent esse, removere conabatur. sed non poterat quiescere Christianorum antiquus hostis. quare is ex levi occasione seditiosos rursus commovit. nam eorum quidam qui emergere in claritatem nuper coeperant, invidia succensi adversus magistratus et ducem plebem armaverunt. et cum hunc quidem intra arcem conclusissent, aditus custodiebant, in magistratus vero reliquos impetu facto nonnullos occiderunt: interim dum alia seditiosorum manus diripiendis domibus principum quae vicinae arci erant pecuniisque depraedandis attendebant, dux in manifesto constitutus periculo misit ad circumpositas civitates auxilia accersens, ac brevi non modica manu congregata sapienti ratione bellum in seditiosos administrat. in multas enim partes exercitu diviso dispertit copias per angiportus iussas obvios corripere, ne illi simul iuncti opem invicem ferrent. quo facto contigit Antiochensium seditiosorum caedem magnam fieri, ac sic quamquam aegre tumultum sedari. eo utcumque pacato sedulo dedit operam, ut civi-

τιοχεῖς ἔσπευδε θεραπεύειν. εἶτα διελθουσῶν ἡμερῶν ὀλίγων ἠγγέλθη Τούρκων οὐκ ἐλαχίστην μοῖραν κατὰ Συρίας χωρεῖν. ὁ δὲ V 47 τὰς δυνάμεις ἀναλαβὼν ἐξῄει. συνείπετο δέ οἱ καὶ ὁ ἐπ' ἀδελφῇ τούτου γαμβρὸς Κωνσταντῖνος ὁ τοῦ βασιλέως Διογένους υἱός. ἐντυχὼν δὲ τοῖς Τούρκοις καὶ μάχην μετ' αὐτῶν συνάψας ἡττήθη, καὶ γενναίως ἀγωνισάμενος καὶ τραύματα ἱκανὰ παρ' αὐτῶν λαβὼν αὐτὸς μὲν ἑάλω, ἀνῃρέθη δὲ καὶ ὁ Διογένης. τὸν μὲν οὖν C εὐθὺς οἱ Ἀντιοχεῖς ἀποστείλαντες χρυσίου χιλιάδων ὠνήσαντο εἴκοσι καὶ τὰ ἐκ τοῦ πολέμου τραύματα θεραπεύειν ἔσπευδον· αὐτὸς δὲ εἰσέτι γνησίως διέκειτο πρὸς αὐτοὺς καὶ τὰς ἀμοιβὰς ὡς οἷόν τε ἔσπευδε τούτοις ἀποδιδόναι. ἀλλὰ τὰ μὲν κατὰ τὴν Ἀντιόχειαν ἐν τούτοις ἦν, ὁ δὲ ἑξῆς λόγος δηλώσει καὶ περὶ τῶν κατὰ τὴν ἑσπέραν.

tatem benefactis demereretur sibique popularem colligeret gratiam. paucis post diebus nuntiatum est non parvam Turcorum manum in Syriam irrumpere. quo audito dux cum copiis adversus illos vadit. adiunxit se illi vir sororis eius Constantinus imperatoris Diogenis filius. occurrunt Turci. pugnatur. dux fortissime rem gerens multis vulneribus acceptis capitur. Constantinus Diogenes occiditur. et ducem quidem Antiocheni misso pretio viginti millium aureorum redemerunt ceteraque belli mala reparare studuerunt. ipse autem hactenus mutuam ipsis benevolentiam exhibet et quae bene meriti de ipso sunt affectu et beneficiis studet rependere. hoc statu erant res Antiochenae. quid interim ageretur in Occiduis partibus liber consequens docebit.

ΒΙΒΛΙΟΝ Γ.

1. Ὅσα μὲν οὖν ξυνέβη κατὰ τὴν ἕω μετὰ τὴν τοῦ Διογένους P 68 τοῦ βασιλέως καθαίρεσιν, καὶ ὅσαι ταραχαὶ καὶ ἀποστασίαι καὶ V 48 στάσεις ἀνήφθησάν τε καὶ αὖθις ἐσβέσθησαν, καὶ ὡς ἡ μεγίστη πασῶν τυραννίς, φημὶ δὴ τοῦ Οὐρσελίου, εἰς μέγα ἀρθεῖσα καὶ μεγίστων κακῶν αἰτία τῇ Ῥωμαίων γενομένη παρὰ τοῦ Κομνηνοῦ Ἀλεξίου καθῄρητο ἔτι κομιδῇ νέου ὄντος καὶ στρατοπεδάρχου τῆς

17. δὴ] Fort. add. ἡ.

LIBER III.

1. Quaecumque quidem contigerunt per Orientem post depositionem Diogenis, turbasque defectiones, seditiones, qua excitatas, qua exstinctas per id tempus, et ut omnium maxima tyrannis, Urselii dico, in magnum elata et maximorum causa malorum imperio Romano a Comneno Alexio adhuc adolescentulo exercituum Orientalium praefecto deleta sit, qui hunc praecedit

V 49 ἕω ἀποδειχθέντος, ὁ πρὸ τοῦδε λόγος δηλοῖ. νυνὶ δὲ ἀπὸ τῶν κατὰ τὴν ἑῴαν πραγμάτων ἀναγκαῖον μεταβῆναι πρὸς τὴν ἑσπέραν καί τινα τῶν ἐν αὐτῇ πραχθέντων ἀφηγήσασθαι, ἵν' εἱρμῷ B τινι καὶ τάξει βαδίζων ὁ λόγος ἐπὶ τὰς πράξεις αὖθις ἔλθῃ τοῦ Κομνηνοῦ Ἀλεξίου. ἐπειδὴ τῶν παίδων τοῦ θειοτάτου καίσαρος ὁ μὲν νεώτερος Κωνσταντῖνος ἀνὴρ ἀγαθὸς γενόμενος ἐξαίφνης ἀπεβίω, ὁ δὲ πρεσβύτερος Ἀνδρόνικος τὸ γενναῖον αὐτοῦ τῆς ψυχῆς παραστήσας κἂν τῷ κατὰ τοῦ Οὐρσελίου πολέμῳ καὶ ἑαυτὸν προϊέμενος ὑπὲρ τῆς τοῦ πατρὸς σωτηρίας δεινῶς τετραυμάτιστο ὡς μικροῦ δεῖν ἔξαιμος γεγονὼς ἐπανῆλθε πρὸς τὸ Βυζάντιον, ἐπανελθὼν δὲ καὶ ἐπιμελείας τυχὼν ὅτι πλείστης τῶν μὲν ἐκ τῶν τραυμάτων ἀλγηδόνων ἀπήλλακτο, καχεξίᾳ δὲ σπλάγχνων συσχεC θεὶς ὑδέρῳ ληφθεὶς ἀπηγόρευτο πρὸς τῶν ἰατρῶν, ἀτονησάσης τῆς τέχνης ἐπικουρῆσαι τῷ κάμνοντι· ἐπεὶ γοῦν οὕτω ταῦτα συνέβη καὶ ὁ καῖσαρ τὸν εὐκλεῆ βίον εἰς τὸν μοναδικὸν μετήμειψεν, ὁ βασιλεὺς Μιχαὴλ φροντίσι μυρίαις ἐπάλαιε, τῶν τε Σκυθῶν Θρᾴκην τε καὶ Μακεδονίαν κατατρεχόντων, τοῦ τε Σθλαβίνων ἔθνους τῆς δουλείας Ῥωμαίων ἀφηνιάσαντος καὶ τὴν Βουλγάρων δῃοῦντός τε καὶ ληϊζομένου. Σκοῦποί τε καὶ Ναῖσος ἐπορP 69 θοῦντο, καὶ αὐτὸ δὴ τὸ Σίρμιον καὶ τὰ περὶ τὸν Σαβίαν ποταμὸν χωρία καὶ αἱ παρίστριοι πόλεις αἱ μέχρι Βυδίνης κακῶς διετίθεντο. ἐκεῖθεν δ' αὖθις Χωροβάτοι καὶ Διοκλεῖς ἀποστάντες ἅπαν τὸ Ἰλλυρικὸν κακῶς διετίθουν.

21. διετίθεντο] V. διέθεντο.

liber explicat. nunc autem ab Orientalibus rebus necesse est transgredi in Occidentem et quaedam ibi gestorum enarrare, ut serie continua et nusquam interrupto ordine nostra progrediens oratio rursus ad Comneni Alexii acta revertatur. postquam filiorum praestantissimi Caesaris natu minimus Constantinus vir fortis subito exstinctus est, maximus vero natu Andronicus generositate sua probata in bello maxime contra Urselium, quo se ipsum pro salute patris devovens tam graviter est vulneratus ut prope exsanguis redierit Byzantium, ibique quam diligentissime curatus doloribus quidem vulnerum liberatus est, languore vero viscerum correptus hydropicus indicatus est a medicis et ut gravius laborans quam qui iuvari ope artis posset depositus atque conclamatus est. postquam haec inquam sic evenerunt, et Caesar inclytam vitam in monasticam professionem mutavit, imperator Michaël curis innumerabilibus conflictabatur, Scythis quidem Thraciam et Macedoniam incursantibus, Slavorum vero gente iugum Romanae dominationis excutiente et Bulgariam rapinis atque incendiis agente ferenteque. Scupi quoque et Naïsus vastabantur, quin ipsum etiam Sirmium, et quae circa Saviam amnem sita sunt oppida quaeque ad Istrum usque Vidinam iacent civitates graviter laborabant. inde rursus Chorobati et Diocleuses rebellantes universum Illyricum infestabant.

2. Τούτων οὕτως γινομένων ὁ βασιλεὺς Μιχαὴλ εἰς δέος ἐκπέπτωκε μέγα, καὶ ἐσκέπτετο κοινωνόν τινα προσλαβέσθαι καὶ τὴν δευτέραν αὐτῷ ἀπονεῖμαι τιμήν, φημὶ δὴ τὴν τοῦ καίσαρος. ἐπεὶ δὲ τὸ συγγενὲς αὐτοῦ ἅπαν καθῄρητο, πρὸς τῶν ἐν τέλει τοὺς στρατηγοτάτους ἀπέβλεψε καὶ ἐζήτει καθ' ἑαυτὸν μετὰ τῶν περιοικιδίων τὸν πείρᾳ πραγμάτων καὶ φρονήσει καὶ ἀρετῇ τῶν ἄλλων πλεονεκτοῦντα. ὡς δὲ πᾶσιν ἐδόκει τοῖς περὶ αὐτὸν καὶ B αὐτῷ τῷ λογοθέτῃ τοιοῦτος εἶναι ὁ Βρυέννιος Νικηφόρος, οὗ πρόσθεν ἡ ἱστορία ἐμνήσθη, τὰ πρὸς τὸν θεὸν πιστός, τὰ πρὸς φιλίαν βέβαιος, δεινός τε ὑπαισθέσθαι τὸ μέλλον καὶ προφυλάξασθαι στρατηγῆσαί τε κατ' ἐχθρῶν δοκιμώτατος, εὐθὺς γράμμασι βασιλικοῖς ἐξ Ὀδρυσῶν μετεπέμπετο. πρὸ τοῦ δὲ τοῦτον τὸν ἄνδρα εἰς τὴν βασιλίδα ἐπανελθεῖν κοινοῦται ὁ βασιλεὺς τὸν λόγον τινὶ τῶν τῆς συγκλήτου βουλῆς, καθ' αἷμα τούτῳ μητρόθεν προσήκοντι. ὁ Δρουγγάριος οὗτος ἦν Κωνσταντῖνος, ὁ τοῦ τῆς πατριαρχίας τὸν θρόνον ἰθύναντος πάλαι Μιχαὴλ ἀδελφιδοῦς, ὃς ἐπεκέκλητο Κηρουλλάριος. ὁ δ' ἀκούσας βαρέως ἔφερε τὰ C λεχθέντα· πάλαι γὰρ ἦν ὀνειροπολῶν τὴν βασιλείαν. ἀπαιτούμενος οὖν γνώμην εἰσαγαγεῖν ἔφησε τὸν μὲν ἄνδρα γινώσκειν καὶ ἐπαινεῖν, τὴν δὲ περὶ αὐτοῦ σκέψιν τε καὶ βουλὴν οὐ πάνυ τι ἐπαινεῖν. ἀλλ' ἤτοι (φησὶ) καὶ τῆς βασιλικῆς ἀρχῆς ὑπεκστῆναί σε ἑκουσίως τούτῳ χρή, ἀνδρὶ ὄντι γενναίῳ καὶ δραστηρίῳ καὶ

21. ἤτοι] V. εἴ τι.

2. His commotus et in gravem adductus metum imperator Michaël cogitabat consortem aliquem assumere imperii, cui secundam, hoc est Caesaris, dignitatem conferret. quia vero familia eius et consanguinitas erat exhausta, consumptis varia clade plerisque, circumspiciebat inter eos qui honores gerebant et sua ipsius acri consideratione adhibita et domesticorum intime familiarium consilio, num quem reperiret experientia rerum prudentia et virtute supra ceteros eminentem. ut autem omnibus qui circa ipsum erant et ipsi logothetae visus est talis Bryennius Nicephorus, cuius haec historia prius meminit, religione praeclarus, in amicitia firmus, providus in praesentiendo futuro, acer in praecavendo, rei quoque bellicae peritissimus et ductandis in hostes exercitibus artis ac fortitudinis probatae, is statim regiis literis ex Odrysis evocatus est. prius vero quam talis vir Constantinopolim reverteretur, communicat imperator eius ad res adhibendi consilium cuidam e senatoribus materno genere sibi coniuncto. hic erat Drungarius Constantinus Michaëlis dudum patriarchae patruelis, cui erat cognomen Cerollarius. id iste ut audivit graviter accepit, utpote qui sibi pridem ipsi imperium despondisset. rogatus igitur de re sententiam, dixit: virum quidem istum sibi notum et probatum, consilium tamen eius imperio admovendi neutiquam probari. nisi forte, inquit, velis sponte imperio universo cedere huic homini strenuo gnavoque, pro cetera sua industria et fortitudine in loco secundo non quieturo. quod si hoc non decrevisti, et vitare vis ne invitus

ῥέκτῃ, ἢ εἰ μὴ ἄκων βούλοιο τοῦτο παθεῖν, τοῦ τὸ κοινωνὸν αὐτὸν λαβέσθαι σκέμματος ἀποστῆναι. ταῦτ' εἴρηκε καὶ εἰς δέος μέγα τὸν βασιλέα ἐνέβαλε καὶ ἄλλως δειλόν τε ὄντα καὶ τὴν ἑαυτοῦ σκιὰν ὑποπτήσσοντα, ὅ φασιν.

V 50 3. Ἀφικομένου τοίνυν τοῦ Βρυεννίου ὁ βασιλεὺς Μιχαὴλ
D τὸν σκόπον μεταθέμενος ἐβούλετο τοῦτον δοῦκα τῆς τῶν Βουλγάρων ἀποδείξασθαι πάσης χώρας, ὥστε δι' αὐτοῦ καὶ τὸ Σθλαβίνων ἔθνος κατακυριεῦσαν ἀνασταλῆναι. καὶ δὴ ἐν Βουλγαρίᾳ γενόμενος ἐν βραχεῖ καιρῷ ἐς τοσοῦτον τὸ Σθλαβίνων ἐταπείνωσεν ἔθνος, ὡς ὑπὸ ζυγὸν Ῥωμαίων αὖθις τοῦτο ποιῆσαι καὶ ἀγαπᾶν ὑπ' ἐκείνου τῶν ἐν Βουλγαρίᾳ πραγμάτων κυριεύεσθαι. ἐπεὶ δὲ Χωροβάτοι καὶ Διοκλεῖς τὴν Ἰλλυρίδα κακῶς διετίθουν, καὶ τὸ
P 70 Φράγγων ἔθνος κατακυριεῦσαν τῆς Ἰταλίας καὶ Σικελίας δεινὰ κατὰ Ῥωμαίων ἐμελέτων, ἐβουλεύετο τοῦτον ὁ Μιχαὴλ ἐκ τῆς Βουλγαρίας ἐπὶ τὸ Δυρράχιον μεταβαίνειν, ὃ μητρόπολίς ἐστι τοῦ Ἰλλυρικοῦ. εὐθὺς οὖν γράμματα πρὸς ἐκεῖνον ἐπέμπετο οὐ κελεύοντα μᾶλλον ἢ ἀξιοῦντα τὴν εἰς τὸ Ἰλλυρικὸν μεταβῆναι. ἀφίκετο οὖν, καὶ πάντες ἀσμένως αὐτὸν ὑπεδέχοντο οἱ ἐγχώριοι· ἦν γὰρ ὁ ἀνὴρ χαριέστατος καὶ ἐλευθεριώτατος. βραχὺν δέ τινα χρόνον ἐκεῖσε ἐνδιατρίψας ὥστε τὰ πρὸς τὸν πόλεμον ἐξαρτῦσαι,
B ἐστράτευσε κατὰ Διοκλέων καὶ Χωροβάτων. ἐν ὀχυρωτάτοις δὲ τούτων χωρίοις στρατοπεδευομένων, τὰς δυσχωρίας αὐτὸς καθαί-

1. ἢ] Addidi suadente Bekkero. ibid. βούλοιο] Ita Bekker pro βούλοιτο.

adigaris ad id quod horres, revoca sis male formatum et nimis periculosum consilium viri talis in imperii consortium assumendi. his dictis vehementer conterruit imperatorem, pavidum alioqui et suam ipsius, quod dici solet, umbram timere solitum.

3. Cum igitur advenisset Bryennius, imperator Michaël mutata priori voluntate ducem ipsum declaravit universae Bulgarorum regionis, ut praevalentem illic Slavinorum gentem comprimeret. in quo non sane spes fefellit. illuc enim profectus brevi tempore animos audacium Slavorum belli successibus deiecit, ut iugo Romanae potentiae rursus colla submitterent et facile paterentur tali Bulgariae duci obsequi ac servire sese. quoniam vero Chorobati et Dioclenses Illyricum incursabant, et gens Francorum Italia Siciliaque occupatis gravia in Romanos meditabatur, putavit e re fore Michaël Augustus si Bryennium e Bulgaria Dyrrachium transferret, quae urbs est metropolis Illyrici. statim ergo ad eum litterae mittuntur non iubentes magis quam rogantes ut in Illyricum transiret. ivit igitur, et cuncti eum libenter indigenae susceperunt, erat enim homo gratiosissimus et liberalissimus. sumpto autem ibi aliquo non magne temporis spatio ad expeditionem comparandam duxit exercitum contra Dioclenses et Chorobatos. cum autem illi in praeruptis et accessu difficilibus castra munissent locis, hanc expe-

ρειν ἔσπευδεν. ὁπλίσας γὰρ πρότερον τοὺς στρατιώτας διέβαινε τοὺς στενωπούς. δεδιότος δὲ τοῦ στρατεύματος ἐν τῷ ὑποστρέφειν τὰ δυσδιόδευτα, ἐκέλευε τοὺς ἐγχωρίους συχνὰς ἀξίνας ἐπιφερομένους ὄπισθεν ἕπεσθαι καὶ καθαίρειν τὰ δύσβατα καὶ τὰς ὁδοὺς εὐρύνειν. οὗ γενομένου προθύμως οἱ στρατιῶται κατὰ τῶν πολεμίων ἐχώρουν, καὶ οὕτω κατὰ τὸν τόπον γενόμενος ἔνθα τὸ τῶν ἐναντίων στράτευμα ἦν, προσέβαλε τούτῳ καὶ μάχης ἰσχυρᾶς γενομένης κατὰ κράτος ἐνίκησε. τὰς γοῦν πόλεις ἁπάσας ὑποσπόνδους Ῥωμαίοις ποιησάμενος καθάπερ τὸ πρότερον καὶ C ὁμήρους λαβὼν καὶ φρουρὰν ἀποχρῶσαν ἐφ' ἑκάστην χώραν καταλιπὼν ἐπανῆκεν εἰς τὸ Δυρράχιον. ἐπεὶ δ' ἐξ Ἰταλίας πεμπόμεναι νῆες τὰς φορτηγοὺς ναῦς καταιροῦσαι κακῶς διετίθουν, σκόπον ἔθετο καὶ τούτων τὴν ὁρμὴν ἀναστεῖλαι. καὶ μέντοι καὶ ἀνέστειλε ταύτην ταχέως τριήρεις κατ' αὐτῶν ἐξοπλίσας καὶ πολλὰς μὲν τῶν ληστρικῶν καταποντίσας νηῶν οὐκ ὀλίγας δὲ κατασχών, ὡς ὑποπτῆξαι πάντα τὸν ἐν Ἰταλίᾳ στόλον καὶ συσταλῆναι.

4. Ταῦτα μὲν οὕτω πέπρακτο ἄξια ὄντα τιμῆς καὶ γερῶν. ἀλλ' ὁ φθόνος οὐκ ἤνεγκεν ἔργα τοιαῦτα ἀνδρὸς ἀρίστου, ἀλλὰ τὰς συκοφαντῶν ἠρέθισε γλώσσας τῶν λαλούντων εἰρήνην D μετὰ τῶν πλησίον αὐτῶν, ὅ φησιν ὁ θεῖος Δαβίδ, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν. ὑπεισελθόντες οὖν τὴν τοῦ βασιλέως κουφότητα κατελάλουν λάθρα τοῦ ἀνδρὸς ὡς τυραννεῖν μελετῶντος.

diendi purgandique quod ad hostes ferebat itineris rationem iniit. armatos prius milites per angustias traiecit. metuente vero ex ipsa experientia praesentis difficultatis laborem, qui redeuntibus per tam impeditas semitas exantlandus superesset, iussit dux indigenas magno numero armatos asciis pone agmen sequi et per quemcumque saltum angustum aegre milites perruperant aperire virgultis excidendis complanandis ac dilatandis viis. quod videntes milites securo animo in hostes ibant. cum sic ad locum processisset, ubi castra erant hostilia, direxit aciem acrique praelio commisso praeclare vicit. moxque civitatibus eius tractus cunctis sub Romani ut prius foederis conditionem redactis, obsidibus acceptis et idoneis cuique loco praesidiis impositis, Dyrrachium revertit. quoniam vero piraticae ex Italia naves onerarias negotiatorum nostrorum depraedabantur, huic quoque malo remedium facere decrevit et sane ut decreverat fecit. armavit enim et immisit in classem piraticam triremes, quae multas Italicarum navium partim depresserunt, partim ceperunt. unde factum ut metu per Italiae littora vulgato grassationes latronum illinc prius erumpentium sisterentur.

4. Haec sic gesta digna honore ac praemiis erant. sed invidia non tulit opera talia viri optimi, verum in eum calumniatorum irritavit linguas loquentium pacem cum proximo suo, ut ait divinus David, mala autem in cordibus eorum. subrepentes igitur insidiose imperatoris levitati obtrectabantur clam

ὧν κινηθεὶς τοῖς λόγοις ἐκεῖνος τῶν αὐτῷ πιστοτάτων ἕνα (ὁ Καππαδόκης οὗτος Εὐστάθιος ἦν) πρὸς τὴν Ἰλλυρίδα ἐκπέμπει, παραγγείλας αὐτῷ λάθρα τὰ περὶ τῶν μηνυθέντων ἐξακριβώσασθαι. ἀπελθόντα δὲ τοῦτον μάλα ἀσμένως ὁ Βρυέννιος ὑποδέχεται, καὶ τοσοῦτον αὐτὸν ᾠκειώσατο ὡς καὶ τὰ τοῦ δράματος αὐτῷ ἀπαγγεῖλαι καὶ ὅτου χάριν πρὸς βασιλέως ἐπέμφθη. τούτων
P 71 δ' ἀκούσας ἐκεῖνος ἐδάκνετο τὴν ψυχὴν καὶ εἰς δέος ἐνέπιπτεν. οὐ μέντοι καὶ πρὸς ὀργὴν ἐκινεῖτο, ἀλλ' ἐπεῖχε τέως καὶ ἐσκόπει
V 51 τί ποτ' ἂν δράσειεν. ἔτι δ' ἐν τούτοις ὄντος ὁ ἐκείνου αὐτάδελφος ἐφοίτα πρὸς τὸ Βυζάντιον προσεχῶς ἀριστεύσας κατὰ Σκυθῶν. ᾔτει οὖν ἐκ βασιλέως τῆς ἀριστείας τὰς ἀμοιβὰς τῷ λογοθέτῃ δι' ὄχλου γινόμενος. ὡς δὲ παρωρᾶτο καὶ κενὸς ἀπεπέμπετο, ἐδυσφόρει μάλα καὶ ἠνιᾶτο. ἐπεὶ δὲ καὶ ὁ τοῦ Φλώρου υἱὸς Βασιλάκης ἐκ Παφλαγόνων ἀφίκετο οἰόμενος καὶ αὐτὸς ἐκ βασιλέως δωρεάς τινας σχεῖν (καὶ γὰρ ἦν ἀνὴρ ἀγαθὸς τὰ πολεμικά), ἀπετύγχανε δὲ καὶ οὗτος τῶν κατὰ σκοπὸν καὶ διὰ τοῦτο
B ἠνιᾶτο καὶ ἤσχαλλεν, ἐντυχόντες ἀλλήλοιν εἰς λόγους ἠλθέτην ἄμφω καὶ πολλὰ κατεβόων τῆς τοῦ βασιλέως ἀνελευθερίας καὶ τῆς τοῦ λογοθέτου σκληρότητος. εἰς τοσοῦτον οὖν αὐτοῖν τὰ τῆς ἐντυχίας προῆλθον, ὡς καὶ ὅρκια δοῦναι καὶ λαβεῖν ἐπὶ τῷ σκέψασθαί τι σφωὶν συνοῖσον καὶ τῇ Ῥωμαίων ἀρχῇ, καὶ μέντοι καὶ ἀνέκφορα τηρῆσαι τὰ βουλευθέντα. τὰ δὲ ἦσαν ἀποσκευάσασθαι μὲν τὸν οὕτως ἀνελεύθερον καὶ ἀνοικονόμητον, καταστῆσαι δὲ εἰς

2. *Καππαδόκης*] V. *Καππάδοκος*. 18. *ἀνελευθερίας*] Ita P. pro *ἐλευθερίας*.

Bryennio tamquam imperium affectanti. quorum sermonibus metus ille unum ex sibi fidissimis (erat is Eustathius Cappadox) in Illyricum mittit, dato illi clam mandato inquirendi de rebus ad se delatis. hunc ad se profectum libentissime Bryennius excepit tantumque demeruit ut arcanum ei aperiret indicaretque cuius rei causa mitteretur ab imperatore. pupugit id vehementer viri animum et metu non parvo affecit, non tamen in iram accendit: tenuit enim se adhuc et deliberabat tantum quid ageret. dum in eo erat, frater eius Constantinopolim rediit re paulo ante bene gesta contra Scythas. petebat igitur ab imperatore pretium operae fortiter navatae frequenter id urgens apud logothetam. ut autem despiciebatur et dimittebatur vacuus, haud parum indignabatur et aegre ferebat. postquam autem et Flori filius Basilaces e Paphlagonia venit sperans et ipse ab imperatore munera, erat enim vir bello fortis, et spe frustratus ipse quoque est nec patientius repulsam tulit, convenientes ambo murmurabant invicem de illiberalitate imperatoris et logothetae duritie tantumque illo congressu sunt provecti, ut mutuo coniurarent consideraturos se quid utile ipsis et Romano imperio foret, interim autem in arcano habituros quae molirentur. haec autem erant: removere de solio ita illiberalem et male dispensantem opes imperii principem; impe-

τὴν Ῥωμαίων ἀρχὴν ἄνδρα πολλοῖς κομῶντα πλεονεκτήμασι, καὶ
μὴ ὑπ᾽ ἀνδρὸς ἐκτομίου οὕτω τοὺς στρατηγοὺς Ῥωμαίων ἐμπαί-
ζεσθαι. ἐδόκει οὖν αὐτοῖν ὡς τάχιστα τὸν Βρυέννιον ἐξ Ἰλ-
λυρίδος μεταπέμπεσθαι κἀκεῖνον ἀρχηγὸν τοῦ σκέμματος κα- C
θιστᾶν.

5. Τούτων τοίνυν βεβουλευμένων ὁ μὲν Βρυέννιος Ἰωάννης οἴκαδε ἀπῄει, ὁ δὲ Βασιλάκης εἰς τὸ Βυζάντιον ἔμεινεν. οὔπω βραχὺς διῆλθε καιρός, καὶ τῶν βαρβάρων τις τῶν πελεκηφόρων, οἷς ἡ τῶν βασιλείων πεπίστευτο φυλακή, ἐν Ὀδρυσοῖς ἐφοίτα πρὸς τὴν πάλαι μὲν Ὀρεστιάδα καλουμένην νυνὶ δὲ Ἀδριανούπολιν· ὃς καταλύσας ἔν τινι πανδοχείῳ, ἐπειδὴ ἱκανῶς οἴνου ἀνεφορεῖτο, ἀπεφοίβαζε τὰ ἐντὸς ὡς πεμφθείη πρὸς τοῦ λογοθέτου δόλῳ μετελθεῖν καὶ ἀνελεῖν τὸν Βρυέννιον. μηνυθέντων δὲ τού-
των τῷ Βρυεννίῳ ὁ βάρβαρος εὐθὺς ξυλλαμβάνεται καὶ πρὸς ἐξέ- D
τασιν ἤγετο, καὶ εἴθ᾽ ἑκὼν εἴτε ἄκων ξυνετίθετο ταῦθ᾽ οὕτως ἔχειν. τὴν ῥῖνα οὖν αὐτοῦ προστάξας τμηθῆναι ὁ Βρυέννιος Ἰωάννης πρὸς τὸν ἀδελφὸν εὐθὺς ἐξέπεμψε γράμματα πρὸς ἀποστασίαν αὐτὸν ἐρεθίζοντα. διακομισθέντων οὖν πρὸς αὐτὸν τῶν γραμμάτων κατὰ τὸ Δυρράχιον, πλήρης ἦν ὁ ἀνὴρ φροντίδος οὐκ ἔχων ὅ τι καὶ δράσειε. τό τε γὰρ πρὸς ἀποστασίαν χωρῆσαι δεινὸν ᾤετο καὶ μεγίστων κακῶν αἴτιον, τό τε ἑαυτὸν εἰς προῦπτον κίνδυνον παραδοῦναι πάντων καταφρονήσαντα οὐκ ἀνδρὸς ἔκρινεν ἀγαθοῦ εἶναι καὶ συνετοῦ καὶ γενναίου. τούτοις παλαίων τοῖς

11. ἀνεφορεῖτο] ἐνεφορεῖτο?

nere vero Romano imperio virum aliquem virtutibus et rebus gestis eo loco dignum, nec diutius pati semivirum eunuchum sic Romanae militiae ducibus illudere. visum autem utrique est quam primum arcessendum ex Illyrico Bryennium et illum factionis suae principem constituere.

5. His ita decretis Ioannes Bryennius domum abit. Basilaces vero Byzantii substitit. non multo post quidam e barbaris securigeris, quibus palatii imperialis credita custodia est, in Odrysos venit ad civitatem olim quidem Orestiadem vocatam: nunc Adrianopolis dicitur. hic cum divertisset in stabulum publicum et multo mero se ingurgitasset, quae acceperat arcana palam aperuit, mitti se proclamans a logotheta ut dolo circumventum occideret Bryennium. ea cum indicata Bryennio essent, barbarus statim comprehenditur et tormentis admotus volens nolensque cogitur fateri rem ita habere. Ioannes Bryennius iussit huic nasum amputari statimque ad fratrem dat literas quibus eum ad rebellionem hortabatur. his Dyrrachium ad Nicephorum Bryennium perlatis plenus ille sollicitudine erat nesciens quid ageret. tunc enim rebellare grave putabat et maxima mala inde eventura providebat: rursus obiectare se manifesto periculo consiliis et indiciis quae undique afferebantur omnibus contemptis non iudicabat viri fortis et prudentis esse. his

λογισμοῖς διέμεινε μέχρι πολλοῦ, καίτοι συχνῶς ὑπὸ ἐπιστολῶν ἐρεθιζόμενος ὑπὸ τοῦ ἀδελφοῦ.

P 72 6. Ἀλλὰ τὰ μὲν κατὰ τοῦτον ἐν τούτοις ἦν. ὁ δὲ καῖσαρ τὴν πρὸς θάνατον φερόμενον ὁρῶν τὸν υἱὸν καὶ τοὺς παῖδας αὐτοῦ κομιδῇ νέους, ἔσπευδεν ὡς ἔοικεν ἐπίκουρον τῇ οἰκίᾳ ἐκείνου εἰσαγαγεῖν, ἐκείνου τε πρὸς τοῦτο αὐτὸν παραθήγοντος καὶ τῆς καλλίστης πασῶν γυναικῶν αὐτοῦ ὁμευνέτιδος, ἧς τῷ ἔξωθεν κάλλει τὸ ἐντὸς ξυνεξέλαμπε κάλλος, καὶ τῇ περιφανείᾳ τοῦ γένους αἱ τῶν ἀρετῶν ἀγλαΐαι καὶ ἡ τῶν ἠθῶν κοσμιότης συνή-
B στραπτε. πατρόθεν γὰρ εἰς τὸν βασιλέα Βουλγάρων τὸν Σαμουὴλ ἀνεῖλκε τὸ γένος, Τρωϊάννου θυγάτηρ οὖσα τοῦ ἐκείνου υἱέος, μητρόθεν δὲ ἐς τοὺς Κοντοστεφάνους καὶ τοὺς Ἀβαλλάντας καὶ τοὺς Φωκάδας τοὺς πάλαι περιφανεστάτους καὶ πλούτῳ πολλῷ
V 52 κομῶντας. αὕτη γοῦν ἡ συνέσει πασῶν γυναικῶν διαφέρουσα οὐκ ἀνῆκε τὸν ἄνδρα παραθήγουσα ἀρωγὸν τῶν ἐκείνου παίδων εἰσαγαγεῖν τινα, καὶ μέντοι καὶ γνώμην εἰσήνεγκεν ὡς μὲν συνετωτάτην ὡς δὲ λυσιτελεστάτην. ἡ δὲ ἦν τὸ τὸν Κομνηνὸν Ἀλέξιον συνάψαι τῇ πρωτοτόκῳ τῶν θυγατέρων. τριῶν γὰρ θυγατέ-
C ρων ἀποδειχθέντες γεννήτορες τὴν μὲν νεωτέραν Θεοδώραν ἐκ βρέφους αὐτὴν τῷ θεῷ προσανέθεντο καὶ τῷ καθαρῷ δι' ἀπαθείας νυμφίῳ προσήρμοσαν, ἀμφοῖν δὲ ταῖν ἄλλαιν ἐφρόντιζον,

21. ταῖν ἄλλαιν] V. ταῖς ἄλλαις.

fluctuans cogitationibus diu haesit, quamquam frequenter epistolis a fratre urgeretur.

6. Ac Bryennii quidem res hoc loco erant. Caesar vero morientem incurabili morbo filium videns filiolos aetate adhuc tenerrima relinquentem plures, cogitabat si quo modo posset labanti domui aliquem insinuare qui praesidio ipsi foret in dubiis fortunae casibus. ad hoc patrem Caesarem ipse Andronicus hortabatur. hoc idem apud virum et socerum urgebat pulcherrima mulierum uxor Andronici: cuius praecellenti formae corporis egregia virtus animi et claritati generis illustri laudatissima morum innocentia vitaeque officiorum constantia pari splendore respondebat. nam paternum quidem genus a Samuële ducebat Bulgarorum rege, e cuius filio Troïanno nata ipsa erat. materna vero ei prosapia referebatur ad Contostephanos, Aballantes, et Phocadas, familias olim illustrissimas opibusque praestantes. haec igitur non prudentia minus quam ceteris dotibus supra reliquas mulieres excellens nullum finem faciebat instigandi viri socerique ut defensorem infirmae puerorum aetati prospicerent inducerentque domum, nec rem designasse in genere contenta singillatim nominatimque monstrabat Alexium Comnenum, cui si darent coniugem primogenitam communium filiarum non illi solum uni puellae, sed fratribus praeterea eius sororibusque consulerent. tres porro filias susceperant, quarum minimam natu Theodoram ab ipsa prima infantia deo sacratam virginalibus nuptiis immaculato sponso coniunxerant. de aliis duabus

καὶ μᾶλλον τῆς ἤδη ῥηθείσης Εἰρήνης· καὶ γὰρ ἦν χαρίτων ἡ νεᾶνις ἀνάπλεως, ὥρᾳ τε σώματος διαλάμπουσα καὶ ἠθῶν ἀγλαΐαις. ὡς γοῦν ἡ ταύτης μήτηρ τὴν γνώμην εἰσήνεγκεν, ὅ τε καῖσαρ ἐπῄνει καὶ ὁ πρωτοβεστιάριος, ὁ κλεινός φημι Ἀνδρόνικος, ἥσθη καὶ μονονοὺ καὶ τῆς νόσου ἐπελανθάνετο. καὶ φοιτήσαντά ποτε πρὸς αὐτὸν τὸν Κομνηνὸν Ἀλέξιον ἰδίᾳ παραλαβὼν ἐπυνθάνετο εἰ βούλοιτο γυναικὶ συναφθῆναι· καὶ γὰρ ἔφθη ἀποβιοῦσα D ἡ πρώην τούτῳ συναρμοσθεῖσα θυγάτηρ τοῦ Ἀργυροῦ ἐκείνου ἀνδρὸς εὐγενοῦς καὶ πλούτῳ κομῶντος καὶ κτήσεως ὅτι πλείστης ὄντος δεσπότου. ὡς δὲ συντιθέμενον τοῦτον εὗρεν, εὐθὺς περὶ τοῦ κήδους ἀπήγγελλεν. ὁ δὲ ξυνετώτατος ὢν εἴπερ τις ἄλλος τῶν νέων ἥσθη μὲν τῷ ἀκούσματι, ἀνῆρτα δ' ὅμως τὰ περὶ τούτου τῷ θελήματι τῆς μητρός. ἐν ἀγῶσιν οὖν εὐθὺς ἅπας ὁ οἶκος τοῦ καίσαρος, τῆς καλλίστης πασῶν γυναικῶν διεγειράσης ἅπαν τὸ θεραπευτικὸν καὶ οἰκίδιον. οὔτε γὰρ τῷ βασιλεῖ P 78 πρόθυμον ἦν τὸ διὰ κήδους συναφθῆναι τῷ τούτου γένει τὸν Κομνηνόν, οὔθ' ἡ μήτηρ τούτου πρόθυμος ἦν ἀρχαίαν ἔχουσα τὴν δυσμένειαν πρὸς καίσαρά τε καὶ τὴν οἰκίαν τοῦ καίσαρος, ὅ τε μὴν τοῦ κρατοῦντος αὐτάδελφος ὁ Πορφυρογέννητος Κωνσταντῖνος σφόδρα φιλῶν τὸν γενναῖον Ἀλέξιον οὐ συνεχώρει τούτῳ τὸν γάμον ἀσπάσασθαι τὸν τῆς ἐκείνου ἀνεψιᾶς· ἦν γὰρ αὐτῷ ἀδελφὴ πρεσβυτέρα, Ζωὴ τὸ ὄνομα, ἣν ἐβούλετο τούτῳ συζεῦξαι. τοσούτων τοίνυν ὄντων τῶν ἐμποδίων οὐκ ἀνῆκεν ἡ συνε-

sollíciti erant, maxime autem de modo memorata Irene. erat enim adolescentula gratiis affluens, forma pariter corporis et splendore morum fulgens. ut autem huius coniugii mentionem mater intulit, concurrerunt certatim in ea comprobanda Caesar et protovestiarius ipse, inclytus inquam Andronicus, qui quidem ea propositione tantum est gavisus ut paene morbi oblivisceretur. quare ventitantem ad se officii causa Comnenum Alexium cum privatim aggressus interrogasset, ecquid vellet uxorem ducere? (nam paulo ante vivere desierat quam is sibi nuper desponderat filia Argyri illius viri nobilis et pecunia possessionibusque omnis generis abundantis) ut autem assentientem invenit, cogitatam affinitatem aperuit. hic ille omnium prudentissimus iuvenis rem quidem valde probavit et propositione delectatus est, significavit tamen se pendere in hoc ex voluntate matris. magna hic occupatio facta est universae Caesaris domui, pulcherrima Andronici coniuge familiares omnes adhibente urgenteque ut pro se quisque contenderent in expediendo negotio non modicis difficultatibus impedito. nam neque imperatori placebat ei generi coniungi nuptiali necessitudine Comnenum, neque in hoc propendebat ipsius Comneni mater antiqua offensione a Caesare ac familia Caesaris abhorrens. praeterea frater imperatoris Porphyrogenitus Constantinus vehementer amans generosum Alexium non permittebat ipsi ut in nuptias cum fratris sui Caesaris nepte consentiret: erat enim ipsi soror natu grandior Zoë nomine, quam Alexio volebat uxorem dare. tot obstaculis destinatas Alexii cum Irene nu-

B τωτάτη πασῶν γυναικῶν, οὐδ' ἔδωκεν ὕπνον τοῖς ὀφθαλμοῖς οὐδὲ νυσταγμὸν τοῖς βλεφάροις, οὐδὲ χρημάτων ἐφείσατο ἔστ' ἂν τῷ καλλίστῳ τῶν νεανιῶν τὴν καλλίστην ἐμνηστεύσατο. ὁ μὲν οὖν πατὴρ μετὰ τὴν μνηστείαν βραχύν τινα χρόνον ἐπιβιοὺς ἐτελεύτα ἐπ' ἀγαθαῖς ταῖς ἐλπίσι τὴν φιλτάτην παῖδα καταλιπών. ἀλλ' αὖθις νικᾶν ἐδόκουν οἱ πονηροί, καὶ ὁ γάμος εὖ παρετίθετο, τῶν ἀρχῆθεν κακῶν ἐπεισερχομένων τὴν τοῦ βασιλέως ἁπλότητα· οὕτω γὰρ ἐγὼ καλῶ τὴν ἐκείνου κουφότητα. ἀλλ' ὑπερενίκα πάλιν τὰ τῆς προνοίας, καὶ τὰ τοῦ φθόνου ὡς σμῆνος ἐκ καπνοῦ
C ὑπεχώρει καὶ διελύετο, καὶ οἱ καλῶς μνηστευθέντες μετ' οὐ πολὺ καὶ νυμφίοι ἀπεδείχθησαν κάλλιστοι. τὸν δὲ τρόπον ἐροῦμεν ἐπὶ τὴν ἀρχῆθεν ἀκολουθίαν ἀναδραμόντες τοῦ λόγου.

7. Ὁ Βρυέννιος Ἰωάννης, οὗ πρὸ βραχέος ὁ λόγος ἐμνήσθη, ὁρῶν τὸν ἀδελφὸν ἔτι μέλλοντα καὶ ἀναδυόμενον καὶ δια-
V 53 δρᾶναι ὡς οἷόν τε σπεύδοντα ἢ εἰς ἀποστασίαν χωρῆσαι, δεῖν ᾠήθη παρασκευάσαι τοῦτον καὶ ἄκοντα τοῦ ἔργου ἅψασθαι. τοὺς προύχοντας τοίνυν πάντας τῆς πόλεως κοινωνῆσαι αὐτῷ τοῦ σκέμ-
D ματος πείσας καὶ τὴν Ἀδριανούπολιν ἅπασαν ὑπὲρ αὐτοῦ ποιησάμενος συχνῶς μετεκαλεῖτο τὸν ἀδελφόν. ἐπεὶ δ' ἀνθίστατο ταῖς τούτου πράξεσιν ὁ Ταραχανειώτης, ἀνὴρ νέος μὲν ἔτι συνετώτατος δ' εἴπερ τις ἄλλος καὶ φρονιμώτατος, καὶ πρὸς τὸν βασιλέα καὶ τὸν λογοθέτην ἐπέστελλε ζητῶν ἐπικουρῆσαι διὰ στρατεύμα-

6. εὖ παρετίθετο] P. εὐθὺς παρῃτεῖτο. fort. ὑπερετίθετο.

ptias morantibus non remisit contentionem prudentissima mulier Irenes mater, nec dedit somnum oculis, nec dormitationem palpebris, nec denique pecuniis pepercit quoad pulcherrimo iuvenum pulcherrimam virginum copulavit, Alexio Irenem. ac pater quidem virginis post celebrata sponsalia brevi superstes spatio decessit in bonis spebus carissimam filiam relinquens. sed rursus vincere videbantur mali: et consensus in hasce nuptias recta recusabatur, pravis hominibus ut dudum solebant imperatoris simplicitati denuo in suum quaestum obrepentibus. simplicitatem voco quae levitas forte melius diceretur. verum ad extremum superavit providentia, et omnes illi ab invidia structi apparatus sic evanuerunt, ut solent admoto fumo apes fugere. et qui sponsalia celebraverant postmodum legitimis rite nuptiis sunt coniuncti. quomodo id contigerit postea dicetur, ubi hunc sermonem resumemus.

7. Ioannes Bryennius, cuius paulo superius facta est mentio, videns fratrem cunctantem et tergiversantem ac omni ope vitare cupientem ne in defectionem et rebellionem implicaretur, decrevit sibi efficiendum ut omnino is adigeretur quantumvis invitus rem capessere. cum igitur cives suos Adrianopolitas universos primoribus prius sibi devinctis in suam sententiam traxisset, crebro invitabat et accersebat fratrem, interposito nomine patriae communis ipsum ad summum honorem concorditer vocantis. obstabat vero his eorum coeptis Tarachaniotes, iuvenis ille quidem sed prudens si quisquam alius et solers maxime. hic ad imperatorem atque ad logothetam literis datis

τος, ὡς δυνηθῆναι τὴν ἀνάψασαν ἤδη ἀποστασίαν καθελεῖν. οὗτοι δὲ εἴτ᾽ ἀποροῦντες στρατιωτῶν εἴτ᾽ ἀμελῶς πρὸς τὸ ἔργον διατιθέμενοι οὐδεμίαν αὐτῷ βοήθειαν ἀπεπόμφασιν. ἐφ᾽ ἱκανὰς ἡμέρας οὖν ἀντισχὼν ὡς ἑώρα ὁμοφρονήσαντας ἅπαντας καὶ ἑαυτὸν εἰς κίνδυνον προῦπτον καταστάντα, μικρὸν ἐνεδίδου τῆς πολ- P 74
λῆς ἐνστάσεως, καὶ τῆς Βρυεννίων μητρὸς τῆς κουροπαλατίσσης Ἄννης διὰ κήδους συνάψαι τοῦτον τοῖς παισὶ μηνυσάσης ξυγκατετίθετο, καὶ τὴν τούτου ἀδελφὴν Ἑλένην κάλλει τε διαλάμπουσαν καὶ κοσμιότητι τῶν ἡλίκων πασῶν ὑπερφέρουσαν κατεγγυᾶται τῷ τοῦ ἀδελφοῦ Νικηφόρου υἱῷ, καὶ οὕτω τούτοις συνάπτεται.

8. Ὁ δὲ βασιλεὺς Μιχαὴλ ἀγνοήσας οἶμαι τὰς μεταξὺ τοῦ Βρυεννίου καὶ τοῦ Βασιλάκη συμβιβάσεις καὶ τὰ ὅρκια, δοῦκα τὸν Βασιλάκην τῶν Ἰλλυριῶν ἐξαπέστειλε, παραγγείλας αὐτῷ εἰ οἷόν τε κατασχεῖν τὸν Βρυέννιον καὶ δεσμώτην τοῦτον ἐκπέμπειν B
πρὸς τὴν Κωνσταντινούπολιν. ἀπαγγελθέντος δὲ τούτου τῷ Βρυεννίῳ, δεῖν ᾠήθη μηκέτι μένειν, ἀλλ᾽ ἐξορμᾶν καὶ οἴκαδε ἀπιέναι. ἐξῄει οὖν ὀλίγην τινὰ μεθ᾽ ἑαυτοῦ ἐπιφερόμενος δύναμιν. ἐπεὶ δὲ καὶ ὁ Βασιλάκης πρὸς τὸ Δυρράχιον ἐπειγόμενος ἐκεῖ καταλαβεῖν τὸν Βρυέννιον ἔσπευδε, συνέβη τούτους ἀπαντῆσαι περὶ Θεσσαλονίκην τοῦ Βασιλάκη προκατειληφότος τὸ ἄστυ. ὃς ἰδὼν τὸν Βρυέννιον βραχεῖαν ἐπιφερόμενον δύναμιν καὶ κατὰ πολὺ τῆς ἐκείνου ἐλάττονα, τῶν ὁρκίων ὥσπερ ἐπιλαθόμενος καὶ

2. εἴτ᾽ ἀμελῶς] Ita P. pro ὄντ᾽ ἀμελῶς.

saepius exposuit rem omnem mitti copias exposcens, quae tumescentem iam et mox erupturam mature coniurationem opprimerent. illi autem sive milites ad manum non haberent, sive rem negligerent, nullum ipsi auxilium miserunt. perseveravit tamen in fide sic desertus diebus aliquot. sed postea cum denique videret consentientes contra universos seque in praesenti periculo stare paulum remisit de vehementia prioris studii adeoque agi secum de compositione passus est, ut etiam audiret Bryenniorum matrem curopalatissam Annam annueretque petenti ne filiis suis coniungi affinitate recusaret. itaque ille suam sororem Helenam pulcritudine modestia virtutisque fama aequalibus cunctis antistantem despondet fratris Nicephori filio, et sic in horum partes palam transit.

8. At imperator Michaël ignorans opinor conventiones quae inter Bryennium et Basilacem intercedebant ducem Illyriorum Basilacem mittit, mandans ei ut si fieri posset, Bryennium caperet et vinctum Constantinopolim deducendum curaret. quod cum Bryennio indicatum esset, non putavit is sibi amplius cunctandum, sed erumpendum statim et petendam patriam. ibat igitur exiguis comitantibus copiis. cum autem Basilaces Dyrrachium festinans ibi reperire Bryennium cuperet, contigit eo iam egresse ambos sibi ad Thessalonicam occurrere, Basilace praeoccupante civitatem, qui ut animadvertit paucas infirmasque copias Bryennio adesse multoque suis infe-

C τῶν πρὸς τὸν ἐκείνου αὐτάδελφον συνθηκῶν ἐξώρμησε κατ' αὐτοῦ. γενναίως δὲ τὴν τούτου ὁρμὴν ὑποστάντος τοῦ Βρυεννίου καὶ πολλοὺς τῶν αὐτοῦ καταβαλόντος εἰς φυγὴν τέτραπτο καὶ τῆς πόλεως ἐντὸς συνεκλείετο. ἐκεῖθεν οὖν πρέσβεις ἐκπέμψας ᾔτει ἀνανεωθῆναι σφίσι τὰς τοῦ ἀδελφοῦ συνθήκας τε καὶ τὰ ὅρκια. κἀκεῖνος αὐτὸν ὑποδέχεται μάλα ἀσμένως καὶ τὰς ξυμβάσεις ἐκύρου. ἀλλ' ὁ μὲν ἥπτετο τῆς πρὸς Ἀδριανούπολιν, ὁ ἀδελφὸς δὲ ἀπήντα μετὰ πλείστης ὅτι δυνάμεως. Μακεδόνων τε γὰρ καὶ Θρᾳκῶν τὰς τάξεις ἁπάσας εἶχε μεθ' ἑαυτοῦ ἅμα λοχαγοῖς καὶ φαλαγγάρχαις καὶ αὐτοῖς δὴ τοῖς στρατηγοῖς. καὶ οἱ ἄρχοντες D δὲ τῶν πόλεων ξυνῆσαν αὐτῷ ἅπαντες, κἀκεῖνος ἅπαντας χαριέντως ὑπεδέχετο· καὶ γὰρ ἦν προσηνὴς ὁ ἀνὴρ καὶ εὐόμιλος εἴπερ τις ἄλλος. τότε μὲν οὖν στρατοπεδευσάμενοι ἀριστεῦσαι παρεσκευάζοντο. ἀλλὰ τῷ Βρυεννίῳ Ἰωάννῃ ἠρεμεῖν οὔτι δέον ἐδόκει οὐδ' ἀναβαλέσθαι τὸν καιρόν. ἐπιφερόμενος οὖν μεθ' ἑαυτοῦ τὰ τῆς βασιλείας παράσημα ἠνάγκαζε τὸν ἀδελφὸν ταῦτα περιβα- V 54 λέσθαι. ἐκείνου δὲ ἀναδυομένου καὶ σκέψασθαι περὶ τούτου ζητοῦντος, αὐτὸς ἀνέπειθε πάντας εἰ οἷόν τε τὸν ἄνδρα βιάσασθαι. ἐνίκα δ' ὅμως ἐκείνου τὸ σταθηρὸν τῆς γνώμης· ἀπεφαίνετο γὰρ ἐς νέωτα συναθροίζειν ἄρχοντάς τε καὶ στρατηγοὺς ἅμα καὶ λοχα- P 75 γούς, καὶ βουλὴν προθεῖναι. καὶ ζητῆσαι κοινῇ τὸ πᾶσι συμφέρον. κατὰ μὲν αὐτὴν ἡμέραν ἐκείνην οὕτω κατεύνασε τὴν τοῦ

8. γὰρ] Hoc addidit P. 20. ἅμα καὶ] καὶ addidit Bekker.
21. προθεῖναι] V. προσθῆναι.

riores, oblitus subito iurisiurandi et foederum cum eius germano ictorum hostiliter in eum impetum fecit. sed Bryennio fortiter resistente et multos e Basilaceanis occidente, ad extremum ipse Basilaces in fugam vertitur et intra urbem circumcluditur. unde legatis missis pacem orat veniamque renovarique inter ipsos postulat conventiones pacis, quas prius ipse cum eius fratre iuramento firmaverat. annuit valde libenter Bryennius et foedus cum Basilace sancit. sicque iter capessit Adrianopolim versus: quo itinere fratrem habuit obvium cum maximo exercitu. Macedonum enim et Thracum legiones omnes habebat secum cum centurionibus et tribunis ipsisque ducibus. principes quoque civitatum una omnes aderant: ipse porro universos comiter excipiebat, erat enim congressu humanus si quis alius. omnes illi autem tunc armati et pransi parati ad rem bene gerendam erant. quare Ioanni Bryennio nequaquam visum esse cunctandum aut negligendam occasionem. adiit ergo fratrem ferens secum insignia imperii induereque illa ipsum urgebat. cum autem adhuc ille frustraretur et tempus ad deliberandum posceret, persuasit Ioannes cunctis militibus et ducibus, ut qua quisque posset illum impellerent et cogerent ad assentiendum. vicit adhuc tamen viri constantia tam vividum impetum instantium, obtinuitque moram in diem posterum, quo, ut aiebat, congregatis ducibus et tribunis disquireret quid facto esset opus quidque in commune expediret. et diem quidem illam lucro apposuit consopito interim

ἀδελφοῦ τε καὶ τῶν ἀρχόντων ὁρμήν. ἀλλά τι ξυμπεσὸν ἔπεισε τοῦτον τῇ ἐπιούσῃ καὶ ἄκοντα ὑπεῖξαι τῷ τούτων θελήματι.

9. Τῆς γὰρ Τραϊανουπόλεως στρατοπεδευσάμενοι εὔνοιαν φυλάξαι πρὸς τὸν κρατοῦντα βουλόμενοι τὰς πύλας τῆς πόλεως ἀπεκλείσαντο καὶ ἐπὶ τὰς ἐπάλξεις ἀνῄεσαν φρουροῦντες δῆθεν τὴν πόλιν. πυθόμενοι δὲ τοῦτο πολλοὶ τῶν στρατιωτῶν ἐξέθεον ὡς πρὸς τὴν θέαν ἄοπλοι, οἱ δὲ τῆς πόλεως ὠνείδιζόν τε τοὺς ἐπιόντας καὶ εἰς ἀπιστίαν ἀπέσκωπτον, καὶ οἱ ἐκτὸς ἀντωνείδιζον. B
εἶτα καὶ ἀκροβολισμοῖς τοῖς διὰ σφενδόνης κατ' ἀλλήλων ἐκέχρηντο. τούτου τοίνυν ἀπαγγελθέντος εἰς τὸ στρατόπεδον ξυνέθεον πλείονες· οἱ δὲ καὶ κλίμακα ἐσχεδίαζον τὴν πόλιν αἱρήσειν αὐτοβοεὶ ἀπειλοῦντες. φθάσαντος δὲ τοῦ λόγου καὶ πρὸς τὸν Βρυέννιον δεινὸν ᾤετο εἰ αὐτοῦ μέλλοντος ἔτι καὶ ἀναδυομένου πρὸς τὴν τυραννίδα οἱ στρατιῶται τὰ τῆς τυραννίδος ἐνδείξονται, καὶ ταῦτα εἰς πόλιν ἄνδρας φέρουσαν ἀγαθούς, καὶ ἐκ πρώτης ὅ φασι βαλβῖδος ἐμφυλίῳ αἵματι τὰς χεῖρας μιανοῦσιν. εὐθὺς οὖν ἐξέπεμπε τοὺς ἀπείρξοντας τὴν ὁρμὴν τῶν στρατιωτῶν, οἳ C
φθάσαντες πρὸ τοῦ εἰς μέγα τὴν μάχην ἐξάψαι τὰς ὁρμὰς ἐνεχαλίνωσαν αὐτῶν. οὗ γενομένου ἐδόκει ἀποχρῶσαν φυλακὴν ἔγγιστα τῶν τειχῶν τῆς πόλεως καταλειφθῆναι, μή πως νυκτὸς ἐκδραμόντες τινὲς τῆς πόλεως τὸ στράτευμα θορυβήσωσιν. ὡς δὲ καὶ τοῦτο

3. στρατοπεδευσάμενοι] Fort. οἱ ἐνστρατοπεδευσάμενοι. Cod. σρατοπεδευσάμενον, quod corr. P. 12. τὸν Βρυέννιον] P. αὐτὸν τόν.

fratris et principum impetu. ceterum aliquid postridie contigit quo plane coactus est quantumvis invitus voluntati eorum acquiescere.

9. Hoc tale quiddam fuit. praesidiarii civitatis Traianopolis officium et fidem praestare imperatori cupientes portas urbis clauserunt insederuntque murorum pinnas tamquam propugnaturi civitatem. hoc audito multi e militibus Bryennii studio visendi rem novam inermes accurrerunt. Traianopolitani vero milites in sic accedentes convicia iaciebant infidelitatem increpantes. Bryenniani porro et ipsi exprobrabant inclusis, et post verba saxa utrimque mittebantur: sicque bellum velitationibus fundarum incohoabatur. hoc ergo in castra nuntiato concurrerunt plures, quorum et aliqui scalas expedierunt, tamquam mox aggressuri vi aperta civitatem et primo clamore se capturos minantes. hoc tumultu ad Bryennium perlato grave illi nec tolerandum videbatur ut se adhuc de sumptione imperii cunctante milites eius sic pro eo tamquam imperatore declarato pugnarent, et in eam urbem pugnarent quae virorum fortium foecunda est ac sic a primis (quod aiunt) carceribus civili sanguine macularent manus. statim igitur misit qui militum impetus revocarent. missi ad hoc satis mature adfuerunt. cum enim certamen nondum valde incaluisset, represserunt ruentes. quo facto visum Bryennianis est satis fore si prope muros civitatis militares excubiae ponerentur, ne si forte per noctem erumperent Traianopoli quidam tumultum in castris cierent.

τετέλεστο, ὁ τοῦ βασιλειῶντος ἤδη Νικηφόρου υἱὸς ὁ πατρίκιος
Βρυέννιος, ἄρτι τὴν παιδικὴν ἡλικίαν ὑπερελάσας καὶ μειράκιον
D ὢν θυμοειδὲς καὶ γενναῖον, τοὺς συνηλικιώτας παραλαβὼν (ἤστην
δὲ τούτω ὁ Κατζαμούντης καὶ ὁ Κουρτίκης Βασίλειος, ὃν καὶ
Ἰωαννίκιον ἐκάλουν) ἀπῄει παιδιᾶς χάριν πρὸς τοὺς τὴν ἔξω τῆς
πόλεως πεπιστευμένους φρουρὰν στρατιώτας, καὶ ἀγρυπνοῦντας
ἅπαντας ἐκείνους εὑρὼν ἐπαίνων ἠξίου, καὶ παρελθὼν αὐτοὺς
πλησίον τῆς πόλεως γέγονε καὶ περιῄει ἀγχοῦ τῶν τειχῶν τὴν τῆς
πόλεως περισκοπῶν φυλακήν. ὡς δ' ὑπνώττοντας ἅπαντας τοὺς
ἔνδον φυλάττοντας κατεμάνθανεν, ὑποστρέφων ταῖς σχεδιασθεί-
σαις ἐντετύχηκε κλίμαξι. καὶ ταύτας ἆραι προστάξας τοῖς ἑπομέ-
νοις τῷ τῆς πόλεως τείχει προσήρεισε καὶ πρῶτος αὐτὸς ἀνῄει ὡς
ἐπὶ τὰς ἐπάλξεις. ξυνείποντο δέ οἱ καὶ οἱ λοιποί. εὑρόντες δὲ
P 76 τοὺς φύλακας βαθέως ὑπνώττοντας καὶ μηδέν τι τῶν δρωμένων
προαισθομένους, τὰ ξίφη γυμνώσαντες περιέστησαν αὐτοῖς ἀφύ-
πνιζόν τε καὶ βασιλέα Ῥωμαίων τὸν Νικηφόρον εὐφημεῖν ἐκέλευον.
τῷ γοῦν αἰφνιδίῳ καταπλαγέντες οὗτοι καὶ οἷ κακῶν εἰσι συναι-
σθόμενοι οἱ μὲν ἀπὸ τῶν τειχῶν σφᾶς αὐτοὺς κατεκρήμνιζον, οἱ
δὲ τὸ κελευσθὲν ἐποίουν βραχείᾳ καὶ διακεκομμένῃ φωνῇ· διέ-
κοπτε γὰρ αὐτοῖς τὰς φωνὰς ὁ φόβος. οἱ δὲ τῆς πόλεως οἰκήτο-
V 55 ρες αἰσθόμενοι τὸ συμβάν, ὑπειληφότες τὴν πόλιν ἤδη πᾶσαν
ἑαλωκέναι, συνέθεον ἅπαντες, οὐ πρὸς ὅπλα χωροῦντες οὐδὲ

3. ἤστην δὲ τούτω] Cod. ἤσθη δὲ τοῦτο. P. ἦσαν δὲ οὗτοι.
8. ἀπῄει] Cod. ἀπείην. corr. P. 20. φόβος] Ita P. pro λόγος.

hoc loco res erat cum Nicephori iam regnaturientis filius patricius Bryennius vixdum puerilem supergressus aetatem adolescentulus naturae ardentis et generosum spirans, aequalibus pueris secum assumptis; hi autem erant, Catzamuntes et Curtices Basilius, quem et Ioannicium vocabant: abit quasi ludi causa ad excubitores contra civitatem ut dictum est dispositos, et omnes quidem illos vigilantes inveniens laudibus affecit ultraque progrediens propinquavit muris urbis gyransque circum e vicino explorabat ecquid ibi ad custodiam vigilaretur. ut autem non dubiis argumentis perspexit plane omnes qui murum obtinebant obdormivisse custodes reversus retro ad suos et scalis prius paratis temere repertis eas tolli iussas a comitibus muro civitatis admovet primusque ipse conscendit sequentibus reliquis. cum muri superiora tenuissent, reperiunt profunde dormientes milites, ne tunc quidem quidquam eorum quae fierent sentientes, quos circumsteterunt ensibus strictis et repente excitatos Nicephorum Bryennium Romanum imperatorem acclamare iusserunt. circumventi illi necopinato casu et ubi malorum essent sentientes partim e muro praecipites se demiserunt, partim quod iubebantur fecerunt exili et fracta voce: non enim constanter eos et fortiter metus quo turbabantur sinebat. at cives urbis admoniti strepitu primo et civitatem iam universam captam existimantes concurrerunt omnes, non ad arma, neque defensandi studio, quarum rerum tempus praeteriisse arbitrabantur, nec spe

ἐμμένειν σπεύδοντες (ἤδη γὰρ ἀπεγνώκεισαν), ἀλλὰ μίαν ἡγούμενοι B σωτηρίας ὑπόθεσιν τὸ βασιλέα Ῥωμαίων ἀναγορεῦσαι τὸν Βρυέννιον. εὐθὺς οὖν τοῦτο ἐγένετο, καὶ πάντες ἀνευφήμουν καὶ πρὸς τοὺς ἄνω τῶν τειχῶν τὰς χεῖρας ἐκτείνοντες ἱκέτευον σώζειν τὴν πόλιν. τῆς γοῦν κραυγῆς ἰσχυρᾶς γενομένης τὸ στρατιωτικὸν ἅπαν συνέθεον πρὸς τὴν πόλιν, προσεπειρῶντο δὲ τῶν κλιμάκων ἀναβαίνειν ἐπὶ τὰ τείχη. ἀλλ' ὁ τοῦ Βρυεννίου υἱὸς κατέσχεν αὐτοὺς τῆς ὁρμῆς, κελεύσας κάτωθεν ἱσταμένους συνεφάπτεσθαι τοῖς ἐντὸς τῆς εὐφημίας.

10. Τοῦτον μὲν οὖν τὸν τρόπον ἡ Τραϊανούπολις πρώτη C τὸν Βρυέννιον βασιλέα Ῥωμαίων ἀνευφήμησεν. ἕωθεν δὲ τὸ στρατιωτικὸν ἅπαν ἅμα στρατηγοῖς τε καὶ λοχαγοῖς συναθροισθὲν περὶ τὴν τούτου σκηνὴν ἐβιάζοντο τοῦτον τήν τε ἁλουργίδα περιθέσθαι καὶ τὰ κοκκοβαφῆ ὑποδήσασθαι πέδιλα. ὁ δ' ὀψὲ καὶ μόλις εἴξας τῇ τούτων βίᾳ ταῦτα περιεβάλλετο καὶ βασιλεὺς Ῥωμαίων ἤδη ἀνηγόρευτο. ἄρας οὖν ἐκεῖθεν ἐπὶ τὴν Ἀδριανούπολιν ἐχώρει, καὶ παριόντα τοῦτον αἱ πόλεις καὶ αἱ κῶμαι ἅπασαι ἀνευφήμουν. φθάσαντες δὲ τὴν πόλιν περιχαρῶς οἱ τῆς πόλεως ὑπεδέχοντο ἅπαντες. ὁ δὲ ἐπὶ τὸν ναὸν φοιτήσας τῆς θεομήτορος καὶ τῇ D μητρὶ τοῦ θεοῦ τὰ χαριστήρια θύσας οἴκαδε ἐπανέζευξε καὶ περὶ τῶν ἑξῆς ἐβουλεύετο, καὶ στρατηγοὺς καὶ ἄρχοντας ἅπαντας εἰς ἐκκλησίαν ἐκάλει καὶ βουλὴν προυτίθει, εἰ δέον ἐστὶν ἀποπειρᾶσθαι

6. τῶν κλιμάκων] διὰ τῶν κλιμάκων? 14. ὑποδήσασθαι] V. ὑποδύσασθαι.

quidquam superesse: sed unam salutis viam superesse autumantes, si Bryennium Romanorum imperatorem salutarent. hoc igitur statim factum est, et per civitatem increbescebant voces Bryennium imperatorem ingeminantium moxque manus protendentium muros versus ad Bryennianos ut putabant milites cuncta obtinentes et servari civitatem parcique obnoxiis orantium. talia vociferantium clamor ad castra pervenit excivitque milites, qui magno impetu in civitatem ruentes scalis nitebantur superare muros: sed eos id facere vetuit Bryennii filius, mandans ut potius infra stantes coniungerent voces cum civibus intus Bryennium imperatorem acclamantibus.

10. Per hunc modum Traianopolis prima civitatum imperatorem acclamavit Bryennium. mane vero proxime secuto universus exercitus cum tribunis et ducibus congregatus circa Bryennii tabernaculum cogebant ipsum et purpuram induere et rubra calceamenta, principatus insigne, sumere: ille autem tarde et aegre tandem victus instantia illorum acquievit et salutari se imperatorem passus pro tali se gessit. iter hinc igitur Adrianopolim versus pronuntiavit. quo itinere urbes et oppida obvia eum ut imperatorem alacritate magna recipiebant. Adrianopoli praesertim, ubi eo pervenit, exceptus est ab omnibus gratulatione ac gaudio ingenti. ille autem recta tetendit in templum deiparae nec nisi gratiis ibi prolixe actis matri dei, domum abiit. ubi consilia habebat deliberans de his quae sibi deinceps agenda essent. inter ea hoc praecipuum, quod ducibus ac principibus omnibus vocatis disceptan-

τοὺς τῆς μεγαλοπόλεως. ἐδόκει δὲ πᾶσι μὴ αὐτίκα χωρεῖν αὐτὸν μετὰ παντὸς τοῦ στρατεύματος ἐπὶ τὸ Βυζάντιον, ἀλλ' ἐκπέμπειν τινὰ τῶν στρατηγῶν μετὰ δυνάμεως ἀποχρώσης, ἅμα τε καὶ πρέσβεις πρὸς τὸν κρατοῦντα περὶ εἰρήνης τε καὶ δικαιοπραγίας. P 77 ἐκπέμπειν δὲ καὶ πρὸς τοὺς ἐν τέλει πάντας χρυσοσημάντους γραφὰς πλήρεις οὔσας ὑποσχέσεων τιμῶν τε καὶ δωρεῶν μεγίστων, καὶ οὕτω τῆς γνώμης τούτων ἀποπειρᾶσθαι.

11. Τούτου γοῦν δόξαντος ὁ Βρυέννιος τὸν οἰκεῖον ὁμαίμονα τὸν μάγιστρον Ἰωάννην κουροπαλάτην τιμήσας καὶ δομέστικον τῶν σχολῶν ἀποδείξας μετὰ δυνάμεως ἀποχρώσης ἐξέπεμπε, δοὺς αὐτῷ καὶ τῶν ἀρχόντων μοῖραν οὐκ ἐλαχίστην. ὁ δὲ τὰς B δυνάμεις ἀναλαβὼν ἀπῄει πρὸς τὴν Κωνσταντινούπολιν. ξυνείπετο δὲ καὶ Σκυθῶν οὐκ ἐλαχίστη τις δύναμις, οὐ τῶν ξένων καὶ μισθοφόρων ἀλλὰ τῶν πρὸ πολλοῦ αὐτομολησάντων ὑπὸ τὴν βασιλείαν Ῥωμαίων. φθάσας οὖν ὁ δομέστικος τῶν σχολῶν ἐγγὺς τῆς Κωνσταντινουπόλεως ἐστρατοπέδευε καὶ ἀπεπειρᾶτο ταύτης. καὶ οἱ ἐντὸς ἅμα μὲν δι' ὀργῆς ἄγοντες τὸν κρατοῦντα καὶ V 56 τὸ γενναῖον καὶ σταθηρὸν τοῦ Βρυεννίου γινώσκοντες, ἣν ἐντὸς ἔκρυπτον εἰς ἐκεῖνον εὔνοιαν ἀνεκάλυπτον ἤδη. ἀλλὰ τὸ δαιμόνιον ἀντωπῆσαν τὴν πάντων εὔνοιαν ταχέως εἰς τὸ δύσνουν μετέστρεψε C κατά τινα συντυχίαν τοιάνδε.

1. τοὺς τῆς] P. τῶν τῆς.

dum proposuit: ecquid expediret tentari armis regiam civitatem. visum autem cunctis est non convenire ipsum statim cum exercitu universo ire adversus Byzantium, sed mittere illo ducem aliquem cum idonea parte copiarum, et simul legatos de pace et aequa compositione tractaturos cum potente rerum, aliosque conventuros singillatim omnes illos qui magistratus gerunt, aut alioqui dignitate eminent ostensurosque ipsis diplomata bullis aureis munita, promissiones honorum donorumque maximorum continentia, quo sic tentarentur, ecquid in partes trahi possent.

11. His ita decretis Bryennius intimum consanguineum suum magistrum Ioannem curopalatem honore auctum et domesticum scholarum declaratum mittit cum eo numero militum qui sufficere ad scopum posset addiditque non exiguam ducum ac principum manum. quibus ille copiis assumptis recta Constantinopolim tendebat, sequente praeterea ipsum Scytharum non parvo exercitu, non e peregre profectis et stipendiariis, sed ex iis qui non multo ante a popularibus suis ad Romanam dominationem sponte transfugerant. cum ergo pervenisset domesticus scholarum prope Constantinopolim, castra munivit et tentabat civitatem non multum abhorrentem ab eo recipiendo. nam et in ea plerique civium odio et ira praeoccupati adversus imperatorem erant et generositatem sibi notam constantiamque Bryennii reputantes trahebantur in eum tanto studio ut iam a significationibus externis favoris in eum sui non temperarent. sed fatale quoddam ne res procederet impedimentum obstitit, quo benevolentia civitatis in Bryennium prona acerbo repente odio commutata est. casum uti contigit referam.

12. *Τοῦ δομεστίκου τῶν σχολῶν ἀντικρὺ τῶν ἐν Βλαχέρναις παλατίων στρατοπεδεύσαντος περὶ τὸν τόπον ὃν καλοῦσι Κοσμίδιον, ἐν ᾧ καὶ ναὸς ἐπ' ὀνόματι τῶν θαυματουργῶν Ἀναργύρων ἵδρυται μέγιστός τε καὶ κάλλιστος καὶ φρούριον ᾠκοδόμηται, τινὲς τῶν τοῦ θητικοῦ, ἔτι γε μὴν καὶ τῶν τοῦ στρατιωτικοῦ τοῦ χάρακος ὑπεκθέοντες διέβαινόν τε τὴν γέφυραν καὶ καταντικρὺ τῆς πόλεως ἐν τοῖς τοῦ Στενοῦ φοιτῶντες μέρεσιν ἀφορμῆς δῆθεν τῆς τῶν ἀναγκαίων συγκομιδῆς διαρπάζειν τὰ προστυχόντα* D *ἐβούλοντο. τῶν δ' οἰκητόρων φθασάντων πάντα ἐντὸς συγκομίσαι τῆς πόλεως οἱ ἐκδραμόντες, ἐπεὶ κενὰς τὰς οἰκίας λαφύρων ἑώρων, θυμοῦ τε ἐνεπίμπλαντο καὶ πυρπολεῖν αὐτὰς ἐπεχείρουν. ἀλλὰ τοῦτο αἰσθόμενος ὁ δομέστικος τῶν σχολῶν ἀπέστειλε διὰ τάχους τοὺς εἵρξοντας αὐτοὺς τῆς ἀτάκτου ὁρμῆς καὶ τὸ πῦρ κατασβέσοντας. εἰς οὐδὲν δ' αὐτῷ τὰ τῆς ὁρμῆς κατέληξε, τοῦ πυρὸς εἰς μέγα ἀρθέντος καὶ πᾶν τὸ παρατυχὸν καταφλέγοντος. ξυνέβη γοῦν ἐκ τούτου πολλὰ τῶν καλλίστων προαστείων πυρποληθῆναι. τοῦτο τὸ ἔργον εἰς θυμὸν τοὺς πολίτας διήγειρε καὶ* P 78 *τὴν εὔνοιαν τούτων μετέστησεν. ἀπογνοὺς τοίνυν ὁ τῶν ταγμάτων ἔξαρχος τοῦ πειθοῖ τὴν πόλιν παραστήσασθαι πρὸς πολιορκίαν ἐχώρει.*

13. *Ὁ δὲ τηνικαῦτα κρατῶν τῆς τῶν κατὰ τὴν χέρσον τειχῶν φρουρᾶς ἐπέστησε φύλακας τόν τε οἰκεῖον ὁμαίμονα Κων-*

7. *ἀφορμῆς*] *ἐξ ἀφορμῆς?*

12. Domestico scholarum e regione palatii Blachernarum castra habente circa locum quem vocant Cosmidium, ubi et templum in nomine sanctorum Cosmae ac Damiani erectum est maximum atque pulcherrimum iuxtaque arx adstructa, quidam e servili genere lixarum aut e gregariis militibus vallo procurrentes traiecerunt pontem et ex adverso civitatis per oram angustissimo divisam freto cursabant studio ac necessitate corradendi res opportunas et rapiendis obviis quibusque se accingebant. quoniam vero qui illic habitabant iam antea sua omnia intra civitatem transtulerant, ubi nihil isti temerarii cursores supellectilis aut praedae intra domos repererunt, irati subiicere ignem parabant. sed hoc sentiens domesticus scholarum misit statim qui revocarent a vecordi coepto et ignem exstinguerent. at hi serius advenerunt incendio iam invalescente alteque sublato et obvium quidvis consumente. per hunc errorem contigit speciosissima quaeque pulcherrimi suburbii flammis deformari. id vero civibus Constantinopolitanis perindignum visum eorum odia in Bryennii partes movit favoremque priorem omnem ac benevolentiam exstinxit. cuius novae invidiae indiciis videlicet erumpentibus desperans dux exercitus adduci posse ad suas partes persuasione civitatem vim experiri constituit et ad oppugnationem se accingebat.

13. Interim imperator muris ad mediterranea obiectis firma praesidia imposuit, ducibus praefectis proprio fratre Constantino Porphyrogenito et

σταντῖνον τὸν Πορφυρογέννητον καὶ τὸν Κομνηνὸν Ἀλέξιον, οἳ στρατιωτῶν ἀπορίᾳ τῶν προστυχόντων τινὰς ἐπὶ τὰ τείχη ἀναβιβάσαντες καὶ τοὺς ἑαυτῶν καθοπλίσαντες αὐτοὶ περιθέοντες ἐφρούρουν τὴν πόλιν. ἐν μιᾷ δὲ τῶν ὡρῶν περισκοπῶν ὁ Κομνηνὸς
B νὸς Ἀλέξιος τοὺς ἀπὸ στρατοπέδου τοῦ Βρυεννίου προνομῆς χάριν πρὸς τὰ παράλια τῶν χωρίων κατιόντας καὶ αὖθις πρὸς τὸ στρατόπεδον ἀναστρέφοντας, ὀλίγους δὲ κομιδῇ καταλειφθέντας, τὰς πύλας ἀναπετάσας ἔξεισι μετὰ τῶν ἀμφ' αὐτὸν καὶ ἐπιθέμενος τούτοις ζωγρεῖ ἄνδρας μέχρι τῶν εἴκοσι, καὶ πρὶν ἢ τοὺς ἄλλους γνῶναι τὸ δρᾶμα ἐπάνεισι μετ' αὐτῶν εἰς τὴν πόλιν. καὶ εὐθὺς περιλάλητος ἦν τοῖς ἁπάντων στόμασιν ἡ τοῦ ἀνδρὸς ἀρετή. ὁ δὲ φθόνος ὑπέκνιζε τὸν Κωνσταντῖνον τοσοῦτον ὡς καὶ κατὰ πρόσωπον τῷ ἀνδρὶ λοιδορήσασθαι ὅτι μὴ καὶ τοῦτον συμπράκτορα ἔσχε τοῦ ἔργου. ὁ δὲ κρατῶν ἠγάσθη τε τούτου τὴν πρᾶξιν καὶ χάριτας αὐτῷ φανερῶς ὡμολόγει. ταύτην τὴν πρᾶξιν τοῦ Κο-
C μνηνοῦ ἀφορμὴν ὁ καῖσαρ εὑρὼν τὸν γάμον ἐξαιτεῖ τῆς θυγατριδῆς τελεσθῆναι τοῦ γάμου συναφείᾳ. καὶ τελεῖται ταχέως ἅμα τῷ λυθῆναι τὴν πολιορκίαν τῇ πόλει. ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

14. Ὁ δὲ τῶν ταγμάτων κατάρχων τοῦ Βρυεννίου τηνάλλως ὁρῶν τριβόμενον τὸν τῆς πολιορκίας καιρόν, ἵνα μὴ πλέον κακοπαθῇ οἱ τὸ στράτευμα, ἐβούλετο μὲν τὴν πολιορκίαν λῦσαι,
V 57 ἠσχύνετο δ' ὅπως καὶ ἐδεδίει μή ποτέ τι ξυμβαίη σχίσμα περὶ

4. ὡρῶν] φρουρῶν?

Comneno Alexio. qui penuria militum quosdam ex obviis auctoratos et tumultuarie armatos custodibus murorum miscuerunt, propriis etiam quisque familiis pariter armatis, ipsi ultro citroque cursantes defensioni urbis attendebant. quo tempore Comnenus Alexius cum e speculis observasset manus e Bryennianis castris ad praedandum egressas versus oram maritimam descendisse rursumque plerisque in castra redeuntibus valde paucos retro relictos haesisse, patefactis subito portis cum familiaribus erumpit impetuque in hos facto vivos capit numero viginti ac prius quam alii sentirent intra urbem rapit. quo facto per civitatem statim fama vulgato, omnia viri laudibus personabant. unde invidia ussit Constantinum in tantum ut coram in os Comneno iurgium ferret, quod is se socium ad id facinus non adhibuisset. imperator tamen factum probavit et Alexio palam gratias egit. ex hoc Comneni successu indeque orta offensione Constantini occasionem Caesar captavit opportunam urgendi nuptias propriae neptis cum Alexio, quae et post sub obsidionis solutionem rite celebratae sunt.

14. Inter haec enim Bryenniani ductor exercitus frustra videns teri obsidione tempus, ne vexatio irrita exercitus cresceret, solvere obsidionem cogitabat, retardabaturque solum pudore quodam et metu, ne dissensionum aliquid inter male cohaerentes copias et defectio secessioque quorumdam in

τὴν παλινόστησιν. ἐζήτει οὖν τινα πρόφασιν ἐφευρεῖν ὥστε καὶ τὴν πολιορκίαν λῦσαι καὶ μηδέν τι ἐκ τούτου περιέσεσθαι βλαβερόν. οὕτω δ' αὐτοῦ διανοουμένου, ἀπαγγέλλεταί τι πλῆθος Σκυθῶν διαβὰν τὸν Αἷμον καὶ τὰ κατὰ τὴν Χερρόνησον κατατρέχον χωρία καὶ ληϊζόμενον. τοῦτο τοίνυν ἀφορμὴν εὑρὼν ὁ D στρατάρχης λύει τὴν πολιορκίαν κατὰ τῶν Σκυθῶν ἐξορμήσας, καὶ ἐντυχὼν αὐτοῖς ἐπανιοῦσιν ἐτρέψατο κατὰ κράτος καὶ φόνον ὅτι πλεῖστον εἰργάσατο, παμπόλλους δὲ ζωγρήσας πρὸς τὸν ἀδελφὸν ἐπανῆκε. γίνονται οὖν οἱ ἑαλωκότες ἐκείνῳ ἀφορμὴ πρὸς τοὺς Σκύθας εἰρήνης τε καὶ ξυμβάσεως· ὁμήρους γὰρ τῶν ἐπιφανῶν δόντες τούς τε οἰκείους αἰχμαλώτους εἰλήφασι καὶ σύμμαχοι τούτῳ κατέστησαν.

15. Ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο, ὁ Βοτανειάτης Νικηφόρος, εἷς ὢν τῶν ἐκ τῆς ἑῴας εὐγενεστάτων, στρατηγὸς τῶν P 79 ἀνατολικῶν πρὸ πολλοῦ καταστὰς παρὰ βασιλέως, ἣν ὤδινεν ἐπανάστασιν εἰς τοὐμφανὲς ἐξήγαγε. μαθὼν γὰρ ἐν ταραχαῖς εἶναι τὰ κατὰ τὴν ἑσπέραν, ὡς τῶν πόλεων ἁπασῶν ὑπὸ τὸν Βρυέννιον γενομένων, τοὺς κατὰ τὴν ἀνατολὴν καὶ αὐτὸς συναθροίσας στρατιώτας καὶ τὸν Χρυσόσκουλον ἐπιδημοῦντα τηνικαῦτα τοῖς τῆς ἑσπέρας μέρεσι προσλαβόμενος (πάλαι γὰρ ἔφθη προσχωρήσας Ῥωμαίοις, ὁπηνίκα τὰς ἡνίας ἦγε τῆς βασιλείας ὁ Ῥωμανὸς Διογένης, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν) ἐπιὼν τὰς πόλεις ὑφ' ἑαυτὸν ἐποιεῖτο. πάντων δ' αὐτῷ προσκεχωρηκότων ὁ Μελισσηνὸς Νικηφόρος, ἐς Βουρτζίους τε καὶ Μελισσηνοὺς B

discessu oriretur. quaerebat igitur quo pacto securam et innoxiam obsidionis solutionem haberet. haec eum agitanti nuntius venit Scytharum aliquam multitudinem Haemum transgressam agros pagosque circa Chersonesum incursare vastareque. hinc rapto praetextu recedit a civitate quasi Scythas reprimendi studio iisque commodum a praeda revertentibus occurrens pugnam secundam fecit, fusis fugatisque cunctis, plurimis interfectis nec paucioribus captis, quos ad fratrem rediens ei obtulit. qui ex iis occasione transigendae cum Scythis pacis opportune capta, redditis captivis alios e primoribus Scytharum obsides accepit societate cum iis firma constituta.

15. Dum autem haec gerebantur, Botaniates Nicephorus unus e nobilissimis Orientis, quem dudum imperator universis Orientalis tractus praefecerat copiis, quam pridem parturiebat rebellionem aliquando palam protulit. intelligens enim turbatas esse res Occidentis, civitatibus plerisque Bryennium sequentibus, collectis et ipse in unum qui erant varie per Orientales provincias sparsi militibus et assumpto Chrysosculo qui tunc in Occiduas partes profectionem adornabat (dudum enim ante hoc tempus is Romanis accesserat, iam tum ex quo imperium administrabat Romanus Diogenes, ut superius in hac historia docuimus), obiens civitates sibi subiiciebat. cunctis autem passim in eius partes transeuntibus Melisseuus Nicephorus e Burtziis

ἀνέλκων τὸ γένος, τῷ κρατοῦντι τηνικαῦτα Ῥωμαίων πίστιν τηρῶν πολέμιον ἑαυτῷ τὸν Βοτανειάτην ἀπέδειξε. προσεχώρησε δὲ τούτῳ καὶ ὁ Παλαιολόγος Γεώργιος, ἀνὴρ ὢν γενναῖος κἀν τοῖς πολεμικοῖς ἔργοις ἄριστος, ἄρτι δ' ἐκ Μεσοποταμίας ἐλθὼν (ξυνῆν γὰρ ἐκεῖσε τῷ ἰδίῳ πατρὶ διέποντι τὴν τῆς Μεσοποταμίας ἀρχήν), βουλόμενος εἰς τὸν κρατοῦντα πίστιν τηρῆσαι ἀκράδαντον.

16. Ὁ γοῦν Βοτανειάτης τῶν ἄλλων ἁπάντων αὐτῷ
C προσκεχωρηκότων ἀπάρας ἐκ τῆς Φρυγίας πρὸς τὴν Βιθυνίαν ἠπείγετο, διεπέμπετο δὲ καὶ πρὸς τοὺς ἐν τῇ πόλει λάθρα, τιμὰς μεγίστας καὶ δωρεὰς τοῖς ἄρχουσιν ἐπαγγελλόμενος εἰ συνεργοὺς αὐτοὺς σχοίη πρὸς τὸ τῆς βασιλείας Ῥωμαίων ἐγκρατῆ γενέσθαι. ἐπεὶ γοῦν πολλοὶ καὶ τῶν τῆς συγκλήτου βουλῆς καὶ τῶν τοῦ βήματος δυσμενῶς εἶχον πρός τε τὸν κρατοῦντα καὶ πρὸς τὸν λογοθέτην, μάλιστα δὲ πάντων ὁ πατριάρχης Ἀντιοχείας Αἰμυλιανός, οὗ πρόσθεν ὁ λόγος ἐμνήσθη, καιρὸν ἐζήτουν ὥστε σφίσι συμφέροντα δρᾶσαι. ὁ βασιλεὺς δὲ καὶ ὁ λογοθέτης τὸν ἐντὸς ἀγνοήσαντες πόλεμον πρὸς τὸν ἔξωθεν ἐξηρτύοντο, καὶ πρὸς τὸν τῶν Τούρκων διεπρεσβεύοντο ἄρχοντα (ἦν δὲ τηνικαῦτα τούτων κατάρχων Σολυμὰν ὁ τοῦ Κουτουλμοὺς υἱός), ἐξοπλίζοντες τοῦτον
D κατὰ τοῦ Βοτανειάτου. ὁ δὲ σπεισάμενος τούτοις τὸν κατὰ ἐκείνου πόλεμον ἀνεδέξατο, καὶ ἔκτοτε τὰς ὁδούς τε ἐτήρει καὶ τοὺς στενωποὺς κατεῖχε καὶ τὴν τοῦ Βοτανειάτου ἐπετήρει δύναμιν καὶ διάβασιν. ὁ δὲ τὸ Κοτυάειον καταλαβὼν καὶ τὰ κατὰ τὸν Σολυμὰν πυθόμενος, ἐπειδὴ σπανίζων ἦν στρατεύματος καὶ δυνάμεως

et Melissenis genus ducens, fidem imperatori servans, in se arma Botaniatae convertit. Melisseno se adiunxit pari fidelitatis Michaëli praestandae studio Palaeologus Georgius vir fortis et bellicis facinoribus egregius, recens e Mesopotamia, ubi patri eam provinciam administranti adfuerat.

16. Botaniates igitur aliis cunctis praeter hos duos ipsi obtemperantibus, motis castris e Phrygia in Bithyniam ferebatur. miserat autem in urbem clam qui suo nomine principibus promitterent summos honores et dona pretiosissima si cooperari sibi vellent Romanum imperium usurpanti. quoniam ergo multi cum e senatu tum ex ecclesiastico ordine exosos habebant imperatorem et logothetam maxime vero omnium patriarcha Aemilianus, cuius ante meminimus, hi omnes imminebant in occasionem suis ipsorum rationibus consulendi. at imperator et logotheta, domesticarum quas ignorabant insidiarum securi, ad bellum externum se comparabant et ad principem Turcorum legationem miserant (erat autem is tunc temporis Solyman Cutulmusi filius), qua ei suadebant ut bellum adversus Botaniatem capesseret. id quod ille fecit foedere cum legatis Michaëlis icto, et ex tunc vias obsidebat angustiis praeoccupatis Botaniatae copias et transitum observans. ille autem ubi Cotiaeum pervenisset Solymanis consilio cognito, quoniam exercitum haud-

ἀποχρώσης πρὸς τὸ πλῆθος τὸ τοσοῦτον τῶν ἐναντίων, βουλὴν βουλεύεται συνετήν. τὰς γὰρ εὐθείας καταλιπὼν ὁδοὺς ἐν αἷς προσδοκήσιμος ἦν, νυκτὸς ἀπάρας ἐκεῖθεν καὶ λαθὼν τοὺς φυλάσσοντας γέγονε περί τι φρούριον ἔγγιστα τοῦ Σαγγαρίου ποταμοῦ διακείμενον, ὅπερ Ἀτζούλα καλεῖται, ἀπέχον Νικαίας περί που τὰ διακόσια μίλια. ἐκεῖθεν δ' αὖθις ἀπάρας ἤπειγε πρὸς τὴν P 80 V 58 Νίκαιαν πρὸ τοῦ τοὺς Τούρκους αἰσθέσθαι τῆς ἐκείνου ἐφόδου. ἀλλ' οἱ Τοῦρκοι πυθόμενοι τὴν ἐκεῖθεν λαθραίαν διάβασίν τε καὶ δύναμιν οἱ μὲν ἐπῄεσαν τεταγμένοι, ὀλίγους δὲ τῶν ἱππέων ἐξαποστείλαντες ἐπὶ τὸ ἀσχολῇ τοῦτον καὶ βραδυτέραν αὐτοῦ πορείαν ποιήσασθαι, οὐ πάνυ τοῦ σκέμματος ἔτυχον. φθάνουσιν οὖν τοῦτον οἱ προπεμφθέντες οὐ πόρρω Νικαίας, καὶ ἀλαλάξαντες κωλύειν τοῖς τοξεύμασιν ἐπειρῶντο τὴν τούτου πορείαν. οἱ δὲ περὶ αὐτὸν γενναῖοι ὄντες, εἰ καὶ ὀλίγοι, ἀλλ' ὅμως ἐξώρμων κατὰ τῶν Τούρκων καὶ τὰς ἐκείνων ὁρμὰς ἀνέστελλον. δείσαντες δ' οἱ περὶ αὐτὸν μὴ τοῦ πλήθους τῶν Τούρκων φθάσαντος κυ- B κλωθεῖεν ὁμοῦ καὶ ἁλῶεν, τὸν Χρυσόσκουλον πρὸς αὐτοὺς ἐκπεπόμφασιν. ὁ δὲ ὁμιλήσας ἐκείνοις καὶ πείσας χρήματα λαβεῖν καὶ παλινοστῆσαι ἄδειαν τούτοις παρέσχεν ἐλθεῖν πρὸς τὴν Νίκαιαν.

17. Γενόμενοι δὲ περὶ τὰ ταύτης προάστεια ὁρῶσι λαὸν ὅτι πλεῖστον κατὰ φάλαγγας τεταγμένον. οὓς οἰηθέντες πολε-

6. ἤπειγε] ἠπείγετο? 10. ἀσχολῇ] ἀσχολεῖν? ἀσχολῆσαι? ibid. πορείαν] Malim τὴν πορείαν.

quaquam satis numerosum sibi adesse videbat, quanto erat opus ad tantam hostium multitudinem aperto Marte superandam, rationem belli administrandi sane prudentem iniit. vitatis enim rectis et publicis viis ubi expectari se sciebat, noctu vasis collectis inobservatus transiit ad praesidium quoddam proximum Sangario amni, quod Atzula dicitur, distans Nicaea circiter ducenta millia. unde rursus movens Nicaeae se admovit antequam Turci sentirent ipsius profectionem. hi porro audito tandem eius furtivo transitu indicioque habito numeri copiarum eius acie instructa sequebantur, praemissis equitibus paucis qui eunti facesserent negotium et festinationem properantis morarentur. hi non multum profecerunt. assecuti enim agmen Botaniatae non longe Nicaea, iaculatione in illud multa eminus cum barbara vociferatione facta, morari coeptum iter conabantur. at Botaniatae milites pauci quidem illi, ceterum fortes, impetu in Turcos facto vim eorum represserunt. veritus tamen Botaniates ne tandem paucitas suorum circumveniretur ab abundantibus numero barbaris misit ad eos Chrysosculum, qui locutus cum ipsis facile persuasit ut pecuniis acceptis retro redirent sicque Romani securum habuerunt Nicaeam usque reliquum iter.

17. Ubi porro ad ipsa Nicaeae suburbia processerunt, vident multitudinem ingentem per phalanges ordinatam. quam cum infensam sibi et mox

μίους εἶναι καὶ κατ' αὐτῶν μέλλειν χωρεῖν μικροῦ δ' ἂν ὑπὸ τοῦ δέους ἐπεπήγεσαν, ἀπογνόντες τὴν σωτηρίαν· τὸ γὰρ μάχεσθαι πρὸς τοσοῦτον πλῆθος ὀλίγους ὄντας ἀμήχανον τούτοις ἐδόκει, τό τε χωρεῖν εἰς τοὐπίσω καὶ λίαν ἦν ἐπικίνδυνον. πέμψαντες
C τοίνυν ἀγγέλους ἠρώτων τίνες τε εἶεν καὶ ὅ τι βούλονται; οἱ δὲ μιᾷ φωνῇ βασιλέα τὸν Βοτανειάτην Ῥωμαίων εὐφήμουν. ὅπερ πυθόμενος ἐκεῖνος καὶ τοῦ δέους ἀπολυθεὶς εἴσεισιν εἰς τὴν Νίκαιαν, παραδόξως οὕτω διασωθείς. οἱ γὰρ ξὺν αὐτῷ πρὸς ἀποστασίαν χωρήσαντες οὐ πλείους ἦσαν τριακοσίων ἀνδρῶν, οἵτινες ἅμα αὐτῷ διαβάντες μέσον παγίδων, πολλῶν δηλαδὴ τῶν ἐνεδρευόντων αὐτούς, ὑπὸ τῆς θείας προνοίας ἀσινεῖς διεσώθησαν, δεικνύοντος τοῦ θεοῦ κἀνταῦθα ὡς ἐκείνου διδόντος φθόνος οὐ κατισχύει, καὶ μὴ διδόντος μάταιοι μὲν οὗτοι, μάταια δὲ τῶν στρατευμάτων πλήθη καὶ λόχοι καὶ φάλαγγες ταττόμεναι ἄριστα, κενὰ δὲ δεινὰ στρατηγήματα καὶ βουλεύματα καὶ παντάπασιν
D ἄπρακτα.

18. Διαδοθείσης οὖν τῆς τοῦ Βοτανειάτου παρουσίας τοῖς ἐν τῇ πόλει καὶ ὡς ἡ Νικαέων ὑπτίαις χερσὶν αὐτὸν ὑπεδέξατο, εὐθὺς ἐν λόγοις ἅπαντες ἦσαν καὶ σκέμμασιν οἵ τε τῆς συγκλήτου βουλῆς καὶ συχνοὶ τοῦ βήματος, καὶ ἐσκόπουν ὅπως ἀποσκευάσονται τὸν κρατοῦντα, βασιλεύουσι δὲ ἑαυτοῖς τὸν Βοτανειάτην· ἔφθησαν γὰρ πρὸς αὐτὸν οἱ πλεῖστοι λάθρα διαπρεσβεύσασθαι καὶ χρυσοσημάντους γραφὰς ὑποδέξασθαι. ἐβουλεύ-

1. μικροῦ δ' ἂν] μικροῦ δεῖν? 21. βασιλεύουσι—Βοτανειάτην]?

in ipsos impetum facturam opinarentur, metu videlicet vehementi constricti sunt et in summam salutis desperationem venerunt: quomodo enim resisterent tam pauci tanto pluribus, aut quo fugerent parata victoribus persequendi et circumveniendi facultate? missi ergo trepide qui explorarent quaererentque ab armatis qui essent et quid vellent. ad ea illi una omnes voce Botaniatem Romanorum imperatorem acclamarunt. quod ille audiens magna cura solutus Nicaeam ingressus est, miro eventu a praesenti periculo se liberatum gratulans. qui enim cum ipso rebellaverant non plures trecentis erant. qui hactenus per medios insidiarum multiplicium laqueos divina utique manu ducente in tutum hoc quo diximus modo pervenerunt, ostendente hic quoque deo, nihil invidiam in eos posse quibus ipse faverit; uti e contrario nisi deus annuerit et adiuverit, vana consilia, stultae machinationes, inutiles exercitus, irritae bellorum artes, spes fallaces et coepta successu cassa.

18. Didita porro per urbem et aulam regiam fama adventus Botaniatae, et amicae a Nicaeensibus exceptionis, multus sermo multa deliberatio Constantinopolitanorum procerum erat. universus fere senatus et ex ecclesiastico gradu plerique quaerebant modum redigendi Michaëlis in ordinem et Botaniatae imperio praeficiendi: cuius videlicet occultis de quibus dictum est legationibus corrupti et in spes sibi amplas diplomatibus eius auro signatis

σαντο οὖν πρὸς τὸν περιώνυμον τοῦ θεοῦ σοφίας ναὸν ἀθροισθῆ- P 81 ναι, καὶ τοὺς περὶ αὐτοὺς καθοπλίσαι καὶ τοὺς δεσμώτας ἐξαγαγεῖν τῆς φρουρᾶς, καὶ οὕτως ἐξαποστέλλειν πρὸς τοὺς ἐν τέλει τοὺς μὴ τοῦ σκέμματος κοινωνήσαντας, καὶ τούτους καλεῖν πρὸς κοινοπραγίαν. κατάρχοντες δὲ τοῦ σκέμματος ἦσαν ὅ τε Αἰμυλιανός, ἀνὴρ πανοῦργος ὁμοῦ καὶ δραστήριος καὶ δῆμον πρὸς ἀταξίαν κινῆσαι εἴπερ τις ἄλλος καὶ δυνάμενος καὶ βουλόμενος, ξὺν τούτῳ δὲ καὶ συχνοὶ τῶν τῆς συγκλήτου βουλῆς. ἔδοξεν οὖν αὐτοῖς πρὸ τοῦ ἔργου κοινωνὸν τοῦ σκέμματος λαβεῖν καὶ τὸν καίσαρα, καὶ πέμπουσι πρὸς αὐτὸν τὸν Βαρὺν Μιχαήλ, ἄνδρα B φρονήσει καὶ πείρᾳ πολλῶν διαφέροντα. ἦν δὲ ὁ καῖσαρ τηνικαῦτα ἐνδιατρίβων πρὸς τὸν ἐν Βλαχέρναις ναόν· ἐν τούτῳ γὰρ V 59 ἔτυχε παρεῖναι καὶ αὐτὸν βασιλέα. καὶ δὴ ἐντυχὼν ὁ Βαρὺς αὐτῷ περὶ δείλην ὀψίαν ἀπήγγειλε τὰ τοῦ δράματος καὶ γραφήν τινα χρυσοσήμαντον ὑπεδείκνυ τούτῳ πεμφθεῖσαν παρὰ τοῦ Βοτανειάτου δωρεάς τε πλείστας καὶ τιμὰς ἐπαγγελλομένην τῷ καίσαρι. ὁ δὲ τούτων ἀκούσας μηδὲ τὸ τυχὸν ἀναμείνας ἀντέφησε πρὸς τὸν ἄνδρα ὡς οὔτι ἑκὼν πρόοιτο ἂν τὸ τοῦ ἀνεψιοῦ καὶ βασιλέως συμφέρον. καὶ χρὴ *** τοῦτον ἀπιόντα πρὸς τὸν λογοθέτην ἐξέπεμπεν, ἀκοῦσαι τούτου κελεύων καὶ ἀκούσαντα πρὸς βασιλέα C ἀνενεγκεῖν καὶ οἰκονομῆσαι τὰ δέοντα.

19. Ὁ δὲ ἀπιὼν τῶν περὶ αὐτὸν ἕνα καλέσας ἀπέστειλε πρὸς τοὺς συνωμότας, μηνύων αὐτοῖς ὡς ἐπειδήπερ ἁλῴη μὴ

16. τε] V. δέ. 19. καὶ χρὴ] Indicavi lacunam. P. χρὴ delevit.

erecti fuerant. decreverunt igitur in celebre dei sapientiae templum convenire familia quemque ipsorum propria armata, vinctos quoque educere publicis custodiis, et manum ex his paratam mittere circum praecipuos magistratus qui coniurationis conscientiam non habebant, ut per eos non modo ad consensum sed et ad auxilium attraherentur. horum consiliorum auctores et universae factionis duces erant in primis Aemilianus homo solers pariter et strenuus, quo nemo populum in seditionem concitare efficacius posset, ardentius vellet. tum plerique senatores, quibus ante omnia visum est tentari oportere si Caesar in partes trahi posset, mittunt ad eum Michaëlem Varum virum prudentia et usu rerum in paucis clarum. erat tunc Caesar in templo Blachernarum ubi forte imperator versabatur. ibi eum convenit Varus sub vesperam mandataque coniuratorum exposuit, et litteras quasdam auro signatas ostendit ad eum missas a Botaniate dona ei plurima et maximos honores pollicentes. quibus ille auditis nihil cunctatus renuit, aiens nullis se umquam conditionibus eo adducendum ut volens imperatorem fratris sui filium proderet. mox eum qui ad se venerat ad logothetam mittit, rogans ut eum audiret auditaque ad imperatorem referret, et quae in rem tali tempore forent ageret.

19. At is qui ad Caesarem venerat se deprehensum et logothetae deditum videns quemdam e familiaribus adstantem in aurem alloquens ad coniura-

οἷός τε ὢν φέρειν μάστιγας ἢ καὶ τὰς ἐκ βασάνων ποινὰς ἕτοιμός ἐστι φράζειν ἅπερ εἰδοίη. “μελήσει δ' ὑμῖν” φησὶν “ὀξέως βουλεύσασθαι περὶ τοῦ ξυμφέροντος.” ὁ μὲν οὖν ταῦτα εἰπὼν ἀπήγετο πρὸς τὸν λογοθέτην καὶ πάντα ἔφραζεν ὅσα ἠπίστατο. ὁ δὲ πρὸς τὸν κρατοῦντα πάντα ἀνέφερεν. ἔτυχε δὲ τηνικαῦτα παρὼν
D καὶ ὁ Κομνηνὸς Ἀλέξιος, καὶ γνώμην εἰσενεγκεῖν ἀπαιτούμενος βουλὴν ἀρίστην εἰσήνεγκε, φήσας ὡς χρὴ ταχέως στρατιώτας ἐκπέμπειν καὶ τοῦ σκέμματος ἄρχοντας ξυλλαμβάνειν. ἐφαίνετο μὲν καὶ τῷ καίσαρι καὶ τῷ λογοθέτῃ ἀρίστη πασῶν ἡ βουλὴ αὕτη, τῷ δὲ κρατοῦντι οὐκ ἤρεσκεν· ἤδη γὰρ ὀψίας οὔσης τῆς ὥρας ἐδόκει θόρυβόν τε καὶ ταραχὴν γενέσθαι τῇ πόλει τινά, ἣν ὠλίσθεν τινες. τῆς γοῦν προνοίας σφηλάσης τὴν τοῦ κρατοῦντος γνώμην καὶ εἰς τὴν αὔριον τηρησάσης τὰ τῆς τούτων ζωγρήσεως, ἅπαντες ὄρθρου βαθέος ἐν τῷ ναῷ τῆς τοῦ θεοῦ σοφίας συναθροισθέντες τάς τε φρουρὰς τὰς ἐν τῇ πόλει ἀνοίξαντες καὶ τοὺς καταδίκους
P 82 ὁπλίσαντες, πρὸς δὲ καὶ ὅσον εἶχεν ἕκαστος θεραπευτικὸν καὶ οἰκετικόν, ἐξέπεμπον πρὸς τοὺς τῶν ἐν τέλει μὴ μετασχόντας αὐτῶν τοῦ βουλεύματος, καὶ ἐμπιπρᾶν τὰς οἰκίας ἠπείλουν εἰ μὴ πρὸς αὐτοὺς παραγένοιντο καὶ τοῦ σκέμματος κοινωνήσαιεν. γράμμασι δὲ στελλομένους ἐφοδιάζοντες ἐπέγραφον οὕτως “οἱ ἁγιώτατοι πατριάρχαι, ἡ σύνοδος καὶ ἡ σύγκλητος συγκαλοῦσιν ὑμᾶς

13. τὰ τῆς] Addidi τά. 17. μετασχόντας] V. μετασχόντων.

tos misit indicatum, se haudquaquam sibi conscium esse earum virium animi et corporis, quae resistere tormentis et vocem in quaestione continere possent. quare sic haberent se fassurum omnia quae sciret. esse ipsorum prudentiae cito providere, quo pacto ei occurrere incommodo maturius agendo quae serius destinassent queant. his ille dictis adductus ad logothetam quae nota habebat cuncta protulit. logotheta vero mox imperatori omnia referente adfuit forte praesens Comnenus Alexius et quid agendum censeret dicere iussus optime censuit oporter equam primum missis militibus coniuratos comprehendere. idem quoque videbatur Caesari, et logotheta probabat. sed imperatori non placuit timenti, ut aiebat, ne, si per noctem quae iam ingruebat aliqui militari manu caperentur, tumultus in civitate fieret. sic igitur divina providentia errare permittente imperatoris iudicium et non ultra quam in diem crastinum differente eius et ei adhaerentium captivitatem, relicti coniurati securi in eam noctem postridie bene mane in templo S. Sophiae congregati, apertis urbis custodiis et iis qui prius erant vincti damnatique armatis, praeterea quantum quisque habuit servorum et domesticorum armavit, manumque ex his validam circummisit ad potentiores a coniuratione alienos cum minis incendendi domos eorum, ni in coniuratorum partes transirent. litterae porro quas mandata haec eorum obeuntibus dederunt hoc titulo praescriptae erant: sanctissimi patriarchae, synodus et senatus convocant vos

περὶ τὸν περιώνυμον τῆς τοῦ θεοῦ σοφίας." καὶ οἱ μὲν ἑκόντες, οἱ δὲ ἄκοντες συνέτρεχον.

20. Ἀγγελθέντων δὲ τούτων τῷ βασιλεῖ ὁ Κομνηνὸς Ἀλέξιος μετεπέμπετο, καὶ ὁ βασιλεὺς ἐπυνθάνετο τούτου ὅ τι χρὴ B πράττειν ἐπὶ τοῖς ξυμβᾶσιν. ὁ δὲ βουλὴν εἰσῆγε μάλα μὲν ἀρίστην μάλα δὲ λυσιτελεστάτην. ἔφησε γὰρ ὡς τοῦ συναθροισθέντος πλήθους τὸ πλεῖστον ἀπόλεμόν τέ ἐστι καὶ βάναυσον, καὶ οὐκ ἂν ὑποσταῖεν καθωπλισμένους ἄνδρας ἰδόντες καὶ πρὸς μάχην ἑτοίμους· "χρὴ γοῦν πελεκηφόρους καθοπλίσαντας βασιλέων φύλακας κατ' ἐκείνων ἐπιπέμπειν σὺν στρατηγῷ." ὁ δὲ κρατῶν τῶν λεχθέντων ἀκούσας τὴν βουλὴν ἀπεστρέφετο, εἴτε δειλίᾳ συσχεθεὶς εἴτε ἀρετῆς ὑπερβολῇ ἀνωτέρω τῶν ξυμπιπτόντων ἤδη τούτῳ παθῶν γενόμενος, οὐκ ἐπίσταμαι. τέως γοῦν ἐνὸν καταλῦσαι τὴν στάσιν καὶ κατασβέσαι τὸ πῦρ πρὸ τοῦ εἰς μεγίστην C ἀναφθῆναι φλόγα, ὁ δὲ οὐκ ἠθέλησεν.

21. Ἀλλ' ὁ Κομνηνὸς καὶ αὖθις ἠνάγκαζεν αὐτὸν πρὸς τὴν πρᾶξιν καὶ παντοίως ἠρέθιζεν, ἕως ἀκήκοεν ἀποσκώψαντος V 60 κατ' αὐτοῦ εἰς ὠμότητα. τέλος ἔλεξε τάδε πρὸς αὐτὸν ὁ κρατῶν "ἐμοὶ πάλαι σκοπὸς ἦν τὴν βασιλείαν ἀποσκευάσασθαι. ὃ γοῦν ἑκὼν ἐμελέτων ἐπείπερ ἡ πρόνοια καὶ ἄκοντος ἐμοῦ ἐψηφίσατο, ἀσμένως προσίεμαι. σὺ δέ, ἢν βούλοιο, τὸν ἐμὸν ἀδελφὸν Κωνσταντῖνον βασιλέα κατάστησον ἀντ' ἐμοῦ." ταῦθ' ὁ μὲν εἶπεν,

4. τούτου] V. τούτῳ.

in celebre templum S. Sophiae. ad quam citationem partim volentes, partim inviti passim quo vocabantur concurrebant.

20. His principi nuntiatis Comnenus Alexius raptim arcessitur, et imperator ex eo quaerit quid opus facto tali articulo rerum. consilium huius fuit optimum et utilissimum. dixit enim congregatae apud coniuratos multitudinis pleramque partem imbellem et vilis conditionis esse: quare ipsos nequaquam in loco constituros, si contra se venientes viderent viros bellicosos certo pugnandi consilio. oportere igitur securigeros custodes principum statim in eos immittere sub aliquo duce forti. haec audiens imperator improbavit, an ignavia correptus, an excellentia virtutis superiorem casibus humanis animum gerens nescio. illud constat ipsum, cum potuisset opprimere seditionem et flammam orientem priusquam in incendium maximum invalesceret exstinguere, noluisse.

21. Nec tamen hic cessavit Comnenus urgere principem ad moliendum in suo tanto periculo quod conveniret: finem tandem frustra sollicitandi fecit, cum increpitus graviter ab eo est quasi crudelia suadens. quibus verbis haec ipsa imperator subiecit: "mihi dudum decretum erat imperium deponere. quod ergo sponte cogitabam cum divina providentia invito immittat, libens suscipio. tu vero si volueris, fratrem meum Constantinum imperatorem pro me constitue." haec ille cum dixisset Alexius scripto mandari quod dixerat

D ὁ δὲ γραφῇ πιστώσασθαι τὰ λεχθέντα ἐζήτει. καὶ εὐθὺς τὸ γράμμα ἐσχεδιάζετο σημασίᾳ. καὶ ὁ μὲν κρατῶν αὐτίκα πρὸς τὸν ἐν Βλαχέρναις ἐξώρμα ναὸν τῆς θεομήτορος, ὁ δὲ Κομνηνὸς τὸ γράμμα λαβὼν ἀπῄει πρὸς τὸν Κωνσταντῖνον καὶ ἕπεσθαί οἱ παρεκάλει πρὸς τὰ βασίλεια τὴν βασιλείαν παραληψόμενον. ὁ δὲ ταύτην ἀπεσκευάζετο νεότητος λογισμοῖς ὑποσκάζων καὶ οἰόμενος ὡς ἐσεῖται τούτῳ καλῶς πάντα εἰ τῶν σκήπτρων ἐγκρατὴς ὁ Βοτανειάτης γένοιτο, καὶ ἠξίου τὸν πρὸ τοῦ πόντου πορθμὸν διαπεράσαντα πρὸς τὸν Βοτανειάτην φοιτῆσαι. ἀλλ' οὗτοι μὲν οὕτω.

P 83 22. Ὁ δὲ Βοτανειάτης τὴν ἐν τῇ πόλει στάσιν μαθὼν ἀπάρας ἐκ τῆς Νικαέων ἠπείγετο πρὸς τὴν μεγαλόπολιν, καὶ τῇ Πραινέτῳ γενόμενος ἐξέπεμπε τοὺς τὰ βασίλεια παραληψομένους ἀρχηγὸν ἔχοντας ἕνα τῶν πιστοτάτων αὐτῷ οἰκετῶν, ᾧ Βορίλλιος ἦν ὄνομα. μετ' ὀλίγον δὲ καὶ αὐτὸς πρὸς τὴν πόλιν ἠπείγετο. φθάσας οὖν ἐν τοῖς τῶν Ῥουφιανῶν παλατίοις ἔμενε τὸν βασιλικὸν ἐκδεχόμενος δρόμωνα καὶ τὴν ἄλλην παρασκευήν. ἀφικέσθην δὲ πρὸς αὐτὸν ἄμφω, ὅ τε Πορφυρογέννητος Κωνσταντῖνος καὶ ὁ Κομνηνὸς Ἀλέξιος, ὁ μὲν πρὸ τῆς πείρας ἀγνοήσας τὰ τούτῳ ἑπόμενα, ὁ δὲ καὶ προγνοὺς καὶ προαγγείλας πάντα πρὸ τῆς ἐκ-
B βάσεως. *** μὲν οὖν μήτε δεξιὰν δόντος αὐτοῦ τοῦ βασιλέως μήτε ἀσπασαμένου τοιούτων ἤρχετο λόγων πρὸς τὸν ἤδη κρατοῦντα. "οἶδας, ὦ ἄριστε βασιλεῦ, ὡς ὁ Πορφυρογέννητος οὗ-

19. ἑπόμενα] ἐσόμενα? 20. μὲν οὖν] Fort. οὗτος praefigendum et pro αὐτοῦ scribendum αὐτῷ h. e. Constantino. P. locum ita constituit: Κωνσταντίνῳ μὲν οὖν — τοιούτων ὁ Κομνηνὸς ἤρχετο λόγων etc.

petiit. nec abnuit Michaël. statimque rite subscriptum et bulla munitum diploma est Constantinum imperatorem designantis Michaëlis. qui Michaël dato scripto statim ad deiparae templum in Blachernas recessit. Alexius porro cum diplomate accurrit ad Constantinum sequi sese adhortans in palatium imperii possessionem initurum. verum ille recusavit iuvenili consilio deceptus et existimans optimo loco res suas futuras sub imperio Botaniatae. quare studebat inter primos occurrere venienti novo imperatori et antequam fretum traiiceret ad ipsum ire. sic se habebant in civitate res.

22. At Botaniates certior factus de intestinis dissensionibus urbis Nicaea movens Constantinopolim properabat. quo itinere cum Praenetum venisset, misit inde qui palatium praeoccuparent, imposito ipsis duce fidissimo servorum suorum, cui nomen erat Borillius. hos paulo post ipse sequens in Rufianorum palatiis constitit, regiam navim et ceterum apparatum exspectans. huc ad eum venerunt Porphyrogenitus Constantinus et Alexius Comnenus. ille ante experientiam ignorans quae ipsi eventura erant, hic praesciens et praenuntians cuncta prius quam fierent. cum igitur salutanti Constantino neque dexteram novus imperator dedisset neque ipsum amplexu dignatus esset, Comnenus ad Botaniatem sic locutus est. "scis optime imperator hunc

τος, ἐγκρατοῦς ὄντος τοῦ βασιλέως τούτου τοῦ ὁμαίμονος, οὐδέν τι πέπονθεν ὑπ' ἐκείνου χρηστόν, ἀλλ' ὡς ἐν εἱρκτῇ καθειργμένος ζοφώδει διῆγε τὸν ἅπαντα βίον. νῦν οὖν ἐλπίδας ἔχει χρηστάς, ὅτι περ αὐτῷ τὰ τοῦ ζόφου διαλυθήσεται καὶ φῶς ὄψεται καθαρώτατον τῆς σῆς βασιλείας τυχὼν εὐμενοῦς καὶ πατρικῶς αὐτοῦ κηδομένης."

23. Τοῦ δὲ συγκαταθεμένου τῶν ὑπὲρ αὐτοῦ λόγων αὖθις ἤρχετο "οἶδας, ὦ βασιλεῦ," "λέγων" ὡς εὔνους τῷ πρὸ σοῦ κρατοῦντι ἕως τέλους διέμεινα, καὶ πάντων πρὸς τὴν σὴν βασιλείαν ἀποκλινάντων αὐτὸς μέχρι καὶ ἐς δεῦρο τὴν πρὸς ἐκεῖνον πίστιν τετήρηκα, μήτε πρέσβεις πρός σε πεπομφὼς μήτε γράμματα. ὡς γοῦν τὴν πρὸς ἐκεῖνον πίστιν ἄδολον διετήρησα, οὕτω καὶ τὴν πρὸς σὲ τηρήσω ἀκράδαντον." ἐπὶ τούτοις τοῦ βασιλέως αὐτὸν ἐπαινέσαντος ὁ Ἀλέξιος ἀπηλλάττετο. μαθὼν οὖν ὁ Βοτανειάτης ὡς οἱ προπεμφθέντες τῶν βασιλείων γεγόνασιν ἐγκρατεῖς, ἄπῄει διαπεράσων πρὸς τὰ βασίλεια. γενομένου δ' αὐτοῦ πρὸς τὴν κατ' ἀντιπέρας τῆς πόλεως ἠϊόνα, ἔνθα καὶ δάμαλις λιθίνη ἐπὶ κίονος ἵστατο, ὁ δρόμων ὁ βασίλειος ὑπεδέχετο. καὶ εὐθὺς μετ' εὐφημιῶν καὶ κρότων διεπεραιοῦτο πρὸς τὰ βασίλεια. C D

24. Ὁ δὲ βασιλεὺς Μιχαὴλ παραυτίκα τήν τε κόμην ἐκείρατο καὶ τὸ μοναδικὸν περιεβάλλετο σχῆμα, συνόντος αὐτῷ καὶ τοῦ θείου καὶ καίσαρος, ὃς τό τε κοῦφον τοῦ κρατήσαντος V 61

1. τοῦ βασιλέως] P. τῆς βασιλείας. 6. αὐτοῦ] V. αὐτῷ.
17. ἠϊόνα] Ita P. pro ἠϊόνιν. Fort. πρὸς τῇ — ἠϊόνι.

Porphyrogenitum imperii fratris sui nullum fructum cepisse. neque enim ab illo ullo beneficio affectus est, sed potius tenebrosa custodia detentus obscuram et miseram vitam omnem egit hactenus: nunc luce a te sibi nova oborta sperat discutiendas suas tenebras exortu principatus tui, teque sibi favente ac paternam de se curam concipiente serenos tranquillosque visurum dies."

23. Annuente ad haec Botaniate, rursus exorsus Alexius. "non te fugit Auguste, inquit, quam constans ego in fide erga eum qui ante te imperavit fuerim, ita ut cunctis ad tibi obsequendum versis unus fere hactenus persstiterim, nullis ad te nec legatis nec literis missis. exemplum habes in alio eius quod exspectare ipse a me potes. ut enim ad extremum illi fidus exstiti, sic meam erga te sinceram inviolatamque habebis fidem." ob haec collaudatus a Botaniate Alexius recessit. interim certior factus Botaniates palatium a suis quos praemiserat occupatum teneri exivit transfretaturus in regiam domum. cum autem venisset ad litus civitati adversum, ubi vacca lapidea in columna stat, navis eum imperatoria, quae dicitur dromo, excepit statimque cum acclamationibus et vario applausu in palatium traiecit.

24. Inter haec imperator Michaël subito comam totondit et monasticum induit habitum, praesente ac suadente patruo Caesare, qui levitatem eius

ἐπιστάμενος καὶ τὸ αὔθαδες τῶν περὶ αὐτόν, ἐπεὶ καὶ δουλοκρατουμένην ἑώρα τούτου τὴν ἐξουσίαν, δείσας περὶ τοῦ ἀνεψιοῦ μή τι πάθῃ καινότερον συνεβούλευε τούτῳ τῷ θεῷ καθιερωθῆναι. ὁ τοίνυν τηνικαῦτα τὸν τῆς πατριαρχίας θρόνον ἰθύνων (ἦν δὲ P 84 Θωμᾶς ὁ μέγας καὶ περιβόητος) τὴν καθαρότητα τοῦ ἀνδρὸς γινώσκων τῷ κλήρῳ αὐτὸν συγκατέλεξε καὶ μετ' ὀλίγον μητροπολίτην Ἐφέσου κεχειροτόνηκεν.

25. Ὁ Βοτανειάτης δὲ τῶν τῆς βασιλείας σκήπτρων γενόμενος ἐγκρατής, καίτοι τοῖς οὐδοῖς προσεγγίσας τοῦ γήρως, μᾶλλον δὲ καὶ τούτων ἔνδον γενόμενος, καὶ δυσὶ γάμοις προσομιλήσας πρότερον, ὅμως αὖθις τὴν βασιλίδα Μαρίαν ἠγάγετο. καὶ γὰρ ἅμα τῷ τὸν Βοτανειάτην ἐγκρατῆ τῆς βασιλείας γενέσθαι εἰς τὸ ἀγχοῦ τῆς Σιδηρᾶς διακείμενον μοναστήριον, ὃ Πετρίον ὀνο- B μάζεται, ἡ βασιλὶς Μαρία ἀπελθοῦσα ἐκεῖσε τὴν οἴκησιν ἐποιήσατο. ἐπεὶ δὲ τῷ θελήματι τοῦ καίσαρος, ὡς ὁ λόγος σαφέστερον ἐν ὑστέρῳ δηλώσει, καταπειθὴς γεγονὼς ὁ Βοτανειάτης ἀγαγέσθαι ταύτην προείλετο, μετακαλεσάμενος αὐτὴν ὁ καῖσαρ εἰς τὰ βασίλεια εἰσάγει, κἄπειτα τῶν πρὸς τὴν μνηστείαν ἑτοιμασθέντων καὶ πρὸ τῶν πυλῶν τοῦ τεμένους τοῦ τε βασιλέως καὶ τῆς βασιλίδος νυμφίων ἤδη ἱσταμένων, ἐπεὶ ὁ μέλλων τὴν μνηστείαν τελέσαι ἑαυτοῦ γεγονὼς καὶ πτοηθεὶς τὴν καθαίρεσιν διὰ

1. δουλοκρατουμένην] Ita P. pro δολοκρατουμένην. 5. Θωμᾶς] Fabricius Biblioth. gr. VII. p. 674. Harl. corrigit Κόσμας.

qui praevaluerat, et audaciam eorum qui cum ipso erant reputans (videbat enim eum gubernari consilio servorum) atque inde iure metuens fratris filio ne quod triste ac nefarium exemplum in eo ederetur, auctor ipsi fuit ut deo se consecraret. qui ergo tunc patriarchatus insidebat throno Thomas ille magnus ac percelebris, puritatem viri compertam habens clero ipsum allegit, et paulo post metropolitam Ephesi ordinavit.

25. Botaniates vero potens imperii factus, etsi in limine senectutis erat, aut potius in eam ingressus iam erat, et bis uxorem prius duxerat, tamen rursus imperatricem Mariam sibi copulavit. etenim ut iam plane imperii compotem Botaniaten vidit Maria Augusta, in monasterium prope Sideram sive Ferream situm, quod Petrium nominatur, secedens ibi commorabatur. postquam persuasione Caesaris, ut postea distinctius trademus, adductus Botaniates decrevit eam uxorem ducere, accersens eam inde Caesar in palatium induxit. deinde rebus ad nuptiarum celebrationem paratis, cum iam ante fores templi imperator Botaniates et Maria Augusta novi sponsi consisterent, postquam qui sacra cerimonia fungi sacerdos debebat, quid ageret reputavit et vereri coepit ne sacerdotio deponeretur si mulierem, cuius vir Michaël nempe Ducas nuper imperator adhuc viveret cum Botaniate iam regnante coniungeret, cuius uxor quam secundis nuptiis ante imperium duxerat, adhuc item superstes in vivis erat considerans haec inquam et plane intelligens quantum mali consciscoeret, si pro legitimo matrimonio adulterium

τό τόν τε βασιλέα καὶ δοῦκα καὶ σύνευνον αὐτῆς καὶ ἣν εἶχεν ὁ Βοτανειάτης ἐκ δευτέρου συνοικεσίου ὁμευνέτιν ἔτι τῷ βίῳ περιεῖναι, συναγαγὼν ἑαυτὸν καὶ γνοὺς ὅπη κακοῦ φέρεται μοιχείαν ἅμα καὶ τριγαμίαν εὐλογῶν, ἀνεβάλλετο τέως τὴν ἐκ τοῦ βήματος πρόοδον, τοῦτο θεασάμενος καὶ στοχασάμενος τοῦ ὀχλοῦντος τὸν ἱερέα λογισμοῦ ἐν ἀγωνίᾳ ἦν μὴ τὴν τελουμένην μνηστείαν λύσει ὁ πατριάρχης ἐνωτισθεὶς περὶ τούτου καὶ αὖθις πρὸς τὴν Εὐδοκίαν ἀπονεύσει. φράσαι δὲ τὸ βουλητὸν διὰ τοὺς περιεστῶτας μὴ θέλων πρὸς τὸν ἔκγονον αὐτοῦ Μιχαὴλ τὸν Δοῦκα ἐνατενίσας διὰ τοῦ βλέμματος τὸ ἀπόρρητον ἐπισημήνασθαι ἤθελεν· ὁ δὲ νεανίας οὗτος τὴν ἀναβολὴν τοῦ ἱερέως ὁρῶν καὶ τὸ εἰς ἑαυτὸν βλέμμα τοῦ καίσαρος γοργῶς συνῆκε τὸ δέον, καὶ εὐθὺς ἕτερον ἱερέα ἑτοιμάσας τὸν τὴν μνηστείαν τελέσοντα τέως εἶχεν ἀφανῆ, αὐτὸς δὲ τῷ θυσιαστηρίῳ πλησιάσας προσκαλεῖται τὸν παραιτούμενον τὴν μνηστείαν ἱερέα. ὁ δὲ ἐπυνθάνετο τί ἂν εἴη δι' ὃ προσκαλοῖτο· καὶ ὃς τῶν ἀμφίων αὐτοῦ ἁψάμενος μεθίστησι τοῦτον ἐκεῖθεν ἠρέμα, ἀντεισάγει δὲ τὸν ἕτερον, ὃς καὶ τὴν ἱερολογίαν ἐτέλεσεν. ἐντεῦθεν ὁ καῖσαρ τὴν πρὸς βασιλίδα παρρησίαν ἔσχηκεν.

C (beside line 2) · D (beside line 13)

26. Ἐπὶ τούτοις ὁ λογοθέτης τῶν παρακειμένων καὶ τοῦ βασιλέως ἀπογνοὺς ἐξώρμησε φεύγειν πρὸς τὸν Βρυέννιον, καὶ τῇ Σηλυμβρίᾳ γενόμενος καὶ τῷ Οὐρσελίῳ προσομιλήσας μετὰ τῶν τάξεων ἐκεῖσε πρὸς αὐτοῦ τε καὶ τοῦ βασιλέως Μιχαὴλ πεμφθέντι P 85

5. θεασάμενος] Fort. excidit nomen Botaniatae.

et trigamiam sacra benedictione comprobaret, prodire cunctabatur e sacris septis. quod Caesar videns et suspicans cunctationis causam et scrupuli quo sacerdos conflictabatur, in angustia erat male metuens ne hactenus promotam affinitatem patriarcha dissolveret, his in eius aures perlatis, et potius ad Eudociam inclinaret. eloqui vero quod cogitaret propter circumstantes nolens nepoti suo Michaëli Ducae coniectu oculorum innuit et significavit quid vellet. iuvenis autem cunctationem sacerdotis exspectati videns et ut solers erat, facile penetrans velle avum ut alium sacerdotem accerseret qui optatam cerimoniam obiret, illum statim paravit et occultum habuit. tunc ipse ad altare propius accedens vocat recusantem ministerium bene precandi nuptiis sacerdotem. illo autem interrogante cuius rei causa vocaretur, Michaël correpta eius veste sensim ac placide septis eum educit inque locum eius illum alium clam paratum introduxit, qui et mox sine ullo scrupulo nuptialis ritus cerimoniam peregit. hinc Caesar aditum ad Augustae gratiam invenit.

26. Super haec logotheta consumpta omni et damnata spe quam aut in consuetis, quibus ante vallabatur praesidiis, aut in imperatore habuerat, fugere decrevit ad Bryennium, et cum Selymbriam venisset ac cum Urselio locutus esset illuc cum aliquot cohortibus a se et ab imperatore Michaële

ἐβούλετο ξὺν αὐτῷ ἀπαίρειν πρὸς τὸν Βρυέννιον. ὁ δὲ συλλαβὼν τοῦτον δεσμώτην πρὸς τὸν Βοτανειάτην ἀπήγαγε, καὶ τῇ Ὀξείᾳ καλουμένῃ νήσῳ περιορισθεὶς μετὰ μικρὸν ἀπανθρώπως τε καὶ ἀνηλεῶς ἐτασθεὶς ἀπεβίω. τοιοῦτον ἔσχε τὸ τέλος τὰ κατὰ τὴν βασιλείαν τοῦ Δούκα Μιχαήλ.

misso, volebat cum ipso proficisci ad Bryennium, sed Urselius comprehensum illum et vinctum ad Botaniaten adduxit, a quo exulatum in Oxeam sic dictam insulam missus paulo post inhumane ac crudeliter tortus obiit. hunc finem habuit imperium Michaëlis Ducae.

ΒΙΒΛΙΟΝ Δ.

P 87 V 62 1. Οὕτω μὲν οὖν ὁ Βοτανειάτης Νικηφόρος ἐπειλημμένος τῶν
τῆς βασιλείας σκήπτρων ἔσπευδεν ὡς οἷόν τε τὴν τῶν πολιτῶν εὔ-
νοιαν ἐπισπάσασθαι, μάλιστα καὶ τὰ κατὰ τὸν Βρυέννιον πυνθα-
νόμενος καὶ τὰς περὶ αὐτὸν ἀθροισθείσας δυνάμεις· ᾔδει γὰρ
αὐτὸν πρὸς τῷ στρατηγικώτατον εἶναι καὶ ἐλευθεριώτατον ὄντα
ὁμοῦ καὶ δραστηριώτατον. διὰ τοῦτο τὴν τῶν πολιτῶν δῆθεν
θηρώμενος εὔνοιαν ἐπεσπάσατο ταύτην καὶ μάλιστα ἐλευθεριώτα-
B τος ἄλλος ἀναδειχθῆναι φιλονεικήσας, πλὴν οὐ ξὺν λόγῳ τῷ
δέοντι. ταύτῃ τοι καὶ μεγάλης συγχύσεως τῇ πολιτείᾳ Ῥωμαίων

10. πρὸς τῷ] V. πρὸς τό.

LIBER IV.

1. Sic occupato imperio Nicephorus Botaniates, quo se ad id secure fruendum egere intelligebat amore ac favore populi, eius sibi conciliandi quam efficacissimas potuit reperire rationes iniit. in quo ille maxime sibi cavebat a comparatione illustris aemuli et virium non paucarum videlicet Bryennii. de illo enim percrebuisse sciebat non minus eum arte bellica praestantem et manu consilioque praeclarum, quam liberalissimum eumdem ac beneficentissimum esse. propterea ne hoc tenero initio rerum in illum copiarum numero potentem studia vulgi spe ac commendatione liberalitatis propenderent, civium ipse quoque sibi gratiam largitionibus quam effusissimis emereri constituit, efficereque amplissime donando ne quisquam largior ac munificentior haberetur. in quo illum popularis aurae studium longius extulit quam rei publicae rationes ferrent, quas haec prodigentia graviter conturbavit, ut non dicam penitus afflixit. cum enim duo copiarum quasi fontes essent rei publicae Romanae, unde habebant eius principes quo redderent praemia meritis et aliorum in se benevolentiam allicerent, utrumque inconsulta ista

γέγονεν αἴτιος. δυοῖν γὰρ ὄντοιν πόροιν ἐξ ὧν ἡ βασιλεία Ῥωμαίων τὰ μέγιστα ἐσεμνύνετο ὀχετηγοῦσα τὰ γέρα τοῖς ἀριστεύουσι καὶ τοῖς ἄλλως εὔνοιαν συνεισφέρουσιν, ἄμφω τούτους ἀναστομώσας τοῖς πᾶσι προῖκα ἐκεῖθεν ἀρδεύεσθαι δαψιλῶς ἐχορήγησε. τῶν τε γὰρ ἀξιωμάτων τὰ μέγιστα οὐκ ἀριστεῦσι καὶ στρατιώταις καὶ τοῖς ἐκ τῆς συγκλήτου βουλῆς καταγομένοις πεφιλοτίμητο οὐδὲ V 63 C τοῖς εὔνοιάν τινα συνεισφέρουσιν, ἀλλὰ παντὶ τῷ αἰτοῦντι· ταὐτὸ δὲ καὶ τοῖς λεγομένοις παρὰ Ῥωμαίοις ὀφφικίοις ἐπετελεῖτο, ὥστε ξυμβῆναι πολλαπλασίους τὰς ἐξόδους τῆς εἰσόδου γενέσθαι. κἀκ τῆς τοιαύτης αἰτίας μετὰ βραχύν τινα χρόνον τῶν χρημάτων ἐκλελοιπότων τό τε νόμισμα κεκιβδήλευτο λοιπὸν καὶ αὐτοῖς ἀξιώμασι καὶ τοῖς ὀφφικίοις ἐκ βασιλέως ἀνήκουσαι δωρεαὶ διὰ τῶν χρημάτων σπάνιν ὑπεκρούοντο. τῆς γὰρ τῶν χρημάτων ἐπεισροῆς τῶν ἀπὸ τῆς Ἀσίας χορηγουμένων τοῖς ταμείοις ἀποφυγούσης ἐκ τοῦ D τῆς Ἀσίας ἁπάσης κατακυριεῦσαι τοὺς Τούρκους, καὶ τῶν ἀπὸ τῆς Εὐρώπης παντάπασι στενωθέντων, τῶν τε προϋπαρχόντων κακῶς καταναλισκομένων ξυνέβαινε σπάνιν ὅτι πλείστην εἶναι χρημάτων τοῖς βασιλικοῖς ταμείοις. ἀλλ' οὕτω μὲν ἐκεῖνος ἐλευθέριος θέλων ἀποδειχθῆναι παρεχρήσατο τῇ ἐλευθερίᾳ, εὔνουν ἑαυτῷ τὸ πόλισμα καταστῆσαι βουλόμενος, ὡς προείρηται.

2. Ὁ δὲ Βρυέννιος ἐν Ὀδρυσοῖς διάγων καὶ τὰ κατὰ τὸν P 88 βασιλέα Μιχαὴλ πυθόμενος καὶ τὴν κατ' ἐκείνου στάσιν τῆς πό-

11. καὶ αὐτοῖς] καὶ αἱ τοῖς? 12. διὰ τῶν] διὰ τήν? an διὰ τὴν τῶν?

exhausit atque obstruxit ambitio, dum ex iis cuicumque sine discrimine sine merito gratis ac quantum vellet hauriendi Botaniates malo exemplo publicam copiam fecit. dignitates enim maximae quaeque non bellico aut alias heroico facinore claris, non iis qui saltem stipendia fecissent aut in senatorium relati ordinem essent, ne iis quidem qui studium aliquod aut benevolentiam ostendissent, sed passim cuicumque petenti condonabantur: similiter et quae a Romanis officia dicuntur; unde fiebat ut quod una tantum via illabebatur plurimis statim efflueret. quae causa fuit cur brevissimo tempore aerario penitus exhausto eo ad extremum ventum sit, ut monetae publicae qualitas admixtione sequioris metalli adulteranda esset, nec tamen vel sic imperanti suppeteret unde consueta legitimaque dignitatibus et officiis ex more dari solita stipendia solverentur. nam cum vectigalium ex Asia segnius iam venae fluerent, late dominantibus et pleraque illic intercipientibus Turcis Europaea vero quasi funditus exaruissent, quod ea priores principes dilapidassent, redactum erat aerarium publicum in ultimam egestatem. et sic tamen in res iam perditas incumbebat ultima clades prodigae novi principis ambitionis liberalitate perquam intempestive abutentis ad benevolentiam, ut dictum est, civium sibi quomodocumque demerendam.

3. Interim Bryennius apud Odrysos degens, auditis quae Michaeli contigerant, defectione nimirum ab eo civitatis, Macedonum et Thracum

λεως, τὸ Μακεδονικὸν καὶ Θρακικὸν στράτευμα συλλεξάμενος ὅλον, ἐπαγόμενος καὶ συμμάχους, ἐξώρμα πρὸς τὸ Βυζάντιον. ἀλλὰ μαθὼν ὁ Βοτανειάτης καὶ δείσας μὴ μετὰ τοσαύτης δυνάμεως πλησιάσας τῇ πόλει ἐκπεσεῖν αὐτὸν παρασκευάσει τῆς βασιλείας πρὸ τοῦ ταύτην σχεδὸν ἐνιδρυνθῆναι, τέως μὲν πρέσβεις ἐδόκει πέμπειν πρὸς ἐκεῖνον τοὺς περὶ διαλλαγῶν καὶ ξυμβάσεων ὁμιλή- B σοντας, εἶτα τὸν Κομνηνὸν Ἀλέξιον υἱοθετηθέντα τῇ βασιλίδι Μαρίᾳ δομέστικον τῶν σχολῶν ἀποδείξας τῆς δύσεως ηὐτρέπιζε πέμπειν πρὸς ἀντιπαράταξιν. στρατεύματος δ' ἀπορῶν οἰκείου διεπέμπετο πρὸς τοὺς τῶν Τούρκων ἐξάρχοντας ἐν Νικαίᾳ τῆς Βιθυνίας διατρίβοντας· ἤστην δὲ τούτω Μασοὺρ καὶ Σολυμὰν οἱ τοῦ Κουτλουμοῦς παῖδες. καὶ αὐτίκα ἐκεῖνοι συμμάχους ἐξέπεμπον οὐκ ἐλάττονας δισχιλίων καὶ κατὰ πόδας ἑτέρους ηὐτρέπιζον. μήπω δὲ τῶν συμμάχων φθασάντων ἐδόκει τοὺς πρέσβεις ἀπιέναι, καὶ ἐπέμποντο ὅ τε Χοιροσφάκτης Κωνσταντῖνος εἰς προέδρους τότε τελῶν, ἀνὴρ νουνεχής τε καὶ λόγιος καὶ πᾶσι κομῶν τοῖς καλοῖς ὁπόσα πολιτικὸν ἄνδρα κοσμοῦσι, καὶ ὁ Στραβορω- C μανός, ὃς ἐκ Πενταπόλεως ὥρμητο τῆς Φρυγίας, ἀνὴρ δεινὸς καὶ δραστήριος, τὸ γένος ἀνέλκων εἰς τούτους καὶ συγγενὴς ὢν τῷ βασιλεῖ Νικηφόρῳ. ἀπελθόντες οὖν ἐντυγχάνουσι τῷ Βρυεννίῳ περὶ τὴν Θεοδωρούπολιν τὴν φάλαγγα τάξαντι καὶ βάδην πορευομένῳ. ἔτι δὲ πόρρω ὄντες καὶ τὰς τάξεις θεώμενοι καὶ τὴν φάλαγγα κοσμίως συντεταγμένην ἐθαύμαζόν τε τὸ πλῆθος ὁμοῦ

6. ὁμιλήσοντας] V. ὁμιλήσαντας.

omni congregato exercitu, adiunctis auxiliis sociorum infestum exercitum adversus urbem Constantinopolim movebat. quod audiens Botaniates et non sine causa veritus, ne, si cum tanto exercitu vir talis se civitati admovisset, nascentem suam et male adhuc nixam potentiam everteret: primum quidem ut eum tantisper moraretur, legatos mittere constituit qui conditiones pacis offerrent, deinde Comnenum Alexium Augustae Mariae adoptatum et domesticum scholarum Occidentis declaratum instruere copiis et exercitu decrevit, quo is bellum in eum administraret. verum ad hoc cum deessent Romani milites, mittit ad Turcorum principes apud Nicaeam Bithyniae degentes. erant hi autem Masurus et Solyman, Cutlumusi filii: qui statim auxiliares copias miserunt duum millium Turcorum et plures continuo parabant. nondum porro appulsis exspectatis auxiliis, visum est legatos proficisci oportere. Missi sunt Choerosphactes Constantinus, e prohedrorum sive praesidentium ordine, vir prudens et multarum artium cunctisque iis dotibus insignis quae virum politicum absolvunt, et cum eo Straboromanus oriundus e Pentapoli Phrygiae, homo acer et industrius, consanguineus ipsius Nicephori Augusti. hi profecti Bryennio occurrunt circa Theodoropolim aciem instructam ducenti lento et militari passu. quae cum ex propinquo cernerent, numerum et ordinem disciplinamque mirabantur ducemque taciti laudabant.

καὶ τὴν τάξιν καὶ τὸν ἄγοντα ἐμεγάλυνον. ἐπεὶ δ' ἐγένοντο πλησίον, οἱ ἐπὶ τῶν ἑταιρειῶν τεταγμένοι καὶ τὰ τούτων πρὸς τὸν βασιλειῶντα ἀνέφερον. ὁ δὲ κελεύσας τὰς τάξεις στῆναι καὶ τοὺς λογάδας παραλαβών, τόν τε Μακεδόνων ἄρχοντα καὶ Θρᾳκῶν στρατηγούς τε καὶ ἰλάρχας καὶ ἄρχοντας, μικρόν τι τῆς φάλαγ- D γος ὑπεξῄει, καὶ πάντων ἀποβάντων τῶν ἵππων καὶ στοιχηδὸν παρ' ἀλλήλων στάντων μόνος ἔφιππος ἦν, ἵππου λευκοῦ τὴν χρείαν αὐτοῦ πληροῦντος. ἵστατο δὲ οὐκ ἐν τοῖς ὅπλοις ἀλλ' ἐν κόσμῳ βασιλικῷ, ὃν ἐδόκει μᾶλλον ἐκεῖνος κοσμεῖν ἀνὴρ ὢν ἀγαθός τε τὸ εἶδος καὶ ὁμιλῆσαι δεινότατος. ἐγγισάντων δὲ τῶν πρέσβεων καὶ τὴν συνήθη πρέσβευσι ποιησαμένων προσηγορίαν, V 64 καὶ αὐτοῦ τοῦ κρατοῦντος ἀντιπροσαγορεύσαντος καὶ αὐτοῖς ἠπίως προσφερομένου, ἐπειρᾶτο ἀναδιδάσκειν αὐτοὺς δι' ἣν αἰτίαν τὴν παρ' αὐτὸν ἐποιήσαντο ἄφιξιν. χάριν εἰρήνης τε καὶ σπονδῶν φαμένων καὶ κοινοπραγίας πεμφθῆναι παρὰ τοῦ κρατοῦντος, αὖθις ἐπήρετο ἐπὶ τίσι τὰς ξυμβάσεις αἰτοῦσιν, οἱ δὲ πάντα διεξῄεσαν τὰ παρὰ βασιλέως, τοῦ Στραβορωμανοῦ τῶν λόγων κα- P 89 τάρχοντος. οὗτος γὰρ καὶ τὸ τῆς πρεσβείας εἶχε κῦρος ἅτε οἰκεῖος ὢν βασιλεῖ. ὁ δὲ ἕτερος χάριν τοῦ πείθειν ἀπέσταλτο διὰ τὴν πρὸς τὸν βασιλειῶντα ἐκ τοῦ κήδους οἰκειότητα.

3. Τὰ δὲ τῆς πρεσβείας ἦσαν τοιάδε. "ἐγὼ" φησὶν ὁ κρατῶν "πάλαι τὸν σὸν πατέρα γινώσκων, ἄνδρα δεινὸν μὲν στρατηγῆσαι καὶ πολλὰ κατὰ Σκυθῶν ἀναστήσαντα τρόπαια, καὶ

13. ἐπειρᾶτο] Bekker ἐπηρώτα.

mox cum prope accessissent praecurrentium cohortium ductores, adesse a Constantinopoli legatos missis nuntiis Bryennio indicarunt, qui iussa consistere acie, primoribus exercitus, duce nempe Macedonum et Thracum tribunis ac praefectis alarum, secum assumptis paululum e phalange processit, ubi cunctis circa ex equo delapsis et serie hinc inde continua stantibus, solus ipse in equo candido eminens, cataphractus imperatorio ornatu, cui ornamentum ex sese addere specie praeclara videbatur, forma heroica excellens et egregiam in congressu humanitatem spirans, legatos excepit venerationem ipsi congruam et primas ut decebat salutationes exhibentes. quos humanissima vicissim allocutione dignatus percontabatur, quid venirent, quamque rem vellent, iisque respondentibus se ad tractandam pacem ab imperatore missos: rursus quaerebat quas conditiones conventionis ferrent. tunc illi cuncta retulerunt quae imperator iusserat, Straboromano verba faciente, hic enim utpote consanguineus imperatori legationis caput erat. alter vero quod Bryennio erat affinis, eius pelliciendi causa fuerat adiunctus.

3. His autem fere verbis nomine imperatoris Botaniatae expressa legationis sententia ad Bryennium est. "ego patrem tuum olim novi, praeclarum belli ducem quique multa devictis Scythis tropaea statuit. cui etiam memini

μέντοι καὶ ξυστρατεύσας αὐτῷ καὶ ταῖς ἑταιρείαις πρότερον σύντροφον σχών, οὐχ ἧττον καὶ σὲ ἐπίσταμαι ἄξιον ὄντα παῖδα
B τοιούτου πατρός. διὰ ταῦτα ἐπεί με θεὸς εἰς τὸ βασίλειον ὕψος ἀνήγαγε, βούλομαί σοι γενέσθαι ἀντὶ πατρὸς φιλοστόργου. γένοιο οὖν σὺ κἀμοὶ υἱὸς εὐγνώμων ἀνθ᾽ υἱοῦ ἀγνώμονος, ὑπερείδων τὴν ἐκ τοῦ γήρως ἀσθένειαν. καὶ νῦν μὲν τὴν μετὰ βασιλείαν δευτέραν τιμὴν λάμβανε, φημὶ δὴ τὴν τοῦ καίσαρος, μετ᾽ οὐ πολὺ δὲ καὶ διάδοχος ἡμῖν χρηματίσεις τῆς βασιλείας Ῥωμαίων." ταῦτα διεξελθόντων τῶν πρέσβεων, μηδὲν μελλήσας ἐκεῖνος (καὶ γὰρ ἦν εἴπερ τις ἄλλος ἀγχίνους) εὐθὺς ἀπεκρίνατο τὰς συμβάσεις ἐθέλειν καὶ τὴν εἰρήνην ἀσπάζεσθαι καὶ τὸν πόλεμον κατα-
C λῦσαι ἐμφύλιον καὶ τὴν παρὰ βασιλέως τιμὴν δέχεσθαι. βούλεσθαι δὲ μὴ αὐτὸν μόνον τυχεῖν τῶν τῆς εἰρήνης καλῶν, ἀλλὰ καὶ τοὺς ξυμμετασχόντας αὐτῷ τοῦ ἔργου, στρατηγούς τε καὶ στρατιώτας καὶ ἄρχοντας, ὧν τὸ ξυμφέρον προδοῦναι ἴσον αὐτῷ τοῦ ἀσεβῆσαι νενόμισται· φιλαυτίας γὰρ εἴη ἐσχάτης, ἢ μᾶλλον εἰπεῖν ἀπανθρωπίας, ζητοῦντα τὸ ἑαυτοῦ ξυμφέρον τὸ τῶν ἄλλων προδοῦναι. οὐκ ἄλλως οὖν τὴν υἱοθεσίαν λαμβάνειν καὶ τὴν τιμήν, εἰ μὴ πρότερον τὰ ἐκείνων ἐξασφαλίσαιτο. βούλεται οὖν πρότερον τῷ βασιλεῖ βεβαιῶσαι τὰ παρ᾽ αὐτοῦ σφίσιν ἐκείνοις

9. μελλήσας] Ita P. pro μελήσας. 14. καὶ] Hoc addidi. 16. εἴη] εἶναι? 20. τῷ βασιλεῖ] τὸν βασιλέα?

et meminisse iuvat me socium in expeditionibus ac contubernalem sodalemque fuisse; nec minus persuasum habeo te dignum talis patris minimeque degenerem esse filium; quae cum ita sint, quoniam me deus ad imperii culmen evexit, caritate indulgentissimi patris te volens amplector; quare vicissim aequum fuerit concipere te quoque in me affectum ac sensum pii filii potius quam ingrati superbe contemnentis infirmitatem senectutis meae. et nunc secundum a me honoris locum sub imperiali fastigio accipe, dictus a me interim Caesar, dum paulo post nobis in imperio succedens in solidum accipias haereditatem regni, cuius nunc pignoris loco parte non modica dignaris." talia cum legati protulissent, nihil ille cunctatus, erat enim si quis alius in propositis rebus statim ac penitus percipiendis velox, subito respondit: accipere se quae offerebantur ac modum compositionis probare, nec moram penes sé fore quin mox finito civili bello delatum ab imperatore honorem admitteret. velle autem non se solum frui bonis pacis: sed et participari ea cupere ab iis qui secum in negotii periculo fuissent, ducibus nimirum militibusque et eorum praefectis, quorum utilitates prodidisse crimen nihilo levius impietate sibi foret. improbi enim privatorum commodorum studii fuerit, sic propriis rationibus consulere, ut aliorum spes ac commoditates negligantur. ita igitur sese oblatam adoptionem accipere, si prius de statu et praemiis commilitonum ac sociorum suorum certum aliquid fixumque statuatur. igitur aequum censere ante omnia imperatorem promissis et pignoribus ido-

ἐπαγγελθέντα, καὶ οὕτω τῆς πόλεως ἐξελθεῖν σὺν τῷ πατριάρχῃ καὶ περὶ τὸν ναὸν γενέσθαι τοῦ ταξιάρχου τῶν ἄνω δυνάμεων D
Μιχαήλ, ὃς ἵδρυται ἐν τῷ περὶ τὴν Θρᾴκην χωρίῳ Δαμοκρανίας, κἀκεῖσε τὰ τῆς υἱοθεσίας ἐπὶ τοῖς καίσαρσι γίνεσθαι καὶ τῷ στεφάνῳ ταινιωθῆναι συνήθως. τῶν δὲ πρέσβεων ἐρομένων διὰ τί οὐ βούλεται τὰ τῆς τελετῆς αὐτοῦ γενέσθαι γενομένῳ κατὰ τὴν βασιλίδα τῶν πόλεων, φοβεῖσθαι μὲν ἔφησεν οὐδένα πλὴν τὸν θεόν, ἀπιστεῖν δὲ τῶν περὶ τὸν βασιλέα τοῖς πλείστοις.

4. Ἐπὶ τούτοις οἱ πρέσβεις ἀπαλλαγέντες ἀπῄεσαν. ξυνέβη P 90
δὲ μικροῦ δεῖν αὐτοῖς κινδυνεῦσαι τοῖς σκοποῖς ἐντυχοῦσιν· ὅμως μέντοι ἐσώθησαν συνέσει τοῦ τῶν σκοπῶν κατάρχοντος. τούτων οὖν ἀπελθόντων καὶ τῷ βασιλεῖ ἀπαγγειλάντων τὰ τῶν ξυμβάσεων, ἐδόκει μὴ τρίβεσθαι τὸν καιρόν, ἀλλ' ἐκπέμπειν μετὰ τῶν στρατευμάτων τὸν δομέστικον τῶν σχολῶν· ἀπεγνώσθη γὰρ τὰς V 65
ξυμβάσεις ὡς τοῦ Βρυεννίου δοκοῦντος ἀπαιτεῖν. ἐξῄει οὖν ὁ Κομνηνός, σχὼν μεθ' ἑαυτοῦ τούς τε ξυμμάχους Τούρκους καὶ τοὺς Χωματηνοὺς λεγομένους, οἳ μετὰ τοῦ βασιλέως ἐληλύθεισαν τοῦ Βοτανειάτου, καὶ Φράγγων τῶν ἐξ Ἰταλίας ἐλθόντων ἀπό- B
μοιράν τινα καὶ τῆς τῶν ἀθανάτων καλουμένων φάλαγγος ἐπαγόμενος. τίνες δὲ οἱ ἀθάνατοι οὗτοι εἰπεῖν ἀναγκαῖον. ὁ βασιλεὺς Μιχαήλ, ἢ τἀληθὲς εἰπεῖν ὁ ἐκτομίας Νικηφόρος ὁ λογοθέτης,

5. ταινιωθῆναι] Ita P. pro τενιωθῆναι. ibid. διὰ τί] Ita P. pro εἴ τινα. fort. ἵνα τί. 10. αὐτοῖς] Ita Bekker pro αὐτούς. 15. ἀπαιτεῖν] ? ἀπ. ἀδύνατα?

neis cavere incolumitati ornamentisque horum. tum si videbitur prodire ipsum foras e civitate una cum patriarcha ad templum ductoris caelestium legionum S. Michaëlis situm in oppido Thraciae, cui nomen Damocranea, ibique se legitima adoptione titulum Caesaris accipere consuetoque eius honoris insigni redimiri. ad ea legatis quaerentibus, quid ita recusaret cerimoniam adoptionis suae fieri Constantinopoli, respondit Bryennius, nullum quidem se timere praeter deum: diffidere autem plerisque eorum qui circa imperatorem erant.

4. In haec dimissi legati abierunt: ac, quod obiter meminisse tanti est, parum abfuit quin male mulctarentur incidentes in exploratores. servati tamen sunt incolumes prudentia eius qui exploratoribus praeerat. cum ergo rediissent et imperatori conditiones a Bryennio propositas retulissent, visum est non terendum ultra tempus, sed domesticum scholarum cum exercitu mittendum. auditis enim Bryennii postulatis de compositione desperatum est. profectus est igitur Comnenus habens secum praeter auxiliares Turcos, etiam eos qui Chomateni dicuntur qui cum imperatore Botaniate venerant, et Francorum ex Italia profectorum partem quamdam, quibus adiecta est phalanx eorum qui vocantur immortales. quinam autem hi sint breviter explicandum est. imperator Michaël, aut ut verius dicam Nicephorus logo-

ἰδὼν τὸ τῆς ἑῴας στράτευμα ἅπαν ἤδη ἐκλελοιπὸς ὡς ὑποχείριον τῶν Τούρκων γενόμενον, ἐφρόντιζεν ὡς οἷόν τε στράτευμα καταστῆσαι νεόλεκτον, καὶ δή τινας τῶν ἐκ τῆς Ἀσίας διασπαρέντων καὶ ἐπὶ μισθῷ δουλευόντων συλλέγων θώρακάς τε ἐνέδυε καὶ θυρεοὺς ἐδίδου καὶ κράνη φέρειν καὶ δόρατα. ἐπιστήσας δὲ αὐτοῖς ἕνα τῶν στρατηγῶν εὐφυῶς ὁμοῦ καὶ ἐπιδεξίως πρὸς τὴν ἐκείνων
C ἄσκησιν ἔχοντα (ἦν δὲ οὗτος ὁ Καππάδοξ Κωνσταντῖνος, ἀνὴρ πρὸς γένος ἐγγίζων τῷ βασιλεῖ Μιχαὴλ καὶ συνήθης τούτῳ καὶ σύντροφος) ἐγύμναζε δι' αὐτοῦ καὶ τὰ στρατιωτικὰ ἐξεπαίδευεν. ὁπηνίκα δὲ καὶ διιππεύειν ἀσφαλῶς ἤδη δύναιντο καὶ τὰ ὅπλα φέρειν ἱκανῶς καὶ εὐφυῶς ἐδόκει γεγυμνάσθαι κατὰ τὸ ἔξωθεν, ἐδόκει γυμνάζειν τούτων καὶ τὰς ψυχάς. ὁπλίζεσθαι γοῦν αὐτοὺς παρασκευάζων περιῄρει μὲν τῶν δοράτων τὰ ξίφη, κατὰ ἴλας δὲ αὐτοὺς διαιρῶν κατὰ πρόσωπον ἴσα ἀλλήλους, εἶτα ἐκέλευε σφοδρᾷ τῇ ῥύμῃ τοὺς ἵππους ἐλαύνοντας χωρεῖν κατ' ἀλλήλων
D καὶ παίειν ὡς οἷόν τε τοῖς δόρασιν, καὶ οὕτω τοὺς τολμηρότερον πρὸς τὸ ἔργον χωροῦντας τοῖς πρώτοις κατέλεγε. τοὺς γοῦν πολλάκις ἐν τῇ κατ' ἀλλήλων συμπλοκῇ ἀρίστους ἀναφανέντας ἀθανάτους ὠνόμασε, καὶ οὕτως ξυνέβη πάντας τοὺς τὴν συλλεγεῖσαν ἀναπληροῦντας φάλαγγα ἀθανάτους ὀνομασθῆναι.

5. Τούτους ὁ Κομνηνὸς παραλαβὼν Ἀλέξιος ξὺν τοῖς ἄλλοις ἀπελθὼν ἐστρατοπέδευσε παρὰ ποταμὸν οὐκ οἶδ' ὅπως

10. δὲ] Hoc addidi. 16. τοὺς — χωροῦντας] Ita P. pro τοῖς — χωροῦσι.

theta spado, videns Orientalis limitis exercitum paene omnem defecisse subiugatum a Turcis, curavit alias copias ex novis delectibus sufficere. quare quosdam ex sparsis per Asiam mercede servientibus colligens loricis ipsos induit scutaque galeas et hastas iis ferendas dedit, praefectoque ipsis ad eos exercendos formandosque in arte bellica duce quodam natura et industria ad id prae ceteris apto (fuit is Constantinus Cappadox genere, propinquus imperatori Michaëli et simul cum eo nutritus) erudivit ad rem militarem eatenus ut satis belle equitarent et perite armis uterentur. hactenus visus satis exercitasse et armasse ad bellum corpora, eo quoque animum applicuit ut animos in id ipsum instrueret intrepidos, eos pugnaces reddendo. hoc sic assequebatur. educebat in campum istos suos iuvenes armatos, nisi quod cuspides ferreas hastis dempserant, divisosque in turmas et oppositos invicem altrinsecus incurrere in se mutuo equis quam concitatissimis iubebat tundereque invicem clipeos hastis: quo qui audentius defungi viderentur, eos primis accensebat. hos porro qui saepius ista meditatione vires animumque probaverant, immortales appellavit: quod nomen inde adhaesit legioni ex his scriptae.

5. His aliisque Comnenus Alexius assumptis, ègressus castra posuit ad fluvium nescio quomodo antiquitus appellatum (nam pleraque talium no-

ἀρχῆθεν καλούμενον διὰ τὸ ἀμειφθῆναι τῶν ὀνομάτων τὰ πλεῖστα, τέως δ' οὖν ἐκ τῶν Θρακικῶν ὀρῶν καταρρέοντα καὶ Ἁλμυρὸν κατὰ ἐγχωρίων καλούμενον. ἐν ᾧ καὶ φρούριον ἐπὶ λόφου ἵδρυται· Καλοβρύη τούτῳ τὸ ὄνομα. ἐκεῖσε τοίνυν στρατοπεδεύσας οὔτε τάφρον ὤρυξεν οὔτε ἐπήξατο χάρακα· ἐβούλετο γὰρ αὐτοῦ μὴ πολεμίων ἐφοδῶν ἔφοδον καὶ τὴν νίκην βλέπειν εἰ οἷόν τε. P 91
καὶ γὰρ ἔμελλε μετ' ὀλίγων μάχεσθαι πρὸς πολλοὺς στρατηγούς τε ἅμα γενναίους καὶ πολυπειροτάτους, ὧν καθάπερ ἀστέρων ἥλιος ἐξῆρχεν ὁ βασιλειῶν. διὰ τοῦτο ἐβούλετο τῷ πλήθει καὶ ταῖς δυνάμεσιν ἐλαττούμενος ὁ δομέστικος τῶν σχολῶν μὴ τόλμῃ μόνον ἀλλὰ καὶ μελέτῃ καὶ ἀγχινοίᾳ καταστρατηγῆσαι τῶν πολεμίων. σκοποὺς δὲ πέμπων ἐμάνθανε στρατοπεδεύειν τοὺς περὶ τὸν Βρυέννιον ἐν τοῖς κατὰ τοῦ Κηδόκτου πεδίοις.

6. Ὁ μὲν οὖν Βρυέννιος κατὰ τὸν ἐκεῖσε ναὸν τῆς τοῦ θεοῦ λόγου μητρὸς ἑσπέρας γενόμενος καὶ τὰ εἰκότα τελέσας, B
ἐπεὶ μεμαθήκει τοὺς ἀντιπάλους περὶ Καλοβρύην στρατοπεδεύειν (καὶ γὰρ τῶν μετὰ τοῦ Κομνηνοῦ Ἀλεξίου Τούρκων τινὲς νύκτωρ ἀπιόντες ἐπὶ τὸ τοῦ Βρυεννίου στράτευμα κατασκέψασθαι τοῖς σκοποῖς ἐμπεσόντες ἑάλωσαν καὶ ἀχθέντες πάντα ἀπήγγειλαν), ἕωθεν ἀναστὰς ἐκέλευεν ἅπαν ὁπλοφορεῖν τὸ στράτευμα καὶ κατ'

3. κατὰ] παρά? 6. πολεμίων — βλέπειν] Probabiliter P. πολεμίων μένειν ἔφοδον, ἀλλὰ τὴν νίκην κλέπτειν. 13. Κηδόκτου] Ita P. pro Κυδόκτου.

mina mutari contigit) nunc quidem ab accolis Halmyrus dicitur ex Thraciae montibus fluens, cui adsitum castellum in colle munitum visitur Calobrya vocatum. hic posita castra neque fossa neque vallo circumdedit. non enim confidebat usitatis belli artibus; nec statuerat exspectare ibi adventum impetumve hostium, sed victoriam furari si qua arte posset. conditionem quippe videbat imparem, seque cum paucis comparatum adversus multos non milites solum fortes sed duces quoque generosos scientissimos et experientissimos rei bellicae, inter quos velut sol inter astra praefulgebat candidatus imperii Bryennius. quare omnem honestam sibi putabat fore rationem expediendae in tanta sortis iniquitate victoriae et compensandae ac supplendae suorum paucitatis, non magis abundantia fiduciae quam ingenio et industria, quibus hostes in insidias pertractos strategemate debellaret. hoc consilio missis exploratoribus didicit castra metari Bryennianos in campis iuxta Cedoctum.

6. Ac Bryennius quidem ad templum ibi situm matris divini verbi vespere profectus et deum deiparamque rite veneratus, ubi cognovit adversarios ad Calobryam habere castra (hoc enim didicerat a Turcis quibusdam ex Alexiano exercitu, qui cum per noctem explorabundi incautius admovissent se Bryennianis castris a vigilibus capti et ad eum ducti fuerant) postridie mane iussit omnem exercitum armari, quem per turmas ordinabat in hunc

ἴλας τοῦτο συνέταττεν. εἶχε δὲ αὐτῷ τὰ τῆς συντάξεως ὧδε. τοῦ
V 66 μὲν δεξιοῦ κέρως ὁ τούτου κατῆρχεν ὁμαίμων ὁ κουροπαλάτης
Ἰωάννης ὃν δομέστικον κατέστησε τῶν σχολῶν. συνεπλήρουν δὲ
ταύτην τὴν φάλαγγα οἵ τε ἐξ Ἰταλίας παρὰ τοῦ Μανιάκη ἐκείνου
C κομισθέντες Φράγγοι καὶ τῶν ἐκ Θετταλίας ἱππέων συχνοί, ἔτι γε
μὴν καὶ τῶν ἀπὸ τῶν ἑταιρειῶν λεγομένων μοῖρα οὐκ ἐλαχίστη,
οὐκ ἐλάττους ὄντες οἱ πάντες τῶν πεντακισχιλίων. τὸ μὲν οὖν
δεξιὸν οὕτως ἐτέτακτο, τοῦ δ' εὐωνύμου κέρως ἐξῆρχε μὲν ὁ Ταρ-
χανειώτης Κατακαλών, ἀνὴρ καὶ βίῳ καὶ λόγῳ καὶ στρατηγικαῖς
μελέταις κοσμούμενος, ἐπλήρουν δὲ ταύτην τὴν φάλαγγα αἱ τῶν
Μακεδόνων τε καὶ Θρᾳκῶν ἶλαι ἐς τρισχιλίους ποσούμεναι. τὸ
δὲ μέσον τῆς φάλαγγος αὐτὸς ἐκεῖνος ὁ Βρυέννιος ἦγεν, ἐν ᾧ τό τε
D ἀρχοντικὸν ἐτάττετο ἅπαν καὶ Θρᾳκῶν δὲ καὶ Μακεδόνων καὶ τῆς
ἵππου τῶν Θεσσαλῶν ὅσον ἐπίλεκτον. ἔξωθεν δὲ τοῦ εὐωνύμου
κέρως τὸ συμμαχικὸν Σκυθικὸν ἐτέτακτο προτρέχον ταύτης δυοῖν
σταδίων διάστημα. ἀλλ' οὕτω μὲν ἐκεῖνος τὸ στράτευμα ἔταξεν,
ἐκτείνας εἰς μῆκος τὴν φάλαγγα καὶ παραγγείλας, ἐπὴν οἱ πολέ-
μιοι φανεῖεν καὶ ἡ σάλπιγξ ἠχήσῃ τὸ ἐνυάλιον, πειρᾶσθαι τοὺς
ἀμφὶ τὸ Σκυθικὸν ξὺν ἀλαλαγμῷ καὶ βοῇ κατὰ νώτου γενέσθαι
τῶν πολεμίων. ὁ μὲν οὕτω τοῖς ἡγεμόσι παρήγγειλεν.

7. Ὁ δὲ Κομνηνὸς Ἀλέξιος μαθὼν διὰ τῶν σκοπῶν ἐγγί-
ζειν ἤδη τοὺς πολεμίους τὸ μὲν στράτευμα ἅπαν ἐν κοιλάσι κατέ-
P 92 κρυψεν, αὐτὸς δὲ ἐπὶ λόφον ἀνελθὼν κατεσκόπει τὰ ἐκείνων.

modum. dextro quidem cornui praeerat eius frater curopalates Ioannes, quem ipse domesticum scholarum creaverat. id autem corpus conflabant qui ex Italia deducti a Maniace fuerant Franci et equitum ex Thessalia plerique: praeterea ex sodalitatibus (sic dictae certae militum manus) pars non exigua. hi omnes quinque millium numerum facile implentes dextrum cornu faciebant. sinistrum cornu ductabat Tarchaniotes Catacalo, vir et moribus et eloquentia et bellica gloria praeclarus, cui suberant Macedonum et Thracum alae, milites non pauciores tribus millibus. mediam aciem ipse Bryennius regebat, in quo praetoriana militia cuncta Thracumque ac Macedonum, nec non equitatus Thessalici flos ipse ac robur. extra sinistrum cornu Scythae auxiliares dispositi fuerant provecti ultra aciem duorum stadiorum intervallo. sic Bryennius aciem instruxerat, extensa in longitudinem phalange: suisque praeceperat ut quam primum hostes apparuissent et tuba classicum cecinisset, conarentur praecurrentes Scythae quam tumultuosissime cum vociferatione et ululatu ipsis solito circumvenire hostes et ipsis a tergo instare. tale ille mandatum ducibus dederat.

7. At Comnenus Alexius accepto per exploratores indicio adventus hostium iamque ipsos non longe distare, copias suas omnes in vallibus abscondit. ipse vero in eminentem ascendens collem observabat longe venientes.

ἰδὼν δὲ πλῆθος καὶ διανοησάμενος μή πως οἱ ὑπ᾽ αὐτὸν τεταγμένοι πρὸ τοῦ προσβαλεῖν τούτους τοῖς πολεμίοις εἰς φυγὴν ἐξορμήσωσιν, ἐβουλεύσατο βουλὴν ἀρίστην ὁμοῦ καὶ συνετωτάτην, ὥστε μηδ᾽ ὅλως καταφανεῖς γενέσθαι τῷ τούτου στρατεύματι τοὺς πολεμίους. μάλιστα δ᾽ ἐφόβει τοῦτον τὸ παρὰ γνώμην τοῦ βασιλέως μάχεσθαι τὴν ἡμέραν ἐκείνην· ἔφθη γὰρ τῇ πρὸ ταύτης ἑσπέρᾳ γράμματα πεμφθῆναι αὐτῷ πρὸς τοῦ βασιλέως κελεύοντα μὴ πολεμεῖν, ἀλλὰ μένειν τὴν ἔλευσιν τῶν ἄρτι πεμφθέντων πρὸς τῶν Τούρκων συμμάχων. μένειν μὲν οὐχ οἷόν τε ἦν μὴ συνάψαντα πόλεμον, τῶν πολεμίων εἰς χεῖρας ἤδη ἰόντων· ὑποχωρεῖν δὲ ἄνευ B πολέμου ἀνάξιον ἔδοξεν αὐτῷ. βεβούλευτο οὖν αὐτῷ ἢ νικᾶν ἢ θνήσκειν μαχόμενον ἢ οὕτως ἀγεννῶς τε καὶ ἀνάνδρως παλινοστεῖν διὰ τὸν ἐκ βασιλέως φόβον. κατασκοπήσας οὖν τὸν τόπον, ἐπεὶ εἶδε τὸ μὲν ἀναπεπταμένον τὸ δὲ λόφους καὶ κοιλάδας ἔχον, ὥστε δύνασθαι τὸ μὲν τῆς Βρυεννίου φάλαγγος ἀποκρύπτεσθαι τὸ δ᾽ εἶναι καταφανές, τὸν στρατὸν ὁπλίσας καὶ δίχῃ διελὼν τῶν μὲν ἀθανάτων καὶ Φράγγων αὐτὸς εἶχε τὴν ἡγεμονίαν, τῶν Χωματηνῶν δὲ καὶ τῶν Τούρκων τὸν Καταχαλὼν Κωνσταντῖνον ἡγεμόνα κατέστησε, κατέναντι τῆς Σκυθῶν φάλαγγος τάξας αὐτούς. C

8. Ἐπεὶ γοῦν κατὰ τοὺς κοιλώδεις τόπους τὸ τοῦ Βρυεννίου γέγονε στράτευμα, καὶ τοὺς κατὰ δεξιὸν κέρας ταττομένους ὑπεδείκνυε καὶ χωρεῖν κατὰ τούτων σφοδρᾷ τῇ ῥύμῃ ἐκέλευε. κα-

quorum ubi multitudinem aestimavit oculis, providens facile fore ut si eadem suis tanto paucioribus offerretur, ii visu primo desperantes statim in fugam verterentur, optimo consilio decrevit cavere ne in suorum militum conspectum hostilis exercitus veniret. maxime autem eo articulo rerum conturbabat ipsum pridie appulsus ab imperatore nuntius qui omnino vetabat eo die pugnari, sed exspectari adventum auxiliarium Turcorum qui iam esse in itinere dicebantur. atqui tali loco et tempore deprehensis defugiendi praelii nulla facultas restabat, utique hostibus iam praesentibus et manus tantum non conserentibus, nisi probrosum suscipere dedecus vellet recedendo sine pugna. quare generose decrevit aut vincere aut pugnando mori, neque obiicere se post cladem ignominia plenum irae imperatoris, culpae ut fit imputaturi fortunae casum. speculatus ergo locum, ubi animadvertisset partim illum apertum et late patentem, partim intercisum iugis collium et concavis vallium, qua varietate situs facile poterat assequi ut pars dumtaxat exercitus Bryenniani a suis videretur pars absconderetur, copias armavit et bifariam divisit. immortales et Francos ipse duxit. Chomatenis et Turcis Constantinum Catacalonem ducem praeposuit opponens eos ex adverso Scythis.

8. Postquam autem Bryenniani in loca concava iam progressi erant, dextrum eorum cornu suis ostendit et impetum in eos facere quam vehemen-

ταπηδήσαντες οὖν ὥσπερ ἀπὸ ἐνέδρας καὶ τῷ αἰφνιδίῳ τοὺς ἀν-
τιπάλους καταπλήξαντες μικροῦ δεῖν ἐκκλίνειν αὐτοὺς πρὸς φυγὴν
παρεσκεύασαν, ἕως ὁ τούτων καθηγεμὼν ὁ Βρυέννιος Ἰωάννης
V 67 τὸν ἀκινάκην σπασάμενος σὺν ὀλίγοις τὸν πρώτως ἐπιόντα τῶν
ἀθανάτων κατέβαλε καὶ ἄλλοι ἑτέρους, καὶ τὴν φάλαγγα πᾶσαν
D συνέστησεν, ὥστε τοὺς ἀντιπάλους τρέψασθαι. οἱ μὲν οὖν ἀθά-
νατοι τοῦτον τὸν τρόπον πάντες ᾤχοντο, ὁ δὲ Κομνηνὸς Ἀλέξιος
κατὰ νώτου τῶν πολεμίων γενόμενος καὶ δοκῶν ξυνέπεσθαί οἱ τὴν
φάλαγγα τὴν ἰδίαν γενναίως τε ἠγωνίζετο καὶ τοὺς εἰς χεῖρας ἰόν-
τας κατέβαλεν. ἐπεὶ δὲ εἶδε τὴν ἑαυτοῦ φάλαγγα εἰς φυγὴν τρα-
πεῖσαν, παρακαλέσας τοὺς ἑαυτοῦ (ἦσαν γὰρ σὺν αὐτῷ τῶν ἰδίων
τινὲς ἀγαθοὶ στρατιῶται εἰς ἓξ ποσούμενοι) βουλὴν ἐβουλεύσατο
τολμηράν, γενέσθαι κατὰ νώτου τοῦ Βρυεννίου καὶ ξυμμίσγοντα
τοῖς τούτου ἠρέμα ἰέναι μέχρις αὐτῷ πλησιάσαιεν, ἐπειδὰν δ' ἐγ-
γὺς τούτῳ γένοιντο, σπασάμενοι ξίφη αὐτὸν ἀνελεῖν. κἂν ξυμ-
βαίη καὶ τούτοις σὺν ἐκείνῳ πεσεῖν, αἱρετώτερον εἶναι μᾶλλον
P 93 αὐτῷ ἢ τὸ παρακούσαντα βασιλέως δίκας εἰσπραχθήσεται τῆς
παρακοῆς πρὸς ἐκεῖνον. ἀπεῖρξε δὲ τοῦτον τοῦ τοιούτου βουλεύ-
ματος ὁ Θεόδοτος, οὗ πρόσθεν ὁ λόγος ἐμνήσθη, εἰπὼν τοῦτο
μὲν εἶναι πρὸς τῷ παραβόλῳ καὶ εὔηθες. νυνὶ δὲ χρὴ ἐξελθόν-
τας τοῦ τῶν πολεμίων στρατεύματος ἀπιέναι πρὸς τοὺς ἰδίους,
ἐπειδὰν δὲ τούτοις συμμίξειαν, εἰ βούλοιτο, λαβόντα κἀκείνων

17. εἰσπραχθήσεται] εἰσπραχθήσεσθαι? 20. χρὴ] χρῆναι?

tissime iussit. exsiliunt igitur velut ex insidiis et celeritate inopinatae impressionis adversarios turbatos parum abfuit quin in fugam verterent. gliscebatque trepidatio, quoad dux eorum Ioannes Bryennius acinace stricto cum paucis occurrens primum ex immortalibus invehentem se deiecit et alii alios: quo viso phalanx Bryenniana constitit, Alexiana vero terga vertit, adeo ut nullus ex immortalibus locum tueretur, sed retro ferrentur omnes in fugam. interim Alexius Comnenus circuitis hostibus a tergo in ipsos ferebatur, et existimans propriam phalangem ipsum sequi, fortissime pugnabat prosternens obvios quosque. verum ut animadvertit propriam phalangem in fugam versam, advocatis sociis qui ex familiaribus sex numero bellatores optimi aderant ipsi, consilium audax proponebat dicens velle se cum ipsis assectari a tergo Bryennium, et ubi ad ipsum penetrassent, strictis subito ensibus ipsum occidere. in quo si contingeret ipsos mori, tamen sortem illam tolerabiliorem fore quam si victi ad imperatorem redirent poenas haud dubie graves eius arbitrio daturi neglecti eius mandati, quo pugnam illo die committi vetuerat. avertit autem eum a tali coepto Theodotus, cuius supra meminimus aiens id praeterquam temerarium, etiam stultum. cui enim non patere primam curam eorum qui a suis interclusi hostium multitudini paucissimi ipsi se immixtos sentiunt, esse debere, referre se quantocius ad suos, iisque ubi aggregati fuerint adiungere sibi ex ipsis quam plurimos poterunt et

ὁπόσους δυνατὸν κοινωνοὺς οὕτω χωρεῖν πρὸς τὸν κίνδυνον. τὰ μὲν οὖν κατὰ τὸ δεξιὸν κέρας τοιοῦτον ἔσχε τὸ τέλος.

9. Κατὰ δὲ τὸ εὐώνυμον οἱ περὶ τὸν Καταχαλὼν Κων- B
σταντῖνον Σκύθαι ἰδόντες Χωματηνοὺς εὐθὺς ἐξώρμησαν κατ' αὐτῶν ξὺν βοῇ πολλῇ καὶ ἀλαλαγμῷ, καὶ θᾶττον ἢ λόγος τούτους τρεψάμενοι τοῦ διώκειν παυσάμενοι σὺν τάξει ὑπέστρεφον καὶ κατὰ τῶν τὴν οὐραγίαν τηρούντων τοῦ Βρυεννίου στρατεύματος ἐξώρμων σὺν προθυμίᾳ πολλῇ, καὶ ὅσον θητικὸν σκυλεύσαντες καὶ ἵππους καὶ λάφυρα λαβόντες ἀπῄεσαν οἴκαδε. συγχύσεως δὲ ἐκ ταύτης τῆς αἰτίας γενομένης ταῖς τάξεσιν, ἅτε τῶν περὶ τὸ τοῦλδον Ῥωμαίοις καλούμενον εἰς αὐτὰς καταφευγόντων δέει τῷ τῶν Σκυθῶν καὶ τῶν σημείων ἀναμιχθέντων, ὁ Κομνηνὸς Ἀλέ- C
ξιος τοῦτο κατιδὼν (ἔτι γὰρ ἐντὸς διέτριβε τοῦ τοῦ Βρυεννίου στρατεύματος) καλύψας τὸ πρόσωπον τῷ ἀπῃωρημένῳ θωρακίδι τῇ κόρυθι, τῶν ἱπποκόμων ἕνα τοῦ Βρυεννίου καταλαβὼν * * * * ἐκείνου τῇ ἁλουργῷ ἐφεστρίδι καὶ τοῖς χρυσοῖς φαλάροις κοσμούμενον, ἔτι δὲ καὶ τὰς ἐξ ἔθους τοῖς βασιλεῦσι παρεπομένας ῥομφαίας, λάθρα τοῦ στρατεύματος ἐξιών, ἐπειδὰν ἔξω φόβου παντὸς γέγονεν, ἐξέπεμπε τὸν ἵππον μετὰ κήρυκος βοῶντος μέγα ὡς ὁ Βρυέννιος πέπτωκε. τοῦτο πολλοὺς τῶν φευγόντων μένειν

3. Κωνσταντῖνον] Wilken Hist. Comn. p. 55. Ταρχανειώτην. 14. θωρακίδι τῇ κόρυθι] θωρακίῳ τῆς κόρυθος? 15. καταλαβὼν] Indicavi lacunam a Wilkenio l. l. p. 56. ex Anna Comn. p. 13. ita suppletam: ἵππον τινὰ τῶν βασιλικῶν ἐπισυρόμενον.

cum iis, si ita lubeat, in hostes pergere periculumque iterum subire. hic successus certaminis in dextero cornu fuit.

9. In sinistro vero Scythae quos ducebat Constantinus Catacalo videntes Chomatenos statim in eos eruperunt cum clamore et ululatu magno, et dicto citius iis in fugam versis, persequendi fine facto, servatis ordinibus revertebantur, cum libido ipsis incidit irruendi magno impetu in eos qui extremum agmen Bryennianorum tuebantur: ubi facile direpta illa omni mercenaria manu, equorum insuper et spoliorum magna praeda facta domum abierunt. hinc ordinum militarium orta perturbatio: quod terrore illato in illam multitudinem sarcinariorum iumentorum, quam vulgari lingua tuldum Romani vocant, multa ex iis temere in ordines armatorum inferebantur Scythas fugientia, unde contigit signa permisceri. id cum observasset Alexius Comnenus, qui adhuc Bryennianis immixtus erat, oculario galeae tegmine ne agnosceretur demisso, corripuit obvium forte quemdam ex equisonibus Bryennii, unum ex eius equis imperiali purpura instratum et aureis phaleris ornatum ducentem: corripuit et rhomphaeas de more post imperatores gestari solitas. ac sic cum his clam exiens e Bryenniana acie ubi securum in locum devenit, praeconem misit qui equum ostentans late clamaret cecidisse Bryennium. ea vox et species multos ex Alexianis iam fugam spectantibus

D ἔπειθε, τοὺς δὲ καὶ παλινοστεῖν· ξυνέβαινε γάρ, τῶν Σκυθῶν τῶν μελλόντων διώκειν οὕτω τοῖς περὶ Βρυέννιον ἐπιβουλευσάντων, μηδενὸς ὄντος τοῦ διώκοντος μὴ πόρρωθεν φυγεῖν τοὺς περὶ τὸν Κομνηνὸν Ἀλέξιον, ἀλλὰ πλησίον ἀλᾶσθαι ἐπαποροῦντας, ὅπως ἐκείνους φεύγοντας τόν τε ἵππον ἐδείκνυ καὶ τὰς ῥομφαίας καὶ τὴν ἀναίρεσιν τοῦ Βρυεννίου τρανῶς ἐκήρυττε, καὶ συνελέγοντο ἅπαντες.

P 94 V 68 10. Συνέπεσε δέ τι καὶ ἕτερον, Τούρκων οὐκ ἐλαχίστην μοῖραν πρὸς συμμαχίαν ἄρτι πρὸς βασιλέως ἀπεστάλθαι, οὓς συνεκύρησε κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν ἡ μάχη συνέστη καὶ ἡ τροπή, παραγενέσθαι. ἰδόντες οὖν φεύγοντας καὶ τὸν δομέστικον ζητήσαντες τῶν σχολῶν καὶ παρὰ τούτῳ γενόμενοι θαρρεῖν τε ἐκέλευον καὶ τοὺς πολεμίους ἐζήτουν θεάσασθαι. ὁ δὲ τοὺς ἡγεμόνας τούτων παραλαβὼν ἄνεισιν ἐπί τινα λόφον ἀφ' οὗ καταφανεῖς ἔμελλον ἔσεσθαι οἱ πολέμιοι, καὶ ὑπεδείκνυ τούτους ἐκεῖ- B θεν. οἱ δὲ ξυγκεχυμένην ἰδόντες τὴν φάλαγγα καὶ ξὺν οὐδεμιᾷ τάξει χωροῦσαν ἀλλ' ἀκινήτως ὥσπερ κινουμένην καὶ φθειρομένην, πάντες γὰρ ἔξω φροντίδων ἦσαν ὡς ἤδη νενικηκότες καὶ τοὺς πολεμίους τρεψάμενοι, ἐπεὶ καὶ οἱ τοῦ Βοτανειάτου Φράγγοι τῷ Βρυεννίῳ προσκεχωρήκασιν ἅπαντες καὶ τῶν ἵππων ἀποβαίνοντες,

2. τοῖς] V. τούς. 5. ὅπως] Hic etiam plura turbata sunt.

tenuit, alios autem qui fugere iam coeperant revocavit. quia enim Scythae qui debuerant insequi fugientes, ab iis impetum verterant in extremum agmen Bryennii, contigit Alexianos, utpote quos nemo a tergo urgeret, non longe fugere sed in propinquo exspectare quo res caderet, ut ex eventu consilium caperent. ergo ut viderunt Bryennianos quidem fugientes (hos enim ut diximus Scythae turbabant), equum vero quem cultus imperatorius Bryennii esse suadebat, rhomphaeis circumdatum sessore vacuum: ad haec vocem audirent clare denuntiantem occisum esse Bryennium, refecti animis et confirmati denuo congregabantur.

10. Accessit eodem quod in istud opportunissime momentum occurrit adventus non exiguae Turcorum manus ex iis quos ab imperatore in auxilium Alexio missos iam diximus. hi videntes commissam pugnam turbatosque ac fugientes hostes, quaesito domestico scholarum ac denique invento prolixissime suam operam detulerunt, ut confideret hortantes sibique ostensis hostibus aliquam partem victoriae concederet. Alexius eorum alacritate utendum ratus ducibus horum secum assumptis ascendit in tumulum, ex quo sciebat hostium aciem cerni posse, quam et ipsis inde ostendit. illi videntes confusam phalangem temere huc illuc nulla certi ordinis disciplina evagantem ac sensim se dissolventem, ut illis accidit qui nimia victoriae securitate ex versis in fugam adversariis concepta, contentionem et industriam remittunt, cui fiduciae ut languidius indormirent Bryenniani faciebat recens transfugium Francorum, qui ex Alexii signis ad ipsos transierant, exscensis equis uni-

ταῖς ἐκείνου χερσὶ τὰς χεῖρας ἐμβάλλοντες, ὡς δὴ πάτριος νόμος τούτοις ἐστί, πίστεις ἐδίδουν, * * * ξυνέθεον ἅπαντες οἱ τῆς φάλαγγος, θεαταὶ τῶν δρωμένων γενόμενοι, ταῦτ' οὖν οἱ τῶν Τούρκων ἡγεμόνες ἰδόντες, κατελθόντες ἐκεῖθεν τριχῇ τὴν οἰκείαν φάλαγγα διελόντες τὰς μὲν δύο μοίρας ἐπὶ τὸ ἐνεδρεύειν ἐξέπεμπον, C
τὴν δὲ ἑτέραν ἐκέλευον πρὸς τοὺς πολεμίους χωρεῖν οὐ κατὰ φάλαγγα συντεταγμένους ἀλλὰ κατὰ λόχους ὀλίγους καὶ διεσκεδασμένως, ἐλᾶν τε τοὺς ἵππους καὶ τοῖς τοξεύμασι χρῆσθαι καὶ πέμπειν βέλη συχνὰ κατ' ἐκείνων.

11. Ξυνείπετο δὲ τούτοις καὶ ὁ Κομνηνὸς Ἀλέξιος, συλλέξας τῶν ἐκ τῆς τροπῆς ὁπόσους τὸ ὀξὺ τοῦ καιροῦ συνεχώρει. οὕτω γινομένων τῶν ἀθανάτων τινὲς προεκδραμόντες τοὺς Τούρκους ἐντὸς τοῦ Βρυεννίου στρατεύματος γεγόνασι, καὶ τῶν τις ἐκείνων παίει τοῦτον κατὰ τοῦ στέρνου τῷ δόρατι. ὁ δὲ τοῦ κου- D
λεοῦ τὸ ξίφος ἑλκύσας αὐτό τε δόρυ πάσας διεῖλε διχῇ καὶ τὸν βαλόντα κατὰ τῆς κλειδὸς πλήξας τὸν ὦμον ἅμα τῷ θώρακι διαμπὰξ ἐξέτεμε. καὶ εὐθέως οἱ Τοῦρκοι σὺν ἀλαλαγμῷ τὰ βέλη ἐξέπεμπον, καὶ οἱ φαλαγγάρχαι ἦσαν ἐπὶ τῷ αἰφνιδίῳ τοῦ δράματος καταπληγέντες. ὅμως ἄνδρες δεινοὶ τὰ πολεμικὰ ὄντες ἐς τάξεις ἐπειρῶντο καταστῆσαι τὴν φάλαγγα, καὶ τοὺς σφῶν παρεκάλουν

2. ἐδίδουν] Indicavi lacunam. excidisse videtur οὐ γινομένου.
15. πάσας] P. περάσας. Lachmannus ἐλάσας. 16. τῆς] V. τοῦ.
18. φαλαγγάρχαι] V. φαλαγγάρχοι, qua forma non uti solet Bryennius.

versi et dextris ad Bryennianorum manus implicitis; quae ipsis patrio more fidei obligandae formula et ritus est. ad quod spectaculum passim ex phalange discurrebatur, cunctis otiose cernentibus quid ageretur et periculi securis. haec inquam cum duces Turcorum monstrante Alexio vidissent, descendentes inde suas copias trifariam partiti sunt. harum duas partes in insidias absconderunt, tertiam iusserunt in hostes invehi non iam in phalangis modum ordinatos, sed per modicos manipulos sparsim discerptos, mandato edito ut equos in eos incitarent eminusque iacularentur et quam plurima in eos tela mitterent.

11. Sequebatur autem hos et Alexius Comnenus, congregatis circa se quotquot ex fuga retractos praesens illi fortuna obtulit. cum hoc statu res essent, immortalium quidam praecurrentes ante Turcos iam in agmen Bryennii penetraverunt tam intime ut unus eorum ipsi Bryennio pectus hasta comminus tunderet. ille vero educto strenue vagina ense hastam ictu manibus tenentis excussam in duo frusta diffregit, ipsum vero qui se pulsaverat in summa brachii cum cervice commissura assecutus humerum cum thorace penitus abscidit. hic improviso Turci cum clamore alacri grandinem telorum mittunt, haerentibus et trepidantibus ductoribus phalangis ad tam inopinatum malum: tamen ut erant viri fortes et belli periti, restituere in ordinem

στρατιώτας ἄνδρας ἀγαθοὺς γενέσθαι κλέος τοιοῦτον ὃ νικήσαντες ἀλλήλους, καὶ ὡς τὸ στενὸν τοῦ καιροῦ συνεχώρει καταστάντες τάξεις γενναίως ἐξώρμων κατὰ Τούρκων.

P 95 12. Οἱ δὲ φεύγοντες προτροπάδην εἷλκον ἐκείνους πρὸς τὰς ἐνέδρας, ἕως ἐγγὺς πρώτης ἐνέδρας γεγόνασιν. ἐκεῖ δὲ πλησίον γένοιντο, αὐτοί τε ὑπέστρεφον καὶ οἱ τῆς ἐνέδρας ὀξέως καταπηδήσαντες πάντοθεν αὐτοὺς τοξεύμασιν ἔβαλλον καὶ κακῶς διετίθουν καὶ ἵππους καὶ ἄνδρας. ἐκείνων δὲ πρὸς φυγὴν ἐκκλινόντων ἤδη, ὁ τῶν σχολῶν δομέστικος τοῦ τοῦ Βρυεννίου στρατεύματος ὁ κουροπαλάτης Ἰωάννης, ὃν ἐκείνου ὁμαίμονα ὁ λόγος φθάσας ἐγνώρισεν ἄνωθεν, ἐβοήθει ξὺν τάχει πολλῷ. ὃν ἰδόντες οἱ περὶ τὸν Βρυέννιον θαρραλεώτερον κατὰ τῶν Τούρκων ἐχώρουν. οἱ δ' αὖθις ὑπέστρεφον καὶ φεύγειν οὐ πρὶν ἀνῆκαν ἕως
V 69 B οὗ ταῖς ἐνέδραις περιπεσεῖν τοὺς διώκοντας παρεσκεύασαν. οὗ δὴ γενομένου καὶ πρὸς φυγὴν ἐκκλινάντων ἁπάντων ἤδη, συχνοὶ τῶν περὶ τὸν Βρυέννιον ἐόντων ἔπιπτον. ὃ κατιδὼν ἐκεῖνος βοηθεῖν ἐπεχείρει ταχέως· πολλοὺς γὰρ τῶν διωκόντων συναντῶν ἀνῄρει καὶ τοὺς φεύγοντας παρεκάλει μένειν. ἀλλ' εἰς κενὸν αὐτῷ καθεστήκει τὰ τοῦ σπουδάσματος· πάντες γὰρ λιπόντες αὐτὸν ξὺν τῷ υἱῷ καὶ τῷ ἀδελφῷ ὑπεχώρουν. αὐτοὶ δὲ λαμπρῶς ἀγωνισάμενοι καὶ συχνοὺς τῶν Τούρκων καταβαλόντες, ἐπειδὴ τὴν φάλαγγα πᾶσαν διασκεδασθεῖσαν ἑώρων, ἐξώρμων καὶ αὐτοὶ πρὸς

1. κλέος — ἀλλήλους] Haec lacunosa sunt et corrupta. 2. καταστάντες] Addendum εἰς.

phalangem conabantur, adhortantes ad bene pugnandum partaeque iam victoriae decus obtinendum. iamque pro angustia temporis satis restitutis ordinibus in Turcos ferebantur.

12. At hi effuse fugientes eos in insidias trahebant duobus ut diximus locis positas, ad quorum priorem ut se admoverunt, erumpentibus ex occulto suis et ipsi fuga omissa se adiungentes innumerabili telorum multitudine hostes obruebant, vulnerabantque passim et viros et equos. quare Bryennianis haud dubie in fugam inclinantibus, qui apud Bryennium domestici scholarum titulum habebat, curopalates Ioannes, quem Bryennii eiusdem fuisse fratrem superius diximus, auxilio venit celeritate magna, quem Bryenniani videntes audacius Turcis resistebant in eosque ultro irruebant. hi vero rursus artificiosa fuga cesserunt: neç retro ferri destiterunt priusquam insequentes in secundas insidias pertraxissent. quod cum esset factum multi repente Bryennianorum ceciderunt, aliique omnes fugam haud dubie spectabant: quo curopalates viso raptim suppetias laturus accurrens multos ex Alexianis versa iam vice insequentibus occidit et fugientes suos hortabatur ut manerent. sed frustra contendebat. omnes enim ipso cum fratre et huius filio relictis recesserunt. hi porro memorabili pugna edita multisque Turcorum deiectis, postquam universam phalangem dissipatam viderunt, abierunt

τὸ φεύγειν, οἱ δὲ Τοῦρκοι ἐπέκειντο. συχνῶς οὖν ἐπιστρεφόμενοι τούτους ἀνέκοπτον τῆς ὁρμῆς, ἕως ὁ ἵππος ὃν ἐκεῖνος ἐπωχεῖτο καμὼν προσωτέρω χωρεῖν οὐκ ἠδύνατο. τούτου οὖν γινο- C μένου αὐτὸς μὲν βάδην ἀπῄει, ὁ δὲ τούτου ὁμαίμων καὶ ὁ υἱὸς συχνάκις ἐπιστρεφόμενοι τοὺς Τούρκους ἀνέκοπτον.

13. Μέχρι μὲν οὖν οὐ πολύ τι πλῆθος ἦσαν οἱ διώκοντες, εὔδρομα τούτοις ἦσαν τὰ τῆς ὑποχωρήσεως. ἐπεὶ δὲ πολλοὶ συνέθεον καὶ ὁ ἐκείνου ἵππος κεκοπιακὼς πρὸς δρόμον ἦν ἄχρηστος, κυκλοῦν ἐπεχείρουν αὐτοὺς κατὰ πρόσωπον οἱ πολέμιοι. οἱ δ' ἄμφω σὺν πολλῷ τῷ ῥοίζῳ κατὰ τῶν πολεμίων ὁρμήσαντες δύο μὲν τούτων κατέβαλλον, τοὺς δ' ἄλλους πόρρω φυγεῖν κατηνάγκαζον, κἀκ τούτου βραχείας ἀδείας τυχόντες ἀπῄεσαν. ἀλλ' αὖθις οἱ Τοῦρκοι μετὰ πλείστων ἄλλων ὑπέστρεφον καὶ σφοδρῶς D ἐπέκειντο τούτοις. οἱ δ' αὖθις ἔδρων τὰ πρότερον καὶ πολλῇ τῇ προθυμίᾳ κατὰ τῶν Τούρκων ἐχώρουν. ξυνέβη δὲ τούτοις τὰ τῆς προθυμίας οὐκέτι κατὰ τὸ πρότερον, ἀλλ' ὁ μὲν Ἰωάννης ἕνα τῶν Τούρκων καταβαλὼν ἑτέρῳ προσκέκρουκε, καὶ ἀμφοῖν οἱ ἵπποι σὺν τοῖς ἐπιβάταις πεπτώκασιν, ὁ δὲ τοῦ βασιλειῶντος υἱὸς ἐν τῷ διώκειν πόρρω γενόμενος καὶ ἕνα τῶν Τούρκων καταβαλὼν ἐν μέσοις τοῖς Τούρκοις ἐναπελήφθη καὶ οὐκέθ' οἷός τε ἦν τῷ πατρὶ ξυνελθεῖν, καίτοι πολλὰ πειραθεὶς συμμῖξαι τούτοις. λα- P 95 βόντες οὖν ἄδειαν οἱ Τοῦρκοι ἐπῄεσαν κατὰ τοῦ Βρυεννίου σφο-

19. γενόμενος] V. γινόμενος. 20. ἐναπελήφθη] V. ἐναπελείφθη.

et ipsi fugientes Turcis a tergo instantibus. quare illi crebro in eos conversi eorum impetum retardare conabantur: quoad equus cui Bryennius insidebat labore fractus viribus destitui coepit ad porro pergendum. quo casu circumventus ipse quidem lento prout poterat passu procedebat; frater vero eius et filius verso saepius vultu Turcos reprimebant.

13. Ac quoad quidem non ita magna insequentium multitudo erat, receptum satis commode administrabant: postquam vero multi concurrebant et Bryennii equus magis ac magis deficiens plane iam inutilis ad cursum erat, circuire ipsos et a facie progressi se ipsis ostendere hostes conabantur. sed ambo magno impetu in hostes illati, duobus ex his deiectis ceteros longe refugere compulerunt, et sic brevi sibi securitate parata pergebant. verum rursus Turci cum plurimis aliis reversi vehementer in eos incumbebant, his denuo ut prius generosa vi Turcos impetentibus: sed ad extremum audacibus coeptis fortuna non adfuit. Ioannes enim cum unum quempiam Turcorum deiecisset, in alium impegit, ita ut amborum equi offensione mutua equitibus excussis et ipsi cum iis humi sternerentur. Bryennii vero imperium affectantis filius studio insequendi hostes longius elatus, uno Turcorum deiecto, in medio Turcorum deprehensus haerebat, nec iam quantumvis conaretur expedire se poterat ut patri succurreret. hac vice rerum securiores Turci magno numero maioreque vi in Bryennium incurrunt. unus igitur eorum

θρότερον. εἷς οὖν αὐτῶν τὸ ξίφος σπασάμενος κατ' ἐκείνου τολμηρότερον ἐξώρμησεν· ὁ δ' ἐπιστραφεὶς παίει τοῦτον τῷ ξίφει καὶ τήν τε χεῖρα ἀπέτεμε καὶ κατὰ γῆς αὐτὴν πεσεῖν σὺν τῷ ἀκινάκῃ παρεσκεύασεν. οἱ δὲ λοιποὶ κυκλοῦν ἐπεχείρουν αὐτόν. ὁ δὲ γενναίως ἠμύνετο. ἐξορμήσας οὖν κατὰ τῶν ἔμπροσθεν ἐπιόντων πλήττεται δόρατι. ἀσχοληθέντος δ' αὐτοῦ διακόψαι τὸ δόρυ ὁ πρῶτος τὴν χεῖρα ὑπ' αὐτοῦ ἐκτμηθεὶς Τοῦρκος τοῦ ἵππου κα- B ταπηδήσας ἐπιβαίνει τοῖς νώτοις τοῦ Βρυεννίου. ὁ δ' ἐπιστρέφων τὸν ἀκινάκην οὐχ οἷός τε ἦν παίειν αὐτὸν τοῖς τούτου κρυπτόμενον. ἀποβάντες οὖν οἱ λοιποὶ τῶν Τούρκων τῶν ἵππων ἱκέτευον μὴ θνήσκειν ἐθέλειν αὐτόν, ἀλλὰ πρὸς τὸ ξυμπεσὸν ἐνδιδόναι. ἕως μὲν οὖν αὐτῷ ἡ χεὶρ οὐ κεκοπίακεν, οὐκ ἐνεδίδου παίων τε καὶ παιόμενος· ἐπεὶ δὲ κατάκοπος ἤδη γέγονεν, εἶξε καὶ ἄκων ταῖς τῶν ἐχθρῶν παρακλήσεσι, καὶ οὕτω συνέβη τοῦτον ἁλῶναι.

14. Λαβόντες οὖν τοῦτον οἱ βάρβαροι μετὰ πλείστης ὅτι τιμῆς πρὸς τὸν Κομνηνὸν ἐχώρουν Ἀλέξιον, κήρυκας ἐκπέμψαν- C τες πρότερον τὴν ἅλωσιν τούτου μηνύσοντας. ταῦτα μὲν οὖν τοῦτον ἐπράχθη τὸν τρόπον, τὸν δὲ τούτου αὐτάδελφον ἐντυχών τις V 70 τῶν Φράγγων μετὰ τὸ σύμπτωμα καὶ πεζὸν θεασάμενος ἐπὶ τοῦ ἵππου ἀναβιβάσας διέσωσε μέχρι τῆς Ἀδριανουπόλεως. σέσωσται δὲ καὶ ὁ τούτου υἱὸς διασχὼν τοὺς κυκλώσαντας καὶ οὕτω γενόμενος ἔξω βελῶν, ὃν ἐν τῷ φεύγειν παρήγγειλεν ὁ πατὴρ γενόμε-

ense stricto ipsum audentius aggreditur. ille vero conversus ferit eum gladio, et manum eius amputans cadere in terram ipso cum acinace coegit. reliqui conabantur ipsum circuire. verum ipse se strenue defensabat. itaque in incurrentes a fronte generoso ruens impetu hasta quemdam ex iis pulsat. quo satagente hastam ense frangere, is cui prius a Bryennio abscissa manus fuerat insilit a tergo in equum Bryennii et ipsum amplectitur. vertebat ille quidem retro ensem ut hunc configeret, sed assequi non poterat haerentem sibi et proprio ipsius corpore protectum. hic desilientes equis ceteri Turci Bryennium rogabant ne obstinaret animum in mortem, verum fortunae tandem cederet. ille tamen quoad manu valuit tundere ac tundi non destitit, donec ad extremum lassitudine fatiscens consiliis hostium acquiescere coactus est, et ita contigit ipsum capi.

14. Hunc barbari honore deducentes summo ad Comnenum Alexium abibant, quem nuntiis praemissis captum fuisse Bryennium praemonuerant. haec quidem sic gesta sunt. ceterum eius frater post illum quem diximus ex equo lapsum pedes conspectus a quodam Franco, ab eo sublatus in equum proprium et salvus perductus est Adrianopolim. quo etiam pervenit filius Nicephori Bryennii cum se globo Turcorum ipsum ambientium expedivisset tamque longe recessisset, ut ne telis quidem eorum contiguus esset. cuius

νον κατὰ τὴν Ἀδριανοῦ εἰπεῖν πρὸς τὴν μάμμην καὶ τὴν μητέρα, εἴπερ μὴ σωθείη τούτου ὁ ἀδελφός, συλλέξαι τοὺς ἐκ τῆς μάχης διασωθέντας καὶ πεῖσαι μὴ πρότερον βασιλεῖ συνθέσθαι, πρὶν ἂν ἐγγράφους ἐκεῖνος ὁμολογίας ποιῆσαι μηδένα στερῆσαι τῆς προσούσης D τούτῳ τιμῆς μηδ᾽ ὑποστῆναι τῶν ὑπαρχόντων ἀφαίρεσιν. τοῦτο μὲν οὕτω πέπρακτο ὕστερον.

15. Τὸν δὲ Βρυέννιον πρὸς τὸν Κομνηνὸν Ἀλέξιον ἀπαχθέντα ἰδὼν ἐκεῖνος ἐθαύμασε τό τε εἶδος τοῦ ἀνδρὸς καὶ τὸ μέγεθος· καὶ γὰρ ἦν ὄντως ἄξιον τυραννίδος. ἐγεγήθει δὲ ὁρῶν οἷον κατηγωνίσατο στρατηγοῦ τὴν χεῖρα γενναίου καὶ τὴν ψυχὴν τολμηροῦ καὶ στάσιμον ἦθος ἔχοντος· ἡρωϊκὴν γὰρ ἔφερε τὴν ψυχήν. καὶ μή τις οἴοιτό με περιαυτολογοῦντα ταῦτα λέγειν καὶ γράφειν. ἀλλ᾽ ἴστω πάντα λόγον νικώμενον τοῖς τἀνδρὸς κατορθώμασι καὶ ταῖς χάρισι καὶ ταῖς ἀγλαΐαις. εἰ γοῦν μὴ πρὸς ἄλλον P 97 σκοπὸν ὁ λόγος ἑώρα, ἀλλὰ τὰ ἐκείνου κατὰ μέρος διεξελθεῖν ἠβουλήθη, ἄλλης ἂν Ἰλιάδος ἐδέησε. τοῦτον οὖν τὸν ἄνδρα τὸν δεινὸν μὲν ἐν ἀπερισκέπτῳ χρόνῳ τὸ δέον εὑρεῖν, δεινὸν δὲ τάξαι φάλαγγα καὶ καταστρατηγῆσαι πολεμίων ὁ Κομνηνὸς Ἀλέξιος, μήπω τὸν ἴουλον φέρων ἀπαρτισθέντα ἀλλ᾽ ἔτι χλοάζοντα

12. περιαυτολογοῦντα] Ita P. pro περιταυλογοῦντα.

et illud Adrianopolim fuga perlati providum consilium praesente patruo matri et aviae datum pater deinde referebat. aiebat enim dixisse ad ipsas: nisi servetur huius frater, censeo colligendos qui praelio superfuerint, iisque persuadendum ne in ullam compositionem cum imperatore consentiant, nisi prius is scripto promiserit neminem se privaturum honore quem ante habuisset; neminem quoque se iubente bonorum iacturam passurum. quae quidem sic deinde sunt acta.

25. Bryennium porro ad se adductum intuens Comnenus Alexius, viri formam statumque mirabatur: habebat enim vere speciem dignam imperio. quae res fructum victoriae augebat reputanti Alexio qualem ducem, quam manu promptum, quam animo audentem, quam stabili mente praeditum debellasset. heroici quippe animi vir erat. neque me quisquam putet meas res in maius tollere dum haec de illo memoro: sed sciat nullam cuiusvis orationem parem umquam fore pro dignitate celebrandis eius praeclaris facinoribus, gratiae qua cuncta decore atque amabiliter gerebat, splendori denique praecellenti cuidam vitae totius ac dotium laudumque insignium. quodsi non alium huius scriptionis mihi finem proposuissem, quam ut res eius singillatim percenserem, alia Iliade opus foret. hunc igitur virum solertissimum in capiendis de re subita consiliis et quod optimum esset eligendum, eumdem peritissimum ordinandae aciei et experientissimum omnium artium belli, quibus citra vim apertam debellari strategemate hostes possent, Comnenus Alexius vicit et cepit, vix prima lanugine vestiens genas. nondum enim barbatus

*καὶ χρυσίζοντα (ἦν γὰρ ἐκεῖνος ***), μετὰ τὴν συμπλοκὴν ἐκείνην καὶ τοὺς γενναίους ἀγῶνας καὶ τὴν ἧτταν νενίκηκεν οὐ πλή-* B *θει δυνάμεως, ἀλλὰ καρτερίᾳ καὶ τόλμῃ καὶ μελέτῃ στρατηγικῇ συνέριθον λαβὼν καὶ τὴν ἄνωθεν πρόνοιαν, δι' ἣν τὰ τέλη κατορθοῦνται τῶν ἐγχειρήσεων.*

16. *Τοῦτον οὖν λαβὼν αὐτὸς μὲν ἀπῄει ὡς πρὸς τὴν Κωνσταντινούπολιν, τὰ δὲ κοκκοβαφῆ πέδιλα, ἃ ἐκεῖνος βασιλειῶν ἐπεδύετο, μαργάροις ὄντα καὶ λίθοις κατάστικτα πρὸς τὸν κρατοῦντα ἐξέπεμπε μηνύων αὐτῷ τὴν ἐκείνου κατάσχεσιν. ὁ δ' ἡσθεὶς τῷ ἀκούσματι ὃν εἶχε πιστότατον καὶ οἰκειότατον ἄνδρα,* C *εἴτε Σκύθην εἴτε Μυσὸν (Βορίλας ἦν τούτῳ τὸ ὄνομα) ὃν πρωτοπρόεδρον τιμήσας ἐθνάρχην ἐκπέμπει παραληψόμενον τὸν Βρυέννιον, τῷ τῶν σχολῶν δομεστίκῳ τῷ Κομνηνῷ κελεύων μὴ εἰσιέναι πρὸς τὴν Κωνσταντινούπολιν, ἀλλ' ἀπελθόντα καὶ τὰ κατὰ τὴν Ἀδριανούπολιν καταστήσαντα κατὰ τοῦ Βασιλάκη στρατεύειν. ἔφθη γὰρ κἀκεῖνος δυνατὸς γενέσθαι, τοῦ ἐν τῷ Ἰλλυρικῷ παντὸς στρατεύματος καὶ τῇ Βουλγαρίᾳ αὐτῷ προσχωρήσαντος. οὐ μὴν δὲ ἀλλὰ καὶ Βαράγγους εἶχε μεθ' ἑαυτοῦ, ὅσοι πρὸς τοῦ βασιλέως Μιχαὴλ ξὺν τῷ Βασιλάκῃ πρὸς τὸ Δυρράχιον*

1. *ἐκεῖνος*] Indicavi lacunam; excidit opinor annorum numerus.
4. *συνέριθον*] P. *συνεργόν*.

tunc primum pubescere incipiens aureo florentem velluscuIo faciem praeferebat. et tamen tantula aetate de tali hoste tantoque exercitu post tam acre tam periculosum certamen, et fugam suorum tam plenam atque illustrem victoriam retulit, non multitudine roboreve copiarum sed fortitudine atque audentia abundantiaque consilii ac mentis artisque imperatoriae, cooperante haud dubie coelesti providentia, cuius est coeptorum fortunare successus.

16. Captum in hunc modum Bryennium secum Alexius ducens movit Constantinopolim versus; prius missis ad imperatorem nuntiis quibus eum de victoria sua captoque hostium duce certiorem faciebat, specimine etiam rei gestae addito. nam purpurea calceamenta margaritis gemmisque distincta, quae ille pro imperatore se gerens usurpati principatus insigne gestabat, per eosdem ad Botaniatem Augustum misit: qui delectatus et nuntio et munere quem fidelissimum intimumque habuit Borilam nomine, sive illum Scytham sive Mysum, quem protoproedri dignitate et titulo ethnarchae honoraverat, misit ad Comnenum domesticum scholarum cum mandatis ut ipsi Bryennium in manus traderet, ipse vero domesticus ingressu Constantinopolitanae urbis abstineret; sed pergeret cum exercitu versus Adrianopolim et contra Basilacem bellum gereret. nam et ille Illyrici exercitu sibi adiuncto copiisque omnibus quae in Bulgaria fuerant in partes tractis, et praeterea Barangos secum ducens quos diximus ab imperatore Michaële ipsi Dyrrhachium eius

κατεπέμφθησαν. κατέσχε δὲ καὶ τὴν ἐν Θεσσαλίᾳ μητρόπολιν, D
ἣν Θεσσαλονίκην ὀνομάζουσιν. ὁ μὲν οὖν Κομνηνὸς βαρέως τὸ V 71
κελευσθὲν ἔφερεν· ᾤετο γὰρ τιμὰς ἐκ βασιλέως καὶ γέρα αὐτῷ
γενέσθαι τοῦ κατορθώματος ἄξια, ὡς οὐ τυραννίδα, μᾶλλον δὲ
βασιλείαν μεγίστην, καὶ στρατεύματι τοσούτῳ καὶ τηλικούτῳ
κρατυνομένην καὶ στρατηγῷ τοιούτῳ περιωνύμῳ καὶ χώρας το-
σαύτης δασμοφορίᾳ καὶ πόλεων, καταλύσαντι καὶ ὑποτάξαντι.
πλὴν ἀλλὰ καὶ βαρέως φέρων ἐποίει τὸ κελευσθέν.

17. Τὸν δὲ Βρυέννιον ὁ Βορίλας παραλαβὼν καὶ πρὸς τὸ P 98
Φιλοπάτιον λεγόμενον ἀπαγαγὼν ἐκτυφλοῖ, ἄνδρα στερήσας τῇ
Ῥωμαίων ἀρχῇ καὶ πολιτείᾳ οἷον οὔτινα ἄλλον ἐκέκτητο ἄνευ τοῦ
τούτῳ ὑπερισχύσαντος. ὁ Κομνηνὸς δ' ἐπὶ τρισὶν ἡμέραις μείνας
ἔξω τῆς πόλεως καὶ τοὺς ἰδίους πρὸς αὐτὸν ἐξελθόντας ἰδών τε
καὶ συνταξάμενος ἐχώρει πρὸς τὴν Ἀδριανούπολιν, λαβὼν ἐκ βα-
σιλέως καὶ συγχωρήσεις ἐγγράφους βασιλικοῖς γράμμασιν ἐρυθρὰς
καὶ σφραγῖσι χρυσαῖς βεβαιουμένας, ὥσθ' ἕκαστον τῶν ἀρχόντων
ἔχειν καὶ τὴν τιμὴν ἣν εἶχε καὶ τὰς κτήσεις ἁπάσας ὅσων δεσπό-
της ἐφαίνετο πρότερον.

17. ὅσων] Ita P. pro ἐκ ὅσον. fort. εἰς ὅσον.

iussu eunti attributos, formidolose potens imminebat imperio, occupata metropoli Thessaliae quam Thessalonicam vocant. grave id mandatum Alexio fuit. exspectaverat enim ille potius praesentia praemia operae navatae, honores ac dignitates ab imperatore, quae cum proportione responderent magnitudini rerum a se gestarum, utpote qui non rebellionem aliquam mediocrem domuisset, sed principatum maximum tanto exercitu firmatum, et clari fortissimique imperatoris tot sibi subiectas et vectigales provincias habentis praesenti auctoritate subnixum uno praelio debellasset atque subiugasset. tamen licet aegre ac subinvitus quod iubebatur aggressus est.

17. Assumptum porro Bryennium Borilas cum in locum quemdam dictum Philopatium duxisset excaecavit, privans Romanum imperium et rem publicam viro, cui parem haud alium habebat quam eum a quo victus captusque fuerat. Comnenus autem non plus diebus tribus in castris extra Constantinopolim moratus, colloquiisque interim et salutationibus amicorum consanguineorumque recreatus, qui certatim eius visendi gratia prodibant, vale ipsis dicto profectus est Adrianopolim versus, acceptis ab imperatore diplomatibus rubrica scriptis et rite munitis, regia subscriptione ac bulla aurea firmatis, quibus unicuique ducum qui Bryennii partes secuti nondum arma deposuerant, fides fiebat conservandum unicuique postquam rebellionem eiurassent, quem prius quisque obtinuerat honorem, neque ex iis bonis quorum legitimi possessores antea fuissent quidquam eripiendum.

καὶ χρυσίζοντα (ἦν γὰρ ἐκεῖνος ***), μετὰ τὴν συμπλοκὴν ἐκείνην καὶ τοὺς γενναίους ἀγῶνας καὶ τὴν ἧτταν νενίκηκεν οὐ πλή- B θει δυνάμεως, ἀλλὰ καρτερίᾳ καὶ τόλμῃ καὶ μελέτῃ στρατηγικῇ συνέριθον λαβὼν καὶ τὴν ἄνωθεν πρόνοιαν, δι' ἣν τὰ τέλη κατορθοῦνται τῶν ἐγχειρήσεων.

16. Τοῦτον οὖν λαβὼν αὐτὸς μὲν ἀπῄει ὡς πρὸς τὴν Κωνσταντινούπολιν, τὰ δὲ κοκκοβαφῆ πέδιλα, ἃ ἐκεῖνος βασιλειῶν ἐπεδύετο, μαργάροις ὄντα καὶ λίθοις κατάστικτα πρὸς τὸν κρατοῦντα ἐξέπεμπε μηνύων αὐτῷ τὴν ἐκείνου κατάσχεσιν. ὁ δ' ἡσθεὶς τῷ ἀκούσματι ὃν εἶχε πιστότατον καὶ οἰκειότατον ἄνδρα, C εἴτε Σκύθην εἴτε Μυσὸν (Βορίλας ἦν τούτῳ τὸ ὄνομα) ὃν πρωτοπροέδρου τιμήσας ἐθνάρχην ἐκπέμπει παραληψόμενον τὸν Βρυέννιον, τῷ τῶν σχολῶν δομεστίκῳ τῷ Κομνηνῷ κελεύων μὴ εἰσιέναι πρὸς τὴν Κωνσταντινούπολιν, ἀλλ' ἀπελθόντα καὶ τὰ κατὰ τὴν Ἀδριανούπολιν καταστήσαντα κατὰ τοῦ Βασιλάκη στρατεύειν. ἔφθη γὰρ κἀκεῖνος δυνατὸς γενέσθαι, τοῦ ἐν τῷ Ἰλλυρικῷ παντὸς στρατεύματος καὶ τῇ Βουλγαρίᾳ αὐτῷ προσχωρήσαντος. οὐ μὴν δὲ ἀλλὰ καὶ Βαράγγους εἶχε μεθ' ἑαυτοῦ, ὅσοι πρὸς τοῦ βασιλέως Μιχαὴλ ξὺν τῷ Βασιλάκῃ πρὸς τὸ Δυρράχιον

1. ἐκεῖνος] Indicavi lacunam; excidit opinor annorum numerus.
4. συνέριθον] P. συνεργόν.

tunc primum pubescere incipiens aureo florentem vellusculo faciem praeferebat. et tamen tantula aetate de tali hoste tantoque exercitu post tam acre tam periculosum certamen, et fugam suorum tam plenam atque illustrem victoriam retulit, non multitudine roboreve copiarum sed fortitudine atque audentia abundantiaque consilii ac mentis artisque imperatoriae, cooperante haud dubie coelesti providentia, cuius est coeptorum fortunare successus.

16. Captum in hunc modum Bryennium secum Alexius ducens movit Constantinopolim versus; prius missis ad imperatorem nuntiis quibus eum de victoria sua captoque hostium duce certiorem faciebat, specimine etiam rei gestae addito. nam purpurea calceamenta margaritis gemmisque distincta, quae ille pro imperatore se gerens usurpati principatus insigne gestabat, per eosdem ad Botaniatem Augustum misit: qui delectatus et nuntio et munere quem fidelissimum intimumque habuit Borilam nomine, sive illum Scytham sive Mysum, quem protoproedri dignitate et titulo ethnarchae honoraverat, misit ad Comnenum domesticum scholarum cum mandatis ut ipsi Bryennium in manus traderet, ipse vero domesticus ingressu Constantinopolitanae urbis abstineret; sed pergeret cum exercitu versus Adrianopolim et contra Basilacem bellum gereret. nam et ille Illyrici exercitu sibi adiuncto copiisque omnibus quae in Bulgaria fuerant in partes tractis, et praeterea Barangos secum ducens quos diximus ab imperatore Michaële ipsi Dyrrhachium eius

κατεπέμφθησαν. κατέσχε δὲ καὶ τὴν ἐν Θεσσαλίᾳ μητρόπολιν, D
ἣν Θεσσαλονίκην ὀνομάζουσιν. ὁ μὲν οὖν Κομνηνὸς βαρέως τὸ V 71
κελευσθὲν ἔφερεν· ᾤετο γὰρ τιμὰς ἐκ βασιλέως καὶ γέρα αὐτῷ γενέσθαι τοῦ κατορθώματος ἄξια, ὡς οὐ τυραννίδα, μᾶλλον δὲ βασιλείαν μεγίστην, καὶ στρατεύματι τοσούτῳ καὶ τηλικούτῳ κρατυνομένην καὶ στρατηγῷ τοιούτῳ περιωνύμῳ καὶ χώρας τοσαύτης δασμοφορίᾳ καὶ πόλεων, καταλύσαντι καὶ ὑποτάξαντι. πλὴν ἀλλὰ καὶ βαρέως φέρων ἐποίει τὸ κελευσθέν.

17. Τὸν δὲ Βρυέννιον ὁ Βορίλας παραλαβὼν καὶ πρὸς τὸ P 98
Φιλοπάτιον λεγόμενον ἀπαγαγὼν ἐκτυφλοῖ, ἄνδρα στερήσας τῇ Ῥωμαίων ἀρχῇ καὶ πολιτείᾳ οἷον οὔτινα ἄλλον ἐκέκτητο ἄνευ τοῦ τούτῳ ὑπερισχύσαντος. ὁ Κομνηνὸς δ' ἐπὶ τρισὶν ἡμέραις μείνας ἔξω τῆς πόλεως καὶ τοὺς ἰδίους πρὸς αὐτὸν ἐξελθόντας ἰδών τε καὶ συνταξάμενος ἐχώρει πρὸς τὴν Ἀδριανούπολιν, λαβὼν ἐκ βασιλέως καὶ συγχωρήσεις ἐγγράφους βασιλικοῖς γράμμασιν ἐρυθρὰς καὶ σφραγῖσι χρυσαῖς βεβαιουμένας, ὥσθ' ἕκαστον τῶν ἀρχόντων ἔχειν καὶ τὴν τιμὴν ἣν εἶχε καὶ τὰς κτήσεις ἁπάσας ὅσων δεσπότης ἐφαίνετο πρότερον.

17. ὅσων] Ita P. pro ἐκ ὅσον. fort. εἰς ὅσον.

iussu eunti attributos; formidolose potens imminebat imperio, occupata metropoli Thessaliae quam Thessalonicam vocant. grave id mandatum Alexio fuit. exspectaverat enim ille potius praesentia praemia operae navatae, honores ac dignitates ab imperatore, quae cum proportione responderent magnitudini rerum a se gestarum, utpote qui non rebellionem aliquam mediocrem domuisset, sed principatum maximum tanto exercitu firmatum, et clari fortissimique imperatoris tot sibi subiectas et vectigales provincias habentis praesenti auctoritate subnixum uno praelio debellasset atque subiugasset. tamen licet aegre ac subinvitus quod iubebatur aggressus est.

17. Assumptum porro Bryennium Borilas cum in locum quemdam dictum Philopatium duxisset excaecavit, privans Romanum imperium et rem publicam viro, cui parem haud alium habebat quam eum a quo victus captusque fuerat. Comnenus autem non plus diebus tribus in castris extra Constantinopolim moratus, colloquiisque interim et salutationibus amicorum consanguineorumque recreatus, qui certatim eius visendi gratia prodibant, vale ipsis dicto profectus est Adrianopolim versus, acceptis ab imperatore diplomatibus rubrica scriptis et rite munitis, regia subscriptione ac bulla aurea firmatis, quibus unicuique ducum qui Bryennii partes secuti nondum arma deposuerant, fides fiebat conservandum unicuique postquam rebellionem eiurassent, quem prius quisque obtinuerat honorem, neque ex iis bonis quorum legitimi possessores antea fuissent quidquam eripiendum.

B 18. Ὁ δὲ βασιλεὺς μεθ' ἡμέρας τινὰς μεταστειλάμενος τὸν Βρυέννιον ᾤκτειρέ τε τῆς συμφορᾶς καὶ τῶν ἰδίων ἁπάντων κατέστησε κύριον, τιμαῖς τε αὐτὸν καὶ δωρεαῖς ἑτέρων κτήσεων ἀνεκτήσατο. οἱ δὲ θαμινὰ πρὸς αὐτὸν μετεπέμποντό τε ἄρχοντες, καὶ πάντες εἰσῄεσαν εἰς τὴν βασιλίδα τῶν πόλεων. καὶ ὁ βασιλεὺς ἀσμένως ἅπαντας ὑπεδέχετο, φθάσαντος ἤδη καὶ τοῦ Κομνηνοῦ Ἀλεξίου καὶ τὰς χρυσοσημάντους γραφὰς αὐτοῖς ἐγχειρίσαντος. τοὺς μὲν ἄλλους ἅπαντας παραλαβὼν κατὰ τοῦ Βασι-
C λάκη χωρεῖ τὰ πρὸς βασιλέως κελευσθέντα ποιεῖν. κἀκεῖνοι μὲν ξὺν γυναιξὶ καὶ τέκνοις ἀφίκοντο πρὸς τὴν μεγαλόπολιν, καθάπερ ἄνωθεν λέλεκται. ὁ Κομνηνὸς δὲ διὰ Μακεδονίας καὶ Βουλεροῦ διελθὼν τὸν Στρύμονα καταλαμβάνει, καὶ τοῦτον διαπεράσας καὶ τὰ μεταξὺ Στρουμπίτζης καὶ τοῦ λεγομένου Μαύρου ὄρους στενὰ διελθὼν εἰς χωρίον πρός τινα ποταμὸν κείμενον γέγονεν, ὃν ἐγχωρίως καλοῦσι Βαρδάριον. ὁ δὲ Βαρδάριος καταρρεῖ μὲν ἐκ τῶν τῆς νέας Μυσίας ὀρῶν, καὶ διιὼν διὰ Σκούπων κάτεισι μεταξὺ
D Στρουμπίτζης καὶ Στυπίου δίχα τέμνων τὰ ὄρη, βραχὺ δὲ ἐκεῖθεν προϊὼν διίστησιν ἀλλήλων τά τε Βερροίας καὶ Θεσσαλονίκης χωρία δι' αὐτῶν ῥέων καὶ πρὸς τὴν θάλασσαν δίεισι. χρόνοις δὲ πρότερον βραχύ τι τῆς ἰδίας ἀπονεύσας πορείας ἑτέρωσε ἐτράπετο οὐ πάνυ τι δυοῖν τριῶν σταδίων τῆς προτέρας διόδου ἀπέ-

4. πρὸς αὐτὸν] πρὸς αὐτοῦ? sed alia etiam hic corrupta sunt. 7. ἐγχειρίσαντος] V. ἐγχειρήσαντος. 8. τοὺς μὲν] Fort. ὃς τοὺς μέν. 11. Βουλεροῦ] Cfr. Wilken l. l. p. 63. 21. δυοῖν τριῶν] δυοῖν ἢ τριῶν? sed hic etiam locus mutilus est et corruptus.

18. Paucis post haec diebus imperator accersitum ad se nuper excaecatum Bryennium, officiosa casus acerbi miseratione consolatus est. ac praeterquam sua illi omnia reddidit, etiam novis honoribus et donis auctum locupletiorem quam antea fecit. crebri per idem tempus fiebant in urbe reditus sponte rebellionem eiurantium ducum quos omnes humaniter excipiebat imperator, praestans videlicet quod promiserat per literas Alexio proficiscenti traditas, quas iam ille reddiderat. et cunctis aliis secum copiis assumptis adversus Basilacem pergebat, studio efficiendi quod mandabat imperator. ac alii quidem ut dictum est cum uxoribus et filiis passim Constantinopolim migrabant: Comnenus vero per Macedoniam et Bulerum transiens ad Strymonem pervenit, et eo traiecto, penetratis insuper angustiis montis qui vocatur Maurus, venit ad oppidum quoddam fluvio adsitum, qui vulgo indigenarum lingua Bardarius vocatur, et paulum inde progressus dirimit invicem Berroeae ac Thessalonicae territoria, inter quae profluens se exonerat in mare. hic hodie cursus est eius amnis paulum declinans ab antiquo

χουσαν, ὥστε ξυμβῆναι τὴν πρώην ἐκείνου πάροδον διώρυχα εἶναι αὐτοφυῆ. μεταξὺ οὖν ἀμφοῖν ὁ Κομνηνὸς Ἀλέξιος κατεστρατοπέδευσε, παραγγείλας πάντας ἀριστήσαντας τὸ λοιπὸν τῆς ἡμέρας ἀναπαύεσθαι ὡς τὴν νύκτα μέλλοντας ἀγρυπνεῖν ἢ καθεύδειν ἐν ὅπλοις.

19. Καὶ γὰρ ἀγχίνους ὢν καὶ πεῖραν λαβὼν ἱκανὴν ἐξ ὧν ἔδρασε πρότερον ἐθήρασε τὸν τοῦ πολεμίου σκοπόν, οἰόμενος ἐπι- P 99 θέσθαι τοῦτον ἐκεῖνον νυκτός, ὃ δὴ καὶ γέγονε. ταύτῃ τοι καὶ προπαρεσκευάσατο καὶ σκοποὺς πανταχόθεν ἐξέπεμπεν. ἀλλ' οὗτος μὲν οὕτω· ὁ δὲ Βασιλάκης, τῶν ξυνόντων τῷ Κομνηνῷ αὐ- V 72 τομολήσαντός τινος πρὸς αὐτὸν καὶ φράσαντος ὡς εἰ βούλοιτο ἐπιθέσθαι τούτῳ παραδώσει τοῦτον αὐτὸς καθεύδοντα ἐπὶ τὴν σκηνήν, μηδὲν μελλήσας ἐκέλευε πάντας ὁπλίζεσθαι. καὶ εὐθὺς ἅπαντες ἦσαν ἐν ὅπλοις. ἐπεὶ δὲ πρὸς τὸν δυτικὸν ὁρίζοντα ὁ ἥλιος ἦν, ἤδη ταῖς σάλπιγξι σημάνας τὸν ἐξιτήριον ἐξῄει τῆς πόλεως. καταλιπὼν δὲ τὴν εὐθεῖαν ὁδόν, ἵν' οὕτως λάθῃ τὸν μι- B κροῦ δεῖν ἀλάθητον, διὰ τῆς λεγομένης Λιτῆς διελθών, ἐπεὶ πρὸς τὸν ποταμὸν γέγονεν ὃν Γαλικὸν καλοῦσιν ἐγχώριοι, διαπεράσας τοῦτον ἐγγύς που τοῦ φρουρίου τοῦ Ἀετοῦ καλουμένου καὶ τὸν ἐκεῖσε ὑπερβὰς αὔλακα ἐχώρει διὰ τῆς πεδιάδος.

6. ἐξ ὧν] Addidi ὧν. 8. τοῦτον] Fort. τούτῳ.

alveo, qui siccus fere iam duobus tribusve stadiis distare ab hodierno cernitur, relicta in medio quadam velut insula, quam Comnenus Alexius castris insedit, ad id in primis locum opportunum iudicans, quod naturalibus hinc inde muniretur fossis. denuntiavit autem suis omnibus ut sumpto prandio quieti se per diem darent, quippe qui aut pervigilaturi consecuturam noctem aut nonnisi in armis dormituri forent.

19. Hoc pro sua cetera sagacitate praevidit et praenuntiavit Alexius, nam usu rerum edoctus cum certis ex indiciis coniectasset, consilium hostis esse nocte irruere in sua castra, quod et re ipsa contigit, mature praemunire se curavit adversus istum eius impetum, exploratoribus omnem in partem dimissis. ad Basilacem porro accessit quidam ab Alexio transfuga, qui promisit se traditurum ei in manus dormientem in suo tabernaculo Alexium, modo impetum facere in castra eius vellet. quo ille audito nihil cunctatus iussit cunctos armari, quibus morem gerentibus, cum sol occumberet signum exeundi tubarum cantu militibus edi iussit, et egressus e civitate, omissa via recta, ut melius falleret eum qui falli vix poterat, Litaque (loco sic dicto) transita, ubi ad fluvium pervenit, quem Galicum accolae appellant, eum traiecit prope arcem cui nomen est Aquila, indeque superata valle per campum procedebat.

20. Ἀλλ' οὐκ ἔλαθε τοὺς σκοπούς, ἀλλ' ἅμα τε ἐκεῖνος ἐξῆλθε τῆς πόλεως κἀκ τοῦ πλήθους τῆς κόνεως οἱ σκοποὶ τὴν ἔξοδον τεκμηράμενοι τῷ τῶν σχολῶν δομεστίκῳ ταῦτα ἐμήνυον. C ὁ δ' ἐκέλευε πάντας ὁπλοφορήσαντας καὶ τοὺς ἵππους εὐτρεπίσαντας περιμένειν τὸ σύνθημα, καὶ ἄλλον ἐπ' ἄλλῳ ἐξέπεμπεν ὥστε μανθάνειν τὰ κατὰ τὸν πολέμιον. ἐπεὶ δ' ἀφίκετό τις τῶν ἐκείνου οἰκογενῶν, ὃς πιστὸς ἦν αὐτῷ καὶ συνηλικιώτης καὶ σύντροφος, Τατίκιος ἦν ὄνομα τῷ ἀνδρί, φράζων ὡς οὐ πόρρω εἰσὶν οἱ πολέμιοι, ἐπυνθάνετο τούτου εἰ αὐτὸν ἐκεῖνον ἐγνώρισεν εἶναι τὸν Βασιλάκην. ὁ δ' ἐβεβαίου καὶ φωνῆς ἐκείνου ἀκοῦσαι καθιστώσης τὴν φάλαγγα καὶ ἕπεσθαί οἱ κελευούσης, καὶ βέλος ἀφεῖναι κατ' ἐκείνου διὰ τοῦ τόξου. εὐθὺς οὖν ἐκελεύετο ἐξόδιον σημῆναι τὰς σάλπιγγας, καὶ τοῖς περὶ τὴν ἰδίαν παρεμβολὴν εὐθὺς λύχνους καὶ κηροὺς ἐξάπτειν ἐπέταττεν.

D 21. Ἐντὸς δὲ τῆς ἰδίας σκηνῆς τὸν συνόντα αὐτῷ μοναχὸν ἄνδρα ἐκτομίαν, ᾧ τὴν αὐτοῦ πρόνοιαν ἡ μήτηρ ἐπίστευσεν ὡς ἐντρεχεῖ τε καὶ περιδεξίῳ, καταλιπὼν παρεκελεύσατο μὴ σβεσθῆναι τὴν λαμπάδα δι' ὅλης νυκτός. τὸ αὐτὸ δὴ τούτῳ καὶ τοῖς ἄλλοις ἅπασιν ἐκέλευσεν ἐν ταῖς ἰδίαις πρὶν σκηναῖς καὶ λύχνους καὶ δᾶδας ἀνάπτειν μέχρι τοῦ περιόρθρου. ἐκεῖνος δὲ μετὰ τοῦ

18. τούτῳ] τοῦτο? 19. πρὶν] ποιεῖν?

20. Non latuit autem exploratores ab Alexio dispositos. quia iam tum cum primum ex urbe Basilaces prodiit ex sublato in altum pulvere indicio illi capto ad domesticum scholarum Alexium rem detulerant. ille vero iusserat omnes suos in armis stare procinctos, et qui equos haberent iis expeditis et paratis exspectare pugnandi signum. his ita provisis alium super alium mittebat qui certa de hostibus referrent. ut autem ad eum rediit quidam e vernis eius, aequalis ipsius et collactaneus cui Taticio nomen, aiens non longe distare hostes, interrogabat eum an certo sciret ipsum cum iis advenire Basilacem, et ecquid illum ibi vidisset. affirmavit Taticius et Basilacis vocem suis se auribus hausisse dixit ordinantis aciem et sequi sese iubentis. quin etiam se sagittam in ipsum arcu iaculatum. his auditis extemplo Alexius canere tubas iussit, et signum prodeundi dare. passimque per sua castra lampades et cereos imperavit accendi.

21. Porro intra suum ipsius tabernaculum monachum eunuchum, quem ipsi comitem et assiduum contubernalem mater assignaverat curam eius habiturum, optime ad id delectum, erat enim industrius et usu prudens, hunc inquam monachum in tabernaculo reliquit, iussum accensam tota nocte servare lampadem. idemque mandatum aliis tabernacula custodientibus dedit lychnos et faces per eam noctem usque ad mane ardentes habendi. inter

ὁπλιτικοῦ παντὸς τῆς παρεμβολῆς ἐξελθὼν εἴς τινα συνηρεφῆ τόπον εἱστήκει.

22. Ὁ δὲ Βασιλάκης ἐγγὺς τῆς παρεμβολῆς γενόμενος, ἐπεὶ ταύτην παρὰ τῶν ἰδίων σκυλευομένην ἑώρα, αὐτὸς τὴν τοῦ δομεστίκου σκηνὴν καταλαβὼν ἐδόκει τὸ πᾶν ἠνυκέναι καὶ αὐτοῦ P 100 που τοῦτον καταλαβεῖν καὶ ζωγρείαν ποιῆσαι καὶ ἀγαγέσθαι. ὡς δὲ τὴν ὅλην περιαθρήσας οὐδένα εἰ μὴ τὸν μοναχὸν ἑώρα καὶ τὴν ἀνάπτουσαν λαμπάδα, ὑπ᾽ ἀλαζονείας ἐπαρθεὶς φησι "ποῦ ὁ τραυλός;" καὶ γὰρ οὐκ ἀκριβῶς κατώρθου τὸ ῥῶ. "ἐξαγάγετέ μοι τοῦτον ὧδε." τοῦ δὲ ῥηθέντος μοναχοῦ ἐνωμότως ἀπαρνουμένου μὴ εἰδέναι τί γέγονεν, ἀπατᾶσθαι νομίζων ὑπό τε θυμοῦ ὑπό τε χαρᾶς ἁλοὺς γέλωτα Σαρδόνιον, κατὰ τὴν παροιμίαν, ἐγέλα καὶ τοῖς ὑπ᾽ αὐτὸν τὴν σκηνὴν κατατμηθῆναι ἐκέλευε. τού- B του γεγονότος ἐπέταττεν ὑπὸ τὴν κλίσιν τοῦ δομεστίκου κατακύψαντας ἀναζητεῖν εἰ αὐτοῦ που κέκρυπται. ὡς δὲ οὐδαμοῦ παρῆν, τὰ ἐκεῖσε ἱστάμενα κιβώτια περιτραπῆναι ἐκέλευε. τοιοῦτον ὑπερηφανεία τὸ φρονοῦν τῆς ψυχῆς παντάπασι διαφθείρουσα! ἀπελπί- V 73 σας οὖν καὶ εἰς τοὐναντίον τραπεὶς (μετεβέβλητο γὰρ αὐτῷ τηνικαῦτα εἰς λύπην ἡ χαρὰ) συχνάκις παίων τὸν μηρὸν φησιν "οὐαί μοι, ἠπάτημαι παρὰ τοῦ τραυλοῦ." μὴ ἔχων γὰρ ἕτερόν τι κα-

7. περιαθρήσας] V. περιαθροίσας. 8. ἀνάπτουσαν] ἀναφθεῖσαν?

quae ipse cum universis armatis castris exiens in quemdam umbrosum et silvis tectum successit locum, ibique constitit.

22. At Basilaces cum intra ipsa castra penetrasset Alexii, quae passim a suis diripi videbat, in tabernaculum Alexii procedens, sperabat successurum quod transfuga promiserat, et ipsum utique Alexium vivum ibi capiendum. ut autem oculis circumquaque versis neminem ibi videbat nisi quem dixi monachum et lampadem accensam, insolentia elatus clamat: "ubi balbus est?" (nam Alexius linguae natura pinguioris caninam literam expedite pronuntiare non poterat) "educite mihi illum huc." monacho vero etiam cum iuramento negante scire sese quid esset eo factum, verba sibi dari existimans ac varie hinc ira inde gaudio captus, risum ut est in paroemio, Sardonium ridebat. interim dum ii quos ducebat tabernaculum iussu eius concidunt vastantque, non desistebat hostem quaerere, adeo ut etiam sub lectum explorari iuberet, si forte ibi mussans delitesceret Alexius. et cum ne ibi quidem compareret, cistas etiam et capsas resupinaret. tam vaecordi pertinacia insanae spei caecus animi homo laborabat! ac cum tandem abesse Alexium certo comperisset, stulta laetitia in ignavum timorem versa, femur saepius pulsans vociferabatur: "vae mihi! a balbo deceptus sum." cum enim aliud

ταμωκήσασθαι τοῦ τοιούτου ἀνδρὸς τὸ σμικρότατον ἐκεῖνο τοῦ ῥῶ καὶ ἀπροαίρετον αἰτίαμα ἄνω καὶ κάτω προφέρων ἦν.

C 23. Εὐθὺς οὖν μέγα βοήσας φησίν "ἄρχοντες ἐξέλθατε τῆς παρεμβολῆς· ὁ πόλεμος ἔξωθεν." φωνὴ γὰρ αὐτοῦ εὐρεῖα ὡς καὶ φάλαγγας ὅλας συνταράττειν ἐκ μόνου ἐκβοήματος. ἐξιόντι γοῦν ἐκείνῳ τοῦ στρατοπέδου τῶν στρατιωτῶν περὶ λαφυραγωγίαν ἀσχολουμένων ὑπαντιάζει ὁ γενναῖος Ἀλέξιος πρὸ τῆς φάλαγγος ὢν ξὺν ὀλίγοις, καὶ τὸν προοδεύοντα ταύτης κατιδὼν εἰς τάξιν συνιστῶντα τὴν φάλαγγα καὶ νομίσας εἶναι τὸν Βασιλάκην εὐθὺς ἐξήλασε κατ' αὐτοῦ, καὶ τὸ ξίφος σπασάμενος παίει τοῦτον κατὰ τῆς δεξιᾶς χειρὸς ἔτι τὸ δόρυ κατέχοντα, καὶ τοὺς τρεῖς τῶν δα-
D κτύλων τεμὼν τὸ δόρυ πεσεῖν σὺν αὐτοῖς παρεσκεύασε. τοῦτο μεγάλως τὴν φάλαγγα συνετάραξε, καὶ ἄλλος ἄλλον πρὸς τὸ φεύγειν προλαμβάνειν ἠπείγετο. κύκλῳ δὲ περιιόντες ὑπ' ἀλλήλων συνεποδίζοντο.

24. Εἷς δὲ τῶν ὑπὸ χεῖρα τοῦ Ἀλεξίου, ἀνὴρ Καππαδόκης Γουλῆς τὸ ἐπώνυμον, γνωρίσας τὸν Βασιλάκην παίει τοῦτον τῇ σπάθῃ κατὰ τοῦ κράνους. τῆς δὲ σπάθης κατεαγείσης ἐγγὺς αὐτοῦ τῆς χειρὸς καὶ πεσούσης, ὁ Κομνηνὸς αὐτὸν κατωνείδιζεν ὡς ὀλιγωρίᾳ τὸ ξίφος τῆς χειρὸς ἀφέντα. ὁ δὲ τὴν κώπην εὐθὺς

2. προφέρων] V. προσφέρων. 3. ἐξέλθατε] P. ἐξέλθετε.

quod reprehenderet in viro praeclaro non haberet, in illo naturali et tolerabili linguae vitio putide exprobrando persistebat.

23. Donec aliquando satiatus magna voce ait: "duces ac tribuni, egredimini castris hisce, bellum extra est." voce autem erat tam late sonora ut phalanges totas conturbaret clamore vel uno. prodeunti ergo sic castris Basilaci, plerisque ipsius militum adhuc in praeda passim obvia congerenda occupatis, occurrit generosus Alexius ante propriam cum paucis gradiens aciem; et eum qui praeibat exercitui hostili conspicatus, existimans esse Basilacem, subito in eum impetum facit et educto ense ferit eius manum dexteram tenentem hastam: cuius manus cum tres digitos abscidisset, il deciderunt in terram simul cum hasta. hic eventus gravem consternationem in Basilacis aciem intulit: ita ut alius alium praevertere fugiendo conaretur, quo studio cum huc illuc per circuitum ferrentur, sibi invicem obstabant.

24. Unus autem ex iis qui ad manum Alexio erant, natione Cappadox cognomento Gules, cum agnovisset Basilacem, ferit eum ense in galea, sed ensis offensu fractus sub eius manu cecidit: vidit Comnenus et credens ensem ei manu excidisse, increpabat indiligentiam viri; quoad ille manubrium fracti gladii in manu reliquum ostendens fidem fecit non sua negligentia, sed

ὑπεδείκνυε καὶ τῆς μέμψεως ἀπελύετο. καί τις ἀνὴρ Μακεδών, Πέτρος τοὔνομα Τορνίκιος τὸ ἐπώνυμον, εἰσελάσας μέσον τῶν P 101 πολεμίων κατέβαλε τούτων συχνούς. ἡ δὲ φάλαγξ εἴτε ἀγνοοῦσα τὰ δρώμενα (ἐν σκότει γὰρ συστάσης τῆς μάχης οὐχ οἷόν τε ἦν ὁρᾶν τὰ γινόμενα ἅπαντα) * * * ὁ δὲ Κομνηνὸς καὶ αὖθις ἐπὶ τὸ συνιστάμενον ἔτι τῶν πολεμίων ἐχώρει παίων καὶ καταβάλλων τοὺς εἰς χεῖρας ἰόντας, καὶ αὖθις ὑποστρέφων πρὸς τοὺς ἰδίους * * * ὅν τις θεασάμενος τῶν ἐκ τῆς ἰδίας ἐκείνου φάλαγγος Φράγγων ἄρτι μέσον ἐξιόντα τῶν πολεμίων καὶ νομίσας εἶναι τῶν πολεμίων τινά, ἐξελάσας βάλλει τῷ δόρατι καὶ μικροῦ ἂν αὐτὸν κατέβαλεν, εἰ μὴ ἑδραιότατος ἦν ἱππότης. ἐπιστραφεὶς οὖν πρὸς αὐτὸν μετὰ τοῦ ξίφους ἐξώρμησεν. ὁ δ' εὐθὺς ἐπιγνοὺς ἐκεῖνον B ἱκέτης ἦν ἐλεεινός, διαβεβαιούμενος ὡς ἀγνοίᾳ μᾶλλον, ἢ κακουργίᾳ κατ' αὐτοῦ ἐξορμῆσαι. τούτου οὖν ἀφῆκεν ὁ γενναῖος ἐκεῖνος τὸ ἔγκλημα.

25. Ἔτι δὲ τῶν πολεμίων συνισταμένων ἐν μέρει, ἔσπευδεν ὡς οἷόν τε καὶ τὸ λοιπὸν παραλῦσαι τῆς τάξεως, καὶ πρὸς τὴν ἰδίαν ἀπέστελλε φάλαγγα κελεύων μὴ μέλλειν ἀλλ' ἕπεσθαί οἱ ταχυνώτερον. τὰ μὲν ἐν νυκτὶ ξὺν ὀλίγοις πραχθέντα ἔργα τοιάδε

3. εἴτε] ἅτε? interpres *utpote*. 5. ἅπαντα] Indicavi lacunam. 7. ἰόντας] Hoc addidi. *ibid.* ἰδίους] Indicavi lacunam; quamquam fort. nil excidit nisi ἦν post ὑποστρέφων.

ensis fracti vitio evenisse incommodum: sicque culpa solutus est. hic Macedo quidam Petrus nomine cognomento Tornicius irruens in medium hostium multos ex iis deiecit: phalange interim, utpote ignara eorum quae fiebant (nam commissa in tenebris pugna fieri non poterat ut quae gerebantur omnes viderent) immota persistente. tunc Comnenus rursus in eam partem hostium, quae adhuc locum tuens in armis stabat, irruit pulsans et deiiciens quotquot ad manum occurrebant, et rursus ad suos se recipiens. quem quidam ex ipsius phalange Francus prodeuntem e medio hostium cum vidisset, et existimaret esse quemdam ex hostibus, adversus irruens hasta impulit, parumque abfuit quin deiiceret: sed ille firmissime in equo stabat. conversus igitur eum stricto gladio petebat. quem ille iam agnoscens ut ignosceret sibi precabatur miserabiliter affirmans, se nullo malo animo, mera imprudentia ipsum pulsasse. cui Alexius pro sua cetera generositate facile culpam condonavit.

25. Cum autem etiamnum pars hostium in ordine duraret, omnem in partem festinabat Alexius quo illas aciei reliquias frangeret, misitque ad phalangem propriam qui iuberent non cunctari, sed sequi sese quam celerrime. haec hactenus ab Alexio per noctem cum paucis gesta. ut vero sol

C ἦν. ἦμος δὲ ἥλιος ἀνώρουσε, καὶ οἱ περὶ τὸν Βασιλάκην συνιστῶν ἐπειρῶντο τοὺς ἰδίους καὶ ὡς οἷόν τε ἐπερρώννυον. ἐν τούτοις δὲ τῶν ἐκ τῆς ἐκείνου φάλαγγός τινες ἐν τῷ σκυλεύειν ἀπολειφθέντες τῆς λοιπῆς φάλαγγος ἧκον κατόπιν θέοντες· οὓς θεα-
V 74 σάμενοί τινες τῶν ἐκ τῆς τοῦ δομεστίκου τῶν σχολῶν φάλαγγος Ἀλεξίου, ἐπιστραφέντες καὶ κατ' αὐτῶν ἐξορμήσαντες πρὸ τοῦ εἰς χεῖρας ἰέναι ῥᾳδίως ἐτρέψαντο, καὶ πολλοὺς τούτων ζωγρήσαντες ἐπανῆλθον.

26. Ὁ δὲ τοῦ Βασιλάκη ἀδελφιδοῦς Μανουὴλ ἐπὶ λόφου τινὸς ἀνελθὼν ἐπερρώννυε τὸ ἔτι τῆς φάλαγγος συνιστάμενον, διαρρήδην βοῶν Βασιλάκη εἶναι τὴν νίκην καὶ τὴν ἡμέραν. ὃ θεα-
D σάμενος Βασίλειος ὁ Κουρτίκης, ἀνὴρ Μακεδὼν τῶν τοῦ Βρυεννίου οἰκείων, τὸν ἵππον ἐλάσας ἄνεισι πρὸς τὸ λόφον. κἀκείνου τὴν σπάθην ἑλκύσαντος κατ' αὐτοῦ, οὗτος ἐκεῖνον τῇ ῥάβδῳ παίει κατὰ τῆς κόρυθος καὶ εὐθὺς καταβάλλει τοῦ ἵππου καὶ δεσμώτην ἀπάγει πρὸς τὸν δομέστικον τῶν σχολῶν τὸν γενναῖον Ἀλέξιον. οὗ γενομένου καὶ ἡ φάλαγξ ἐπιφανεῖσα τοῦ Κομνηνοῦ τὸ ἔτι περὶ τὸν Βασιλάκην συνιστάμενον φυγεῖν παρεσκεύασε. καὶ ὁ μὲν ἔφευγε τὴν πόλιν σπεύδων καταλαβεῖν, ὁ Κομνηνὸς δὲ ἐδίωκεν. εἰκότως οὖν ἄν τις κἀνταῦθα τὸ ἔπος ἁρμόσειε τὸ Ὁμηρικόν, ὃ περὶ Ἀχιλλέως ἐκεῖνος καὶ Ἕκτορος ἔφησε, τὸ

10. ἐπερρώννυε τὸ] Ita P. pro ἐπερρωννύετο. 20. Ὁμηρικὸν] Iliad. 22, 158.

est exortus, Basilaces quique cum eo erant ordinare conabantur suos, et quantum poterant confirmabant. quae dum fierent, ex eius phalange quidam quos praedandi dulcedo retentos in castris ab acie reliqua seiunxerat, retro sequebantur, observantes quid rerum fieret. quos cum vidissent e domestici scholarum Alexii phalange quidam conversi et in ipsos erumpentes, facile illos priusquam ad manum venirent verterunt in fugam multisque ipsorum vivis captis reverterunt.

26. At Basilacis patruelis Manuēl cum in tumultum quemdam ascendisset, animabat quod supererat phalangis, clare vociferans Basilacis diem illam et victoriam esse. hunc conspicatus Basilius quidem Curtioes vir Macedo e Bryennii familiaribus, equo incitato conscendit ad eum in tumulum: et illo ensem in hunc stringente, hic clavae ictu in illius galeam superne incusso deiecit ex equo virum et captivum ad domesticum scholarum generosum Alexium duxit: quo facto cum iam phalanx quoque appareret Alexii, quidquid circa Basilacem stabat adhuc, terrore aversum in fugam est. quos inter ipse Basilaces cursu maximo repetebat civitatem unde prodierat, strenue persequente Alexio. cui spectaculo non immerito quis aptaverit Homericum illud de Achille scriptum et Hectore:

πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων. P 102
καὶ γὰρ ἦν ἐκεῖνος γενναῖος κατὰ χεῖρά τε καὶ κατὰ ψυχήν· καὶ γὰρ ἐξ εὐγενῶν φὺς εἰς μέγα κλέος ἤρθη ταῖς ἀνδραγαθίαις.

27. Συγκλεισθέντα δὲ τοῦτον τῇ πόλει ὁ Κομνηνὸς Ἀλέξιος ἔξω στρατοπεδεύσας καὶ διασώζειν τὸν ἄνδρα ἐθέλων ἐπρέσβευε πρὸς αὐτόν, ὥστε τὰ πιστὰ λαβόντα τοῦ μηδέν τι ἀνιαρὸν πείσεσθαι ἐγχειρίζειν αὐτῷ καὶ ἑαυτὸν καὶ τὴν πόλιν. ὁ δὲ πρεσβεύων ἦν ἀνὴρ ἀγαθός τε καὶ κόσμιος, ἀσκητικοῖς διαλάμπων κατορθώμασιν. ἦν δὲ ὁ καθηγούμενος τῶν ἐν τῷ Ἄθω τοῦ Ξενο- B
φῶντος μονῇ μοναχῶν Συμεὼν ὁ πανάριστος· ὃς πολλὰ παρακαλέσας τὸν Βασιλάκην οὐκ ἔπεισεν. ἀρξαμένῳ οὖν ἤδη τῷ Κομνηνῷ προσχωρεῖν μετὰ τῶν ξὺν τῷ Βασιλάκῃ στρατιωτῶν καὶ τῶν πολιτῶν τὴν πόλιν ἐγχειρισάντων αὐτῷ, ἐκεῖνος ἔμενεν ἔτι κρατῶν τὴν ἀκρόπολιν, ἕως οἱ περὶ αὐτὸν βιασθέντες συλλαβόντες τῷ Κομνηνῷ ἐνεχείρισαν. εἰσελθὼν οὖν ἐν τῇ πόλει πολλῶν χρημάτων ἐκείνου γέγονε κύριος. ἀγγέλους οὖν πρὸς τὸν βασιλέα πέμψας τὴν τοῦ Βασιλάκη μηνύοντας ἅλωσιν, αὐτὸς ἔμενεν ἐν τῇ πόλει ἡμέρας τινάς, καὶ τὰ ἐν αὐτῇ καταστήσας ἐπάνεισι μετὰ λαμπρῶν τροπαίων.

28. Ἔδειξεν οὖν καὶ τὰ παρ' ἐκείνου πραχθέντα ὡς χρὴ C
μὴ πάνυ τι πιστεύειν τῇ τύχῃ καὶ μάλιστα ἐν ταῖς εὐπραγίαις.

2. καὶ κατὰ] καὶ addidit P. 9. Ἄθω] V. Ἄθου. 11. ἀρξαμένῳ] Fort. ἀρξαμένων, deleto quod mox sequitur μετά. 12. προσχωρεῖν] V. προχωρεῖν. 17. μηνύοντας] μηνύσοντας?

ante fugit fortis, quem a tergo fortior urget.
erat enim vere Alexius et manu fortis et animo, ex nobilibus ortus et in altum apicem gloriae facinoribus heroicis elatus.

27. Ceterum urbe conclusum Basilacem circumsidens cum exercitu Alexius servare cupiebat. quare ad ipsum misit qui suaderet ut fide accepta nihil mali se passurum, se ac civitatem dederet. functus ista legatione est vir bonus et ornatus religiosae vitae professor celebris praefectus monasterii Xenophontis in Atho monte ille optimus ac laudatissimus Symeon, qui tamen cum allegasset multa Basilaci, nihil profecit. felicius tractavit cum Basilacis militibus et urbis civibus Alexius. hi enim ipsi civitatem tradiderunt, Basilace in arcem fugiente ac ibi obstinate resistente, quoad qui cum eo erant, malis coacti vinctum ipsum Comneno tradiderunt. quo facto ingressus urbem Alexius multam Basilacis pecuniam victor occupavit. inde nuntiis ad imperatorem missis, qui Basilacem captum nuntiarent, ipse mansit in civitate diebus aliquot, moxque rebus illic constitutis, splendidis clarus tropaeis reversus est.

28. Hae Alexii res gestae facile demonstrant quam parum fidendum fortunae sit, quando ea maxime blanditur. praeterea quam recte dixerit

καὶ μὴν καὶ τὸ παρ' Εὐριπίδῃ καλῶς εἰρῆσθαι δοκῶ ὡς ἓν σοφὸν βούλευμα τὰς πολλὰς χέρας νικᾷ, τότε δι' αὐτῶν τῶν ἐκείνου ἔργων τὴν πίστιν εἴληφεν. εἷς μὲν ἄνθρωπος καὶ μία γνώμη τοὺς δεινοτάτους τῶν στρατηγῶν Ῥωμαίων εἰς μέγα κλέος ἀρθέντας καὶ τὰ μυριόλεκτα πλήθη τῶν στρατευμάτων ἐν βραχεῖ καθεῖλε καιρῷ,
D τὸ δὲ προφανῶς πεπτωκὸς πολίτευμα καὶ τὰς ἀπειρηκυίας ψυχὰς τῶν ἐπὶ τὸν βασιλέα δυνάμεων ἐπὶ τὸ κρεῖττον ἤγαγε καὶ ἀνέψυχε. τὸν μὲν οὖν Βασιλάκην πεμφθέντες πρὸς βασιλέως τινὲς συναντῶσι μεταξὺ Φιλίππων καὶ Ἀμφιπόλεως, καὶ τὰ ἐκ βασιλέως τῷ Κομνηνῷ χειρίσαντες γράμματα, περί τι χωρίον ἀπαγα-
V 75 γόντες (Χεμπίναν τούτῳ τὸ ὄνομα) ᾧπερ καὶ πηγὴ ἀναδίδοται διειδής, τοὺς ὀφθαλμοὺς αὐτοῦ διορύττουσι, καὶ ἡ πηγὴ ἔκτοτε Βασιλακία πηγάδιον ὀνομάζεται. τὸν δὲ Κομνηνὸν περὶ τὴν Κωνσταντινούπολιν γενόμενον ὁ βασιλεὺς ἐντίμως δεξάμενος σεβαστὸν τετίμηκε καὶ πολλῶν κτήσεων δωρεαῖς ἐφιλοφρονήσατο.

P 103 29. Ἐν τούτῳ δ' ἐπανῆκεν ἐκ τῆς Ἀντιοχέων καὶ ὁ τούτου ὁμαίμων ὁ Κομνηνὸς Ἰσαάκιος, ὃς τὴν βασιλέως ἁπλότητα διαγνοὺς καὶ ὡς χάριν τῶν ἐκ Συρίας ὑφασμάτων, συχνάκις τοιαῦτα διδοὺς τοσοῦτον τὴν βασιλέως ἐπεσπάσατο εὔνοιαν ὡς καὶ

1. Εὐριπίδῃ] Vide ad Cinnamum p. 45 v. 11. ibid. δοκῶ] Bekker δοκοῦν. ibid. σοφὸν] V. σοφῶν. 3. μὲν] γάρ? μὲν γάρ? 7. ἐπὶ] ὑπό? 11. ᾧπερ] οὗπερ? 13. Βασιλακία] Βασιλακίου? cfr. Wilken l. l. p. 68. 18. χάριν] Requiro verbum a quo pendeat genitivus τῶν ὑφασμάτων.

Euripides: mens una sapiens plurimas vincit manus. cuius sententiae non alia efficacior quam ex hisce Alexii operibus comprobatio est; siquidem in iis cernitur unum hominem una mente sapienti consilio praedita, acerrimos et gloriosissimos Romanorum duces fortissimis et numerosissimis succinctos copiis brevissimo tempore debellasse collapsamque omnium confessione rem publicam et deiectos animos militum partes imperatoris sequentium excitasse in melius atque erexisse. Basilaci porro ut diximus capto occurrerunt quidam ab imperatore missi inter Philippos et Amphipolim. hi cum Comneno literas ab imperatore reddidissent, acceptum ab eo ut iis praescribebatur Basilacem seorsum abduxerunt ad vicum quemdam Chempinam dictum, in quo perspicui fontis scaturigo est. ibi ei oculos effodiunt: ex qua miseri calamitate fons ibi oriens deinceps Basilacii adiuncto nomine insignitus est. appulsum vero Constantinopolim Comnenum imperator honorificentissime excepit ac sebasti dignitate decoratum donis et possessionibus auxit perliberaliter.

29. Rediit eodem tempore Antiochia frater huius Isaacius Comnenus, qui imperatoris simplicitate cognita, mittendis saepius ad eum muneribus pannorum et telarum in Syria textarum, tantam eius gratiam in se attraxe-

κτήσεων κατακυριεῦσαι πολλῶν καὶ σεβαστὸν ἀποδειχθῆναι διὰ χρόνου βραχέος καὶ οἰκίαν ἐν βασιλείοις λαβεῖν ἐπὶ τῷ προσμένειν. ἐχρῆτο δ' αὐτῷ κἀν ταῖς κρίσεσι κἀν ταῖς ἀποφάσεσι· καὶ γὰρ ἦν ὀξύς τε θηρᾶσαι ἀλήθειαν καὶ τὸ ῥηθὲν ἀπαγγεῖλαι τρανῶς ἐπιτήδειος. οὗτος τοῖς βασιλείοις προσμένων τὴν βασιλέως ἁπλότητα ἐθεράπευε καὶ ὅλως εἶχε τοῖς ἑαυτοῦ χείλεσιν ἐκκρεμάμενον.

30. Ὁ Κομνηνὸς δ' Ἀλέξιος ἐξῄει αὖθις ἐπὶ τὸ τὰ τῆς B οἰκείας ἀρχῆς ἐπισκέψασθαι. πρὸς τὴν Ἀδριανοῦ δὲ πόλιν γενόμενος καὶ ἡμέρας ἐκεῖσε ἐνδιατρίψας τινάς, καὶ μαθὼν ὅτι τὸ Σκυθικὸν γένος ἐξωπλίζετο ὥστε τὰ Βουλγάρων λῄσασθαι ὅρια, τὸ στρατιωτικὸν ἅπαν συλλέξας καὶ ὅσον ἐν ἡγεμόσι καὶ ἄρχουσι πρὸς τὴν Φιλίππου παρεγένετο πόλιν, κἀκεῖθεν τὰ περὶ τοὺς Σκύθας πυθόμενος ὡς ἐκδραμόντες τὰ μεταξὺ Ναϊσοῦ καὶ Σκούπων πορθοῦσι χωρία, σπουδαίως κατ' ἐκείνων ἐχώρει. παρελθόντος δ' ἐκείνου τὴν Σαρδικήν, οἱ Σκύθαι τὴν ἐκείνου κατ' αὐτῶν πυ- C θόμενοι ἔλευσιν τὴν λείαν καταλιπόντες ἔφευγον καθάπερ εἶχον δυνάμεως. ἀπελάσας δὲ τούτους ἐκεῖθεν πρὸς τὴν Φιλίππου αὖθις ἐπάνεισι, καὶ τὰ κατὰ τὴν χώραν εὖ διαθέμενος καὶ τὰς πόλεις ἐν βραχεῖ καιρῷ τὴν ἁπάντων εὔνοιαν ἐπεσπάσατο· καὶ γὰρ ἦν πρὸς τῷ ἐλευθερίῳ καὶ ἐπαγωγὸν ἦθος ἔχων ὁμιλῆσαί τε πάν-

2. ἐπὶ τῷ] V. ἐπὶ τό.

rat, ut et multis ab eo possessionibus ditatus et sebasti appellatione ornatus brevi tempore fuisset: praeterea ius domicilii in regiis aedibus et partem palatii in qua diversaretur assignatam accepisset. utebatur autem eius opera imperator et in iudiciis et in responsis; nam et acutus erat in indaganda veritate et in enuntiando clare ac nitide quod oporteret in primis exercitatus. hic in palatio diversans simplicem imperatoris animum artibus sibi notis facile deliniebat tenebatque ex ore suspensum suo.

30. Interim Comnenus Alexius in sibi commissam provinciam eius visendae curandaeque gratia profectus, cum Adrianopolim venisset, paucos ibi dies moratus certior factus est Scythas in Romanos armari iamque fines Bulgariae latrociniis ipsorum agi ferrique. his cognitis quidquid copiarum ad manum fuit raptim contrahit, duces praesertim ac tribunos, cum quibus omnibus Philippopolim se contulit, ubi distinctius edoctus de rebus Scytharum, cum comperisset depraedari eos ac vastare oppida quae Naïsum et Scuppas interiacent, strenue in eos vadit. ceterum eo iam Sardicam praetergresso Scythae illius adventu cognito, effuse in fugam se dederunt praeda derelicta. quibus inde pulsis Alexius Philippopolim revertitur positaque opera in pacanda regione urbibusque ordinandis, omnium brevi sibi benevolentiam conciliavit. nam praeterquam liberalis etiam cetera comitate congressus mire pellax erat, blanditiis vero sermonis omnium hominum suavissi-

των ἀνθρώπων ἥδυτατος. ταῦτα διαπραξάμενος ἐπανῆκε πρὸς τὸ Βυζάντιον, καὶ ὁ βασιλεὺς χαριέντως αὐτὸν ὑπεδέχετο.

31. Ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο, ὁ Μελισσηνὸς Νικηφόρος ἀνὴρ εὐγενής, ὡς ὁ λόγος ἐγνώρισεν ἄνωθεν, ἐκ κήδους
D ὢν ᾠκειωμένος τοῖς Κομνηνοῖς (καὶ γὰρ ἔφθη συναφθῆναι τὴν τούτων ἀδελφὴν Εὐδοκίαν), περὶ τὴν Κῶ διατρίβων, τὰς Τούρκων δυνάμεις καὶ τοὺς Τούρκων ἄρχοντας ἑλκύσας πρὸς ἑαυτόν, περιῄει τὰς τῆς Ἀσίας πόλεις τὰ κοκκοβαφῆ ὑποδησάμενος πέδιλα. οἱ γοῦν πολῖται ὡς βασιλεῖ Ῥωμαίων σφᾶς τε αὐτοὺς καὶ τὰς πόλεις αὐτῷ παρεδίδουν. ὁ δὲ καὶ ἄκων τοῖς Τούρκοις ἐνεχείριζεν, ὡς συμβῆναι διὰ βραχέος καιροῦ κἀκ τούτου τοῦ τρόπου πασῶν τῶν περὶ τὴν Ἀσίαν τε καὶ Φρυγίαν καὶ τὴν Γαλατίαν πόλεων κατακυριεῦσαι τοὺς Τούρκους. ξὺν στρατεύματι γοῦν πλείστῳ τὴν ἐν Βιθυνίᾳ Νίκαιαν καταλαμβάνει, κἀκεῖθεν τῆς βασιλείας
P 104 ἀντεποιεῖτο Ῥωμαίων. ὁ Βοτανειάτης δὲ ταῦτα πυθόμενος τὸν Κομνηνὸν μετεκαλεῖτο Ἀλέξιον, καὶ ἐκέλευε τοῦτον σὺν ταῖς δυνάμεσι τὸν πορθμὸν διαπεραιωθέντα τὸν Χαλκηδόνειον κατ' ἐκείνου στρατεύειν. ὁ δ' ἀπελέγετο τὴν κατ' ἐκείνου στρατείαν συνετῶς ἄγαν· ἐδεδίει γὰρ τὴν βασιλέως κουφότητα καὶ τὴν τῶν περὶ
V 76 αὐτὸν πονηρίαν ὁμοῦ καὶ τὸν φθόνον, μή ποτε τοῦτον προσπταῖσαι ξυμβαίη κατὰ πολὺ τῆς τῶν Τούρκων δυνάμεως ἐλαττούμενον, καὶ οἱ πονηροὶ λαβὴν εὑρόντες διαβάλωσι τοῦτον πρὸς βασι-

mus. cunctis igitur e sententia confectis Byzantium redit, grate illic ac benevole exceptus ab imperatore.

31. Porro dum haec fierent, Melissenus Nicephorus vir nobilis, ut superius est dictum, et affinitate Comnenis iunctus (nam horum sororem Eudociam uxorem duxerat) circa Coam insulam diversans, conciliatis sibi ad seque attractis Turcorum copiis et Turcorum ducibus, circuibat Asiae urbes, rubris calceis indutis, ac passim illarum cives ei velut Romanorum imperatori se suasque dedebant civitates: ille autem invitus licet eas Turcis tradebat ita ut hoc modo contigerit brevi tempore urbes Asiae Phrygiae ac Galatiae universas in Turcorum venire potestatem. ipse porro magno exercitu Nicaea Bithyniae occupata, inde imminebat imperio Romano. his Botaniates cognitis Comnenum Alexium accersit iubetque Chalcedonensi freto cum copiis traiecto adversus Melissenum expeditionem suscipere. at hic istam militiam deprecabatur, prudenti sane consilio. verebatur quippe levitatem imperatoris et eorum, qui plurimum apud ipsum valebant, fraudes ac nequitiam invidiamque in sese non obscuram. metuebat igitur ne si quid forte eo bello offenderet, quod proclive erat in tanto maiori Turcorum exercitu, malevoli arrepta nocendi ansa, diffamarent ipsum apud imperatorem;

λία ὡς διὰ τὸ κῆδος προδιδόντα τὴν μάχην. ὁ βασιλεὺς τοίνυν B ἐπεὶ πολλὰ παρακαλέσας τοῦτον οὐκ ἔπειθεν, ἀγασθεὶς τὸ τούτου στερρὸν τοῦ φρονήματος τὰς δυνάμεις παραδιδόναι τῷ πρωτοβεστιαρίῳ ἐκέλευεν. ἦν δ' οὗτος ὁ ἐκτομίας Ἰωάννης, πάλαι τούτῳ πρὸ τῆς βασιλείας ὑπηρετῶν. φιλόδοξος δὲ ἦν εἴπερ τις ἄλλος καὶ τὸ ἦθος φέρων οὐ στάσιμον.

32. Ὁ Κομνηνὸς οὖν διαπεράσας ἐν Χρυσοπόλει πρὸς αὐτὸν παρεδίδου τὰ στρατεύματα καὶ τῶν ἀρχόντων τοὺς πλείστους. οἱ δὲ βαρέως τοῦτο φέροντες τὸν Κομνηνὸν αὖθις ἀνεκαλοῦντο, συνήθη τοῦτον ἐκ μακροῦ ἔχοντες. ὁ δὲ κατέστελλεν αὐτούς, μὴ βουλόμενος τὸ τοιοῦτον ἀναδύσασθαι ἔργον διὰ τὴν C ῥηθεῖσαν αἰτίαν. παραδοὺς τοίνυν τὰ στρατεύματα πρὸς τὸν ῥηθέντα ἐκτομίαν, εἶθ' οὕτως συνταξάμενος τούτῳ, ἐπειδὴ ὑποχωρεῖν ἔμελλεν, οἷα τὰ τῆς νεότητος, καὶ τοῖς στρατιώταις συντακτήριον ἱππασίαν ἱππάσασθαι ἤθελεν. ἐνδοὺς ὅλους ῥυτῆρας, ὁπόσον διάστημα ταῖς τοιαύταις ἱππηλασίαις προσήκει, ἐξιππασάμενος ἔστη. ὁ γοῦν ἐκτομίας Ἰωάννης ἐπιλαθόμενος οἷον ἑαυτοῦ καὶ τὸν χαλινὸν ἐνδοὺς ἁπάντων ἐνώπιον καὶ αὐτὸς ἤλαυνεν. εὐθὺς δὲ γέλως ὦρτο πολὺς παρὰ πάντων, καὶ καταμωκησάμενοι τούτου τὸ συνήθως τοῖς ἐκτομίαις ἐπαγόμενον "κλοῦ κλοῦ" πρὸς τοῦτον ἔλεγον. οἱ δὲ περὶ τὸν Κομνηνὸν ἐπιμελῶς τούτους κατέστελλον.

11. ἀναδύσασθαι]? 15. ἐνδοὺς] Addendum videtur οὖν.

velut in gratiam Melisseni affinis sui rem de industria male gessisset. imperator ergo postquam verbis in ista expeditione Alexio suadenda multis perditis adducere ipsum quo volebat non potuit, miratus constans eius propositum, iussit ad extremum copias eum tradere protovestiario. erat is eunuchus Ioannes iam ante imperium Botaniatae administer carus homo gloriae appetens si quisquam alius, sed levis idem et ingenio parum firmo.

32. Ad hunc Comnenus Chrysopoli freto traiecto copias adducit et plerosque ducum ac tribunorum. qui aegre ferentes eunuchi ductui permitti rursus Comnenum obsecrabant, ut venire secum ac imperare sibi vellet, quod diu feliciter fecerat. ille autem eos consolatus excusavit isti bello praeesse se non posse propter memoratam causam. traditis igitur eunucho copiis, ei vale dicens mox recessurus, alacritate iuvenili excursionem equestrem in digressu ludere voluit: itaque laxatis equo habenis tantum campi percurrit quantum eiusmodi ludicris equestribus pervolari solet. quo eunuchus Ioannes viso, imitari et ipse ac parem agilitatis gloriam auferre studens, oblitus quam inferior dexteritate Alexio esset, equum in conspectu exercitus effudit in cursum. risus autem coortus est omnium; cunctis "clu clu" exclamantibus quae popularis vox est eunuchos irridentium, Comneno per se suosque tale ludibrium quanta potuit maxima diligentia compescente.

D 33. Ὁ μὲν οὖν Ἀλέξιος πρὸς τὸν βασιλέα ἀπῄει ἐν τοῖς βασιλείοις διάγοντα, ὁ δὲ ἐκτομίας σὺν πάσαις δυνάμεσιν ὥρμησε κατὰ τοῦ Μελισσηνοῦ, καὶ τὰ Βιθυνῶν διελθὼν ὅρια ἐστρατοπέδευσε περί τι καστέλλιον ὃ καλοῦσι Βασιλέα, πλεῖον ἢ τεσσαράκοντα σταδίων Νικαίας ἀπέχον. ἐκεῖσε δὲ γενομένῳ συνεβούλευον ὅ τε Παλαιολόγος καὶ ὁ τούτου ἐξάδελφος Κουρτίκης λῄσασθαι τὰ παρατυχόντα ἄχρι Νικαίας, ὑποστρέψαι δὲ διὰ τῆς παραλιμνίου καὶ πολιορκῆσαι τὸ τοῦ Κύρου Γεωργίου καστέλλιον. ὃ δὴ καὶ καταλαβόντες αὐτίκα κατέσχον. εἶτα ἐπεὶ βουλῆς ἐδεῖτο τὰ
P 105 πράγματα ἐπὶ ξυροῦ ἱστάμενα, ἅπαντες οἱ τοῦ στρατοῦ λογάδες εἰς τὴν σκηνὴν τοῦ ἐκτομίου γενόμενοι διεσκοποῦντο εἴτε τὴν Νίκαιαν πολιορκῆσαι δεῖ, εἴτε εἰς τὸ Δορύλαιον ἀπελθόντας μετὰ τοῦ σουλτάνου συνάψαι πόλεμον. ἐπεὶ δὲ ὁ Παλαιολόγος Γεώργιος καὶ ὁ τούτου ἐξάδελφος Κουρτίκης ἀσύμφορον τὸν τῆς Νικαίας πόλεμον ἐσίγων, τοῦτό τινες τῶν τοῦ ἐκτομίου Ἰωάννου φωρασάμενοι ὑποψιθυρίζουσι κατ' αὐτῶν καὶ ἄλλα κατειπόντες αὐτῶν, εὐθὺς ἀπεφοίβασεν ὁ ἐκτομίας πρὸς ἅπαντας "τὴν ἐξουσίαν
B τῶν ταγμάτων ἐμοὶ ἀνέθετο ὁ βασιλεύς, καὶ ὅπως ἂν αὐτὸς κρίνω τοῦτο δέον ἐστὶ γίνεσθαι."

34. Ὡς δὲ ἐθεάσατο ὁ Παλαιολόγος τὸν κατὰ τῆς Νικαίας

4. Βασιλέα] Βασιλεία? cfr. p. 106. B. 7. ὑποστρέψαι] V. ὑποστρέψας. 12. Δορύλαιον] V. Δορύλιον. 15. πόλεμον] Fort. add. ἡγούμενοι. ibid. τοῦτο] τοῦτό τε? ibid. τοῦ ἐκτομίου] V. ἐκ τοῦ ἐκτομίου.

33. Sic Alexius ad imperatorem in palatium rediit. eunuchus vero cum omnibus copiis adversus Melissenum movit ac fines Bithyniae transgressus castra posuit circa munitiunculam quamdam, cui Basilea nomen est, plus quadraginta stadiis Nicaea distantem. ibi suadebant novo duci Palaeologus et huius sororis filius Curtices, ut obvia quaeque vastaret Nicaeam usque ac reversus per oram stagni obsidione cingeret castellum divi Georgii, ad quod cum venissent statim illud occuparunt. inde quoniam consilio erat opus rebus in acie periculi stantibus, cuncti exercitus ductores in praetorium eunuchi convenientes deliberabant oppugnandane Nicaea foret, an esset consultius proficisci recta Dorylaeum versus et ibi praelium cum Sultano committere. quoniam vero Palaeologus Georgius, et huius ex sorore nepos Curtices alia omnia suadentes de oppugnatione Nicaeae tamquam intempestiva et eo rerum statu inconveniente tacebant, hoc quidam ex Ioannis familiaribus animadverso, murmurare in ipsos coeperunt, alia quoque congerentes quibus suspectos eos redderent. tunc eunuchus elata voce sublato supercilio ad omnes pronuntiavit: "mihi huius exercitus imperium ab Augusto commissum est, quod ego decrevero hoc est agendum."

34. Ut autem vidit Palaeologus praevalere consilium oppugnandae Ni-

πόλεμον προκριθέντα καὶ πάντας πρὸς τὰ ὅπλα ἤδη χωρήσαντας, στοχασάμενος ὡς περὶ τὰ στρατιωτικὰ πολλὴν ἐμπειρίαν κεκτημένος τοῦ ἀποβησομένου, παρρησιασάμενος αὐτός τε καὶ ὁ Κουρτίκης φησίν "οὐδ' αὐτοὶ ἀγνοοῦμεν ὅτι σε τῶν ταγμάτων ὁ βασιλεὺς ἡγεμόνα προεχειρίσατο, καὶ διὰ τοῦτο τὰ πολλὰ ἐσιγῶμεν. V 77 νῦν δὲ ἐφορώμενοι τὸν προκείμενον κίνδυνον καὶ τὴν ἐκ βασιλέως ἐς ὕστερον ἐπενεχθησομένην ἡμῖν ὀργὴν δεδιότες ἐπὶ πλεῖον σιγᾶν C οὐ δυνάμεθα. ἴσθι τοίνυν ὡς ἡνίκα τῇ Νικαίᾳ πλησιάσωμεν καὶ ταύτης ἀπόπειραν ἐπιχειρήσωμεν ποιεῖσθαι, οἱ τολμηρότεροι τῶν στρατιωτῶν πληγήσονται, οἱ δὲ καὶ ἀναιρεθήσονται· δεινὸς γὰρ ὁ ἀπὸ τῶν ἐπάλξεων τοῖς ἔξωθεν πόλεμος. οἱ δὲ ἔξωθεν κείμενοι Τοῦρκοι τῆς πολιορκίας ταύτης αἰσθόμενοι εὐθὺς καθ' ἡμῶν χωρήσουσιν. ἡμεῖς δὲ πρός τε τοὺς ἀπὸ τῶν τειχῶν ἡμᾶς βάλλοντας καὶ τῶν πυλῶν ἐξιόντας πρός τε τοὺς ἔξωθεν καθ' ἡμῶν ἐπεισπεσόντας ἀντέχειν μὴ δυνάμενοι ἐξ ἀνάγκης ὀπισθόρμητοι γενόμεθα. καὶ οἱ μὲν τοὺς τετρωμένους τῶν ἰδίων ἀναλαβόμενοι ἐφ' ᾧ θεραπεῦσαι αὐτοὺς ὅπῃ βουλητὸν ἕκαστος ἀπελεύσεται, οἱ D δὲ κάτοχοι τῇ λύπῃ τῶν ἀποκτανθέντων γεγονότες παρ' οὐδὲν ἡμᾶς ὠφελήσουσιν."

35. Οἱ δὲ παρὰ κωφῷ ᾄδειν ἐῴκεισαν· οὐδένα γὰρ λόγον τούτων ποιησάμενος ὁ ἐκτομίας ἐκεῖνος τὰς δυνάμεις ἀναλα-

6. ἐφορώμενοι] ὑφορώμενοι? 9. ἀπόπειραν] V. ἀποπειρᾶν.
16. γενόμεθα] γενησόμεθα?

caeae et cunctos ad id armari, providens pro longo usu rei militaris quid futurum esset, audacter pro se ac Curtice prolocutus in hunc modum est: "nec nos ignoramus te huic exercitui ducem impositum ab imperatore, et propterea multa quae dicenda fuerant tui reverentia pressimus: nunc tamen cum provideamus imminens periculum et imperatoris de nobis deinde re male gesta expostulaturi iustam iram vereamur, silere amplius non possumus. scito igitur fore ut cum admotus Nicaeae fuerit exercitus et eam tentare coeperit, audacissimi quique militum vulnerentur et ex iis occidantur, iniqua enim conditione pugnatur a nudis in campo adversus hostes muris et propugnaculis protectos. Turci vero qui extra urbem castra habent, sentientes Nicaeam oppugnari, infesti sine dubio in nos incurrent. nos autem iis qui e muris nos telis impetent quique per portas in nos erumpent, denique iis qui a tergo nos adorientur simul resistere non valentes necessario fugere cogemur. et aliqui quidem assumptis suis necessariis vulneratis eos aliquo portare conabuntur ubi curari possint, alii ob carorum occisorum mortem moerore oppressi inutiles nobis erunt."

35. Haec illi cum dicerent, surdo canere videbantur. nulla enim eorum ratione habita eunuchus ille assumptis copiis recta Nicaeam versus mo-

βόμενος εὐθὺ Νικαίας ἐχώρει, καὶ δὴ τοῖς τείχεσι προσπελάσας ᾐτεῖτο πάντας παραδοθῆναι. οἱ δ' ἐντὸς ἔξωθεν προσδοκῶντες δυνάμεις εἰς ἀρωγὴν αὐτῶν ἐλεύσεσθαι, λόγοις ἀπατηλοῖς τοῦτον ἐξαπατῶντες ἡμέραν ἐξ ἡμέρας ὑπερετίθεντο. ὁ δὲ Παλαιολόγος Γεώργιος μὴ φέρων τὴν παράλογον ἐκείνην στράτευσιν ἐμπειρό-
P 106 *τατος ὢν καὶ τὸν ὑπόγυιον ἐν ὀφθαλμοῖς ἤδη ὁρῶν κίνδυνον, συνεβούλευε τούτῳ παλινοστῆσαι. ὁ δὲ τοὺς τούτου λόγους ὡς λῆρον δεξάμενος ἀγνοίᾳ τοῦ δέοντος μᾶλλον ἢ καρτερίᾳ προσμένειν ἐβούλετο, ἕως τοὺς Τούρκους ἥκειν ἤδη πυθόμενος ἄκων μετ' αἰσχύνης ἐπαναζεύγνυσι.*

36. *Πάλιν οὖν ὁ Παλαιολόγος Γεώργιος ταγματάρχης ὢν ἐμπειρότατος καὶ κατὰ χεῖρα καὶ γνώμην γενναῖος, παρρησιασάμενος συνεβούλευε μὴ ὡς ἔτυχε παλινοστεῖν, ἀλλὰ σὺν τάξει καὶ κόσμῳ τῷ δέοντι. ὁ μὲν τοῦτ' ἔλεγεν, ὁ δὲ τὴν τῶν ὅλων ἡγε-*
B *μονίαν αὐτῷ ἐνεχείριζε. καταστήσας οὖν εἰς τάξεις τὸ στράτευμα καὶ ἱππεῖς παρεδρεύειν ἐγκελευσάμενος πλὴν ὀλίγων τῶν ἐνεδρεύειν καὶ λοχίζειν μελλόντων, τὸ δὲ ὁπλιτικὸν καὶ πεζὸν τάξας ὄπισθεν βάδην ἐκέλευσεν ἀπιέναι, αὐτὸς δὲ περιιὼν σὺν ὀλίγοις ὅτὲ μὲν κατ' οὐραγίαν ὅτὲ δὲ κατὰ τὸ κέρας τὸ δεξιὸν (τὸ γὰρ εὐώνυμον ἦν ἐν ἀσφαλείᾳ τὴν λίμνην ἔχον ἐπαρήγουσαν) ἀπεσόβει τῶν Τούρκων τοὺς προεκτρέχοντας, ἕως πλησίον τῆς Βασιλείας φθάσαντες πρὸς τὸ στρατοπεδεύειν γένοιντο.*

vet, et admotus muris petebat a Nicaeensibus ut deditionem facerent. at illi quibus esset spes certa paratarum copiarum ad auxilium ipsis ferendum, verbis fallacibus ipsum lactantes diem ex die ducebant. Palaeologus interim Georgius cui consilium illud imprudens placere non poterat; quique pro suo praestanti rei militaris usu imminens ex mora periculum quasi oculis cerneret, eunucho suadebat ut se ac copias reciperet in tutum. ille contra sermones eius pro nugis habens ignorantia recti potius quam constantia perstabat in temerario consilio, donec audito tandem advenire Turcos ingratiis nec sine pudore redire cogitur.

36. Hic rursus Palaeologus Georgius apprime callens artem ordinandi ac perite regendi militares manus nec minus consilio quam manu fortis ac promptus, sumpta tali tempore fiducia, auctor erat ne quomodocumque recederent, sed cum ordine ac modo convenienti. haec suadenti Palaeologo ductum universi exercitus Ioannes in isto receptu commisit. igitur Georgius digessit exercitum in ordines, iussit equites praecedere intentos ad ferenda quo opus foret auxilia, praeter paucos quos in insidiis abdere volebat. gravem armaturam et reliquum peditatum retro disposuit, lento gradu inbens progredi. ipse cum paucis circumiens obibat modo extremum agmen, modo cornu aciei dexterum (nam laevum securum erat protectum a palude), Turcos excurrentes coercens, quoad admovissent se castello Basilea dicto, ubi castra metari constituerant.

37. Ἐπεὶ δ' ἂν αὐτοῦ που θριγκίῳ πλινθίνῳ ἀναπεπτα- C
μένον πεδίον ἐστὶ κυκλούμενον οὐ πολλὰς εἰσόδους ἔχοντι, καὶ οἱ
ἱππεῖς ἅμα ἐκτρέχειν ἤρξαντο ὡς παρὰ τὰς εἰσόδους γενέσθαι, οἱ
Τοῦρκοι κατόπιν ἑπόμενοι καὶ τὰ δρώμενα θεασάμενοι μετὰ βοῆς
ὅτι πλείστης ἐξελάσαντες κατὰ τῶν πεζῶν ἐξώρμησαν καὶ πανταχόθεν
βάλλειν αὐτοὺς τοξεύμασιν ἐπεχείρουν. οἱ δὲ πρὸς φυγὴν
ἐτράπησαν. ἐν γοῦν τῷ φεύγειν αὐτὸς μόνος ὁ εὐνοῦχος κατε-
λείφθη καὶ τῷ φόβῳ συσχεθεὶς φυγεῖν οὐκ ἠδύνατο. ἐντυχόντες
οὖν αὐτῷ ὅ τε Κουρτίκιος οὐδὲν ἠξίωσεν αὐτὸν ὄψεως, ἐκώλυε V 78
δὲ καὶ τὸν Παλαιολόγον, ὁ δὲ Παλαιολόγος ἀπελθὼν πρὸς αὐτὸν D
ἔφη "οὕτως ἡμᾶς κατέστησας. οὐ προείπομέν σοι ταῦτα;" ὁ δὲ
ἱκετεύων ἔλεγεν "ἐλέησόν με καὶ μὴ ταῖς Ἀγαρηνῶν χερσὶ παρα-
δοθῆναι ἐάσῃς με." εὐθὺς οὖν ἀνακτησάμενος τοῦτόν φησι
"συνέπου μοι τὸ λοιπόν·" ἐπιβολῆς δὲ τῶν Τούρκων πλείονος
αὐτοὺς καταλαβούσης, ὁ εὐνοῦχος εὐθὺς μικροῦ καὶ τὰς φρένας
ἀπώλεσεν. ὁ δὲ Παλαιολόγος τηνικαῦτα τὰς ἡνίας στρέψας καὶ
συναντήσας παίει ἕνα τῶν κατ' αὐτῶν ἐρχομένων, καὶ νεκρὸς εὐ-
θὺς κατὰ γῆς ἔρριπτο, ὃν θεασάμενοι οἱ λοιποὶ μικρὸν ἀνεχώ-
ρουν. ἐπιστραφεὶς δὲ ὡς τὸν εὐνοῦχον ἄνουν καὶ ἄφωνον ἐθεά-
σατο, τύψας κατὰ τῆς παρειᾶς φησι "μὴ φοβοῦ." P 107

1. ἐπεὶ δ' ἂν] ἐπειδὰν δ'? ibid. θριγκίῳ] V. θριγγίῳ. 9. ὅ τε] ὁ μέν? 14. ἐπιβολῆς] V. ἐπιβουλῆς. 16. στρέψας] V. τρέψας. 17. αὐτῶν] V. αὐτῷ.

37. Eo cum appropinquarent, occurrit campus late patens septo lateritio multis locis hiante circumdatus. hic equites loci natura coacti extra ordines excurrere coeperunt, ut aditus intra septum qua muri labes viam dabat captarent. id Turci qui a tergo sequebantur animadvertentes sublato clamore maximo impetum in pedites fecerunt, eos undique iaculis et sagittis excussis arcubus petentes, quo illi consternati effuse se in fugam dant, eunucho solo retro relicto, qui metu constrictus fugere cum aliis non potuit. cui forte occurrentes Curticius cum Palaeologo, ille quidem ne aspectu quidem dignatus est hominem suadebatque Palaeologo ut illum similiter negligeret: sed hic accedens ad eunuchum propius sic increpavit: "en quem in locum nos et exercitum duxisti. an non haec tibi praedixeramus?" ille autem supplex ac tremens dicebat: "miserere mei; neque me tradi permittas in Agarenorum manus." Georgius bono animo esse iussit et deinceps sequi sese. incursu autem vehementiori Turcorum plurium in ipsos facto, eunuchus in tantum terrorem incidit ut parum abesset ab amentia. tunc Palaeologus conversis equi habenis Turcis sequentibus occurrens primum ex ipsis obvium ferit et mortuum in terram deicit. quo spectaculo cohibiti reliqui aliquantum recesserunt. at Georgius iterum versus ad suos eunuchum consternatione stupidum et pavore mutum vidit, levi manus verbere in mala feriens, noli timere, inquit, et eo secum assumpto reliquo agmini coniungitur.

38. Ἐφθακότων δὲ τούτους τῶν Τούρκων, ἐπιστραφεὶς ὁ Παλαιολόγος σὺν ἱππεῦσι μετρητοῖς (καὶ γὰρ ἦν στενὸν τὸ χωρίον) ἐπέρρωσέ τε τὸ ὁπλιτικὸν καὶ κατὰ τῶν Τούρκων αὐτὸς ἐξώρμα σὺν τοῖς ἱππεῦσι. καὶ εὐθὺς τὸ βάρβαρον ἔφευγε. πεσόντων οὖν συχνῶν τὸ λοιπὸν οὐκέτι ἐχώρουν κατὰ τῆς παρατάξεως, ἀλλ' ἵσταντο πόρρωθεν. ἐκέλευσεν οὖν ἐκεῖνος ἀπιέναι τὸ ὁπλιτικὸν καὶ στρατοπεδεύειν. αὐτὸς δ' ὕστατος μετὰ τῶν ἱππέων, B ἕως τῶν θριγκῶν ὑπερβάντες ἐστρατοπέδευσαν ἅπαντες. γενναίως δ' ἀγωνιζόμενος, ἐπειδὴ τὴν κόρυθα ἀπεβάλλετο, πλήττεται βέλει κατὰ τὸ μέτωπον. ἀλογήσας δὲ τῆς πληγῆς παντάπασιν, ἐπεὶ τὸν εὐνοῦχον ἔκδιψον ἐθεάσατο γενόμενον καὶ μὴ δυνάμενον τὴν γλῶτταν κινῆσαι, νεύμασι δὲ ἱκετεύοντα συνεπιλαβέσθαι αὐτῷ, αὐτοῦ που μένειν τοῦτον παρεκελεύσατο τέσσαρσι τῶν αὐτοῦ θεραπόντων τὴν αὐτοῦ φυλακὴν ἐμπιστευσάμενος, αὐτὸς δὲ καὶ πρὸς τὸ πρανὲς κάτεισι διὰ τῆς περικεφαλαίας ὕδωρ αὐτῷ κομίσων. ὁ δὲ μετρίως ἀνενεγκὼν ὡς τοῦ ὕδατος ἀπεγεύ- C σατο, θεόν τε αὐτὸν ἄλλον ἀπεκαλεῖτο καὶ υἱὸν τοῦ λοιποῦ, εἰ διασωθείη, ἐκ προαιρέσεως τοῦτον ποιήσασθαι ἐπηγγέλλετο, οὐ μέχρι δὲ λόγου τὰ τοῦ λόγου ἐβεβαίου, ἀλλ' ὡς κληρονόμον αὐτὸν καταστῆσαι ἐπὶ πᾶσι τοῖς αὐτοῦ καὶ τὰ ὑπὲρ αὐτοῦ ὥσπερ οἰκείου παιδὸς σπουδάσειν. ὁ δὲ Παλαιολόγος φησὶ πρὸς αὐτὸν

8. θριγκῶν] V. θριγγῶν. 9. ἀπεβάλλετο] ἀπεβάλετο? 19. ἀλλ' ὡς] Ita P. pro ἄλλως. 20. τὰ] πάντα? 21. σπουδάσειν] V. σπουδάζειν.

